Γίγνεσθαι. πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρόν; S. 471. ἀλλὰ πολλὰ γίγνεται πάρος πεσήματ' ἀνδρῶν S. 914. πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ γίγνεται θνητοῖς P. 694. οὐ γὰρ σφάγια γίγνεται καλὰ T. 361. οὐδ' ἑλκοποιὰ γίγνεται τὰ σήματα T. 380. τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος T. 421. τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίγνεται V. 319. σχισθέντα δ' οὐκ εὔκρυπτα γίγνεται τάδε A. 609. ἄλγησον ἧπαρ ἐνδίκοις ὀνείδεσιν, τοῖς σώφροσιν γὰρ ἀντίκεντρα γίγνεται E. 131. ὅθεν βροτοῖσι γίγνεται τὰ φίλτατα E. 207. γνώμης δ' ἀπούσης πῆμα γίγνεται μέγα E. 720. γιγνομέναισι λάχη τάδ' ἐφ' ἡμῖν ἐκράνθη E. 329. γείνατο παῖδ' ἀμεμφῆ S. 576. ἐγείνατο μόρον αὐτῷ πατροκτόνον Οἰδιπόδαν T. 733. μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ' ἐγείνατο E. 706. μητρὸς, ἥ σ' ἐγείνατο Fr. Jud. Arm. ὅπως ὅμαιμον αἷμα μὴ γενήσεται, δεῖ κάρτα θύειν S. 444. τί πόλις ἄμμιν πάσχει, τί γενήσεται; T. 141. πατρίς τε γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ ἁλοῦσα πῶς σοι σύμμαχος γενήσεται; T. 568. τράχυν', ἄθαπτος δ' οὗτος οὐ γενήσεται T. 1036. εἰσελθέτω σε μήποτ', ὡς ἐγὼ Διὸς γνώμην φοβηθεὶς θηλύνους γενήσομαι V. 1005. ἐχθροῖσι τοῖς σοῖς οὐ γενήσομαι πέπων E. 66. τῶν δὲ κρατούντων χέρες οὐχ ὅσιαι στυγερῶν τούτων, παισὶ δὲ μᾶλλον γεγένηται C. 373. αἰακτὸς, μέλεος γέννᾳ, γᾷ τε πατρῴᾳ κακὸν ἄρ' ἐγενόμαν P. 897. ἐπεὶ δ' ἀρτίφρων ἐγένετο μέλεος ἀθλίων γάμων T. 761. κακῶν δ' ἕκατι κἀγένοντ' E. 71. διωγμοῖσί τ' ἀσφαλίας ἀδμήτας ἀδμήτα ῥύσιος γενέσθω S. 141. φρόντισον, καὶ γενοῦ πανδίκως εὐσεβὴς πρόξενος S. 413. ὄλβιε Ζεῦ, πείθου τε, καὶ γενέσθω S. 522. γενοῦ πολυμνήστωρ S. 530. σύμβουλοι λόγου τοῦδέ μοι γένεσθε, Πέρσαι, γηραλέα πιστώματα P. 167. γένεσθε δ' ἀλκὴ T. 76. ῥυσίπολις γενοῦ, Παλλὰς T. 121. καὶ σὺ, Λύκει' ἄναξ, Λύκειος γενοῦ δαΐων στρατῷ T. 131. παίων τε γενοῦ τῆσδε μερίμνας A. 99. εὐθὺς γενέσθω πυρφυρόστρωτος πόρος ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη A. 885. σωτὴρ γενοῦ μοι, ξύμμαχός τ' αἰτουμένῳ C. 2. γενοῦ δὲ ξύμμαχος θέλων ἐμοὶ C. 19. γένεσθε τῶνδε σύμβουλοι πέρι C. 85. ἔνδον γενοῦ, χαρᾷ δὲ μὴ 'κπλαγῇς φρένας C. 231. Ζεῦ, Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ C. 244. πῶς δ' οὐ γαμῶν ἄκουσαν ἄκοντος πάρα, ἁγνὸς γένοιτ' ἄν; S. 225. μήτι ποτ' οὖν γενοίμαν ὑποχείριος κράτεσιν ἀρσένων S. 387. γένοιτ' ἂν ἄλλα κτησίου Διὸς χάριν S. 440. γένοιτο μύθου μῦθος ἂν θελκτήριος S. 442. γένοιτο δ' εὖ παρὰ γνώμην ἐμὴν S. 449. οὕτω γένοιτ' ἂν οὐδ' ἂν ἔκβασις στρατῷ καλὴ S. 753. μέλας γενοίμαν καπνὸς νέφεσσι γειτονῶν Διὸς S. 760. πόθεν δέ μοι γένοιτ' ἂν αἰθέρος θρόνος; S. 773. ὅτι τοι μόρσιμόν ἐστι, τὸ γένοιτ' ἂν S. 1033. πράξας μὲν εὖ, θαυμαστὸς ἂν γένοιτ' ἀνὴρ P. 208. πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος P. 230. καὶ τίς γένοιτ' ἂν τῆσδ' ἔτ' ἐχθίων τύχη; P. 430. εἰ δ' αὖθ', ὁ μὴ γένοιτο, συμφορὰ τύχοι T. 5. ὧν Ζεὺς, ἀλεξητήριος ἐπώνυμος γένοιτο Καδμείων πόλει T. 8. ὅπως γένοισθε πρὸς χρέος τόδε T. 20. τάχ' ἂν γένοιτο μάντις ἤ"νοιά τινι T. 384. τῷ τοι φέροντι σῆμ' ὑπέρκομπον τόδε γένοιτ' ἂν ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον T. 387. Ὑπερβίῳ τε, πρὸς λόγον τοῦ σήματος σώτηρ γένοιτο Ζεὺς ἐπ' ἀσπίδος τυχὼν T. 501. οὕτως γένοιτο T. 508. οὐδ' ἔχω τις ἂν γενοίμαν V. 907. νῦν εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων A. 20. γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα ἄνακτος οἴκων τῇδε βαστάσαι χερὶ A. 34. προκλύειν ἐπεὶ γένοιτ' ἂν ἤλυσις A. 243. εὐάγγελος μὲν, ὥσπερ ἡ παροιμία, ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα A. 256. ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων γένοιτ' ἂν A. 338. γένοιτο δ' ὡς ἄριστα A.

660. καὶ πῶς ἂν ὅρκος πῆγμα γενναίως παγὲν παιώνιον γένοιτο; A. 1171. εἰ μόχθων γένοιτο τῶνδ' ἅλις A. 1644. εἰ δὲ χρὴ τυχεῖν σωτηρίας, σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πύθμην C. 202. πιστὰ γένοιτο χώρᾳ C. 391. εἴπερ ἔσται γ', ἀλλὰ μὴ γένοιτό πως A. 1222. πατρόθεν δὲ συλλήπτωρ γένοιτ' ἂν ἀλάστωρ A. 1489. ἐφυμνῆσαι γένοιτό μοι πευκήεντ' ὀλολυγμὸν ἀνδρὸς θεινομένου C. 380. οὐδ' ἧσσον ἂν γένοιο δώμασιν φίλος C. 697. καὶ τόδ' ἀμφέρειν δόμοις γένοιτ' ἂν ἄχθος δειματοσταγὲς φόνῳ τῷ πρόσθεν ἑλκαίνοντι C. 829. τοιάδε μοι ξύνοικος ἐν δόμοισι μὴ γένοιτο C. 999. οὐκ ἂν γένοιθ' ὅμαιμος αὐθέντης φόνος E. 202. πολὺς δέ μοι γένοιτ' ἂν ἐξ ἀρχῆς λόγος E. 274. κλύει δὲ καὶ πρόσωθεν ὢν θεὸς, ὅπως γένοιτο τῶνδέ μοι λυτήριος E. 288. πανώλεθρας δ' οὔποτ' ἂν γένοιτο E. 522. ὁ γὰρ διώκων πρότερος ἐξ ἀρχῆς λέγων γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος E. 554. πατὴρ μὲν ἂν γένοιτ' ἄνευ μητρὸς E. 633. ὅπως γένοιτο πιστὸς εἰς τὸ πᾶν χρόνου E. 640. ἐμοὶ γένοιτο φᾶρος ἴσον οὐρανῷ Fr. Sal. τί γὰρ ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτιον; Fr. I. 51. 3. καὶ μὴ πρόλεσχος, μηδ' ἐφόλκὸς ἐν λόγῳ γένῃ; S. 198. ὡς μὴ γένωμαι δμωῒς Αἰγύπτου γένει S. 330. τί γένωμαι; T. 279. μὴ, φίλτατ' ἀνδρῶν, Οἰδίπου τέκος, γένῃ ὅμοιος ὀργὴν τῷ κάκιστ' αὐδωμένῳ T. 659. σώμασιν θ' ὅπως θνητοῖς μέγιστων διάδοχοι μοχθημάτων γένωνθ' V. 463. πῶς λιπόναυς γένωμαι; A. 205. ἀμφοῖν γένηται τῶνδε παγκρατὴς φονεὺς A. 1633. ὅμως δὲ φεῦγε, μηδὲ μαλθακὸς γένῃ E. 74. τί ῥέξω; γένωμαι E. 757. κληδοῦχον Ἥρας φασὶ δωμάτων ποτε Ἰὼ γενέσθαι τῇδ' ἐν Ἀργείᾳ χθονὶ S. 289. αἰτοῦ τῶνδ' ἀποτροπὴν κακῶν, τὰ τ' ἀγάθ' ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν P. 214. ἐποπτῆρας λιτῶν καλεῖ γενέσθαι T. 623. ἔκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ ὕπαρ γενέσθαι V. 484. ἔτλα δ' οὖν θυτὴρ γενέσθαι θυγατρὸς A. 217. οὔτ' ἀνελεύθερον οἶμαι θάνατον τῷδε γενέσθαι A. 1503. αὐτῇ τέ μοι δὸς, σωφρονεστέραν πολὺ μητρὸς γενέσθαι, χεῖρά τ' εὐσεβεστέραν C. 139. κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον γνωστὸς γενέσθαι C. 691. εἰ τοῖσιν οὖν κτείνουσιν ἀλλήλους χαλᾷς, τὸ μὴ γενέσθαι, μηδ' ἐποπτεύειν κότῳ E. 211. ὑπόδικος θέλει γενέσθαι χερῶν E. 250. δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω E. 702. τὸ μὴ γενέσθαι δ' ἔστιν ἢ πεφυκέναι κρεῖσσον κακῶς πράσσοντα Fr. I. 101. 2.

Γινώσκειν. οὔκουν, Προμηθεῦ, τοῦτο γινώσκεις ὅτι ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι; V. 377. γίνωσκε σαυτὸν καὶ μεθάρμοσαι τρόπους νέους V. 309. γίνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν Fr. Niobe. τὴν πεπρωμένην δὲ χρὴ αἶσαν φέρειν ὡς ῥᾷστα, γινώσκονθ', ὅτι τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος V. 104. ἔγνωκα, τοῖσδε κοὐδὲν ἀντειπεῖν ἔχω V. 51. ἐκεῖνα δ' ἔγνων, πᾶσα γὰρ πόλις βοᾷ A. 1077. κακός γε μάντις ἂν γνοίη τάδε C. 766. γνῶθι δ' ὕβριν ἀνέρων, καὶ φύλαξαι κότον S. 421. σὺ δ' αὐτὸς ἤδη γνῶθι, τίνα πέμπειν δοκεῖς T. 632. σὺ δ' αὐτὸς γνῶθι ναυκληρεῖν πόλιν T. 634. οὔτιν' ἐφ' αἵματι δημηλασίαν ψήφῳ πόλεως γνωσθεῖσαι S. 7. γνώσεται δὲ λόγους τις ἐν μάκει S. 55. γνώσῃ δὲ τάδ' ὡς ἔτυμ' V. 293. γνώσῃ δὲ χρόνῳ διαπευθόμενος τόν τε δικαίως καὶ τὸν ἀκαίρως πόλιν οἰκουροῦντα πολιτῶν A. 782. γνώσῃ, γέρων ὤν, ὡς διδάσκεσθαι βαρὺ τῷ τηλικούτῳ A. 1602. ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσῃ τάχα A. 1633.

Γλυκύς. μήπου προκήδου μᾶσσον ὡς ἐμοὶ γλυκὺ V. 632. τοῖς νοσοῦσί τοι γλυκὺ τὸ λοιπὸν ἄλγος προὐξεπίστασθαι τορῶς V. 700.

Γλῶσσα. γλῶσσα τοξεύσασα μὴ τὰ καίρια S. 441. σαφῆ δ' ἀκούεις ἐξ ἐλευθεροστόμου γλώσσης S. 927. καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος ὑπηντίαζε P. 398. οὐδ' ἔτι γλῶσσα βροτοῖσιν ἐν φυλακαῖς P. 583. ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος T. 241. τῶν τοι ματαίων ἀνδράσι φρονημάτων ἡ γλῶσσ' ἀληθὴς γίγνεται κατήγορος T. 421. ὃς οὐκ ἐάσει γλῶσσαν, ἐργμάτων ἄτερ ἔσω πυλῶν ῥέουσαν ἀλδαίνειν κακὰ T. 537. ὅμοια μορφῇ γλῶσσά σου γηρύεται V. 78. τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου γλώσσης, Προμηθεῦ,

τἀπίχειρα γίγνεται V. 319. γλώσσῃ ματαίᾳ ζημία προστρίβεται V. 329. ἔξω δὲ δρόμου φέρομαι, λύσσης πνεύματι μάργῳ γλώσσης ἀκρατὴς V. 885. ὃς πρῶτος τὸ δ' ἐβάστασε καὶ γλώσσᾳ διεμυθολόγησε V. 891. βοῦς ἐπὶ γλώσσῃ μέγας βέβηκε A. 36. εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ γλώσσῃ μιαίνειν A. 623. προνοίαισι τοῦ πεπρωμένου γλῶσσαν ἐν τύχᾳ νέμων A. 671. οὐκ ἀπὸ γλώσσης θεοὶ δικὰς κλύοντες A. 787. προφθάσασα καρδία γλῶσσαν ἂν τάδ' ἐξέχει A. 1000. γλῶσσα μισητῆς κυνὸς A. 1201. θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος A. 1372. Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις A. 1612. τούσδε μοι ματαίαν γλῶσσαν ὧδ' ἐπανθίσαι A. 1647. ὅπως μὴ πεύσεταί τις, ὦ τέκνα, γλώσσης χάριν δὲ πάντ' ἀπαγγείλῃ τάδε πρὸς τοὺς κρατοῦντας C. 264. ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ γλῶσσα τελείσθω C. 307. γλώσσης ἀϋτὴν Φωκίδος μιμουμένω C. 557. ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν C. 574. γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα καρπὸν E. 794. γλώσσης ἐμῆς μείλιγμα E. 846. ὅτι μοι γλῶσσαν καὶ στόμ' ἐπωπᾷ πρὸς τάσδ' ἀγρίως ἀπανηναμένας E. 928. κέντημα γλώσσης σκορπίου βέλος λέγω Fr. Xant. ὅ τι κεν ἐπ' ἀκαιρίμαν γλῶσσαν ἔλθῃ Fr. Inc. 166.

Γλώσσημα. κάμακος γλώσσημα διπλάσιον Fr. Ner.

Γνάθος. ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον στέρνων διαμπὰξ πασσάλευ' ἐῤῥωμένως V. 64. τραχεῖα πόντου Σαλμυδησία γνάθος V. 729. φρόνημα τοῦ θανόντος οὐ δαμάζει πυρὸς μαλερὰ γνάθος C. 322. ψευδόδειπνα πολλὰ μαργώσας γνάθου Fr. Phin. ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις τῆς καλλικάρπου Σικελίας λευρὰς γύας V. 368. νόσους σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις λιχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν C. 278.

Γναθοῦν. ἐν γναθοῦντι κριβάνῳ Fr. Inc. 51.

Γνάμπτειν. γνάμψει γὰρ οὐδὲν τῶνδέ μ', ὥστε καὶ φράσαι V. 997.

Γνάπτειν. ἅλι δεινᾷ γναπτόμενοι P. 568.

Γναφεύς. γναφεὺς τροφεύς τε ταυτὸν εἰχέτην τέλος C. 749.

Γνῶμα. κἀγὼ τοιούτου γνώματος κοινωνὰς ὢν ψηφίζομαί τι δρᾶν A. 1325.

Γνώμη. γένοιτο δ' εὖ παρὰ γνώμην ἐμὴν S. 449. φόβος δὲ πᾶσι βαρβάροις παρῆν γνώμης ἀποσφαλεῖσιν P. 384. γνώμης δέ που τις δαιμόνων ξυνήψατο P. 710. τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν γνώμῃ στομίων ἄτερ εὐθύνων V. 287. ἄτερ γνώμης τὸ πᾶν ἔπρασσον V. 454. μηδάμ' ὁ πάντα νέμων θεῖτ' ἐμᾷ γνώμᾳ κράτος ἀντίπαλον Ζεὺς V. 525. Ζῆνα γὰρ οὐ τρομέων ἰδίᾳ γνώμῃ σέβῃ θνητοὺς ἄγαν V. 541. Διὸς γνώμην φοβηθεὶς V. 1004. καὶ μὴν τόδ' εἰπὲ μὴ πάρα γνώμην ἐμοί. Γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμὲ A. 905. ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω A. 1221. νῦν δ' ὤρθωσας στόματος γνώμην A. 1454. σώφρονος γνώμης ἁμαρτεῖν A. 1649. ἤδη κελεύω τούσδ' ἀπὸ γνώμης φέρειν ψῆφον δικαίαν E. 644. γνώμης ἀπούσης πῆμα γίγνεται μέγα E. 720. κοινὸν τύχη· γνώμη δὲ τῶν κεκτημένων Fr. Inc. 6. γνωμῶν δυοῖν δὲ θάτερον βουλήσεται V. 869.

Γνώμων. οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος εἶναι A. 1101.

Γνωρίζειν. κληδόνας τε δυσκρίτους ἐγνώρισ' αὐτοῖς V. 485.

Γνωστός. ξένοισιν ὧδ' εὐδαίμοσιν κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον γνωστὸς γενέσθαι C. 691.

Γοᾶσθαι. γοᾶται δὲ δήποθεν κατάπτυστον C. 623. γοᾶσθ' ἁβροβάται P. 1029.

Γόεδνος. γόεδνα δ' ἀνθεμίζομαι S. 69. αἰδοῖα καὶ γόεδνα καὶ τὰ χρεῖ' ἔπη ξένους ἀμείβεσθ' S. 191. διαίνομαι γόεδνος ὢν P. 997. ἄπριγδ' ἄπριγδα μάλα γόεδνα P. 1013. 1020.

Γοερός. μελίζειν πάθη γοερὰ θανατοφόρα A. 1149.

Γοής. γοήτων νόμον μεθήσομεν πόλει C. 809.

Γόμος. ἐμπλήσας γόμον S. 439.

Γομφόδετος. γομφοδέτῳ δορὶ S. 826.

Γόμφος. τῶνδ' ἐφήλωται τορῶς γόμφος διαμπὰξ, ὡς μένειν ἀραρότως S. 923. σάκει Σφίγγ' ὠμόσιτον προσμεμηχανευμένην γόμφοις ἐνώμα T. 524.

Γομφοῦν. δεῦρο δ' ἐξοκέλλεται—καὶ γεγόμφωται, σκάφος στρέβλαισι ναυτικαῖσιν ὡς προσηγμένον S. 435.

Γονή. τριτοσπόρῳ γονῇ ἄφωνα σημα-

νοῦσι P. 804. τρίτος γε γένναν πρὸς δέκ' ἄλλαισιν γοναῖς V. 776. τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων; A. 1546. ἵππων ὄνων τ' ὀχεῖα, καὶ ταύρων γοναὶ Fr. Prom. Sol. 4.

Γονία. ὅδε τοι μελάθροις τοῖς βασιλείοις τρίτος αὖ χειμὼν πνεούσας γονίας ἐτελέσθη C. 1063.

Γόνος. παῖδ' ἀτιμάσας, τὸν αὐτός ποτ' ἔκτισεν γόνῳ S. 163. καὶ Ζεύς γ' ἐφάπτωρ χειρὶ φιτύει γόνον S. 308. κἀμὲ τήνδε τ', Ἠλέκτραν λέγω, ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον C. 251. οἴκτειρε θῆλυν, ἄρσενός θ' ὁμοῦ γόνον C. 495. γόνος E. 906.

Γόνυ. Ἀσία δὲ χθών, βασιλεῦ γαίας, αἰνῶς αἰνῶς ἐπὶ γόνυ κέκλιται P. 894. ὀρθοστάδην, ἄϋπνος, οὐ κάμπτων γόνυ V. 32. ἄσμενος δέ τ' ἂν σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ V. 396. γόνατος κονίαισιν ἐρειδομένου A. 64.

Γόος. κλάγξω δ' αὖ γόον ἀρίδακρυν P. 910. μὴ καὶ τεκνωθῇ δυσφορώτερος γόος T. 639. δόμων μάλ' ἀχὼ ἐπ' αὐτοὺς προπέμπει δαϊκτὴρ γόος T. 899. ἴτω γόος T. 947. αἴων οἰωνόθροον γόον ὀξυβόαν τῶνδε μετοίκων A. 57. τὸν ὕστερον μέλψασα θανάσιμον γόον A. 1420. χάριτες δ' ὁμοίως κέκληνται γόος εὐκλεὴς προσθοδόμοις Ἀτρείδαις C. 318. πατέρων τε καὶ τεκόντων γόος ἔνδικος ματεύει τὸ πᾶν C. 327. χαίρουσα πολύδακρυν γόον κεκρυμμένα C. 442. γόοις με τιμᾷ S. 109. πενθοῦσι γόοις ἀκορεστοτάτοις P. 537. ψυχαγωγοῖς ὀρθιάζοντες γόοις P. 673. κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος P. 683. κλαυμάτων λήξασα τῶνδε καὶ γόων σαφές τι μοι λέξον P. 691. ἐπορθίαζε νῦν γόοις P. 1007. πέμψω τοί σε δυσθρόοισιν γόοις P. 1032. ἀλλὰ γόων, ὦ φίλαι, κατ' οὖρον ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν πίτυλον T. 836. μαίνεται γόοισι φρὴν T. 950 πολλοὺς δ' ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς φθέγξῃ V. 33. ἡ δ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ οὐδὲν προσήκοντ' ἐν κακοῖς παραστατεῖν A. 1049. εὐφήμοις γόοις Fr. Glauc. Potn. 5.

Γόργειος. οὐδ' αὖτε Γοργείοισιν εἰκάσω τύποις E. 49.

Γοργόνειος. πρὸς Γοργόνεια πεδία Κισθήνης V. 795.

Γοργός. ὁ δ' ὠμὸν, οὔτι παρθένων ἐπώνυμον, φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων προσίσταται T. 519.

Γοργών. πέλας δ' ἀδελφαὶ τῶνδε τρεῖς κατάπτεροι δρακοντόμαλλοι Γοργόνες βροτοστυγεῖς V. 801. Γοργόνων δίκην φαιοχίτωνες καὶ πεπλεκτανημέναι πυκνοῖς δρακοῦσιν C. 1044. οὔτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω E. 48.

Γοργῶπις. λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος A. 293.

Γοργωπός. ἐξ ὀμμάτων δ' ἤστραπτε γοργωπὸν σέλας V. 356.

Γοῦν. τίς δ' ἄν σε νύμφη, τίς δὲ παρθένος νέα δέξαιτ' ἂν; εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας Fr. Phil.

Γραῖα. Γραίας ἐρείκης θωμὸν ἅψαντες πυρὶ A. 286. γραῖαι παλαιαὶ παῖδες E. 69. νέος δὲ γραίας δαίμονας καθιππάσω E. 145.

Γράμμα. χρυσοῖς δὲ φωνεῖ γράμμασιν, πρήσω πόλιν T. 416. βοᾷ δὲ χ' οὗτος γραμμάτων ἐν συλλαβαῖς T. 450. Δίκη δ' ἄρ' εἶναί φησιν, ὡς τὰ γράμματα λέγει T. 628. εἴ νιν κατάξει χρυσότευκτα γράμματα T. 642. γραμμάτων τε συνθέσεις ἐξεῦρον αὐτοῖς V. 548. ὡς λέγει γέρον γράμμα Fr. Inc. 48.

Γραῦς. δείσασα γὰρ γραῦς οὐδέν, ἀντίπαις μὲν οὖν E. 38.

Γράφειν. τοιαῦτ' ἀκούων ἐν φρεσὶν γράφου C. 443. τὸ γὰρ τεκόντων σέβας τρίτον τόδ' ἐν θεσμίοις δίκας γέγραπται μεγιστοτίμου S. 690. καὶ ταῦτα μὲν γράψεσθε πρὸς γεγραμμένοις πολλοῖσιν ἄλλοις σωφρονίσμασιν πατρὸς S. 969. κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος A. 775. εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας δεῖπνον φερούσας E. 50.

Γραφή. βολαῖς ὑγρώσσων σπόγγος ὤλεσε γραφὴν A. 1302. εἰς δὲ θηρίων γραφὴν * * * * C. 230.

Γρηγορεῖν. ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων γένοιτ' ἂν A. 337. εὑδόντων ὕπερ ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι E. 676.

Γρυπαίετος. γρυπαιέτους χαλκηλάτους Fr. Inc. 164.

Γύα. ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις τῆς καλλικάρπου Σικελίας λευρὰς γύας V. 369. στεῖχ' ἀνηρότους γύας V. 710. αὐτοσπόροι γύαι φέρουσι βίοτον ἄφθονον βροτοῖς Fr. Prom. Sol. 7.

Γύαλον. περᾷ δὲ Τεύθραντος ἄστυ Μυσῶν Λύδιά τε γύαλα S. 545.

Γυιοβαρής. πολλὰ παλαίσματα καὶ γυιοβαρῆ A. 63.

Γυῖον. πρέπουσι δ' ἄνδρες νήϊοι μελαγχίμοις γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν S. 701. λέλυται γὰρ ἐμῶν γυίων ῥώμη P. 877.

Γυμνάζειν. ἄδδην με πολύπλανοι πλάναι γεγυμνάκασι V. 588. ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασε; A. 526. τοὺς ὑπερμήκεις δρόμους Ἥρᾳ στυγητὸς πρὸς βίαν γυμνάζεται V. 594.

Γυμνός. γυμνός εἰμι προπομπῶν P. 993. ἔχει δὲ σῆμα, γυμνὸν ἄνδρα πυρφόρον T. 414.

Γυμνοῦν. χεῖρα δ' οὐ βραδύνεται παρ' ἀσπίδος γυμνωθὲν ἁρπάσαι δορὺ T. 606.

Γυναικεῖος. Κύπριος χαρακτὴρ τ' ἐν γυναικείοις τύποις εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων S. 279. μήτ' ἐν κακοῖσι μήτ' ἐν εὐεστοῖ φίλῃ ξύνοικος εἴην τῷ γυναικείῳ γένει T. 170. γυναικείῳ νόμῳ ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν ἔλασκον A. 580. περὶ φόβῳ γυναικείοισιν ἐν δώμασιν βαρὺς πιτνῶν C. 36. γυναικείαν ἄτολμον αἰχμὰν C. 621. γυναικείας πύλας μοχλοῖς χαλᾶτε C. 865. παρ' ἀνδρῶν καὶ γυναικείων στόλων E. 818.

Γυναικόβουλος. γυναικόβουλοι μήτιδες φρενῶν C. 617.

Γυναικοκήρυκτος. ἀλλὰ ταχύμορον γυναικοκήρυκτον ὄλλυται κλέος A. 474.

Γυναικόμιμος. λιπαρήσω τὸν μέγα στυγούμενον γυναικομίμοις ὑπτιάσμασιν χερῶν V. 1007.

Γυναικοπληθής. τοῦτ' ἔπος γυναικοπληθὴς ὅμιλος ἀπύων P. 122.

Γυναικόποινος. ἔτλα δ' οὖν θυτὴρ γενέσθαι θυγατρὸς γυναικοποίνων πολέμων ἀρωγὰν A. 218.

Γυνή. βοῦν τὴν γυναῖκ' ἔθηκεν Ἀργεία θεὸς S. 295. γένος φιλίας προγόνου γυναικὸς S. 528. γυνὴ μονωθεῖσ' οὐδὲν S. 730. χαῖρε Δαρείου γύναι P. 152. βασίλεια γύναι, πρέσβος Πέρσαις P. 615. τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ', εὐγενὲς γύναι P. 690. ἀνὴρ γυνή τε, χὤ τι νῶν μεταίχμιον T. 179. μὴ γυνὴ βουλευέτω τἄξωθεν, ἔνδον δ' οὖσα μὴ βλάβην τίθει T. 182. βοτὸν ἐσορῶντες δυσχερὲς μιξόμβροτον, τὰν μὲν βοὸς τὰν δ' αὖ γυναικός, τέρας ἐθάμβουν S. 565. ἄγει γυνή τις ἄνδρα τευχεστὴν ἰδεῖν T. 627. τάφον γὰρ αὐτῷ καὶ κατασκαφὰς ἐγὼ γυνή περ οὖσα τῷδε μηχανήσομαι T. 1029. γυνὴ γὰρ ἄνδρ' ἕκαστον αἰῶνος στερεῖ V. 864. ὧδε γὰρ κρατεῖ γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ A. 11. Ἀγαμέμνονος γυναικὶ σημαίνω A. 26. πολυάνορος ἀμφὶ γυναικὸς πολλὰ παλαίσματα A. 63. θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι A. 307. τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύοις A. 339. γύναι, κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις A. 342. ᾔσχυνε ξενίαν τράπεζαν κλοπαῖσι γυναικὸς A. 391. ἐν φοναῖς καλῶς πεσόντ' ἀλλοτρίας διαὶ γυναικὸς A. 436. γυναικὸς αἰχμᾷ πρέπει A. 470. κάρτα πρὸς γυναικὸς, αἴρεσθαι κέαρ A. 578. τί γὰρ γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν; A. 588 γυναῖκα πιστὴν ἐν δόμοις εὕροι μολὼν A. 592. τοιόσδ' ὁ κόμπος τῆς ἀληθείας γέμων οὐκ αἰσχρὸς ὡς γυναικὶ γενναίᾳ λακεῖν A. 600. γυναικὸς οὕνεκα πόλιν διημάθυνεν Ἀργεῖον δάκος A. 797. γυναῖκ' ἄρσενος δίχα ἧσθαι δόμοις ἔρημον A. 835. μὴ γυναικὸς ἐν τρόποις ἐμὲ ἅβρυνε A. 892. οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης A. 914. ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' αὖ σοφὴ γύναι A. 1269. ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ A. 1291. πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος A. 1374. ὦ γύναι A. 1380. γυναικὸς τῆσδε λυμαντήριος A. 1413. πρὸς γυναικὸς δ' ἀπέφθισε βίον A. 1429. πολλὰ τλάντος γυναικὸς διαὶ A. 1428. φανταζόμενος γυναικὶ νεκροῦ τοῦδ' ὁ παλαιὸς δριμὺς ἀλάστωρ A. 1481. γύναι A. 1608. τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς A. 1619. ἀλλά νιν γυνὴ ἔκτεινε A. 1628. ὧδ' ἔχει λόγος γυναικὸς, εἴ τις ἀξιοῖ μαθεῖν A. 1646. μωμένα μ' ἰάλλει δύσθεος γυνὴ C. 45. λέγουσα παρὰ φίλης φίλῳ φέρειν γυναικὸς ἀνδρὶ C. 88. γυναικὸς ὀλολυγμὸν ὀλλυμένας C. 382. χοὰς ἔπεμψε τάσδε δύσθεος γυνὴ C. 518. ἐξελθέτω τις δωμάτων τελεσφόρος γυνὴ τόπαρχος C. 653. γυναικὸς ἥτις ἄνδρα νοσφίσῃ E. 202. εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μορσίμη E. 208. οὐκ ἀνδρὸς, οὐ γυναικὸς, οὐ πόλεως πέρι E. 587.

ἄνδρα γενναῖον θανεῖν, καὶ ταῦτα πρὸς γυναικὸς E. 597. οὔτω γυναικὸς οὐ προτιμήσω μόρον E. 709. πότερα γυνή τις Αἰθίοψ φανήσεται; Fr. Inc. 46. τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνὴ Fr. Inc. 84. δυοῖν γυναικοῖν ὦδ' ὑπηκόους C. 302. οὐ γὰρ Ἀργολὶς ἐσθὴς γυναικῶν S. 234. Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι γυναιξίν ἐστε S. 277. τύχῃ γυναικῶν πάντα συμπρεπῆ πέλει S. 453. πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρὸν ἄνδρας γυναικῶν οὕνεχ' αἱμάξαι πέδον; S. 472. τὸ πρὸς γυναικῶν ἐπιδὼν S. 526. ἀτιμώσαντες ἔριν γυναικῶν S. 635. γυναικῶν λόχους ἐφορεύειν S. 661. ἀλλ' ἦ γυναικῶν ἐς πόλιν δοκεῖς μολεῖν; S. 891. πῶς φῶ, πρὸς τίνος τ' ἀφαιρεθεὶς ἥκειν γυναικῶν αὐτανέψιον στόλον S. 911. μήποτ' ἐκδοῦναι βίᾳ στόλον γυναικῶν S. 922. μετὰ πολλῶν δὲ γάμων ἅδε τελευτὰ προτέραν πέλοι γυναικῶν S. 1037. κράτος νέμοι γυναιξὶν S. 1054. ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη P. 396. τοιαῦτα δ' ἂν γυναιξὶ συνναίων ἔχοις T. 177. πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας μήτηρ, γυνή, σωτῆρος T. 207. ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος T. 238. πιθοῦ γυναιξίν, καίπερ οὐ στέργων ὅμως T. 694. δυσδαίμων σφιν ἁ τεκοῦσα πρὸ πασῶν γυναικῶν T. 910. κράτος τ' ἰσόψυχον ἐκ γυναικῶν καρδιόδηκτον ἐμοὶ κρατύνεις A. 1449. τίς ποθ' ἥδ' ὁμήγυρις στείχει γυναικῶν; C. 11. ὡς ἂν σαφῶς μάθω γυναικῶν ἥτις ἥδε προστροπὴ C. 21. δμωαὶ γυναῖκες C. 82. ἀλλ' ὑπέρτολμον ἀνδρὸς φρόνημα τίς λέγοι, καὶ γυναικῶν φρεσὶν τλημόνων; C. 588. ἢ πρὸς γυναικῶν δειματούμενοι λόχοι πεδάρσιοι θρώσκουσι, θνήσκοντες μάτην; C. 832. ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι, τέκνον C. 907. θαυμαστὸς λόχος εὕδει γυναικῶν E. 47. οὔτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω E. 48. εὐκλεὴς λόχος παίδων γυναικῶν E. 981. οὔτοι γυναιξὶ κυδάζεσθαι Fr. Iph. 1.

Γυπίας. ἐρημὰς γυπίας πέτρα S. 777.

Δ.

Δᾶ. οἷ οἷ, δᾶ, φεῦ E. 805.

Δαδάκης. ὁ χιλίαρχος Δαδάκης P. 296.

Δαῆναι. ἐδάη λαγοδαίτας πομποὺς τ' ἀρχὰς A. 122. ἴστω δ' ὅστις οὐχ ὑπόπτερος φροντίσιν δαεὶς C. 595.

Δαίδαλος. δαιδάλῳ πέπλῳ E. 605.

Δαίειν. καὶ ζῶν με δαίσεις, οὐδὲ πρὸς βωμῷ σφαγεὶς E. 295.

Δαίειν (accendere). σοὶ δαίων φλόγα ὕλης ὀρείας A. 482. πῦρ καὶ φῶς ἐπ' ἐλευθερίᾳ δαίων C. 850.

Δαΐζειν. τάνδε πόλιν δαΐζων S. 664. εἰ τέκνον δαΐξω A. 201. κάρανα δαΐξας C. 390.

Δαϊκτήρ. δαϊκτὴρ γόος T. 899.

Δαΐκτωρ. πρὶν δαΐκτορος βίᾳ καρδίας γάμου κυρῆσαι S. 779.

Δαιμονᾶν. ἐπειδὴ δαιμονᾷ δόμος κακοῖς C. 559. ἰὼ δαιμονῶντες ἐν ἄτᾳ T. 992.

Δαιμόνιος. ἰάπτει δ' ἐλπίδων ἀφ' ὑψιπύργων πανώλεις βροτούς, βίαν δ' οὔτιν' ἐξοπλίζει τὰν ἄποινον δαιμονίων S. 93. δαιμόνι' ἄχη P. 573. αἶ αἶ δαιμόνιοι, αἶ αἶ δ' ἀντιφόνων θανάτων ἀραὶ T. 873.

Δαίμων. εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατοῦ T. 154. ἀλλ' ὧδε δαίμων τις κατέφθισε στρατὸν T. 337. ἦρξεν μέν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ φανεὶς ἀλάστωρ, ἢ κακὸς δαίμων ποθεν P. 346. ὦ στυγνὲ δαῖμον, ὡς ἄρ' ἔψευσας φρενῶν Πέρσας P. 464. ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς Πέρσαις ἐνήλλου P. 507. ὅταν ὁ δαίμων εὐροῇ, πεποιθέναι τὸν αὐτὸν αἰεὶ δαίμον' οὐριεῖν τύχας P. 593. τόν τε δαίμονα Δαρεῖον ἀνακαλεῖσθε P. 613. δαίμονα μεγαυχῆ ἰόντ' αἰνέσατ' ἐκ δόμων P. 633. δαιμόνων ἱδρύματα P. 797. ὑπερφρονήσας τὸν παρόντα δαίμονα P. 811. ὦ δαῖμον, ὥς με πόλλ' ὑπέρχεται κακὰ ἄλγη P. 831. ὡς ὠμοφρόνως δαίμων

ἐνέβη Περσῶν *γενεᾷ* P. 875. *οὓς νῦν δαίμων ἀπέκειρε* P. 885. *δαίμων γὰρ ὅδ' αὖ μετάτροπος ἐπ' ἐμοὶ* P. 905. *ὦ χρυσοπήληξ δαῖμον* T. 102. *τοῦ χθονίου δέμας δαίμονος* T. 505. *ἐπεὶ δαίμων λήματος ἐν τροπαίᾳ χρονίᾳ μεταλλακτὸς* T. 687. *οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα* T. 794. *δυοῖν κρατήσας ἔληξε δαίμων* T. 939. *δαίμονα τὸν ἄμαχον* A. 745. *τίς ἂν εὔξαιτο βροτῶν ἀσινεῖ δαίμονι φῦναι, τάδ' ἀκούων;* A. 1315. *δαῖμον, ὃς ἐμπιτνεῖς δώμασι* A. 1447. *δαίμονα γέννας τῆσδε κικλήσκων* A. 1456. *ἦ μέγαν οἴκοις τοῖσδε δαίμονα καὶ βαρύμηνιν αἰνεῖς* A. 1461. *δαίμονι τῷ* Πλεισθενιδῶν *ὅρκους θεμένη* A. 1550. *δαίμονος χολῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι* A. 1645. *δαίμονος πειρωμένους ἐκβαλεῖν ἔπη τοιαῦτα* A. 1648. *ἐλθεῖν τιν' αὐτοῖς δαίμον' ἢ βροτῶν τινα* C. 117. *γελᾷ δὲ δαίμων ἐπ' ἀνδρὶ θερμοέργῳ* E. 530. *δαιμόνων σέβας* S. 79. *τίν' οὖν κικλήσκω τῶνδε δαιμόνων ἔτι;* S. 214. *δαιμόνων ἐγχωρίων βωμοὺς* S. 477. *τὸ πᾶν τ' ἐκ δαιμόνων λάβοιεν* S. 674. *οὔτοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε* S. 870. *τοὺς ἀμφὶ* Νεῖλον *δαίμονας σεβίζομαι* S. 900. *ἀποτρόποισι δαίμοσι θέλουσα θῦσαι πέλανον* P. 199. *χθόνιοι δαίμονες ἁγνοὶ* Γῆ *τε καὶ* Ἑρμᾶ P. 620. *γνώμης δέ που τις δαιμόνων ξυνήψατο. Φεῦ, μέγας τις ἦλθε δαίμων ὥστε μὴ φρονεῖν καλῶς* P. 710. *ἰὼ ἰὼ δαίμονες* P. 966. *πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει* T. 77. *πότερα δῆτ' ἐγὼ ποτιπέσω βρέτη δαιμόνων;* T. 92. *ἰὼ φίλοι δαίμονες* T. 157. *ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρχαῖα βρέτη* T. 193. *οὔτι φθονῶ σοι δαιμόνων τιμᾶν γένος* T. 218. *τοιάδε μέντοι προσφίλειά δαιμόνων* T. 497. *ὦ μεγάλε* Ζεῦ, *καὶ πολιοῦχοι δαίμονες* T. 805. *ψευδωνύμως σε δαίμονες* Προμηθέα *καλοῦσι* V. 85. *ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου* V. 199. *εὐθὺς δαίμοσιν νέμει γέρα* V. 229. *χροιὰν τίνα ἔχοντ' ἂν εἴη δαίμοσιν πρὸς ἡδονὴν* V. 492. *τί χρὴ δρῶντ' ἢ λέγοντα δαίμοσιν πράττειν φίλα* V. 662. *δαιμόνων δέ που χάρις* A. 175. *ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι, σεμνοί τε θᾶκοι, δαίμονές τ' ἀντήλιοι* A. 505. *δαιμόνων κότος* A. 621. *καὶ τίς σε κακοφρονῶν τίθησι δαίμων ὑπερβαρὴς ἐμπιτνών;* A. 1148. *γῆς ἔνερθε δαίμονες* C. 122. *ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;* C. 212. *ἕκατι δαιμόνων μὲν, ἕκατι δ' ἁμῶν χερῶν* C. 430. *δαιμόνων πειρώμενος* C. 506. *δαιμόνων ἀναστροφὴ* E. 23. *οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται* E. 101. *νέος δὲ γραίας δαίμονας καθιππάσω* E. 145. *ἀναίματον βόσκημα δαιμόνων, σκίαν* E. 292. *παλαιὰς δαίμονας καταφθίσας* E. 697. *ἀφεῖσαι δαιμόνων σταλάγματα* E. 769. *μεγάλας καὶ δυσαρέστους δαίμονας αὐτοῦ καταναssαμένη* E. 889. *δαιμόνων δόσις* E. 908. *τῶν* Μοῖραι *ματροκασίγνηται, δαίμονες ὀρθόνομοι* E. 921. *δαίμονές τε καὶ βροτοὶ* E. 970. *τις παροῦσα δαιμόνων ἔδειξεν αὐτῷ* Fr. Thress. 3. *μόνου δὲ* Πειθὼ *δαιμόνων ἀποστατεῖ* Fr. Niobe 5. 4.

Δάϊος. Ζεὺς *ἄναξ ἀποστεροίη γάμον δυσάνορα δάϊον* S. 1050. *κακὰ νεόκοτα καὶ δάϊα* P. 252. *ἴυζε βοὰν δυσαιανῆ* Πέρσαις *δαΐοις* P. 274. *στυγναὶ δ'* Ἀθᾶναι *δαΐοις* P. 278. *ὦ ὦ δαΐων* P. 947. *πάντως ἄρηξον δαΐων ἅλωσιν* T. 112. *καὶ σὺ,* Λύκει' *ἄναξ,* Λύκειος *γενοῦ στρατῷ δαΐῳ* T. 131. *στράτευμα (πόλιν) ἀπτόμενον πυρὶ δαΐῳ* T. 204. *λάφυρα δαΐων* T. 260. *δάϊον τέρας* V. 352. *δάϊος στρατὸς* V. 421. *ἰὼ ἰὼ δαΐα πάντολμε μῆτερ, δαΐαις ἐν ἐκφοραῖς ἄνευ πολιτῶν ἄνακτ' ἔτλης ἀνοίμωκτον ἄνδρα θάψαι* C. 423. *πάρεστι μαστίκτορος δαΐου δαμίου βαρὺ, τὸ περίβαρυ κρύος ἔχειν* E. 154. Vid. etiam *δήϊος*.

Δαϊόφρων. *γόος αὐτόστονος αὐτοπήμων δαϊόφρων οὐ φιλαγαθὴς* T. 901.

Δαΐς. *δαῖτ' ἀκέλευστος ἔτευξεν* A. 712. *τὴν μὲν* Θυέστου *δαῖτα παιδείων κρεῶν ξυνῆκα* A. 1215. *παρέσχε δαῖτα παιδείων κρεῶν* A. 1575. *οὕτω γὰρ ἄν σοι δαῖτες ἔννομοι βροτῶν κτιζοίατ'* C. 476.

Δαΐς. *ὡς ἐρξάτην πολλὰ μὲν πολίτας, ξένων δὲ πάντων στίχας πολυφθόρους ἐν δαΐδι* T. 908.

Δαιταλεύς. *ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος* V. 1026.

Δακνάζεσθαι. στένε καὶ δακνάζου P. 563.

Δάκνειν. μάλιστα δ' ἥδε συμφορὰ δάκνει P. 832. λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορὸς T. 381. πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα Fr. I. στόμιον ὡς νεοζυγὴς πῶλος δακὼν V. 1011. καὶ τόδ' ἀμφέρειν δόμοις γένοιτ' ἂν ἄχθος δειματοσταγὲς φόνῳ τῷ πρόσθεν ἐλκαίνοντι καὶ δεδηγμένῳ C. 830. σὺ δεδηγμένον C. 989. ὡς δηχθῇ λεὼς E. 608.

Δάκος. θηρὸς ἐχθίστου δάκος T. 540. πόλιν διημάθυνεν Ἀργεῖον δάκος A. 798. τί νιν καλοῦσα δυσφιλὲς δάκος τύχοιμ' ἄν; A. 1205. νεογενὲς δάκος C. 523. πυρὶ φλέξον, ἢ χθονὶ κάλυψον, ἢ ποντίοις δάκεσι δὸς βορὰν V. 584.

Δάκρυ. δάκρυ λείβοντες T. 50. ὅπη μέλλει τις οἴσεσθαι δάκρυ πρὸς τῶν κλυόντων V. 641. δακρὺ μὴ κατασχεῖν A. 197. ἵετε δάκρυ καναχὲς ὀλόμενον ὀλομένῳ δεσπότᾳ C. 150. δακρύων δ' ἀποστάζει πένθιμον αἰδῶ S. 573. δάκρυσι κόλπους τέγγουσι P. 531. ἴτω δάκρυα T. 946. φοβερὰ δ' ἐμοῖσιν ὄσσοις ὁμίχλη προσῇξε πλήρης δακρύων V. 146. τίς δ' ἐπιτύμβιος αἶνος ἐπ' ἀνδρὶ θείῳ σὺν δάκρυσιν ἰάπτων ἀληθείᾳ φρενῶν πονήσει; A. 1529. τοῖς μὲν ἀοιδὰς, τοῖς δ' αὖ δακρύων βίον ἀμβλωπὸν παρέχουσαι E. 914.

Δακρύειν. δακρύω δ' ὑφ' εἱμάτων ματαίοισι δεσποτᾶν τύχαις C. 79. οὔθ' ὑποκλαίων οὔτε δακρύων A. 70. ἰὼ ἰὼ, βασιλεῦ, βασιλεῦ, πῶς σε δακρύσω; A. 1468. τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα T. 796.

Δάκρυμα. λέκτρα δ' ἀνδρῶν πόθῳ πίμπλαται δακρυμάτων P. 131.

Δακρυογόνος. δακρυογόνος Ἄρης S. 665.

Δάκρυον. χαρά μ' ὑφέρπει, δάκρυον ἐκκαλουμένη A. 261.

Δακρυοπετής. πάθεα δακρυοπετῆ S. 105.

Δακρυσίστακτος. δακρυσίστακτον ἀπ' ὀμμάτων ῥέος V. 398.

Δακρυτός. δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου C. 235.

Δακρυχέειν. δακρυχέων ἐκ φρενὸς T. 902.

Δακτυλοδεικτεῖν. δακτυλοδεικτῶν δ' οὔτις ἀπειπὼν εἴργει μελάθρων A. 1305.

Δακτυλόδεικτος. ὁ μὲν ἐν χερσὶ βόμβυκας ἔχων τόρνου κάματον δακτυλόδεικτον Fr. Ed. 1.

Δαλός. καταίθουσα παιδὸς δάφοινον δαλὸν ἥλικ' C. 600.

Δαμάζειν. φρόνημα τοῦ θανόντος οὐ δαμάζει πυρὸς μαλερὰ γνάθος C. 321. ὁλκὴ γὰρ οὔτοι πλόκαμον οὐ δαμάζεται S. 861. πᾶς δ' ἀπώλλυτο στρατὸς δαμασθεὶς ναΐοισιν ἐμβολαῖς P. 271.

Δάμαλις. ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον, λευκόστικτον ὡς δάμαλιν ἀμπέτραις ἠλιβάτοισι S. 346.

Δάμαρ. ὅτε τὰν ὁμοπάτριον ἕδνοις ἤγαγες Ἡσιόναν πιθὼν δάμαρτα κοινόλεκτρον V. 559. ἡ Διὸς κλεινὴ δάμαρ μέλλουσ' ἔσεσθαι V. 837. Ἥρα τέλεια, Ζηνὸς εὐναία δάμαρ Fr. Inc. 59.

Δάμιος. δι' ὤτων φρενός τε δαμίας περαίνον C. 55. πάρεστι μαστίκτορος δαΐου δαμίου βαρὺ, τὸ περίβαρυ κρύος ἔχειν E. 154. ἀπὸ γάρ με τιμᾶν δαμιᾶν θεῶν δυσπάλαμοι παρ' οὐδὲν ἦραν δόλοι E. 809. Vid. et δήμιος.

Δάμνασθαι. δαμᾷν. δμᾷν. ἰὼ πόλεως ἄγοι πρόμνοι, δάμναμαι S. 882. ὁ δ' ἐπικότως ἀεὶ θέμενος ἄγναμπτον νόον δάμναται οὐρανίαν γένναν V. 164. δέδοικα δὲ σὺν βασιλεῦσι μὴ πόλις δαμασθῇ T. 747. πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ δάμῃ T. 590. ἐν πόνοις δαμέντ' ἀδαμαντοδέτοισι V. 423. Ἥρας ἐπικότοισι μήδεσι, δαμεῖσα V. 604. θηλυκτόνῳ Ἄρει δαμέντες V. 863. δαμέντος φύλακος εὐμενεστάτου A. 1426. δολίῳ μόρῳ δαμεὶς A. 1474. πάρος δ', οἱ κτανόντες νιν, οὕτω δαμῆναι, θανατηφόρον αἶσαν πρύσσω τινα πυνθάνεσθαι C. 362. δμαθέντες μεγάλως πλαγαῖσι ποντίαισι P. 872.

Δαναοί. πολλὰ παλαίσματα . . . θήσων Δαναοῖς Τρωσί θ' ὁμοίως A. 66. μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενῆδας ἀπλοίας τεύξῃ A. 145. λεύσσεις Δαναῶν μόχθους Fr. Myrm. 1. 2.

Δαναός. Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος S. 11. τὸ πάνσοφον νῦν ὄνομα τοῦτό μοι φράσον. Δαναὸς S. 315. πέμψον δὲ πρόφρων δεῦρ' ἡμέτερον

πατέρ' εὐθαρσῆ Δαναὸν S. 947. ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν Δαναὸς θεραποντίδα φερνὴν S. 957.

Δαπεδόν. τοῦτ' ἰδεῖν δαπεδὸν C. 787. ἦλθες πρὸς Μολοσσὰ δαπεδὰ V. 831.

Δάπτειν. δάπτω δὲ τὰν ἁπαλὰν νειλοθερῆ παρειὰν S. 67. ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις τῆς καλλικάρπου Σικελίας λευρὰς γύας V. 368. συννοίᾳ δὲ δάπτομαι κέαρ V. 435 ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν εἰσορῶσ' Ἰοῦς γάμῳ δαπτομέναν δυσπλάνοις Ἥρας ἀλατείαις πόνων V. 902.

Δαρειογενής. Ξέρξης βασιλεὺς Δαρειογενής P. 6. 141.

Δαρεῖος. χαῖρε, Δαρείου γύναι P. 152. τὸ Δαρείου τε κἀμὸν κοινὸν εὐναστήριον P. 156. ὄλβον, ὃν Δαρεῖος ἦρεν οὐκ ἄνευ θεῶν τινος P. 160. πατὴρ παρίσταται Δαρεῖος οἰκτείρων σφε P. 194. αἰτοῦ τάδε σὺν πόσιν Δαρεῖον P. 217. ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατὸν P. 240. Δαρεῖος ἀβλαβὴς ἐπῆν τόξαρχος πολιήταις P. 546. τόν τε δαίμονα Δαρεῖον ἀνακαλεῖσθε P. 613. πάντα γάρ, Δαρεῖ', ἀκούσῃ μῦθον ἐν βραχεῖ λόγῳ P. 699. ἄναξ Δαρεῖε P. 773. ἄμαχος βασιλεὺς ἰσόθεος Δαρεῖος ἦρχε χώρας P. 842. ἀνείης Ἀϊδωνεὺς Δαρεῖον, οἷον ἄνακτα Δαρείαν P. 643.

Δαρείας. βάσκε, πάτερ ἄκακε Δαρείαν, οἵ P. 653.

Δαρόβιος. ἐχθρὸν εἴκασμα βροτοῖσί τε καὶ δαροβίοισι θεοῖς T. 506.

Δαρὸν. ἀλλ' οὔτι δαρὸν χρόνον ἐρημώσει πατὴρ S. 511. τί παρθενεύῃ δαρόν; V. 651. δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς V. 942.

Δάσκιος. δαυλοὶ γὰρ πραπίδων δάσκιοί τε τείνουσιν πόροι S. 87. δάσκιον γενείαδα ἔτεγγε P. 308.

Δασμοφορεῖν. οὐκ ἔτι δασμοφοροῦσιν δεσποσύνοισιν ἀνάγκαις P. 578.

Δατάμας. Δατάμας, Ψάμμις, Σουσισκάνης τ' P. 921.

Δατήριος. ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων ὄψεις, πατρῴων χρημάτων δατήριοι T. 693.

Δατητής. χρημάτων κακὸς δατητὰς Ἄρης T. 926.

Δαυλός. δαυλοὶ γὰρ πραπίδων δάσκιοί τε τείνουσιν πόροι S. 87. δαυλὸς δ' ὑπήνη, καὶ γενειάδος πυθμὴν Fr. Glauc. Mar. 5.

Δαφνοφόρος. θεοὺς δ', οἳ γᾶν ἔχουσιν, ἀεὶ τίοιεν ἐγχωρίους πατρῴαις δαφνοφόροισι βουθύτοισι τιμαῖς S. 687.

Δαφοινός. Διὸς πτηνὸς κύων δαφοινὸς αἰετὸς V. 1024. καταίθουσα δαφοινὸν δαλὸν παιδὸς ἥλικ' C. 599.

Δεῖ. δεῖ τοι βαθείας φροντίδος σωτηρίου S. 402. δεῖ κάρτα θύειν S. 445. τοιᾶσδε δέ τοι ἁμαρτίας σφε δεῖ θεοῖς δοῦναι δίκην V. 9. αὐτὸν γάρ σε δεῖ προμηθέως V. 86. μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς V. 872. ταῦτα δεῖ μακροῦ χρόνου εἰπεῖν V. 878. δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας κάμψαι διαύλου θάτερον κῶλον πάλιν A. 334. τί ταῦτα πενθεῖν δεῖ; A. 553. καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν; A. 584. ὅτῳ δεῖ φαρμάκων παιωνίων A. 822. θανεῖν βιαίως δεῖ νιν C. 541. σιγᾶν ὅπου δεῖ C. 575. ἄλλαν δεῖ τιν' ἐν λόγοις στυγεῖν C. 604. ξένοι λέγοιτ' ἂν εἴ τι δεῖ C. 657. εἰ δ' ἄλλο πρᾶξαι δεῖ τι βουλιώτερον C. 661. καὶ μάλ' ἡβῶντος δὲ δεῖ, οὐχ ὡς ἀρῆξαι διαπεπραγμένῳ C. 867. εὕδοιτ' ἄν; ὤη, καὶ καθευδουσῶν τί δεῖ; E. 94. ἀλλ' ἀντιδοῦναι δεῖ σ', ἀπὸ ζῶντος ῥοφεῖν ἔρυθρον ἐκ μελέων πέλανον E. 254. τί δεῖ λέγειν; E. 790. ἀλλ' οὐδὲν αὐτοῦ δεῖ E. 793. ὅπλων, ὅπλων δεῖ Fr. Myrm. 8. σιγῶν ὅπου δεῖ, καὶ λέγων τὰ καίρια Fr. Prom. Ign. οἴκοι μένειν δεῖ τὸν καλῶς εὐδαίμονα καὶ τὸν κακῶς πράσσοντα καὶ τοῦτον μένειν Fr. Inc. 19. ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα Fr. Inc. 86. μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου; S. 412.

Δεῖγμα. τίπτε μοι τόδ' ἐμπέδως δεῖγμα προστατήριον καρδίας τερασκόπου ποτᾶται; A. 950.

Δείδειν. ἔδεισ' ἀκούσασα τὸν ἁρματόκτυπον ὄτοβον T. 185. τριαίνας τάσδε καὶ θεῶν σέβη δείσαντες S. 737. κρατοῦσα μὲν γάρ, οὐχ ὁμιλητὸν θράσος, δείσασα δ' οἴκῳ καὶ πόλει πλέον κάκον T. 172. ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε; A. 907. δείσασα γὰρ γραῦς οὐδέν, ἀντίπαις μὲν οὖν E. 38. δέδοικα μὴ πολὺς πλοῦτος πόνος οὑμὸς ἀνθρώποις γένηται τοὐπιόντος ἁρπάσαι P. 737. δέδοικ', ἀραγμὸς δ' ἐν πύλαις ὀφέλλεται T. 231. δέδοικα

δὲ σὺν βασιλεῦσι μὴ πόλις δαμασθῇ T. 746. δέδοικα δ' ὄμβρου κτυπὸν δομοσφαλῆ τὸν αἱματηρὸν A. 1515. τίς οὖν τάδ' οὐχ ἄζεταί τε καὶ δέδοικε βροτῶν; E. 368. δέδοικα μῶρον κάρτα πυραύστου μόρον Fr. Inc. 30.

Δεικνύναι. πότε δὴ στομάτων δείξομεν ἰσχὺν ἐπ' Ὀρέστῃ; C. 710. τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου E. 632. δυσθέατα πήματ' ἐδείξατ' ἐκ φυγῆς ἐμοὶ T. 964. ἔστε δή σφιν ἀντολὰς ἐγὼ ἄστρων ἔδειξα V. 456. ἐγὼ σφίσιν ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων V. 480. ξυνώμοσαν γὰρ, ὄντες ἔχθιστοι τὸ πρὶν, πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην A. 637. τις παροῦσα δαιμόνων ἔδειξεν αὐτῷ Fr. Thr. δείξαθ' ὡς φιλοπόλις T. 158. τί φάρμακον νόσου; δεῖξον εἴπερ οἶσθα· θρόει· φράζε τᾷ δυσπλάνῳ παρθένῳ V. 609. τέρμα τῆς ἐμῆς πλάνης δεῖξον τίς ἔσται τῷ ταλαιπώρῳ χρόνος; V. 626. κύκλῳ παρασταδὸν στέγαστρον ἀνδρὸς δείξαθ', ὡς ἴδῃ πατὴρ C. 978.

Δείλαιος. κεῖται θανὼν δείλαιος, οὐ μάλ' εὐτυχῶς P. 317. οἰστρηλάτῳ δὲ δείματι δειλαίαν παράκοπον ὧδε τείρεις; V. 581. θανόντι δ', οὐ φρονοῦντι δειλαία χάρις ἐπέμπετ' C. 510.

Δεῖμα. ἀεὶ δ' ἀνάκτων ἐστὶ δεῖμ' ἐξαίσιον S. 509. χλωρῷ δείματι θυμὸν πάλλοντ' S. 561. παροίχομαι, πάτερ, δείματι S. 719. ταῦτ' ἔμοιγε δείματ' ἔστ' ἰδεῖν P. 206. ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι δεῖμα πολιτῶν T. 1053. οἰστρηλάτῳ δὲ δείματι δειλαίαν παράκοπον ὧδε τείρεις V. 581. οὐπώποτ' ηὔχουν . . . . ὧδε δυσθέατα . . . . δείματ' ἀμφήκει κέντρῳ ψύχειν ψυχὰν ἐμὰν V. 694. ἐξ ὀνειράτων καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη C. 517. πολλὰ μὲν γᾶ τρέφει δεινὰ δειμάτων ἄχη C. 579.

Δειμαίνειν. οὔ τοῦτο δειμαίνεις πλέον; V. 41. ὅταν κλύδων κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ P. 593. γόεδνα δ' ἀνθεμίζομαι δειμαίνουσα φίλους τᾶσδε φυγᾶς, ἀερίας ἀπὸ γᾶς εἴτις ἐστὶ κηδέμων S. 70. ἔσθ' ὅπου τὸ δεινὸν εὖ καὶ φρενῶν ἐπίσκοπον δειμανεῖ καθήμενον E. 494.

Δειματοσταγής. καὶ τόδ' ἀμφέρειν δόμοις γένοιτ' ἂν ἄχθος δειματοσταγὲς φόνῳ C. 829.

Δειματοῦν. πρὸς γυναικῶν δειματούμενοι λόγοι πεδάρσιοι θρώσκουσι C. 832.

Δεῖν. ἔδησεν αὐτὸς πατέρα πρεσβύτην Κρόνον E. 611. ἐγὼ δ' ἄτολμός εἰμι συγγενῆ θεὸν δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ V. 15.

Δεινός. φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην P. 27. ναῶν ἐρέται δεινοὶ, πλῆθός τ' ἀνήριθμοι P. 40. τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης Ἀσίας ἕπεται, δειναῖς βασιλέως ὑπὸ πομπαῖς P. 58. δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι P. 241. ἀλὶ δεινᾷ γναπτόμενοι P. 568. πύργοις ἀπειλεῖ δείν', ἃ μὴ κράνοι τύχη T. 408. δεινὸς ὃς θεοὺς σέβει T. 578. δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν T. 1022. τὸ συγγενές τοι δεινὸν, ἥ θ' ὁμιλία V. 39. δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρους V. 59. ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος στροβεῖ A. 1188. πολλὰ μὲν γᾶ τρέφει δεινὰ δειμάτων ἄχη C. 579. εἴκασεν δέ τις τὸ δεινὸν αὖ Λημνίοισι πήμασιν C. 625. δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν E. 34. οὕτω δεινὰ πρὸς τῶν φιλτάτων παθοῦσα E. 100. ὕπνος πόνος τε κύριοι ξυνωμόται δεινῆς δρακαίνης ἐξεκήραναν μένος E. 124. δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει τοῦ προστροπαίου μῆνις E. 224. ἔσθ' ὅπου τὸ δεινὸν εὖ καὶ φρενῶν ἐπίσκοπον δειμανεῖ καθήμενον E. 492. τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν E. 668. δεινὸς εὐκλείας ἔρως E. 827. ὅτι δ' ἂν ποιῇς δεινὸν νόμιζ' ὁρᾶν τινα Fr. Inc. 44. δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι Fr. Inc. 41.

Δεῖπνον. κυσὶν δ' ἔπειθ' ἕλωρα, κἀπιχωρίοις ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν S. 782. δεῖπνόν τ' ἐπορσύνοντο P. 367. στυγεῖ δὲ δεῖπνον αἰετῶν A. 126. λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ A. 1583. εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας δεῖπνον φερούσας E. 51. νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχαρᾷ πυρὸς ἔθυον E. 108. σῖτον τ' εἰδέναι διώρισα, ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι τρίτα Fr. Palam.

Δεισήνωρ. νεικέων τέκτονα σύμφυτον, οὐ δεισήνορα A. 148.

Δεῖσθαι. Δεῖν. τοῦ παντὸς δέω V. 1008. μηδ' ἐξ ἀέλπτων κἀπρομηθήτων

πόλει νεῖκος γένηται, τῶν γὰρ οὐ δεῖται πόλις S. 352. ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ δεῖσθαι A. 1033. οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν, ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι E. 696.

Δεῖσθαι (timere). δέομαι μὲν χαρίσασθαι, δέομαι δ' ἀντία φᾶσθαι λέξας δύσλεκτα φίλοισιν P. 687.

Δέκα. Ἕλλησιν μὲν ἦν ὁ πᾶς ἀριθμὸς ἐς τριακάδας δέκα ναῶν P. 332. εἰ δέκ' ἤματα στειχηγοροίην P. 421. τρίτος γένναν πρὸς δέκ' ἄλλαισιν γοναῖς V. 776. τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ συνεξελαύνει A. 1587.

Δεκάς. δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος P. 333.

Δέκατος. δέκατον μὲν ἔτος τόδ' ἐπεὶ κ. τ. λ. A. 40. δεκάτῳ σε φέγγει τῷδ' ἀφικόμην ἔτους A. 490.

Δεκέμβολον Fr. Myrm.

Δέκτωρ. ἔπειθ' ὑπέστης αἵματος δέκτωρ νέου E. 195.

Δελτόγραφος. δελτογράφῳ δὲ πάντ' ἐπωπᾷ φρενὶ E. 265.

Δέλτος. σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω, ἣν ἐγγράφου συ μνήμοσιν δέλτοις φρενὸς V. 791.

Δελτοῦν. καὶ τἀπὶ χέρσου νῦν προμήθειαν λαβεῖν αἰνῶ φυλάξαι, τἀμ' ἔπη δελτουμένας S. 176.

Δελφινοφόρος. δελφινοφόρον πεδίον πόντου διαμειψάμενος Fr. Ner.

Δελφός. χώρας τῆσδε πρυμνήτης ἄναξ Δελφὸς E. 16.

Δέμας. βουθόρῳ ταύρῳ δέμας πρέποντα S. 297. ὁ δ' οὐδὲν ἄλλο γ' ἢ πτήξας δέμας παρεῖχε P. 205. φράξαντες εὐχάλκοις δέμας ὅπλοισι P. 448. ἔχοντ' ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας δαίμονος T. 504. σάκει Σφίγγ' ὠμόσιτον προσμεμηχανευμένην γόμφοις ἐνώμα, λαμπρὸν ἔκκρουστον δέμας T. 524. σὸν δέμας ἐσιδοῦσα V. 146. ἀχρεῖον καὶ παρήορον δέμας κεῖται στενωποῦ πλήσιον θαλασσίου V. 363. κρύψει δέμας τὸ σὸν V. 1020. ἔς τε κελαινὸν Τάρταρον ἄρδην ῥίψειε δέμας τοὐμὸν V. 1053. περιβάλοντο γὰρ οἱ πτεροφόροι δέμας θεοὶ A. 1119. διώκεται πόλεως χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας C. 288. κτανεῖν σ' ἔπεισε μητρῷον δέμας E. 84. καλοῖσι λουτροῖς ἐκλέλουμαι μὲν δέμας Fr. Glauc. Mar.

Δεμνιοτήρης. δεμνιοτήρης πόνος A. 53. τίς ἂν ἐν τάχει, μὴ περιώδυνος, μηδὲ δεμνιοτήρης μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν μοῖρ' ἀτέλευτον ὕπνον; A. 1424.

Δένδρον. δένδρων δέ τις ὥρ' ἐκ νωτίζοντος γάμου τέλειός ἐστι Fr. Dan.

Δενδροπήμων. δενδροπήμων δὲ μὴ πνέοι βλάβα E. 898.

Δεξιός. τὸ δεξιὸν μὲν πρῶτον εὔτακτον κέρας ἡγεῖτο κόσμῳ P. 391. οἵτινές τε δεξιοὶ φύσιν, εὐώνυμοί τε V. 487. δεξιὰ μὲν κατάμομφα δὲ φάσματα στρουθῶν A. 143. τῆσδε δεξιᾶς χερὸς ἔργον δικαίας τέκτονος A. 1378.

Δεξιοῦσθαι. θεοῖσι πρῶτα δεξιώσομαι A. 826.

Δεξιώνυμος. πανδημίᾳ γὰρ χερσὶ δεξιωνύμοις ἔφριξεν αἰθὴρ A. 826.

Δέος. δέος παλαιόν σοι φρενῶν ἀνθίσταται P. 689.

Δέπας. Ἡφαιστοτυχὲς δέπας Fr. Hel.

Δέργμα. κυάνεον ὄμμασι λεύσσων, φονίου δέργμα δράκοντος P. 82.

Δέρη. οὐκέτ' ἐξ ἐλευθέρου δέρης ἀποιμώζουσι φιλτάτων μόρον A. 320. πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης ἔλυσαν ἄλλοι A. 849. τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε, καὶ σκῆπτρα, καὶ μαντεῖα περὶ δέρῃ στέφη A. 1239. ξιφουλκῷ χειρὶ πρὸς δέρην τεμὼν E. 562.

Δέρκειν. τί γὰρ γυναικὶ τοῦδε φέγγος ἥδιον δρακεῖν; A. 588. ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου E. 34. σημεῖά σοι τάδ' ἐστὶ τῆς ἐμῆς φρενὸς, ὡς δέρκεται πλέον τι τοῦ πεφασμένου V. 845. δέρκου θέαμα V. 304. καὶ δὴ πρόχειρα ψάλια δέρκεσθαι πάρα V. 54. φρίσσω δέ σε δερκομένη μυρίοις μόχθοις διακναιόμενον V. 538. δυσοδαίπαλα δερκομένοισι καὶ δυσομμάτοις ὅμως E. 366. δέρχθηθ', οἵαις αἰκίαισιν διακναιόμενος τὸν μυριετῆ χρόνον ἀθλεύσω V. 93. δέρχθηθ' ἐσίδεσθ' ἐμὲ V. 140. οὐδ' ἐδέρχθης ὀλιγοδρανίην ἄκικυν ἰσόνειρον V. 546. ἰὼ ἰὼ δαίμονες, ἔθεσθ' ἄελπτον κακὸν διαπρέπον, οἷον δέδορκεν ἄτα P. 968. κτύ-

πον δέδορκα T. 99. δίκην κολυμβητῆρος, ἐς βυθὸν μολεῖν δεδορκὸς ὄμμα S. 403. λεόντων ὡς Ἄρην δεδορκότων θυμὸς T. 53. πυκνοῖς ὄσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους V. 682. καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων ἔσται δεδορκὼς A. 1152. ὦ μᾶτερ Νὺξ ἀλαοῖσι καὶ δεδορκόσιν ποινᾶν E. 312.

Δέρμα. σήψει παλαιὸν δέρμα Fr. Psych.

Δέσμιος. ὕμνον δ' ἀκούσῃ τόνδε δέσμιον σέθεν E. 297. ὕμνος ἐξ ἐριννύων, δέσμιος φρενῶν ἀφόρμικτος, αὐονὰ βροτοῖς E. 319.

Δεσμός. τοιόνδ' ὁ νέος ταγὸς μακάρων ἐξεῦρ' ἐπ' ἐμοὶ δεσμὸν ἀεικῆ V. 97. οἴῳ δεσμῷ προσπορπατὸς V. 141. δεσμός τε καὶ τὸ γῆρας, αἵ τε νήστιδες δύαι διδάσκειν ἐξοχώταται φρενῶν ἰατρομάντεις A. 1604. ἴδεσθε δ' αὖτε, τῶνδ' ἐπήκοοι κακῶν, τὸ μηχάνημα, δεσμὸν ἀθλίῳ πατρὶ C. 975. τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ, δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι Fr. Prom. Sol. 1. ὑπαίθριος δεσμοῖσι πασσαλευτὸς ὢν V. 113. δεσμοῖς ἀλύτοις ἀγρίως πελάσας V. 154. πρὶν ἂν ἐξ ἀγρίων δεσμῶν χαλάσῃ V. 170. λυθέντα δεσμῶν V. 505. δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω V. 523. πρὶν ἔγωγ' ἂν ἐκ δεσμῶν λυθῶ V. 772. λῦσαί με δεσμῶν τῶνδε V. 1008. ἀρχαῖον στέφος, δεσμῶν ἄριστος Fr. Sph. 1. οὔκουν ἐπείξῃ δεσμὰ τῷδε περιβαλεῖν V. 53. ὧδε δεσμὰ φυγγάνω V. 511. πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια V. 993.

Δέσμωμα. ὅστις Ἑλλήσποντον ἱερὸν, δοῦλον ὥς, δεσμώμασιν ἤλπισεν σχήσειν ῥέοντα P. 731.

Δεσμώτης. ὁρᾶτε δεσμώτην με δύσποτμον θεὸν V. 118.

Δεσπόζειν. πῶς γὰρ ἐλπίσω ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης; C. 186. πῶς δὴ διδαχθεὶς τοῦδε δεσπόσω λόγου; A. 529. ᾤοντ' ἀμοχθεὶ πρός βίαν τε δεσπόσειν V. 209. καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνός τινα; V. 932.

Δέσποινα. ὦ δέσποινα P. 345. πολλοὶ δ' ἀνῆλθον, ἐκτυφλωθέντες σκότῳ λαμπτῆρες ἐν δάμοισι δεσποίνης χάριν C. 530. δέσποινα πεντήκοντα Νηρεΐδων χοροῦ Arm. Jud. δέσποιν' Ἑκάτη τῶν βασιλείων πρόδρομος μελάθρων Fr. I. 94. δέσποινα Νύμφη, δυσχίμων ὀρῶν ἄναξ Fr. I. 110.

Δεσπόσιος. δεσποσίῳ σὺν ὕβρει S. 825.

Δεσπόσυνος. ἐπολολυξάτω δεσποσύνων δόμων ἀναφυγὰς κακῶν C. 930.

Δεσποτεῖν. τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερὸς C. 101. μήτ' ἄναρκτον βίοτον μήτε δεσποτούμενον αἰνέσῃς E. 501. τὸ μήτ' ἄναρχον μήτε δεσποτούμενον ἀστοῖς περιστέλλουσα βουλεύω σέβειν E. 666.

Δεσπότης. ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν P. 165. δέσποτα δεσπότου φάνηθι P. 665. μέλειν πάρεστι, δέσποτα P. 1006. τοιῶνδε δεσπότης μαντηρίων T. 26. τῷ μολόντι δεσπότῃ οἰκουρὸν A. 1198. ἴετε δάκρυ καναχὲς ὀλόμενον ὀλομένῳ δεσπότᾳ C. 151. κλύε δέ μου, κλύε, σέβας ὦ δέσποτ', ἐξ ἀμαυρᾶς φρενὸς C. 155. μὴ νῦν συ ταῦτ' ἄγγελλε δεσπότου στύγει C. 759. οἴμοι πανοίμοι δεσπόταυ τελουμένου C. 862. τἀντεῦθεν ἤδη τῶνδε δεσπότῃ δόμων αὐτῷ μελέσθω Λοξίᾳ μεγασθενεῖ E. 60. τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι A. 32. ἀνήλιοι βροτοστυγεῖς δνόφοι καλύπτουσι δόμους δεσποτῶν θανάτοισι C. 52. δακρύω δ' ὑφ' εἱμάτων ματαίαισι δεσποτῶν τύχαις C. 80. εὐχαῖς δὲ σώσεις δεσπότας Παιωνίας Fr. Mys. 1. 2. εἰ δ' οὖν ἀνάγκη τῆσδ' ἐπιῤῥέποι τύχης, ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις A. 1013.

Δεῦρο. δεῦρο δ' ἐξοκέλλεται S. 433. πέμψον δεῦρ' ἡμέτερον πατέρα S. 946. ἐάνπερ δεῦρ' ἐμοῦ πρόσθεν μόλῃ P. 522. ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμοχθήκει, φράσω V. 827. φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς ἔπεμπεν A. 273. ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες; A. 1109. πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοὴν A. 1322. κατελθὼν δεῦρο A. 1631. ἐὰν δαίμων Ὀρέστην δεῦρ' ἀπευθύνῃ μολεῖν A. 1652. ἐλθεῖν Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ κατεύχομαί τοι C. 136. δεῦρ' ἐτόλμησεν μολεῖν C. 177. τὰ δ' ἄλλα τούτῳ δεῦρ' ἐποπτεῦσαι λέγω C.

576. ὥσπερ δεῦρ' ἀπεζύγην πόδας C. 665. ἐπεὶ δὲ πρᾶγμα δεῦρ' ἐπέσκηψεν τόδε E. 460. καὶ δεῦρό γ' αἰεὶ τὴν τύχην οὐ μέμφομαι E. 586. ἐλθόντα δεῦρο πρυμνήτην χθονὸς E. 735. δεῦρ' ἴτε, σέμναι E. 993.

Δεύτερος. δεύτερον δὲ χρὴ χοὰς γῇ τε καὶ φθιτοῖς χέασθαι P. 215. Γηρυὼν ὁ δεύτερος A. 844. ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον A. 1052. ὤμοι μάλ' αὖθις, δευτέραν πεπληγμένος A. 1318. δεύτερον C. 8. καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον, ποδοῖν ὅμοιοι C. 203. δεύτερον, ἀνδρὸς βασίλεια πάθη C. 1066. ἣ δὴ τὸ μητρὸς δεύτερον τόδ' ἕζετο μαντεῖον E. 3. ἕπου, μάραινε δευτέροις διώγμασι E. 134. τὴν δευτέραν δὲ κρᾶσιν Ἥρωσιν νέμω Fr. Epig. λοῦται γε μὴν λουτήριον αὐτὸ δεύτερον Fr. Inc. 82.

Δέχεσθαι. εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχει λόγον A. 1030. δέχου δὲ πρευμενῶς ἀλάστορα E. 227. ἄνασσ' Ἀθάνα, τίνα με φῂς ἔχειν ἕδραν; Πάσης ἀπήμον' οἰζύος· δέχου δὲ σὺ E. 753. οὐδ' ἂν δεχοίμην ὥστ' ἔχειν τιμὰς σέθεν E. 219. οὔτ' ἂν ἐκ χερῶν θεοὶ θυσίαν δέχωνται T. 683. εὐμενεῖς πάλιν στρατὸν δέχεσθαι τὸν λελειμμένον δορὸς A. 503. οὐχ ὁρωμένην πατρὸς μῆνιν δέχεσθαι C. 292. σφύρας δέχεσθαι κἀπιχαλκεύειν λέγω Fr. Inc. 105. δεχομένοις λέγεις θανεῖν σε A. 1638. γῆ Πελασγία σε δέξεται V. 862. δέξομαι Παλλάδος ξυνοικίαν E. 876. Θεσσαλῶν πόλισμ' ὑπεσπανισμένους βορᾶς ἐδέξατ' P. 482. χοὰς δὲ πρευμενεῖς ἐδεξάμην P. 671. πόλις δ' ἐν εὐδίᾳ τε καὶ κλυδωνίου πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο T. 778. ἰὼ γᾶ, γᾶ, εἴθ' ἔμ' ἐδέξω A. 1519. τὸν μὲν τρίπους ἐδέξατ' οἰκεῖος λέβης Fr. Ath. Ἑκάτης κῶμον ἐδέξω Fr. Inc. 167. ἀλλ' εὖ τ' ἔπεμψεν, εὖ τε δεξάσθω χθονὶ S. 216. δέξασθε κόσμῳ βασιλέα A. 507. Ζεὺς σωτὴρ δέξαιθ' ἱκέτην στόλον S. 27. καὶ δὴ θυρωρῶν οὔτις ἂν φαιδρᾷ φρενὶ δέξαιτο C. 559. ἀλλ' ὅρκον οὐ δέξαιτ' ἄν, οὐ δοῦναι θέλει E. 407. τίς ἂν σε νύμφη, τίς δὲ παρθένος νέα δέξαιτ' ἄν; Fr. Philoct. 21. σπεύσω πάλιν μολόντα δέξασθαι A. 587. τάφος δ' ἱκέτας δέδεκται C. 333. δέχου δὲ σύ. Καὶ δὴ δέδεγμαι C. 854. ὃν ἐξέθρεψα μητρόθεν δεδεγμένη C. 739. τὰ πλεῖστ' ἀμείνον' εὔφροσιν δεδεγμένη E. 602.

Δή. γε μὲν δὴ S. 238. 270. εἶα δὴ A. 1635. καὶ δὴ T. 455. μὲν δὴ P. 196. 404. T. 569. αἶ αἶ, κακῶν ὕψιστα δὴ κλύω τάδε P. 323. τὸ πᾶν δὴ κλύουσι· ἄλγος P. 575. δυσπόλεμον δὴ γένος τὸ Περσῶν P. 974. ἰὼ δὴ κατ' ἄστυ P. 1027. δὴ τότ' ἤρθην φόβῳ πρὸς μακάρων λιτὰς T. 196. ἐπεὶ προθυμῇ, χρὴ λέγειν, ἄκουε δὴ V. 633. ἔστε δὴ πατρὶ ἔτλην γεγωνεῖν νυκτίφοιτ' ὀνείρατα V. 659. ὡς νῦν τὸ σὸν δή, καὶ θανεῖν πολλὴ χάρις A. 536.

Δηάλωτος. μή μοι πόλιν γε πρύμνοθεν πανώλεθρον ἐκθαμνίσητε δηάλωτον T. 73.

Δῆγμα. δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται A. 765. πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ A. 1136.

Δῆθεν. ὡς Ζεὺς ἀνάσσῃ δῆθεν V. 202. ἐκερτόμησας δῆθεν ὡς παῖδ' ὄντα με V. 989. τί δῆθεν αὐτοῖς ὄνομα θήσονται βροτοί; Fr. Ath. 6.

Δήϊος. εὐναὶ γὰρ ἦσαν δηΐων πρὸς τείχεσιν A. 545. ἐπ' ἀνδρὶ δηΐοισιν ἐπικότῳ C. 619.

Δηϊοῦν. δῃώσεις ῥᾳδίως Λιγὺν στρατὸν Fr. Prom. Sol. 6.

Δήλημα. ὁδοιπόρων δήλημα χωρίτης δράκων Fr. Leo.

Δήλιος. λίμνην, Δηλίαν τε χοιράδα λιπὼν E. 9.

Δηλοῦν. τί τῶνδ' ἂν εἴποις ὥστε δηλῶσαι φρενί; C. 834.

Δημήγορος. δημηγόρους δ' ἤκουσεν εὐπειθεῖς στροφὰς δῆμος Πελασγῶν S. 618.

Δημηλασία. οὔτιν' ἐφ' αἵματι δημηλασίαν ψήφῳ πόλεως γνωσθεῖσαι S. 6.

Δημήλατος. ἄτιμον εἶναι ξὺν φυγῇ δημηλάτῳ S. 609.

Δημήτηρ. στάχυν φερέσβιον Δήμητρος Fr. Inc. 31. 7. Δήμητερ, ἡ θρέψασα τὴν ἐμὴν φρένα, εἶναί με τῶν σῶν ἄξιον μυστηρίων Fr. Inc. 99.

Δημήτριος. τίκτεται βροτοῖς μήλων τε βοσκὰς καὶ βίον Δημήτριον Fr. Dan.

Δημιοπληθής. πάντα δὲ πύργων κτήνη πρόσθε τὰ δημιοπληθῆ μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον A. 128.

Δήμιος. σύ τοι πόλις, σὺ δὲ τὸ δήμιον S. 365. φυλάσσοι τ' ἀτιμίας τιμὰς τὸ

δήμιον S. 680. δώματ' ἐστὶ πολλὰ μὲν τὰ δήμια S. 935. μέλεσθε δ' ἱερῶν δημίων T. 160. πόλει μὲν ἕλκος ἓν τὸ δήμιον A. 626. ποιοῖσι βωμοῖς χρώμενος τοῖς δημίοις; E. 625.

Δημόθρους. δημόθρους' ἀναρχία A. 857. φήμη γε μέντοι δημόθρους μέγα σθένει A. 912. δημόθρους ἀρὰς A. 1383. 1387.

Δημόκραντος. δημοκράντου δ' ἀρᾶς τίνει χρέος A. 445.

Δημόπρακτος. τοιάδε δημόπρακτος ἐκ πόλεως μία ψῆφος κέκρανται S. 920.

Δημορριφής. οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀρὰς A. 1599.

Δῆμος. οὐκ ἄνευ δήμου τάδε πράξαιμ' ἄν, οὐδέπερ κρατῶν S. 393. ὑμῖν δ' ἂν εἴη δῆμος εὐμενέστερος S. 483. δήμου δέδοκται παντελῆ ψηφίσματα S. 596. δήμου κρατοῦσα χεὶρ ὅποι πληθύεται S. 599. δημηγόρους δ' ἤκουσεν εὐπειθεὶς στροφὰς δῆμος Πελασγῶν S. 619. Βακτρίων ἔρρει πανώλης δῆμος P. 718. λευστῆρα δήμου δ' οὔ τι μὴ φύγῃ μόρον T. 181. δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ δήμου προβούλοις T. 997. τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακὰ T. 1035. ἔπειτα δ' ἥξεις δῆμον ἐνδικώτατον Σκυθῶν ἁπάντων Fr. Prom. Sol. 7. οὔτε δῆμος οὔτ' ἔτης ἀνὴρ Fr. Inc. 44.

Δήν. τά δ' ἀνὰ γᾶν Ἀσίαν δὴν οὐκ ἔτι περσονομοῦνται P. 576.

Δηναιός. ἵνα αἱ Φορκίδες ναίουσι δηναιαὶ κόραι τρεῖς κυκνόμορφοι V. 796. ἀρὰ, ἣν ἐκπιτνὼν ἠρᾶτο δηναιῶν θρόνων V. 914.

Δηξίθυμος. δηξίθυμον ἔρωτος ἄνθος A. 723.

Δήποθεν. γοᾶται δὲ δήποθεν κατάπτυστον C. 623.

Δῆρις. μήτε δῆρις ῥυσίων ἐφάψεται S. 407. ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις; A. 916.

Δῆτα. ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος S. 207. συγγνοῖτο δῆτα καὶ παρασταίη πρόφρων S. 213. τί δῆτα πρὸς ταῦτ' ἄλοχος ἰσχυρὰ Διός; S. 299. ἴυγγά μοι δῆτ' ἀγαθῶν ἑτάρων ὑπομιμνήσκεις P. 949. ἰὼ δῆτα, ναὶ ναὶ P. 1028. πότερα δῆτ' ἐγὼ ποτιπέσω βρέτη δαιμόνων; T. 91. αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος T. 795. μέλεοι δῆθ' T. 861. δι' εὐωνύμων τετυμμένοι. Τετυμμένοι δῆθ' T. 871. πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότῳ; A. 1184. ποῦ δῆθ' ὁ τιμὸς, ὅντιν' ἀντεδεξάμην; C. 903. ἄλλος φανεῖ δῆτ', οὐ γὰρ οἶδ' ὅπῃ τελεῖ C. 1017. ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει μετακοιμισθὲν μένος ἄτης; C. 1071.

Διά. ἔχουσαι διὰ χερῶν S. 190. αἶαν ἧς δι' Ἄλγος ἔρχεται S. 251. διὰ μάχης ἥξω τέλους S. 470. Ἰὼ, δι' ἇς τοι γένος εὐχόμεθ' εἶναι S. 531. ἰάπτει βάσιδος δι' αἴας μηλοβότου Φρυγίας διαμπὰξ S. 542. δι' ὀρῶν Κιλίκων Παμφύλων τε γένη διορνυμένα S. 545. δι' αἰῶνος μακροῦ πάνολβον S. 577. γομφοδέτῳ δορὶ δι' ὅλου S. 826. ποταμοὺς, οἳ διὰ χώρας θελεμὸν πῶμα χέουσιν S. 1006. πότερα γὰρ τοξουλκὸς αἰχμὴ διὰ χερός γ' αὐτοῖς πρέπει; P. 235. ἐγὼ δέ που διὰ μακροῦ τάδ' ηὔχουν ἐκτελευτῆσαι θεοὺς P. 727. οἷαι δι' αἰῶνος τύχαι P. 969. διὰ θεῶν πόλιν νεμόμεσθ' ἀδάματον T. 215. φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη T. 415. διὰ χερὸς βέλος φλέγων T. 495. στείχει δ' ἴουλος ἄρτι διὰ παρηΐδων T. 516. ἱκνεῖται λόγος διὰ στηθέων T. 545. βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος T. 575. μεταξὺ δ' ἀλκὰ δι' ὀλίγου τείνει πύργος ἐν εὔρει T. 744. δι' εὐωνύμων τετυμμένοι T. 870. δι' ὧν αἰνομόροις, δι' ὧν νεῖκος ἔβα T. 886. τὸν πᾶσι θεοῖς δι' ἀπεχθείας ἐλθόντ' V. 121. ὡς μάθητε διὰ τέλους τὸ πᾶν V. 273. βέβακε ῥίμφα διὰ πυλᾶν A. 395. διὰ χερῶν βέβακεν A. 412. ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον A. 540. φρυκτώρων διὰ πεισθεῖσα A. 576. δι' αἰῶνος δ' ἰυγμοῖσι βόσκεται κέαρ C. 26. δι' ὤτων φρενός τε δαμίας περαίνον C. 54. δι' ὤτων δὲ συντέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει C. 444. διὰ δίκας πᾶν ἔπος ἔλακον, Ζεῦ C. 776. θήσειν Ἀγαμεμνονίων οἴκων ὄλεθρον διὰ παντὸς C. 849. διὰ τέλους φύλαξ ἐγγὺς παρεστὼς E. 64. ἐλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς E. 75. τὸν πρὶν ὄλβον δι' αἰῶνος E. 533. νικᾷ δ' ἀγαθῶν ἔρις ἡμετέρα διὰ παντὸς E. 932. πικροὶ γὰρ, κοὐ διὰ ζωῆς ἀτμοὶ Fr. Prom. Sol. 5. 6. διὰ κύμ' ἅλιον φεύγειν S. 14. οἷα νεάζει

πυθμὴν δι' ἀμὸν γάμον τὸ θάλλος δυσπαραβούλοισι φρεσὶν S. 99. δυσπαλάμως ὄλοιο δι' ἀλίῤῥυτον ἄλσος S. 848. νᾶες ἀπώλεσαν—δι' Ἰαόνων χέρας P. 555. οἶκτος δ' οὔτις ἦν διὰ στόμα T. 51. ἱέντα πυρπνόον διὰ στόμα λιγνὺν μέλαιναν T. 475. λέγει δὲ τοῦτ' ἔπος διὰ στόμα T. 561. δι' Ἀχέροντ' ἀμείβεται P. 838. διὰ τὴν λίαν φιλότητα βροτῶν V. 123. κέλσαντες Σιμόεντος ἀκτὰς ἐπ' ἀεξιφύλλους δι' ἔριν αἱματόεσσαν A. 682. δι' αἵματ' ἐκποθένθ' ὑπὸ χθονὸς τροφοῦ τίτας φόνος πέπηγε C. 64. πιοῦσα κόνις μέλαν αἷμα πολιτῶν, δι' ὀργὰν ποινὰς E. 936.

Δία. Δίαν δὲ λιποῦσαι χθόνα σύγχορτον Συρίᾳ φεύγομεν S. 4.

Διαβάλλειν. διαβάλλων πολὺν οἰδματοέντα πόρον Fr. Hel. 1.

Διαβοᾶν. παντάλαν' ἄχη διαβοάσω P. 630.

Διαβρέχειν. διαβρέχεις τἀρτύματα Fr. Inc. 49.

Διάγειν. τί τάδε δυνάτα δυνάτα περὶ τᾷ σᾷ δίδυμα διάγοιειν ἁμαρτίᾳ πάσᾳ γᾷ σᾷ P. 663. πόλιν ὀρθοδίκαιον πρέψετε πάντες διάγοντες E. 949. ζηλωτὸς ὢν βίοτον εὐαίωνα Πέρσαις ὡς θεὸς, διήγαγες P. 697.

Διαγινώσκειν. ὀρθοῦσθαι δὲ χρὴ, καὶ ψῆφον αἴρειν καὶ διαγνῶναι δίκην E. 679.

Διάδετος. διάδετοι δὲ γενύων ἱππείων κινύρονται φόνον χαλινοὶ T. 115.

Διαδοχή. τοιοίδ' ἕτοιμοι λαμπαδηφόρων νόμοι, ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι A. 304.

Διάδοχος. σώμασίν θ' ὅπως θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων γενῶνθ' V. 462. πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων φανῇ V. 1029.

Διαδρομή. ἁρπαγαὶ δὲ διαδρομᾶν ὁμαίμονες T. 333.

Διάδρομος. καὶ νῦν πολίταις τάσδε διαδρόμους φυγὰς θεῖσαι, διεῤῥοθήσατ' ἄψυχον κάκην T. 173.

Διαθρύπτεσθαι. μήτε τῶν πλούτῳ διαθρυπτομένων, μήτε τῶν γέννᾳ μεγαλονυμένων ὄντα χερνήταν ἐραστεῦσαι γάμων V. 893.

Διαὶ. ἀλλοτρίας διαὶ γυναικὸς A. 436. κακῶν γὰρ διαὶ πολυεπεῖς τέχναι θεσπιῳδὸν φόβον φέρουσιν μαθεῖν A. 1104. πολλὰ τλαντὸς, γυναικὸς διαὶ A. 1428. ἰὼ, ἰὴ διαὶ Διὸς παναιτίου πανεργάτα A. 1464. δαλὸν—σύμμετρον διαὶ βίου μοιρόκραντον ἐς ἦμαρ C. 602. τὸ δ' ἄγχι πλευμόνων ξίφος διανταίαν ὀξυπευκὲς οὐτᾷ διαὶ Δίκας C. 632. τρίτον τόδ' ἐκπέραμα δωμάτων καλῶ, εἴπερ φιλόξεν' ἐστὶν Αἰγίσθου διαὶ C. 645.

Διαίνειν. δίαινε, δίαινε πῆμα, πρὸς δόμους δ' ἴθι. Διαίνομαι γόεδνος ὢν P. 996. διαίνεσθε Πέρσαι τόδ' ἄχος κλύοντες P. 254. διαίνου δ' ὄσσε P. 1021.

Διαῖξις. Διαῖξιν ἤδ' Ἀρσάκην ἱππιάνακτας P. 958.

Διαιρεῖν. οὐδὲ μὴν ἐμοὶ θέμις φόνου διαιρεῖν ὀξυμηνίτου δίκας E. 450. κρίνασα δ' ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα ἥξω, διαιρεῖν τοῦτο πρᾶγμ' ἐτητύμως E. 466. ἐφήμενοι ψήφῳ διαιρεῖν τοῦδε πράγματος πέρι E. 600.

Διαίρεσις. πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι, τὸ μὴ 'δικεῖν σέβοντες ἐν διαιρέσει E. 719.

Δίαιτα. δίαιταν ἥντινα ἔχουσ' ἕκαστοι V. 488.

Διακληροῦν. ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν Δαναὸς θεραποντίδα φέρνην S. 956.

Διακναίεσθαι. οἵαις αἰκίαισιν διακναιόμενος τὸν μυριετῆ χρόνον ἀθλεύσω V. 94. φρίσσω δέ σε δερκομένη μυρίοις μόχθοις διακναιόμενον V. 539. διακναιομένης ἐν προτελείοις κάμακος A. 65.

Διάκονος. τὸν Διὸς τρόχιν, τὸν τοῦ τυράννου τοῦ νέου διάκονον V. 944.

Διακρίνειν. οὐκ ἐπὶ φιλίᾳ, ἀλλ' ἐπὶ φόνῳ διεκρίθητε T. 866.

Διαλαγχάνειν. σιδαρονόμῳ διὰ χερί ποτε λαχεῖν κτήματα T. 771. διέλαχον σφυρηλάτῳ Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν T. 798.

Διαλγής. διαλγὴς ἀρὰ C. 66.

Διαλλακτήρ. διαλλακτῆρι δ' οὐκ ἀμεμφία φίλοις T. 891.

Διαλλάσσειν. διήλλαχθε σὺν σιδάρῳ T. 864.

Διαμαθύνειν. γυναικὸς οὕνεκα πόλιν διημάθυνεν Ἀργεῖον δάκος A. 798

Διαμείβειν. κλαυτὸν δ' ἀρτιτρόποις ὠμοδρόπων νομίμων προπάροιθεν διαμεῖψαι δωμάτων στυγερὰν ὁδὸν T. 316. πολλὰ βροτῶν διαμειβομένα

φῦλα S. 538. δολιχῆς τέρμα κελεύθου διαμειψάμενος V. 285. δελφινοφόρον πεδίον πόντου διαμειψάμενος Fr. Ner.

Διαμπάξ. μηλοβότου Φρυγίας διαμπὰξ S. 543. τῶνδ' ἐφήλωται τορῶς γόμφος διαμπὰξ S. 923. σφηνὸς αὐθάδη γνάθον στέρνων διαμπὰξ πασσάλευ' ἐῤῥωμένως V. 65.

Διαμπερές. τοῦτο διαμπερὲς οὖς ἵκετ' ἅπερ τε βέλος C. 374.

Διαμυθολογεῖν. ὃς πρῶτος ἐν γνώμᾳ τόδ' ἐβάστασε καὶ γλώσσᾳ διεμυθολόγησεν, ὡς κ. τ. λ. V. 891.

Διαμφίδιος. τὸ διαμφίδιον δέ μοι μέλος προσέπτα τόδ' V. 554.

Διάνοια. διάνοιαν μαινόλιν κέντρον ἔχων ἄφυκτον S. 101. ὡς δῆτ' ὀρθῶς κατ' ἐπωνυμίαν ὤλοντ' ἀσεβεῖ διανοίᾳ T. 813. τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας ὑδαρεῖ σαίνειν φιλότητι A. 771. χάρματα δ' ἀντιδιδοῖεν κοινοφελεῖ διανοίᾳ E. 940. εἴη δ' ἀγαθῶν ἀγαθὴ διάνοια πολίταις E. 962.

Διανταίος. διανταίαν λέγεις πλαγὰν T. 876. ἐπαίσθην ὡς διανταίῳ βέλει C. 182. τὸ δ' ἄγχι πλευμόνων ξίφος διανταίαν ὀξυπευκὲς οὐτᾷ διαὶ Δίκας C. 631.

Διαπάλλειν. ἦρι μὲν φαίνοντι διαπάλλει πτέρον κίρκου λεπάργου Fr. Inc. 300. χθόνα ναίειν διαπήλας ὁπόσαν καὶ φθιμένοισι κατέχειν T. 713.

Διαπαντός. τοὺς σοὺς δὲ πόνους χρῄζω διαπαντὸς ἀκοῦσαι V. 283.

Διαπερᾶν. σὺ τοίνυν οἶσθα διαπερῶν T. 978.

Διαπεύθεσθαι. γνώσῃ δὲ χρόνῳ διαπευθόμενος τόν τε δικαίως καὶ τὸν ἀκαίρως πόλιν οἰκουροῦντα πολιτῶν A. 781.

Διάπλοος. καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν ναῶν ἄνακτες πάντα ναυτικὸν λεὼν P. 374.

Διαπονεῖσθαι. κλαίω τότ' οἴκου τοῦδε συμφορὰν στένων, οὐχ ὡς τὰ πρόσθ' ἄριστα διαπονουμένου A. 19.

Διαπόντιος. πολύχωστον ἂν εἶχες τάφον διαποντίου γᾶς C. 347.

Διαπορθεῖν. διαπεπόρθηται τὰ Περσῶν πράγμαθ', ὡς εἰπεῖν ἔπος P. 700.

Διαπράσσειν. περί τ' ἀνθρώπων φανερῶς τελέως διαπράσσουσιν E. 913. ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα P. 254. οἳ ἐγὼ τάλαινα διαπεπραγμένου στρατοῦ P. 509. ἐπ' ἔργαις διαπεπραγμένοις C. 728. στυγερῷ θανάτῳ διεπράχθης C. 1002.

Διαπρέπειν. ἰὼ ἰὼ δαίμονες ἔθεσθ' ἄελπτον κακὸν διαπρέπον, οἷον δέδορκεν ἅτα P. 968.

Διαρκεῖν. βουλαὶ δ' ἄπιστοι Λαΐου διήρκεσαν T. 824.

Διαῤῥαίειν. ἐξερυσάμην βροτοὺς τοῦ μὴ διαῤῥαισθέντας εἰς Ἅιδου μολεῖν V. 236.

Διαῤῥοθεῖν. καὶ νῦν πολίταις τοῖσδε διαδρόμους φυγὰς θεῖσαι, διεῤῥοθήσατ' ἄψυχον κάκην T. 174.

Διαῤῥυδᾶν. δι' αἷματ' ἐκποθένθ' ὑπὸ χθονὸς τροφοῦ τίτας φόνος πέπηγεν, οὐ διαῤῥυδᾶν C. 65.

Διαρταμεῖν. αἰετὸς λάβρως διαρταμήσει σώματος μέγα ῥάκος V. 1025.

Διαρτᾶν. τοσαῦτα, κῆρυξ, ἐξ ἐμοῦ διάρτασον Fr. Inc. 64.

Διάς. κἄπειτ' Ἀθήνας Διάδας παρεκπεσὼν Fr. Glauc. Mar. 2.

Διασπαράττειν. ἡ δ' ἐσφάδαζε, καὶ χεροῖν ἔντη δίφρου διασπαράττει P. 191.

Διᾴσσειν. κτύπου γὰρ ἀχὼ Χάλυβος διῇξεν ἄντρων μύχον V. 133.

Διαστοιχίζεσθαι. δαίμοσιν νέμει γέρα ἄλλοισιν ἄλλα, καὶ διεστοιχίζετο ἀρχὴν V. 230.

Διαστόμιον. ἱππικῶν ἀΰπνων πηδαλίων διαστόμια πυριγενετᾶν χαλινῶν T. 189.

Διαστρέφειν. ἴχνος τὸ πρόσθεν οὐ διαστρέψω φρενὸς S. 994.

Διάστροφος. εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι ἦσαν V. 676.

Διατέγγειν. διὰ μυδαλέοις δάκρυσι κόλπους τέγγουσ', ἄλγους μετέχουσαι P. 532.

Διατέμνειν. διχῇ δ' ἀντίπορον γαῖαν ἐν αἴσᾳ διατέμνουσα πόρον κυματίαν ὁρίζει S. 540.

Διατιμᾶν. ἤδη τὰ τοῦδ' οὐ διατετίμηται θεοῖς; T. 1038.

Διατομή. ἐτελεύτασαν ὑπ' ἀλλαλοφόνοις χερσὶ—διατομαῖς οὐ φίλαις T. 917.

Διάτορος. ἐῤῥωμένως νῦν θεῖνε διατόρους πέδας V. 76. ἐμὰς δὲ φρένας ἠρέθισε διάτορος φόβος V. 181. διάτορος Τυρσηνικὴ σάλπιγξ E. 536.

Δίαυλος. δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας κάμψαι διαύλου θάτερον κῶλον πάλιν A. 335.

Διαφέρειν. διαλγὴς ἄτη διαφέρει τὸν αἴτιον παναρκέτας νόσου βρύειν C. 66.

Διαφθείρειν. σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ A. •1239. γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμὲ A. 906. σημαντήριον οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου A. 596. ἀλλ' ἀμφ' Ἀθήνας πᾶς διέφθαρται στρατὸς P. 702.

Διαφθορά. λέγουσ' ὀδύρομαι θεόσσυτον χειμῶνα, καὶ διαφθορὰν μορφῆς V. 646.

Διαφρουρεῖν. διαπεφρούρηται βίος Fr. Phr. 8.

Διδάσκαλος. μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον T. 555. πυρὸς πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης πάσης βροτοῖς πέφηνε V. 110. οὔκουν, ἔμοιγε χρώμενος διδασκάλῳ πρὸς κέντρα κῶλον ἐκτενεῖς V. 322. σὺ δ' οὐκ ἄπειρος, οὐδ' ἐμοῦ διδασκάλου χρῄζεις V. 379. ἡ σή, Προμηθεῦ, συμφορὰ διδάσκαλος V. 391. ἐν δὲ τῷδε πράγματι φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου E. 269. ὁ γὰρ διώκων, πρότερος ἐξ ἀρχῆς λέγων, γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος E. 554.

Διδάσκειν. τίνα καιρόν με διδάσκεις; S. 1046. δεσμός τε, καὶ τὸ γῆρας, αἵ τε νήστιδες δύαι διδάσκειν ἐξοχώταται φρενῶν ἰατρομάντεις A. 1605. ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾶν τίνα ὁρᾷς ἐνοῦσαν ζημίαν; δίδασκέ με V. 382. τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη C. 116. καὶ σὸν διδάξω πατέρα, τοῖα χρὴ λέγειν S. 514. δίδαξον ἡμᾶς V. 196. πῶς δή; δίδαξον E. 409. πῶς δή; δίδαξον τοὺς δικάζοντας τάδε E. 571. ταῦτα τοῖς κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται θούριος Ξέρξης P. 739. γνώσῃ, γέρων ὤν, ὡς διδάσκεσθαι βαρὺ τῷ τηλικούτῳ, σωφρονεῖν εἰρημένον A. 1602. τὰ λοιπὰ δ' ἄθλων σοῦ διδαχθήτω πάρα V. 637. ὡς ἂν διδαχθῇ τὴν Διὸς τυράννιδα στέργειν V. 10. διδαχθεὶς ἂν τόδ' εἰδείην πλέον S. 286. πῶς δὴ διδαχθεὶς τοῦδε δεσπόσω λόγου; A. 529. ἐγώ, διδαχθεὶς ἐν κακοῖς, ἐπίσταμαι πολλοὺς καθαρμοὺς E. 266.

Διδόναι. τὴν μὲν Πελασγός, τὴν δὲ καὶ πόλις διδοῖ S. 988. αἵρεσιν ἐμοὶ δίδου δίδωμι V. 782. δίδωσι δ' ἡ γενέθλιον δόσιν Φοίβῳ E. 7. ἐπίλυσιν φόβων, ἐπιλύσιν δίδου T. 124. ξένοισί τ' εὐξυμβόλους, πρὶν ἐξοπλίζειν Ἄρη, δίκας ἄτερ πημάτων διδοῖεν S. 684. ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν θεῶν διδόντων P. 286. ψυχῇ διδόντες ἡδονήν, καθ' ἡμέραν P. 827. θεῶν διδόντων οὐκ ἂν ἐκφύγοι κακὰ T. 701. χρόνῳ τοι κυρίῳ τ' ἐν ἡμέρᾳ θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην S. 714. αὐχῶ τήνδε δωρεὰν ἐμοὶ δώσειν Δί', ὥστε τῶνδέ σ' ἐκλῦσαι πόνων V. 339. ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν A. 1655. φρονεῖν δὲ κἀμοὶ Ζεὺς ἔδωκεν οὐ κακῶς E. 812. ὧν δέδωκ' εὔνοιαν ἐξηγούμενος V. 444. καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν μάκαρες Πριάμου A. 1308. πυρὶ φλέξον, ἢ χθονὶ κάλυψον, ἢ ποντίοις δάκεσι δὸς βορὰν V. 584. ἡμὶν αὖ χάριν δὸς ἥντιν' αἰτόμεσθα V. 824. ὦ Ζεῦ, δός με τίσασθαι μόρον πατρὸς C. 18. αὐτῇ τέ μοι δὸς σωφρονεστέραν πολὺ μητρὸς γενέσθαι C. 138. αἰτουμένῳ μοι δὸς κράτος τῶν σῶν δόμων C. 473. ὦ Περσέφασσα, δὸς δέ γ' εὔμορφον κράτος C. 483. νῦν παραιτουμένῃ μοι, πάτερ Ζεῦ θεῶν Ὀλυμπίων, δὸς τύχας C. 774. ὦ μέγα ναίων στόμιον, εὖ δὸς ἀνιδεῖν δόμον ἀνδρὸς C. 796. ἀνδροτυχεῖς βιότους δότε E. 918. αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος T. 242. τὸν ἁμὸν νῦν ἀντίπαλον θεοὶ δοῖεν εὐτυχεῖν T. 400. τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοὶ T. 404. δοίη τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος C. 876. καὶ νῦν τυχεῖν με τῶν πρὶν εἰσόδων μακρῷ ἄριστα δοῖεν E. 31. τοιᾶσδέ τοι ἁμαρτίας σφε δεῖ θεοῖς δοῦναι δίκην V. 9. ἀλλ' ὅρκον οὐ δέξαιτ' ἄν, οὐ δοῦναι θέλει E. 407. μὴ τέλεον δόντες ἔχειν παρ' αἶσαν S. 74. τεκμήριον τοῦτ' αὐτὸ δοὺς μύθων ἐμοὶ V. 828. ἵππων ὄνων τ' ὀχεῖα καὶ ταύρων γονὰς δοὺς ἀντίδουλα καὶ πόνων ἐκδέκτορα Fr. Prom. Sol. 4. δέδοται δ' Ἁρμονίᾳ μοῖρ' Ἀφροδίτας ψιθυροὶ τριβοί τ' ἐρώτων S. 1024. ἐμοῦ κλύων θεσμὸν τὸν μοιρόκραντον

ἐκ θεῶν δοθέντα τέλεον E. 371. καὶ τὸ τέᾳ πλάστιγγι δοθὲν μακαριστότατον τελέθει Fr. Inc. 23. 7.

Διδυμάνωρ. διδυμάνορα κάκα αὐτοφόνα T. 831.

Δίδυμος. τί τάδε δυνάτα δυνάτα περὶ τᾷ σᾷ δίδυμα διάγοιεν ἁμαρτίᾳ πάσᾳ γᾷ σᾷ τᾷδε P. 668. δίδυμα γάρ ἐστι καὶ τριπλᾶ P. 990. δίδυμα κάκ' ἐτέλεσε T. 764. δίδυμα καὶ τριπλᾶ παλίμποινα θέλων ἀμείψει C. 781. τῇ μὲν δίδυμον χθονὸς Εὐρώπης, μέγαν ἠδ' Ἀσίας τέρμονα Φᾶσιν Fr. Prom. Sol. 2.

Διεκπερᾶν. ἔς τε Φωκέων χθόνα διεκπερῶμεν P. 477.

Διέπειν. ἐπέσκηψε δὲ Πέρσαις πολέμους πυργοδαΐκτους διέπειν P. 106. πάντα γὰρ αὐταὶ τὰ κατ' ἀνθρώπους ἔλαχον διέπειν E. 892.

Διερός. αἷμα μητρῷον χαμαὶ δυσαγκόμιστον, παπαῖ, τὸ διερὸν πέδῳ χυμένον οἴχεται E. 253.

Διέρχεσθαι. τοιόνδε χρησμὸν ἡ παλαιγενὴς μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις V. 876.

Δίεσθαι. Δίειν. μετά με δρόμοισι διόμενοι S. 799. ἄτιμ' ἀτίετα διόμεναι λάχη θεῶν διχοστατοῦντ' E. 363. δέδια γὰρ ἀμφὶ σαῖς τύχαις V. 182. ἐμοὶ μὲν ὁμαλὸς ὁ γάμος ἄφοβος, οὐ δέδια V. 984.

Διζῆμαι. μετά με δρόμοισι διόμενοι, φυγάδα μάταισι πολυθρόοις βίαια διζῆνται λαβεῖν S. 801.

Διήκειν. διήκει δὲ καὶ πόλιν στόνος T. 882. πόλιν διήκει θοὰ βάξις A. 463. φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος μέσον πόρον διήκε P. 497.

Διηνεκῶς. λόγους δ' ἀκοῦσαι τούσδε, καποθαυμάσαι διηνεκῶς θέλοιμ' ἂν A. 310.

Δίθηκτος. δίθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος V. 865.

Δίθρονος. διθρόνου Διόθεν καὶ δισκήπτρου τιμῆς A. 44. Ἀχαιῶν δίθρονον κράτος A. 109.

Διθύραμβος. μιξοβόαν πρέπει διθύραμβον ὁμαρτεῖν σύγκωμον Διονύσῳ Fr. Inc. 98.

Δικάζειν. ἐκεῖ δικάζει τἀμπλακήμαθ' S. 226. οὔτοι δικάζει ταῦτα μαρτύρων ὕπο Ἄρης S. 912. νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ A. 1386. τὸ πρᾶγμα μεῖζον εἴ τις οἴεται τόδε βροτὸς δικάζειν E. 449. πῶς δή; δίδαξον τοὺς δικάζοντας τάδε E. 571.

Δίκαιος. ἀλλὰ θεοὶ γενέται, κλύετ' εὖ τὸ δίκαιον ἰδόντες S. 73. καὶ τότ' οὐ δικαίοις Ζεὺς ἀνέξεται λόγοις S. 159. καὶ τἄλλα πόλλ' ἐπεικάσαι δίκαιον ἦν, εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν S. 241. τί τῶνδ' ἐξ ἴσου ῥεπομένων, μεταλγεῖς τὸ δίκαιον ἔρξαι S. 401. τάδε φράσαι δίκαια Διόθεν κράτη S. 432. φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις T. 580. ξυμπολίταις ἀνδράσιν, δίκαιος ὤν, ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοσιν ταὐτοῦ κυρήσας ἐκδίκως ἀγρεύματος T. 587. σώφρων, δίκαιος, ἄγαθος, εὐσεβὴς ἀνὴρ T. 593. κλύοντες θεοὶ δικαίας λιτὰς ἡμετέρας, τελεῖθ' ὡς πόλις εὐτυχῇ T. 608. ὥσπερ τε πόλις καὶ τὸ δίκαιον ξυνεπαινεῖ T. 1065. οἶδ' ὅτι τραχὺς καὶ παρ' ἑαυτῷ τὸ δίκαιον ἔχων Ζεὺς V. 187. ἁπλῷ λόγῳ ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα V. 614. δικαίων ὢν ἐπραξάμην πόλιν Πριάμου A. 786. τῆσδε δεξιᾶς χερὸς ἔργον δικαίας τέκτονος A. 1379. κἄγῳ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεὺς A. 1586. δίκαια καὶ μὴ δίκαια C. 76. Διόθεν τῇδε τελευτᾶν, ᾗ τὸ δίκαιον μεταβαίνει C. 306. δικαίων ὀμμάτων παρουσία C. 660. κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα φέρειν δίκαιος E. 56. λέγειν δ' ἄμομφον ὄντα τοὺς πέλας κακῶς, πρόσω δικαίων, ἠδ' ἀποστατεῖ θέμις E. 392. ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω E. 410. δίκαιος ὢν οὐκ ἄνολβος ἔσται E. 521. τὸ μὲν δίκαιον τοῦθ', ὅσον σθένει, μαθεῖν, βουλῇ πιφαύσκω δ' ὔμμ' ἐπισπέσθαι πατρὸς E. 589. φέρειν ψῆφον δικαίαν E. 645. οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν E. 695. στέργω γάρ, ἀνδρὸς φιτυποίμενος δίκην, τὸ τῶν δικαίων τῶνδ' ἀπένθητον γένος E. 872. ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεὸς Fr. Inc. 11.

Δικαιοῦν. τρίβῳ τε καὶ προσβολαῖς μελαμπαγὴς πέλει δικαιωθεὶς A. 382.

Δικαίως. ὡς δικαίως πόλεως πρόμαχος ὄρνυται T. 400. Ἄρη πνεόντων μεῖζον ἢ δικαίως A. 366. γνώσῃ δὲ χρόνῳ διαπευθόμενος τόν τε δικαίως καὶ τὸν

ἀκαίρως πόλιν οἰκουροῦντα πολιτῶν A. 782. τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη θήσει δικαίως ξὺν θεοῖς εἱμαρμένα A. 887. τάδ' ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν A. 1369. τί τῶνδ' ἐρεῖ τις δικαίως ἔχειν; E. 149. πιστὸν δικαίως, ἐς τὸ πᾶν τε σύμμαχον E. 280. κλύειν δικαίως μᾶλλον ἢ πρᾶξαι θέλεις E. 408. εἰ δικαίως, εἴτε μὴ E. 446. 582. λέξω πρὸς ὑμᾶς τόνδ' Ἀθηναίας καλὸν θεσμὸν δικαίως E. 585. οὔτ' ἂν δικαίως τῇδ' ἐπιρρέποις πόλει μῆνίν τιν' E. 848. ἔξεστι γάρ σοι τῆσδέ γ' εὐμοίρου χθονὸς εἶναι δικαίως ἐς τὸ πᾶν τιμωμένη E. 851. αἵτε φρουροῦσιν βρέτας τοὐμὸν δικαίως E. 978.

Δικάστης. ἐπήκοος δ' ἐμῶν ἔργων δικάστης τραχὺς εἶ A. 1395. πότερα δικάστην ἢ δικήφορον λέγεις; C. 118. δικάστας τῶνδε καὶ θελκτηρίους μύθους ἔχοντες E. 81. φόνων δικάστας ὁρκίων αἱρουμένους E. 461. ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγείῳ στρατῷ ἀεὶ δικαστῶν τοῦτο βουλευτήριον E. 654. ὅσοις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος E. 978.

Δικεῖν. στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας, πάλιν, δικοῦσα τεῦχος, ἀστρόφοισιν ὄμμασιν C. 97.

Δίκελλα. γάπονος τέμνει δίκελλ' ἄρουραν Fr. Prom. Sol.

Δίκη. ἡ δίκη γε ξυμμάχων ὑπερστατεῖ S. 338. δίκας οὐ τυγχάνουσιν ἐννόμου S. 379. ξύμμαχον ἑλόμενος δίκαν S. 390. βίᾳ δίκας ἀγόμενον S. 425. τὸ γὰρ τεκόντων σέβας τρίτον τόδ' ἐν θεσμίοις δίκας γεγράπται μεγιστοτίμου S. 690. θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην S. 714. τί δ' ἠμπλάκηται τῶνδ' ἐμοὶ δίκης ἄτερ; S. 894. δίκα δίκας ἕπεσθαι S. 1057. δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ T. 397. πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον ἥξειν κεραυνὸν T. 426. μητρός τε πηγὴν τίς κατασβέσει δίκη; T. 566. Δίκη δ' ἄρ' εἶναι φησιν T. 628. ἡ Διὸς παῖς παρθένος Δίκη T. 644. Δίκη προσεῖπε καὶ κατηξιώσατο T. 649. ἢ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος Δίκη, ξυνοῦσα φωτὶ παντόλμῳ φρένας T. 653. ἡμᾶς δὲ δίκη πρότερον φήμης τὸν δυσκέλαδόν θ' ὕμνον Ἐριννύος ἰαχεῖν T. 848. τοιᾶσδέ τοι ἁμαρτίας σφε δεῖ θεοῖς δοῦναι δίκην V. 9. βροτοῖσι τιμὰς ὥπασας πέρα δίκης V. 30. τοῦ δίκην πάσχεις τάδε; V. 617. δίκα δὲ τοῖς μὲν παθοῦσι μαθεῖν ἐπιρρέπει τὸ μέλλον A. 241. δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν γυναῖκ', ἐρημωθέντος ἄρσενος θρόνου A. 250. λακτίσαντι μέγαν Δίκας βωμὸν A. 373. ἄνευ δίκας A. 451. ἁρπαγῆς τε καὶ κλοπῆς δίκην ὀφλὼν A. 520. δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασι A. 749. δίκην παραβάντες A. 763. πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους δίκη προσειπεῖν A. 785. ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη A. 885. ἀποπτύσας δίκαν δυσκρίτων ὀνειράτων A. 953. μὰ τὴν τελείαν τῆς ἐμῆς παιδὸς Δίκην A. 1407. δίκαν κόρακος ἐχθροῦ A. 1451. δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει βλάβης, πρὸς ἄλλαις θηγάναισι μοῖρα A. 1517. τραφέντα δ' αὖθις ἡ Δίκη κατήγαγεν A. 1589. ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν A. 1593. οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀρὰς A. 1598. πρᾶσσε, πιαίνου, μιαίνων τὴν δίκην, ἐπεὶ πάρα A. 1654. ῥοπὴ δ' ἐπισκοπεῖ δίκαν C. 59. τοῖς δ' ἐναντίοις λέγω φανῆναί σου, πάτερ, τιμάορον, καὶ τοὺς κτανόντας ἀντικατακανεῖν δίκην C. 142. σὺν θεοῖσι, καὶ γῇ, καὶ δίκῃ νικηφόρῳ C. 147. μόνον Κράτος τε καὶ Δίκη, ξὺν τῷ τρίτῳ πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό μοι C. 243. τοὐφειλόμενον πράσσουσα δίκη μέγ' ἀϋτεῖ C. 308. δίκαν ἐξ ἀδίκων ἀπαιτῶ C. 392. Ἄρης Ἄρει ξυμβάλοι, Δίκα Δίκᾳ C. 454. δίκην ἴαλλε σύμμαχον φίλοις C. 490. τὸ δ' ἄγχι πλευμόνων ξίφος διανταίαν ὀξυπευκὲς οὐτᾷ διαὶ Δίκας C. 630. Δίκας δ' ἐρείδεται πυθμὴν C. 636. διὰ δίκας πᾶν ἔπος ἔλακον C. 776. ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας αὐχὴν πεσεῖσθαι πρὸς δίκης πεπληγμένης C. 871. ἔμολε μὲν δίκα Πριαμίδαις χρόνῳ C. 923. Δίκαν δέ νιν προσαγορεύομεν C. 937. ὡς ἂν παρῇ μοι μάρτυς ἐν δίκῃ ποτε C. 981. ἔχει γάρ, αἰσχυντῆρος ὡς νόμου, δίκην C. 984. οὐκ ἄνευ δίκης C. 1023. τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοὶ κρατοῦντες τὸ πᾶν δίκας πλέον E. 157. εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ

μορσίμη ὅρκον 'στὶ μείζων τῇ δίκῃ φρουρουμένη E. 209. τέλος δίκης E. 234. ἔχονθ' ἕκαστον τῆς δίκης ἐπάξια E. 262. λέγειν ὅπου δίκη, σιγᾶν θ' ὁμοίως E. 267. κρῖνε δ' εὐθεῖαν δίκην E. 411. πεποιθὼς τῇ δίκῃ E. 417. σύ τ', εἰ δικαίως, εἴτε μὴ, κρῖνον δίκην E. 446. ἀρωγὰ τῆς δίκης ὁρκώματα E. 464. εἰ κρατήσει δίκα τε καὶ βλάβα τοῦ μητροκτόνου E. 469. ὦ δίκα E. 487. 755. πιτνεῖ δόμος δίκας E. 490. τίς δὲ μηδὲν ἐν φάει καρδίας ἀνατρέφων ἢ πόλις βροτός θ' ὁμοίως ἔτ' ἂν σέβοι δίκαν; E. 499. βωμὸν αἰδέσαι δίκας E. 511. δι' αἰῶνος τὸν πρὶν ὄλβον ἕρματι προσβαλὼν δίκας E. 534. τὰ πολλὰ παντόφυρτ' ἄνευ δίκας E. 524. ὅπως ἂν εὖ καταγνωσθῇ δίκη E. 543. τήνδε κυρώσων δίκην E. 551. εἰσάγω δὲ τὴν δίκην E. 552. εἴ σφε σὺν δίκῃ κατέκτανον E. 580. ὅσπερ τέτακται τήνδε κυρῶσαι δίκην E. 609. μὴ τυχοῦσα τῆς δίκης E. 689. οὐκ ἔχουσα τῆς δίκης τέλος E. 699. δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω E. 702. ἐμοὶ τόδ' ἔργον λοισθίαν κρῖναι δίκην E. 704. ἀνὴρ ὅδ' ἐκπέφευγεν αἵματος δίκην E. 722. ἰσόψηφος δίκη ἐξῆλθ' ἀληθῶς E. 762. τοῦ θανόντος ἡ δίκη πράσσει κότον Fr. Phr. ὁρᾷς δίκην ἄναυδον οὐχ ὁρωμένην εὕδοντι Fr. Inc. 4. σοὶ δὲ θηρίων ὕβρις τε καὶ δίκη μέλει Fr. Inc. 5. 4. ὅπου γὰρ ἰσχὺς συζυγοῦζι καὶ δίκη, ποίη ξυνωρὶς τῆσδε καρτερωτέρα F. 40. ἐκεῖ δικάζει τἀμπλακήμαθ', ὡς λόγος, Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας S. 228. ξένοισί τ' εὐξυμβόλους, πρὶν ἐξοπλίζειν Ἄρη, δίκας ἄτερ πημάτων διδοῖεν S. 684. ἰὼ θεοὶ, κρίνετ' ἐνδίκως δίκας C. 455. τῶν πάλαι πεπραγμένων λύσασθ' αἷμα προσφάτοις δίκαις C. 793. ὀφθαλμώρυχοι δίκαι E. 177. δίκας δὲ Παλλὰς τῶνδ' ἐποπτεύσει θεὰ E. 215. οὐδὲ μὴν ἐμοὶ θέμις φόνου διαιρεῖν ὀξυμηνίτας βλάβας E. 450. πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ E. 652. Δίκην (instar). δίκην κολυμβητῆρος S. 403. δίκαν ὕδατος T. 85. κυνὸς δίκην A. 3. 1064. C. 440. δίκαν χιμαίρας A. 225. δίκην φαιδρᾶς σελήνης A. 288. ὀνειράτων δίκην A. 477. νεοτρόφου τέκνου δίκαν A. 706. βαρβάρου φωτὸς δίκην A. 893. χελιδόνος δίκην A. 1020. νεογάμου νύμφης δίκην A. 1152. κύματος δίκην A. 1154. δίκην ἄτης λαθραίου A. 1202. βοὸς δίκην A. 1271. κύκνου δίκην A. 1419. ἀγγέλου δίκην C. 194. ναυτίλων δίκην C. 200. παιδὸς δίκην C. 522. Γοργόνων δίκην C. 1044. λαγὼ δίκην E. 26. νεβροῦ δίκην E. 111. δίκαν διφρηλάτου E. 151. ἀνδρὸς φιτυποίμενος δίκην E. 871. δίκην πυρὸς Fr. Inc. 35.

Δικηφόρος. δικηφόρου Διὸς μακέλλῃ A. 511. ὦ φέγγος εὖφρον ἡμέρας νικηφόρου A. 1559. πότερα δικάστην, ἢ δικηφόρον λέγεις; C. 118.

Δίκρα. Δίκρα ὄψις Fr. Dan.

Δίκτυον. εἰς ἀπέραντον δίκτυον ἄτης ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας V. 1080. τέτρωται δικτύου πλέω λέγειν A. 842. δίκτυον Αἵδου A. 1086. ὡς ἄγουσι δίκτυον φελλοὶ C. 499. δίκτυον μὲν οὖν ἄρκυν δ' ἂν εἴποις καὶ ποδιστῆρας πέπλους C. 993. δικτύου δ' εὐήτρια Fr. Dan. 39.

Δίλογχος. δίλογχον ἄτην φοινίαν ξυνωρίδα A. 629.

Δίμοιρος. καὶ τὸ δίμοιρον αἰνῶ S. 1056. διδυμάνορα κάκ' αὐτοφόνα, δίμοιρα τέλεια τάδε πάθη T. 832.

Δινεῖν. ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι T. 444. ἅλω δὲ πολλὴν, ἀσπίδος κύκλον λέγω, ἔφριξα δινήσαντος T. 472.

Δίνη. καλεῖ δ' ἀκούοντας οὐδὲν ἐν μέσᾳ δυσπαλεῖ τε δίνᾳ E. 529. ἀνάγκης στεῤῥαὶ δίναι V. 1054. σπλάγχνα δ' οὔτι ματάζει πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις δίναις κυκλούμενον κέαρ A. 969.

Διογενής. θεοὶ Διογενεῖς S. 625. T. 283. ὦ Διογενὲς, φιλόμαχον κράτος T. 120. τύμβον κατ' αὐτὸν Διογενοῦς Ἀμφίονος T. 510.

Δίοδος. τῶν οὐρανίων ἄστρων διόδους V. 1052.

Διόθεν. τάδε φράσαι δίκαια Διόθεν κράτη S. 432. Διόθεν πολεμόκραντον ἁγνὸν τέλος T. 146. τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ Διόθεν τεύχουσα φόβον στείχει φανερῶς V. 1091. διθρόνου Διόθεν καὶ δισκήπτρου τιμῆς A. 43. βάλλεται γὰρ ὄσσοις Διόθεν κεραυνὸς A. 457. ἀλλ' ὦ

μεγάλαι Μοῖραι, Διόθεν τῇδε τελευτᾶν C. 304.

Διοίχεσθαι. τἀμὰ γὰρ διοίχεται Fr. Myrm.

Διοιχνεῖν. ἀσινὴς δ' αἰῶνα διοιχνεῖ E. 305.

Διολλύναι. διωλόμεσθ', ἄελπτ', ἄναξ, πάσχομεν S. 885. στρατὸς δ' ὁ λοιπὸς ἔν τε Βοιωτῶν χθονὶ διώλλυτ' P. 475. βασίλεια γὰρ διόλωλεν ἰσχὺς P. 582.

Διόνυσος. μιξοβόαν πρέπει διθύραμβον ὁμαρτεῖν σύγκωμον Διονύσῳ Fr. Inc. 98.

Δίοπος. βασιλῆς δίοποι P. 45. Δίοπος Fr. Sis.

Διορίζειν. τούτοις γέρα τίς ἄλλος ἢ 'γὼ παντελῶς διώρισε; V. 433. γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς διώρισ' V. 487. σῖτον δ' εἰδέναι διώρισα Fr. Pal. 2. 2.

Διόρνυσθαι. Παμφύλων τε γένη διορνυμένα S. 547.

Δῖος. δῖον πόρτιν ἐπικεκλόμεναι S. 41. τί οὖν; ὁ Δῖος πόρτις εὔχεται βοὸς S. 309. Δῖον πάμβοτον ἄλσος S. 553. λαβοῦσ' ἕρμα Δῖον ἀψευδεῖ λόγῳ S. 575. Δῖον ἐπιδόμενοι πράκτορά τε σκοπὸν δυσπολέμητον S. 637. Δῖε Πελασγῶν S. 945. τί δὲ μέλλω φρένα Δῖαν καθορᾶν; S. 1043. ἐπ' αἶαν δίαν Ἑλλάδα χώραν P. 263. ὦ δῖος αἰθὴρ V. 88. βούλευμα μὲν τὸ Δῖον, Ἡφαίστου δὲ χεὶρ V. 627. ὡς ἂν τὸ Δῖον ὄμμα λωφήσῃ πόθου V. 657. ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα τὸ Δῖον V. 1035.

Διόσδοτος. ἔχουσι μοῖραν λαχόντες, ὦ μέλεοι, διοσδότων ἀχέων T. 929. διοσδότοις σκήπτροισι τιμαλφούμενον E. 596.

Δίπαις. Βῆλον δίπαιδα, πατέρα τοῦδ' ἐμοῦ πατρὸς S. 314. δίπαις τοί σ' ἐπιτυμβίδιος θρῆνος ἀναστενάζει C. 332.

Δίπλαξ. σώματα πολυβαφῆ κατθανόντα λέγεις φέρεσθαι πλαγκτοῖς ἐν διπλάκεσσιν P. 269.

Διπλάσιος. κάμακος γλώσσημα διπλάσιον Fr. Ner.

Διπλοΐζειν. δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος ἄχθος διπλοΐζει τῷ πεπαμένῳ νόσον A. 810.

Διπλόος. ὥστε διπλόοι λύκοι νεβρὸν φέρουσιν Fr. Inc. 45.

Διπλοῦς. λέγων διπλοῦν μίασμα πρὸ πόλεως φανὲν S. 614. οἴκησις δὲ καὶ διπλῆ πάρα S. 987. ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσὶ P. 161. διπλοῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν P. 706. σῆμα διπλοῦν T. 625. διπλαῖ μέριμναι, διδυμάνορα κάκ' αὐτοφόνα, δίμοιρα τέλεια τάδε πάθη T. 831. διπλᾶ λέγειν. Διπλᾶ δ' ὁρᾶν T. 956. μηδέ μοι διπλᾶς ὁδοὺς, Προμηθεῦ, προσβάλῃς V. 952. φθογγὰς ἀκούειν ἔστι συμφορᾶς διπλῆς A. 316. διπλᾶ δ' ἔτισαν Πριαμίδαι θάμάρτια A. 523. διπλῇ μάστιγι τὴν Ἄρης φιλεῖ A. 628. ἀλλὰ διπλῆς τῆσδε μαράγνης δοῦπος ἱκνεῖται C. 369. διπλᾶς τάσδε χειρωναξίας ἔχουσα C. 750. στένωμεν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν C. 919. ἔμολε δ' ἐς δόμον τὸν Ἀγαμέμνονος διπλοῦς λέων, διπλοῦς Ἄρης C. 926. ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα C. 967. ξὺν διπλοῖσιν ἐμβρύοις E. 905.

Δίπολοι Fr. Prom. Sol. 14.

Δίπους. μαιμᾷ πέλας δίπους ὄφις S. 872. δίπους λέαινα συγκοιμωμένη λύκῳ A. 1231.

Διρκαῖος. ὕδωρ Διρκαῖον εὐτρεφέστατον πωμάτων T. 289.

Δίρκη. Δίρκης τε πηγαὶ T. 255. Ναρᾶς τε Δίρκης Fr. Inc. 106.

Διῤῥυμία. ἐν διῤῥυμίᾳ πῶλοι Fr. Inc. 74.

Δίῤῥυμος. δίῤῥυμά τε καὶ τρίῤῥυμα τέλη P. 47.

Δίς. εὖ τόδ' ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι μήτ' ἔπος, μήτ' ἔργον, ὧν ἂν δύναμις ἡγεῖσθαι θέλει P. 169. ἑκατὸν δὶς ἦσαν P. 335. ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ P. 429. δὶς ἐν τελευτῇ τοὔνομ' ἐνδατούμενος T. 560. παίω δέ νιν δὶς A. 1357.

Δίσκηπτρος. διθρόνου Διόθεν καὶ δισκήπτρου τιμῆς A. 43.

Δισσός. δισσὼ στρατηγὼ T. 798. δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην V. 959. κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασι δισσοὺς Ἀτρεΐδας μαχίμους A. 121. τοιάνδε πάλην μόνος ὢν ἔφεδρος δισσοῖς μέλλει θεῖος Ὀρέστης ἅψειν C. 854.

Δίυγρος. δύστονα κήδε' ὁμώνυμα δίυγρα τριπάλτων πημάτων T. 972.

Διφρηλάτης. ἔτυψεν δίκαν διφρηλάτου μεσολαβεῖ κέντρῳ E. 151.
Δίφρος. χεροῖν ἔντη δίφρου διασπαράττει P. 190.
Δίφροντις. εἶθ' εἶχε φωνὴν εὔφρον' ἀγγέλου δίκην, ὅπως δίφροντις οὖσα μὴ κινυσσόμην C. 194.
Δίφυιος. δαῖμον ὃς ἐμπιτνεῖς δώμασι καὶ διφυίοισι Τανταλίδαις A. 1447.
Δίχα. πυρὸς δίχα T. 25. τίς οὐ ξυνασχαλᾷ κακοῖς τεοῖσι, δίχα γε Διός; V. 162. ὅσον τό τ' ἄρχειν, καὶ τὸ δουλεύειν δίχα V. 969. καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα φθογγὰς ἀκούειν ἐστὶ συμφορᾶς διπλῆς A. 319. δίχα δ' ἄλλων μονόφρων εἰμὶ A. 735. γυναῖκα πρῶτον ἄρσενος δίχα ἧσθαι δόμοις ἔρημον A. 835. τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα A. 1341. ἔχεις τι τῶν λελεγμένων δίχα; C. 767.
Διχῇ. διχῇ δ' ἀντίπορον γαῖαν ἐν αἴσᾳ διατέμνουσα πόρον κυματίαν ὁρίζει S. 539.
Διχόθεν. πολυάνδρου δ' Ἀσίας θούριος ἄρχων ἐπὶ πᾶσαν χθόνα ποιμανόριον ἐλαύνει διχόθεν P. 76.
Διχοῤῥόπως. ἔδοξεν Ἀργείοισιν οὐ διχοῤῥόπως S. 600. σωτῆρες οὐ διχοῤῥόπως S. 960. τὸ δ' εὖ κρατοίη, μὴ διχοῤῥόπως ἰδεῖν A. 340. ἐς αἱματηρὸν τεῦχος οὐ διχοῤῥόπως ψήφους ἔθεντο A. 789. ἐχθρῶν οὐ διχοῤῥόπως A. 1245.
Διχοστατεῖν. ὄξος τ' ἄλειφά τ' ἐκχέας ταυτῷ κύτει διχοστατοῦντ' ἂν οὐ φίλως προσεννέποις A. 314. ἄτιμ' ἀτίετα διόμεναι λάχη θεῶν διχοστατοῦντ' ἀνηλίῳ λάμπᾳ E. 364.
Διχόφρων. ἀραίῳ τ' ἐκ πατρὸς διχόφρονι πότμῳ T. 881.
Διχῶς. διχῶς ἐπράθην C. 902.
Διψᾶν. ὁδοιπόρῳ διψῶντι πηγαῖον ῥέος A. 875.
Δίψιος. διψία κόνις A. 481. ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι σταγόνες ἄφραστοι δυσχίμου πλημμυρίδος C. 183.
Δίψος. δίψει πονοῦντες P. 476. ἔνθα δὴ πλεῖστοι θάνον δίψει τε λιμῷ τ' P. 483.
Δίωγμα. ἕπου, μάραινε δευτέροις διώγμασι E. 134.
Διωγμός. διωγμοῖσι δὲ ἀσφαλίας ἀδμήτας ἀδμήτα ῥύσιος γενέσθω S. 139. τί ποτ' εὔπλοιαν ἔπραξαν ταχυπόμποισι διωγμοῖς; S. 1031.
Διώκειν. διώκει παῖς ποτανὸν ὄρνιν A. 383. ὄναρ διώκεις θῆρα E. 126. σὺ δ' οὖν δίωκε E. 217. διώκειν ἔριν αἱματηρὰν C. 467. Σύριον ἅρμα διώκων P. 84. ἐπὶ πόλιν διώκων T. 89. σπουδῇ διώκων πομπίμους χνοὰς ποδῶν T. 352. ὑπέρ τε πόντον ἀπτέροις πωτήμασιν ἦλθον διώκουσ' E. 242. ἔνθεν διώκουσ' ἦλθον ἄτρυτον πόδα E. 381. ὁ γὰρ διώκων πρότερος ἐξ ἀρχῆς λέγων, γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος E. 563. διώκεται πόλεως χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας C. 287.
Δμωή. δμωαί, τί μέλλεθ'; A. 882. δμωαὶ γυναῖκες C. 82. 1044.
Δμωΐς. φίλαι δμωΐδες οἴκων C. 708. ὡς μὴ γένωμαι δμωῒς Αἰγύπτου γένει S. 330. φίλαι δμωΐδες S. 955. δμωΐδες καινοπήμονες νέαι T. 345.
Δνοφερός. ἄστυ τὸ Σούσων πένθει δνοφερῷ κατέκρυψας P. 528. ἐλευθερίως λαμπρῶς τ' ἰδεῖν φιλίοις ὄμμασι δνοφερὰς καλύπτρας C. 798. δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος E. 357.
Δνόφος. βροτοστυγεῖς δνόφοι καλύπτουσι δόμους C. 51.
Δοκεῖν. δοκεῖτε δή μοι τῆσδε κοινωνεῖν χθονὸς τὠρχαῖον S. 320. μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου; S. 412. ἢ γυναικῶν ἐς πόλιν δοκεῖς μολεῖν; S. 891. μή σοι δοκοῦμεν τῇδε ληφθῆναι μάχῃ; P. 336. ὡς ἐμοὶ δοκεῖ T. 350. δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις οὐχ ὡς ἄθυμος, οὐδὲ λήματος κάκῃ T. 397. τίνα πέμπειν δοκεῖς; T. 632. οὕτω πετεινῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ ταφέντ' ἀτιμῶς, τοὐπιτίμιον λαβεῖν T. 1011. τό τε γὰρ με, δοκῶ, ξυγγενὲς οὕτως ἐσαναγκάζει V. 289. ἆρ' ὑμῖν δοκεῖ ὁ τῶν θεῶν τύραννος ἐς τὰ πάνθ' ὁμῶς βίαιος εἶναι; V. 737. οὓς γὰρ νῦν ἀκήκοας λόγους εἶναι δοκεῖ σοι μηδέπω 'ν προοιμίοις V. 743. δοκεῖτε δὴ ναίειν ἀπενθῆ Πέργαμ' V. 957. μή τί σοι δοκῶ ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεούς; V. 962. ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ A. 16. Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς A. 577. τί δ' ἂν

δοκεῖ σοι Πρίαμος εἰ τάδ' ἤνυσεν; A. 909. εἰ δοκεῖ σοι ταῦθ' A. 918. ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς A. 1186. δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ A. 1211. ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπιτνεῖν δοκεῖ A. 1323. ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσῃ τάχα A. 1634. καὶ γὰρ Ἠλέκτραν δοκῶ στείχειν ἀδελφὴν τὴν ἐμὴν C. 16. τί σοι δοκεῖ; C. 988. ἀλλ' εἰ δικαίως, εἴτε μή, τῇ σῇ φρενὶ δοκεῖ τόδ' αἷμα, κρῖνον, ὡς τούτοις φράσω E. 583. σύ τοι μ' ἔφυσας, σύ με καταίθειν μοι δοκεῖς Fr. I. 297. μήτι χλιδῇ δοκεῖτε, μήτ' αὐθαδίᾳ σιγᾶν με V. 435. ὅταν κείνῳ δοκῇ V. 258. ὅπως δοκῶμεν τῶνδ' ἀναίτιοι κακῶν εἶναι C. 860. οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει T. 574. ὥστε σοι τὸν νῦν χόλον παρόντα μόχθων παιδίαν εἶναι δοκεῖν V. 314. κέρδιστον, εὖ φρονοῦντα μὴ δοκεῖν φρονεῖν V. 385. πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι προτίουσιν A. 762. ων ἀντίποινα παῖς ἔμος πράξειν δοκῶν P. 468. δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ δήμου προβούλοις V. 996. ἐσθλά τις δοκῶν ὁρᾶν A. 411. τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας ὑδαρεῖ σαίνειν φιλότητι A. 771. δοκοῦντες εἶναι κάρτα πρευμενεῖς ἐμοὶ A. 814. ἐχθροῖς ἐχθρὰ πορσύνων φίλοις δοκοῦσιν εἶναι A. 1348. κρεουργὸν ἦμαρ' εὐθύμως ἄγειν δοκῶν A. 1575. ἀπὸ σμικροῦ γ' ἂν ἄρειας μέγαν δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι C. 261. ὡς ἐγὼ 'δόκουν ὁρᾶν P. 184. κἀδόκεις ὁρᾶν ἐμὲ C. 227. δόξει δὲ πῶς; V. 259. πόθῳ δ' ὑπερποντίας φάσμα δόξει δόμων ἀνάσσειν A. 404. ἔδοξεν Ἀργείοισιν οὐ διχοῤῥόπως—ἡμᾶς μετοικεῖν τῆσδε γῆς ἐλευθέρους S. 600. ἐδοξάτην μοι δύο γυναῖκ' εὐείμονε—εἰς ὄψιν μολεῖν P. 177. Ἐτεοκλέα μὲν τόνδ' ἐπ' εὐνοίᾳ χθονὸς θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς T. 999. τοιαῦτ' ἔδοξε τῷδε Καδμείων τέλει T. 1016. τεκεῖν δράκοντ' ἔδοξεν C. 520. μηδέ τῳ δόξῃ πάλιν T. 1031. δήμου δέδοκται παντελῆ ψηφίσματα S. 596. ἐμὸν δοκήσει τἀμπλάκημ' εἶναι τόδε V. 386. μὴ δοκησάτω τινι T. 1027. ἐπεὶ μοῦσαν στυγερὰν ἀποφαίνεσθαι δεδόκηκεν E. 299.

Δόκιμος. δόκιμος δ' οὔτις ὑποστὰς μεγάλῳ ῥεύματι φωτῶν P. 86.

Δοκίμως. κἀγὼ δὲ μύρον τῶν οἰχομένων αἴρω δοκίμως πολυπενθῆ P. 539.

Δολιόμητις. δουλόφρονες καὶ δολιομήτιδες S. 731.

Δόλιος. ὁ δὲ πορεύεται δόλιον ὄμμ' ἔχων V. 569. μίμνει γὰρ φοβερὰ παλίνορτος, οἰκόνομος δολία μνάμων μῆνις τεκνόποινος A. 158. δολίῳ μόρῳ δαμεὶς A. 1474. οὐδὲ γὰρ αὐτὸς δολίαν ἄταν οἴκοισιν ἔθηκε A. 1504. νῦν γὰρ ἀκμάζει πειθὼ δολία C. 715. 950.

Δολιόφρων. δολιόφρων ποινὰ C. 935.

Δολιχός. δολιχῆς τέρμα κελεύθου διαμειψάμενος V. 281.

Δολόμητις. δολόμητιν δ' ἀπάταν θεοῦ τίς ἀνὴρ θνατὸς ἀλύξει; P. 93.

Δόλος. οὐ ξυνεὶς δόλον Ἕλληνος ἀνδρὸς P. 353. τὸν δὲ σὺν δόλῳ Ἀρταφρένης ἔκτεινεν P. 761. οὔτι μὴ ληφθῶ δόλῳ T. 38. κλαίω, στένομαι, καὶ δόλος οὐδεὶς μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν T. 854. ὡς οὐ κατ' ἰσχὺν, οὐδὲ πρὸς τὸ καρτερὸν χρείη, δόλῳ δὲ τοὺς ὑπερέχοντας κρατεῖν V. 213. τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει A. 860. ἀλλ' ἦ δόλον τιν', ὦ ξέν', ἀμφ' ἐμοὶ πλέκεις; C. 218. ὡς ἂν δόλῳ κτείναντες ἄνδρα τίμιον δόλῳ τε καὶ ληφθῶσιν ἐν ταυτῷ βρόχῳ C. 549. δόλοις ὀλούμεθ' ὥσπερ οὖν ἐκτείναμεν C. 875. ἀπὸ γάρ με τιμᾶν δαμιᾶν θεῶν δυσπάλαμοι παρ' οὐδὲν ἦραν δόλοι E. 809.

Δολοῦν. τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς A. 1619. μὴ δολώσαντος θεοῦ A. 264.

Δολοφόνος. δολοφόνου λέβητος τύχαν τοι λέγω A. 1100.

Δόλωμα. τῷδέ τ' ἂν δολώματι πολλοὺς ἀναιρῶν C. 998.

Δόμος. λινοῤῥαφὴς δόμος ἅλα στέγων S. 128. πένθεῖ δ' ἄνδρα δόμος στερηθεὶς P. 571. πρὶν ἐμὸν ἐσθορεῖν δόμον T. 436. μελαναιγὶς δ' οὐκ εἶσι δόμον Ἐριννὺς T. 682. ἐλθὼν ἐς δόμον τὸν Ἀτρειδᾶν A. 389. καὶ πανώλεθρον αὐτόχθονον πατρῷον ἔθρισεν δόμον A. 522. πένεσθαι δ' οὐκ ἐπίσταται δόμος A. 936. οὐκ ἔδυ πρόπας δόμος, πημονᾶς γέμων ἄγαν A. 983.

ἀπὸ σμικροῦ δ' ἂν ἄρειας μέγαν δόμον C. 261. *δαιμονᾷ δόμος κακοῖς* C. 559 *εὖ δὸς ἀνιδεῖν δόμον ἀνδρὸς* C. 796. *ἔμολε δ' ἐς δόμον τὸν Ἀγαμέμνονος διπλοῦς λέων, διπλοῦς Ἄρης* C. 925. *πιτνεῖ δόμος δίκας* E. 490. *δαίμονες ὀρθόνομοι παντὶ δόμῳ μετάκοινοι* E. 922. *βᾶτε δόμῳ μεγάλαι φιλότιμοι Νυκτὸς παῖδες* E. 986. *εὐφαμεῖτε μελισσονόμοι δόμον Ἀρτέμιδος πέλας οὔγειν* Fr. I. 58. *ἴσθι γὰρ, παισὶ τάδε καὶ δόμοις, ὁπότερ' ἂν κτίσῃς, μένει Ἄρει 'κτίνειν ὁμοίαν θέμιν* S. 428. *δόμων πορθουμένων* S. 438. *εὐτυχεῖς ναίειν δόμους* S. 937. *πάρεστιν οἰκεῖν καὶ μονοῤῥύθμους δόμους* S. 939. *λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους* P. 155. *ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν* P. 165. *παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν* P. 223. *κέλευθον ἐκ δόμων πάλιν ἔστειλα τήνδε* P. 599. *δαίμονα μεγαυχῆ ἰόντ' αἰνέσατ' ἐκ δόμων* P. 634. *τὸν δὲ σὺν δόλῳ Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις* P. 762. *λαβοῦσα κόσμον ἐκ δόμων* P. 835. *πρὸς δόμους δ' ἴθι* P. 995. *αἰακτὸς ἐς δόμους κίε* P. 1025. *μνημεῖά θ' αὑτῶν τοῖς τεκοῦσιν ἐς δόμους πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον* T. 49. *μὴ δόμους ἐφεστίους ἐκθαμνίσητε* T. 72. *σὸν δ' αὖ τὸ σιγᾶν, καὶ μένειν εἴσω δόμων* T. 214. *ἰὼ πρόμαχ' ἐμῶν δόμων* T. 465. *ὦ πόνοι δόμων νέοι* T. 723. *πόνοι πόνων δόμων ἐφέστιοι* T. 835. *πατρῴους δόμους ἑλόντες μέλεοι σὺν ἀλκᾷ* T. 858. *δόμοισι καὶ σώμασι πεπλαγμένους ἐννέπω* T. 877. *δόμων μάλ' ἀχὼ ἐπ' αὐτοὺς προπέμπει δαΐκτηρ γόος* T. 898. *ἰὼ πολλοῖς ἐπανθίσαντες πόνοισί γε δόμους* T. 933. *οὔτε πλινθυφεῖς δόμους προσείλους ἦσαν* V. 449. *ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμὲ* V. 668. *δόμοις ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι ἐπορθιάζειν* A. 27. *δόμων ἄγαλμα* A. 201. *πολὺ δ' ἔστενον τόδ' ἐννέποντες δόμων προφῆται* A. 397. *πόθῳ δ' ὑπερποντίας φάσμα δόξει δόμων ἀνάσσειν* A. 404. *τὸ πᾶν δ' ἀφ' Ἑλλάδος αἴας συνορμένοις πένθεια τλησικάρδιος δόμων ἑκάστου πρέπει* A. 420. *ἀντὶ δὲ φωτῶν τεύχη καὶ σποδὸς εἰς ἑκάστου δόμους ἀφικνεῖται* A. 425. *δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος* A. 565. *δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν εἰκὸς μάλιστα* A. 572. *ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν* A. 665. *ἔθρεψεν δὲ λέοντα σίνιν δόμοις* A. 700. *ἐκ θεῶν δ' ἱερεύς τις ἄτας δόμοις προσεθρέφθη* A. 719. *ἐς μέλαθρα καὶ δόμους ἐφεστίους ἐλθὼν* A. 825. *ἧσθαι δόμοις ἔρημον* A. 836. *κάκιον ἄλλο πῆμα λάσκοντες δόμοις* A. 839. *εἶμ' ἐς δόμων μέλαθρα* A. 931. *δόμοισιν ἐν χρηστηρίοις* A. 938. *τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει* A. 945. *ἐπεί σ' ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις κοινωνὸν εἶναι χερνίβων* A. 1007. *μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακὸν* A. 1073. *βρότειον αἷμα κῶμος ἐν δόμοις μένει* A. 1162. *εἰδέναι λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων* A. 1170. *ὁρᾶτε τούσδε τοῖς δόμοις ἐφημένους νέους* A. 1190. *φόνον δόμοι πνέουσιν αἱματοσταγῆ* A. 1282. *ἀλλ' εἶμι κἀν δόμοισι κωκύσουσ' ἐμὴν Ἀγαμέμνονός τε μοῖραν* A. 1286. *δόμων καταισχυντῆρες* A. 1336. *κρατῆρ' ἐν δόμοις κακῶν ὅδε πλήσας ἀραίων, αὐτὸς ἐκπίνει μολὼν* A. 1370. *ἥτις ἦν τότ' ἐν δόμοις ἔρις ἐρίδματος ἀνδρὸς οἰζὺς* A. 1439. *θέσμιον γὰρ τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων* A. 1547. *ἰόντ' ἐκ τῶνδε δόμων* A. 1553. *ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων* A. 1568. *στείχετ' ἤδη δ', οἱ γέροντες, πρὸς δόμους πεπρωμένους* A. 1642. *πότερα δόμοισι πτῶμα προσκυρεῖ νέον;* C. 13. *ἰαλτὸς ἐκ δόμων ἔβην χοᾶς προπομπὸς* C. 22. *τορὸς γὰρ φόβος ὀρθόθριξ δόμων ὀνειρόμαντις* C. 33. *ἰὼ κατασκαφαὶ δόμων* C. 49. *βροτοστυγεῖς δνόφοι καλύπτουσι δόμους* C. 51. *κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν* C. 99. *ἀναλυτὴρ δόμων* C. 158. *ἄμφω φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων* C. 252. *λιπὼν εὔκλειαν ἐν δόμοισι* C. 344. *αἰτουμένῳ μοι δὸς κράτος τῶν σῶν δόμων* C. 473. *πολλοὶ δ' ἀνῆλθον, ἐκτυφλωθέντες σκότῳ, λαμπτῆρες ἐν δόμοισι δεσποίνης χάριν* C. 530. *ξένος τε καὶ δορύξενος δόμων* C. 555. *δόμοις παραστείχων* C. 561. *δυσφιλὲς γαμήλευμ', ἀπεύχετον δόμοις* C. 616. *τίω δ' ἀθέρμαντον ἑστίαν δόμων* C. 620. *τίς ἔνδον, ὦ παῖ, παῖ, μάλ' αὖθις, ἐν δόμοις;* C. 643. *ὥρα δ'*

ἐμπόρους μεθιέναι ἄγκυραν ἐν δόμοισι πανδόκοις ξένων C. 651. ὁποῖάπερ δόμοισι τοῖσδ' ἐπεικότα C. 658. ἄγ' αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων C. 701. δόμοις δὲ τοῖσδε παγκακῶς γ' ἔχει C. 729. ἄλγη δύσοιστα τοῖσδ' ἐν Ἀτρέως δόμοις τυχόντα C. 734. Ὀρέστης ἐλπὶς οἴχεται δόμων C. 765. εὖ δὸς ἀνιδεῖν δόμον ἀνδρὸς C. 794. καὶ τόδ' ἀμφέρειν δόμοις γένοιτ' ἂν ἄχθος C. 828. πῶς κέκρανται δόμοις; C. 858. τίνα βοὴν ἵστης δόμοις; C. 872. οὔτοι σ' ἀπέῤῥιψ' εἰς δόμους δορυξένους C. 901. ἐπολολύξατε δεσποσύνων δόμων ἀναφυγὰς κακῶν C. 930. δόμοι, πολὺν ἄγαν χρόνον χαμαιπετεῖς ἔκεισθ' C. 957. μέτοικοι δόμων πεσοῦνται πάλιν C. 965. τοιάδε μοι ξύνοικος ἐν δόμοισι μὴ γένοιτ' C. 999. πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου E. 35. τῷδε δεσπότῃ δόμων αὐτῷ μελέσθω E. 60. οὔτοι δόμοισι τοῖσδε χρίμπτεσθαι πρέπει E. 176. προστραπέσθαι τούσδ' ἐπέστελλον δόμους E. 196. οὐ γὰρ δόμοισι τοῖσδε πρόσφορον μολεῖν E. 198. τοὺς μητραλοίας ἐκ δόμων ἐλαύνομεν E. 201. βροτοκτονοῦντας ἐκ δόμων ἐλαύνομεν E. 399. ἱκέτης προσῆλθες καθαρὸς ἀβλαβὴς δόμοις E. 452. ἔστι γὰρ δόμων ἱκέτης ὅδ' ἀνὴρ καὶ δόμων ἐφέστιος ἐμῶν, φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος E. 546. τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις E. 693. ὦ Παλλὰς, ὦ σώσασα τοὺς ἐμοὺς δόμους E. 724. ἄπειμι πρὸς δόμους E. 734. σὺ τιμίαν ἕδραν ἔχουσα πρὸς δόμοις Ἐρεχθέως E. 817. δόμους Ἀμφίονος καταιθαλώσω Fr. Niob. πολλά γ' ἐν δόμοισιν εἴργασται κακὰ Fr. I. 53. ἀφνεοὶ δόμοι Fr. I. 60.

Δομοσφαλής. δέδοικα δ' ὄμβρου κτύπον δομοσφαλῆ, τὸν αἱματηρὸν A. 1515.

Δόναξ. ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ ὑπνοδόταν νόμον V. 574.

Δονεῖν. ἢ πολλά γ' ἐν δόμοισιν εἴργασται κακὰ δονοῦσα καὶ τρέπουσα τύρβ' ἄνω κάτω Fr. I. 53.

Δόξα. οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενὸς A. 266. εἴτ' οὖν κομίζειν δόξα νικήσει φίλων C. 672. ὀνειρόφαντοι δὲ πενθήμονες πάρεισιν δόξαι φέρουσαι χάριν ματαίαν A. 410. τίνες σε δόξαι, φίλτατ' ἀνθρώπων πατρὶ, στροβοῦσι; C. 1047. δόξαι τ' ἀνδρῶν καὶ μάλ' ὑπ' αἰθέρι, σεμναὶ, τακόμεναι μινύθουσιν ἄτιμοι ἡμετέραις ἐφόδοις μελανείμοσιν, ὀρχησμοῖς τ' ἐπιφθόνοις ποδὸς E. 351.

Δοξάζειν. ἡμεῖς ἐκείνους ταῦτ' ἔχειν δοξάζομεν A. 659. δοξάσει τις ἀκούων ὄπα τὰς Τηρείας μήτιδος οἰκτρᾶς ἀλόχου S. 58. πῶς ταῦτ' ἀληθῆ καὶ βλέποντα δοξάσω; C. 831. εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι C. 168.

Δορά. τῆς σισύρνης τῆς λεοντείας δορᾶς Fr. Præc.

Δορία A. 1093.

Δορίγαμβρος. τὰν δορίγαμβρον ἀμφινεικῆ θ' Ἑλέναν A. 672.

Δορικμής. μετ' ἄλλων δορικμῆτι λαῷ παρὰ Σκαμάνδρου πόρον τέθαψαι C. 360.

Δορίκρανος. πότερον τόξου ῥῦμα τὸ νικῶν, ἢ δορικράνου λόγχης ἰσχὺς κεκράτηκεν; P. 144.

Δοριλύμαντος. δοριλυμάντους Δαναῶν μόχθους Fr. Myrm. 1.

Δορίμαργος. μήτε σε θυμοπληθὴς δορίμαργος ἄτα φερέτω T. 668.

Δορίπονος. πόλιν δορίπονον μὴ προδῷθ' ἑτεροφώνῳ στρατῷ T. 153. δορίπονα κάκ' ἐκτρέποντες γᾶς πρὸς ἐπιμόλους T. 610.

Δορίτμητος. εἰ γὰρ ὑπ' Ἰλίῳ πρός τινος Λυκίων, πάτερ, δορίτμητος κατηναρίσθης C. 343.

Δόρπον. ἄριστα, δεῖπνα, δόρπα θ' αἱρεῖσθαι Fr. Pal. 23.

Δόρυ. δορὸς ἀχείματόν μ' ἔπεμπε S. 129. γομφοδέτῳ δορὶ S. 826. πολὺς δὲ πόντος οὐκ ἐκληρώθη δορὶ S. 983. θείνεται πληγῇ δορὸς P. 296. πολύπονον δόρυ νωμῶν P. 312. ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δορὶ P. 413. ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορὶ P. 715. πάταγος οὐχ ἑνὸς δορὸς T. 99. πύργον στέγειν εὔχεσθε πολέμιον δορὺ T. 198. δορὸς ἄγρα T. 304. πρὸς ἀνδρὸς δ' ἀνὴρ ὑπὸ δορὶ καίνεται T. 329. λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορὸς T. 381. Δίκη δ' ὁμαίμων κάρτα νὶν προστέλλεται εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ T. 398. πρὶν ἐμὸν ἐσθορεῖν δόμον, πωλικῶν θ' ἑδωλίων ὑπερκόπῳ δορί ποτ' ἐκλαπάξαι T. 438. πατρίς

τε γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ ἁλοῦσα, πῶς σοι σύμμαχος γενήσεται; T. 567. χεῖρα δ' οὐ βραδύνεται παρ' ἀσπίδος γυμνωθὲν ἁρπάσαι δόρυ T. 606. ἢ δύσορνις ἅδε ξυναυλία δορὸς T. 821. δορὶ δ' ἔκανες. Δορὶ δ' ἔπαθες T. 942. δορὸς τῶδ' ἀντηρέτας T. 981. εἰ μὴ θεῶν τις ἐμπόδων ἔστη δορὶ τῷ τοῦδε T. 1007. ταλαντοῦχος ἐν μάχῃ δορὸς A. 428. στρατὸν δέχεσθαι τὸν λελειμμένον δορὸς A. 503. ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορὶ A. 1120. σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορὸς A. 1601. κτήσεται δ' ἄνευ δορὸς αὐτόν τε καὶ γῆν καὶ τὸν Ἀργεῖον λεὼν E. 279. μήτοι τιν' ἄνδρα δεῦρο πρυμνήτην χθονὸς ἐλθόντ' ἐποίσειν εὖ κεκασμένον δόρυ E. 735. πόλιν τὴν Παλλάδος τιμῶσιν αἰεὶ τήνδε συμμάχῳ δορὶ E. 743. πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις σωτήριόν τε καὶ δορὸς νικηφόρον E. 746.

Δορυκανής. μήτ' ἀέλπτως δορυκανεῖ μόρῳ θανὼν λάθοιμι S. 965.

Δορύξενος. τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος Στρόφιος ὁ Φωκεὺς A. 854. ξένος τε καὶ δορύξενος δόμων C. 555. οὔτοι σ' ἀπέρριψ' εἰς δόμους δορυξένους C. 1001.

Δορυπαγής. δορυπαγεῖς ἔχοντες κυανώπιδας νῆας S. 724.

Δορύπαλτος. χερὸς ἐκ δορυπάλτου A. 116.

Δορυσθενής. δορυσθενὴς ἀνὴρ, ἀναλυτὴρ δόμων C. 157.

Δορυσσόος. ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον λεύσσω S. 179. ἐμοῦ δ' ὀπαδοὺς τούσδε καὶ δορυσσόους ἔταξαν S. 963. ἑπτὰ δ' ἀγήνορες πρέποντες στρατοῦ σάγαις δορυσσόοις πύλαις ἑβδόμαις προσίστανται T. 118.

Δορυτίνακτος. δορυτίνακτος αἰθὴρ ἐπιμαίνεται T. 140.

Δορυφόρος. ἄγειν κελεύει δορυφόρους ὀπάονας C. 758.

Δόσις. βόα νῦν ἀντίδουπά μοι. Δόσιν κακὰν κακῶν κακῶς P. 998. πολλὰ δ' ἀκριτόφυρτος γᾶς δόσις οὐτιδανοῖς ἐν ῥοθίοις φορεῖται T. 343. πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλαφής τε καὶ ἐξ ἀλόκων ἐπετείαν νῆστιν ὤλεσεν νόσον A. 986. κακῶν ἐπαξίαν δόσιν C. 93. γένοιτο δ' ὡς ἄριστα σὺν θεῶν δόσει C. 771. δίδωσι δ' ἡ γενέθλιον δόσιν Φοίβῳ E. 7. δαιμόνων δόσιν τίοι E. 908.

Δοτήρ. πυρὸς βροτοῖς δοτῆρ' ὁρᾷς Προμηθέα V. 615.

Δούλεια. θεοὶ πολῖται, μή με δουλείας τυχεῖν T. 235. μήτ' οὖν νεαρῶν τιν' ὑπερτελέσαι μέγα δουλείας γάγγαμον A. 350.

Δούλειος. πόλιν—δουλείαν ψαφαρᾷ σποδῷ ὑπ' ἀνδρὸς Ἀχαιοῦ περθομέναν T. 305. πόλεως ἀπείργειν τῆσδε δούλειον ζυγὸν T. 453. πόλις πέφευγεν ἥδε δούλειον ζυγὸν T. 775.

Δουλεύειν. ὅσον τό τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα V. 929. ἔζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα ζεύγλαισι δουλεύοντα V. 461.

Δούλιος. πάρεστι δ' ἔργον, ὡς ἔπος, σπεῦσαί τι τῶν δούλιος φέρει φρὴν S. 594. στεῦνται δ' ἱεροῦ Τμώλου πελάται ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι P. 50. ἐλευθέραν δὲ γῆν καὶ Κάδμου πόλιν ζυγοῖσι δουλίοισι μήποτε σχέθειν T. 75. ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ A. 927. μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενὶ A. 1054. φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγὸν A. 1199. ἐκ γὰρ οἴκων πατρῴων δούλιον ἐσᾶγον αἶσαν C. 75.

Δοῦλος. δούλης θανούσης εὐμαροῦς χειρώματος A. 1299. οὔ τινος δοῦλοι κεκλῆνται φωτὸς, οὐδ' ὑπήκοοι P. 238. Ἑλλήσποντον ἱερὸν, δοῦλον ὥς, δεσμώμασιν ἤλπισεν σχέθειν ῥέοντα P. 731. πολλῶν μετὰ δούλων A. 1008.

Δουλοσύνη. ἴδετε παρθένων ἱκέσιον λόχον δουλοσύνας ὕπερ T. 107.

Δουλοῦν. θεοὶ πολῖται, μή με δουλείας τυχεῖν. Αὐτὴ σὺ δουλοῖς κἀμὲ καὶ σὲ καὶ πόλιν T. 236.

Δουλόφρων. δουλόφρονες δὲ καὶ δολιομήτιδες, δυσάγνοις φρεσὶν, κόρακες ὥστε, βωμῶν ἀλέγοντες οὐδὲν S. 731.

Δοῦπος. ἀλλὰ διπλῆς γὰρ τῆσδε μαράγνης δοῦπος ἱκνεῖται C. 370.

Δουρίκλυτος. ἐπάγει δουρικλύτοις ἀνδράσι τοξόδαμνον Ἄρην P. 85.

Δουρίπληκτος. λάφυρα δαΐων δουρίπληκτα T. 260.

Δράκαινα. ὕπνος πόνος τε, κύριοι

ξυνωμόται δεινῆς δρακαίνης ἐξεκήραναν μένος E. 124.

Δρακονθόμιλος. μηνεῖται δ' ἄκη δρακονθόμιλον δυσμενῆ ξυνοικίαν S. 263.

Δρακοντόμαλλος. δρακοντόμαλλοι Γοργόνες βροτοστυγεῖς V. 801.

Δράκων. φονίου δέργμα δράκοντος P. 82. δράκοντα δ' ὥς τις τέκνων ὑπερδέδοικε λεχέων δυσευνήτειρα πάντροφος πελειὰς T. 273. ὡς δράκων βοᾷ T. 363. εἴρξει νεοσσῶν ὡς δράκοντα δύσχιμον T. 485. τεκεῖν δράκοντ' ἔδοξεν C. 520. ὁδοιπόρων δήλημα χωρίτης δράκων Fr. Leon. οὐ γὰρ δράκων ἐνῆκεν, ἀλλ' ἐνῴκισε δεινήν γε στόματος ἔκφυσιν ποδὸς λαβὼν Fr. Philoct. 7. δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα C. 1043. ἀλλ' εἰ δρακόντων δυσχίμων ἐχθίοσιν S. 506. πεπλεκτανημέναι πυκνοῖς δράκουσι C. 1046.

Δρᾶμα. Πάρις γὰρ οὔτε συντελὴς πόλις ἐπεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον A. 519.

Δράμημα. τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν P. 243.

Δρᾶν. ἐγὼ δὲ πῶς δρῶ; S. 500. ποῖ Κλυταιμνήστρα; τί δρᾷ; C. 869. τί δρᾷς; ἀνίστω, μή σε νικάτω πόνος E. 128. τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοὶ E. 156. δράτω πόλις καὶ μὴ δράτω τοὺς κλαίοντας Πολυνείκην T. 1058. δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον ὅπως θέλει V. 943. τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι T. 1049. Καπανεὺς δ' ἀπειλεῖ, δρᾶν παρεσκευασμένος T. 422. δρᾶν ταῦτ' ἀνάγκη V. 72. κἀγὼ τοιοῦδε γνώματος κοινωνὸς ὢν ψηφίζομαί τι δρᾶν A. 1326. ἐπειδὴ δρᾶν κατώρθωσαι φρενὶ C. 505. τἄλλα δ' ἐξηγοῦ φίλοις, τοῖσδ' ἕν τι ποιεῖν, τοὺς δὲ μήτι δρᾶν, λέγων C. 546. ὡς μάθῃ, τί χρὴ δρῶντ' ἢ λέγοντα, δαίμοσιν πράττειν φίλα V. 663. τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεύειν πέρι A. 1332. αὐτὸς ἦν ὁ μαρτυρῶν ὡς ταῦτ' Ὀρέστην δρῶντα μὴ βλάβας ἔχειν E. 766. τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ, εὖ δρῶσαν, εὖ παθοῦσαν εὖ τιμωμένην χώρας μετασχεῖν τῆσδε E. 830. τί που δράσεις ὅταν τὰ λοιπὰ πυνθάνῃ κακά; V. 746. σὺ δ', εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει A. 1029. Πυλάδη, τί δράσω; μητέρ' αἰδεσθῶ κτανεῖν C. 886. ἔδρασεν, ἢ οὐκ ἔδρασε C. 1005. τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις E. 693. μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν, ἄλλα δράσωμεν κακὰ A. 1639. καὶ φόβος μ' ἔχει φρένας, δρᾶσαί τε, μὴ δρᾶσαί τε S. 375. δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως A. 1618. δρᾶσαι γὰρ, ὥσπερ ἐστὶν, οὐκ ἀρνούμεθα E. 581. τοίγαρ κακῶς δράσαντες οὐκ ἐλάσσονα πάσχουσι P. 799. Ἰφιγένειαν ἀνάξια δράσας, ἄξια πάσχων A. 1508. δράσαντι παθεῖν τριγέρων μῦθος τάδε φωνεῖ C. 310. δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται Fr. Inc. 1.

Δράσιμος. χεὶρ δ' ὁρᾷ τὸ δράσιμον T. 536.

Δρασμός. δρασμῷ κρυφαίῳ βίοτον ἐκσωζοίατο P. 352. ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινὰ P. 362.

Δραστήριος. θάρσει πάρεσται μηχανὴ δραστήριος T. 1032.

Δρέπειν. ἀλλ' αὐτάδελφον αἷμα δρέψασθαι θέλεις; T. 700.

Δριμύς. ὁ παλαιὸς δριμὺς ἀλάστωρ Ἀτρέως A. 1483. πάροιθεν δὲ πρώρας δριμὺς ἧται καρδίας θυμὸς, ἔγκοτον στύγος C. 386.

Δροίτη. πρὶν τόνδ' ἐπιδεῖν ἀργυροτοίχου δροίτης κατέχοντα χαμεύναν A. 1521. νεκροῦ ποδένδυτον δροίτης κατασκήνωμα C. 993. ἀπὸ στρατείας ἠμποληκότα τὰ πλείστ' ἀμείνον' εὔφροσιν δεδεγμένη δροίτῃ E. 603.

Δρόμος. τοίγαρ νιν ἐκ γῆς ἤλασεν μακρῷ δρόμῳ S. 305. κίρκον εἰσορῶ δρόμῳ πτεροῖς ἐφορμαίνοντα P. 203. ἔξω δὲ δρόμου φέρομαι V. 885. ἐκ δρόμου πεσὼν τρέχω A. 1218. ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὖνιν ζυγέντ' ἐν ἅρματι πημάτων, ἐν δρόμῳ, προστιθεὶς μέτρον C. 785. ἄλλος φανεῖ δῆτ', οὐ γὰρ οἶδ' ὅπη τελεῖ, ὥσπερ ξὺν ἵπποις ἡνιοστρόφου δρόμου ἐξωτέρω C. 1018. μετά με δρόμοισι διόμενοι S. 799. καὶ νῦν τοὺς ὑπερμήκεις δρόμους Ἥρα στυγητὸς πρὸς βίαν γυμνάζεται V. 593. ἀφ' οὗ παλιμπλάγκτοισι χειμάζῃ δρόμοις V. 840. βλάβεντα λοισθίων δρόμων A. 119.

Δρόσος. βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου A. 1363. καὶ ταῦτα γῆθεν, ἔκ τε ποντίας δρόσου, ἐξ οὐ-

ρανοῦ τε, κἀνέμων ἀήματα εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα E. 864. δρόσοι λεπτοὶ A. 139. ὑπαιθρίων πάγων δρόσων τ' ἀπαλλαγέντες A. 327. ἐξ οὐρανοῦ γὰρ κἀπὸ γῆς λειμώνιοι δρόσοι κατεψέκαζον A. 547.

Δρυμός. δρυμοὺς ἐρήμους ἢ πάγους ἀποικίσει Fr. Inc. 32. 10.

Δρῦς. τέρας τ' ἄπιστον, αἱ προσήγοροι δρύες V. 834.

Δρώπτειν Fr. Psych. 5.

Δύα. αἶ αἶ αἶ αἶ, δύα δύα P. 1004. πολλάκι δ' ἐν κακοῖσι τὸν ἀμήχανον κἀκ χαλεπᾶς δύας ὕπερθ' ὀμμάτων κρημναμενᾶν νεφελᾶν ὀρθοῖ T. 210. δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύης V. 748. νέαι νέαι δύαι δύαι P. 972. σὺ μὲν θρασύς τε καὶ πικραῖς δύαισιν οὐδὲν ἐπιχαλᾷς V. 179. μυρίαισι πημοναῖς δύαις τε καμφθεὶς V. 511. δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω V. 523. πόθεν θεοφόρους ἐπισσύτους τ' ἔχεις ματαίας δύας; A. 1122. δεσμός τε καὶ τὸ γῆρας αἵ τε νήστιδες δύαι διδάσκειν ἐξοχώταται φρενῶν A. 1605. κλύεις πατρῴους δύας ἀτίμους C. 437. ἀντιποίνους τίνεις μητροφόνας δύας E. 258. τὸν οὔποτ' αὐχοῦντ' ἰδὼν ἀμηχάνοις δύαις λέπαδνον E. 532.

Δύϊαν S. 808.

Δύνασθαι. δύναται γὰρ Διὸς ἄγχιστα σὺν Ἥρᾳ S. 1017. μέγα γὰρ δύναται πότνι' Ἐριννὺς παρά τ' ἀθανάτοις, τοῖς θ' ὑπὸ γαῖαν E. 910. τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν δύναιτ' ἂν αὐτῷ πλὴν ἐμοῦ δεῖξαι σαφῶς V. 916.

Δύναμις. εὖ τόδ' ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι μήτ' ἔπος μήτ' ἔργον ὧν ἂν δύναμις ἡγεῖσθαι φιλεῖ P. 170. δύναμιν οὐ σέβουσα πλούτου πάρασημον αἴνῳ A. 754.

Δυνάστης. τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς λαμπρὰς δυνάστας, ἐμπρέποντας αἰθέρι ἀστέρας A. 6.

Δυνάτης. τί τάδε δυνάτα δυνάτα περὶ τᾷ σᾷ δίδυμα διάγοιεν ἁμαρτίᾳ πάσᾳ γᾶ σᾶ τᾶδε P. 661.

Δυνατός. τούτων λέξασ' ὅ τι καὶ δυνατὸν καὶ θέμις αἰνεῖν A. 97.

Δύνειν. πρὸς δύνοντος ἡλίου S. 252. ἀνάγκας ἔδυ λέπαδνον A. 211. οὐκ ἔδυ πρόπας δόμος A. 983. ἔδυ δ' ἐς ἄντρον Fr. Phin. βίου δύντος A. 1094.

Δύο. δύο γυναῖκ' εὐείμονε P. 177. διπλοῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν P. 706. ἄσμενον μολεῖν γέφυραν ἐν δυοῖν ζευκτηρίαν P. 722. δυοῖν ἀνάκτοιν T. 904. δυοῖν κρατήσας ἔληξε δαίμων T. 938. δυοῖν λόγοιν σε θατέρῳ δωρήσομαι V. 789. γνωμῶν δυοῖν δὲ θάτερον βουλήσεται V. 869. δύο λήμασι δισσοὺς Ἀτρεΐδας μαχίμους A. 121. κἀν δυοῖν οἰμωγμάτοιν μεθῆκεν αὐτοῦ κῶλα A. 1357. καὶ γὰρ δύ' ἐστὸν τώδε περιγραφὰ ποδοῖν C. 205. δυοῖν γυναικοῖν ὧδ' ὑπηκόους πέλειν C. 302. ὑπὸ δυοῖν μιαστόροιν C. 932. δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα C. 1043. δυοῖν παρόντοιν ἥμισυς λόγου πάρα E. 406. δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτων E. 570. βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα Fr. Myrm. 10. δύο μορφὰς φανεῖ Fr. Inc. 32. 5.

Δύρεσθαι. καί μοι τὰ μὲν πάροντα μὴ δύρεσθ' ἄχη V. 271. δαιμόνι' ἄχη δυρόμενοι γέροντες τὸ πᾶν δὴ κλύουσιν ἄλγος P. 574.

Δυσαγκόμιστος. αἷμα μητρῷον χαμαὶ δυσαγκόμιστον, παπαῖ E. 252.

Δυσάγκριτος. ἰὼ δυσάγκριτοι πόνοι, ποῖ τόδε κῦμ' ἀπάξει S. 119.

Δύσαγνος. δουλόφρονες δὲ καὶ δολιομήτιδες δυσάγνοις φρεσὶν, βωμῶν οὐδὲν ἀλέγοντες S. 732.

Δυσάδελφος. ἰὼ δυσαδελφόταται πασῶν ὁπόσαι στρόφον ἐσθῆσιν περιβάλλονται T. 852.

Δυσαιανής. ἴυζ' ἄποτμον βοὰν δυσαιανῆ Πέρσαις δᾴοις P. 273.

Δυσαλγής. δυσαλγὴς τύχῃ A. 1137.

Δυσάλωτος. πρὶν παλάμῃ τινι τὴν δυσάλωτον ἕλῃ τις ἀρχὴν V. 166.

Δυσαμέριος. Σφίγγα δυσαμερίαν Πρύτανιν κύνα πέμπει Fr. Sphinx. 2.

Δυσάνωρ. Ζεὺς ἄναξ ἀποστεροίη γάμον δυσάνορα δάϊον S. 1050.

Δυσάρεστος. μέγαλας καὶ δυσαρέστους δαίμονας αὐτοῦ κατανασσαμένη E. 888.

Δύσαρκτος. φέρουσι γὰρ νικώμενον φρένες δύσαρκτοι C. 1020.

Δυσαυλία. μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας A. 541.

Δυσαχής. ἐπάθομεν πάθος δυσαχὲς E. 140.

Δύσβατος. ἰὼ Περσίς αἶα δύσβατος P. 1026.

Δυσβάϋκτος. τεῖνε δὲ δυσβάϋκτον βοᾶτιν τάλαιναν αὐδὰν P. 566.

Δυσβουλία. πᾶσαν συνάψας μηχανὴν δυσβουλίας A. 1591. Οἰδίπου γένει κραίνων παλαιὰς Λαΐου δυσβουλίας T. 784.

Δυσδαίμων. ἀκτὰν δυσδαίμονα P. 915. ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας ἀτέκνους κλαύσω πολεμάρχους; T. 809. δυσδαίμων σφὶν ἁ τεκοῦσα πρὸ πασῶν γυναικῶν T. 909. δυσδαιμόνων δὲ τίνες, οἶ, ἒ ἔ, οἷ' ἐγὼ, μογοῦσι; V. 604. ὡς δυσδαίμονες ἀφύλακτον εὐδήσουσι πᾶσαν εὐφρόνην A. 327.

Δυσδάκρυτος. ψῆγμα δυσδάκρυτον ἀντήνορος σποδοῦ A. 430.

Δυσδάμαρτος. ἀνήρ τε δυσδάμαρτος ἀντ' ἀνδρὸς πέσῃ A. 1292.

Δύσεδρος. δύσεδρος καὶ δυσόμιλος A. 726.

Δυσεκλύτως. ἄραρεν ἥδε γ' ὠλένη δυσεκλύτως V. 60.

Δύσελπις. τότε μὲν δύσελπις C. 407.

Δυσευνήτειρα. δράκοντα ὥς τις τέκνων ὑπερδέδοικε λεχέων δυσευνήτειρα πάντροφος πελειὰς T. 275.

Δυσεύρετος. τῶνδ' εἴ τι σοὶ ψελλόν τε καὶ δυσεύρετον, ἐπαναδίπλαζε V. 818.

Δυσήλιος. δυσήλιον κνέφας E. 374.

Δυσθέατος. δυσθέατα πήματα T. 963. ὁρᾷς θέαμα δυσθέατον ὄμμασιν V. 69. δυσθέατα καὶ δύσοιστα πήματα V. 693.

Δύσθεος. τοῦδε δύσθεος πατὴρ 'Ατρεὺς A. 1572. δύσθεος γυνὴ C. 45. 518. οὐδαμῶς ἐπώνυμον φρόνημα παισὶ δύσθεον πεπαμένη C. 189.

Δύσθροος. παναίολ' αἰανῆ δύσθροα βάγματα P. 628. ἵετ' αἰανὴν πάνδυρτον δύσθροον αὐδὰν P. 904. πέμψω τοί σε δυσθρόοισι γόοις P. 1032.

Δυσίατος. μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακὸν ἄφερτον φίλοισι, δυσίατον A. 1074.

Δύσις. ἔδειξα δυσκρίτους δύσεις ἄστρων V. 456. ἀμφὶ Πλειάδων δύσιν A. 800.

Δύσκαπνος. δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασιν A. 750.

Δυσκατάπαυστος. ἰὼ δυσκατάπαυστον ἄλγος C. 463.

Δυσκέλαδος. δυσκέλαδον ὕμνον 'Ερινύος ἰαχεῖν T. 849.

Δύσκηλος. δύσκηλον χθόνα E. 789.

Δυσκλεής. ἀνηλεῶς ὧδ' ἐῤῥύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα V. 241. τεθνᾶσιν αἰσχρῶς δυσκλεεστάτῳ μόρῳ P. 435.

Δύσκριτος. ἔδειξα δυσκρίτους δύσεις ἄστρων V. 456. κληδόνας τε δυσκρίτους ἐγνώρισ' αὐτοῖς V. 484. ἀποπτύσας δίκαν δυσκρίτων ὀνειράτων A. 954.

Δυσκρίτως. χρησμοὺς ἀσήμους, δυσκρίτως τ' εἰρημένους V. 665.

Δυσκύμαντος. ἐν νυκτὶ δυσκύμαντα δ' ὠρώρει κακὰ A. 639.

Δύσλεκτος. δέομαι μὲν χαρίσασθαι, δέομαι δ' ἀντία φάσθαι, λέξας δύσλεκτα φίλοισι P. 688.

Δύσλοφος. καὶ τῶνδέ γ' ἕξει δυσλοφωτέρους πόνους V. 933.

Δύσλυτος. ἄκοντά σ' ἄκων δυσλύτοις χαλκεύμασιν προσπασσαλεύσω τῷδ' ἀπανθρώπῳ πάγῳ V. 192.

Δυσμαθεῖν. αὐτὸν μὲν οὖν ὁρῶσα δυσμαθεῖς ἐμὲ C. 223.

Δυσμαθής. τὰ πυθόκραντα δυσμαθῆ A. 1228.

Δυσμάτωρ. δυσμάτορος κότου τυχὼν S. 65.

Δύσμαχος. δυσμαχώτατον τέρας V. 923. δύσμαχα δ' ἐστὶ κρῖναι A. 1542.

Δυσμενής. μηνεῖται δ' ἄκη δρακονθόμιλον δυσμενῆ ξυνοικίαν S. 264. δυσμενέων ὄχλον πύργος ἀποστέγει T. 216. δυσμενὴς ὑπέρτερος T. 348. ἐν μέρει δ' ἀπέπτυσαν εὐνὰς ἀδελφοῦ, τῷ πατοῦντι δυσμενεῖς A. 1166.

Δυσμή. τῆλε πρὸς δυσμαῖς ἄνακτος 'Ηλίου φθινασμάτων P. 228. ἐπὶ δυσμαῖς σοῦ πατρὸς Fr. Heliad. 2.

Δυσμηχανεῖν. δυσμηχανῶ λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν A. 1333.

Δύσμορος. αἱματοσταγεῖς νεκροὺς κλύουσα δυσμόρους θανόντας T. 819.

Δυσοδοπαίπαλος. δυσοδοπαίπαλα δερκομένοισι καὶ δυσομμάτοις ὁμῶς E. 365.

Δυσοίζειν. οὔτοι δυσοίζω, θάμνον ὡς ὄρνις, φόβῳ ἄλλως A. 1289.

Δύσοιμος. δυσοίμου τύχης C. 933.

Δύσοιστος. δυσθέατα καὶ δύσοιστα πήματα V. 693. ἄλγη δύσοιστα τοῖσδ' ἐν 'Ατρέως δόμοις τυχόντα C. 734. δύσοιστα πολίταις πάθον E. 758.

Δυσόμιλος. δύσεδρος καὶ δυσόμιλος A. 726.

Δυσόμματος. δυσοδοπαίπαλα δερκομένοισι καὶ δυσομμάτοις ὁμῶς E. 366.

Δύσορμος. νῆσός τις ἐστὶ πρόσθε Σαλαμῖνος τόπων βαιὰ, δύσορμος ναυσὶ P. 440. ἀπὸ Στρυμόνος μολοῦσαι πνοαὶ κακόσχολοι, νήστιδες δύσορμοι βροτῶν ἄλαι A. 186.

Δύσορνις. ἦ δύσορνις ἅδε ξυναυλία δορὸς T. 820.

Δυσπάλαιστος. δυσπάλαιστα πράγματα S. 463. ὦ δυσπάλαιστε τῶνδε δωμάτων ἀρὰ C. 681.

Δυσπάλαμος. ἀπὸ γάρ με τιμᾶν δαμιᾶν θεῶν δυσπάλαμοι πὰρ οὐδὲν ἦραν δόλοι E. 809.

Δυσπαλάμως. δυσπαλάμως ὄλοιο δι' ἀλίῤῥυτον ἄλσος S. 847.

Δυσπαλής. καλεῖ δ' ἀκούοντας οὐδὲν ἐν μέσᾳ δυσπαλεῖ τε δίνᾳ E. 529.

Δυσπαράβουλος. δυσπαράβουλοι φρένες S. 100.

Δυσπαράθελκτος. μένει τοι Ζηνὸς ἱκταίου κότος δυσπαραθέλκτοις παθόντος οἴκτοις S. 381.

Δυσπαραίτητος. Διὸς γὰρ δυσπαραίτητοι φρένες V. 34.

Δυσπαρήγορος. κακῶν τε μνήμονες σεμναὶ καὶ δυσπαρήγοροι βροτοῖς E. 361.

Δύσπεμπτος. κῶμος ἐν δόμοις μένει δύσπεμπτος ἔξω A. 1163.

Δυσπετῶς. ἦ δυσπετῶς ἂν τοὺς ἐμοὺς ἄθλους φέροις V. 754.

Δυσπήματος. τοιαῦτα μέν ἐστιν ἀμφότερα μένειν, πέμπειν δὲ δυσπήματ' ἀμηχάνως ἐμοὶ E. 459.

Δύσπλανος. φράζε τᾷ δυσπλάνῳ παρθένῳ V. 611. ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν εἰσορῶσ' Ἰοῦς γάμῳ δαπτομέναν δυσπλάνοις Ἥρας ἀλατείαις πόνων V. 902.

Δυσπολέμητος. Δῖον ἐπιδόμενοι πράκτορά τε σκοπὸν δυσπολέμητον S. 687.

Δυσπόλεμος. δυσπόλεμον δὴ γένος τὸ Περσῶν P. 974.

Δυσπόνητος. ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς ποδοῖν ἐνήλλου παντὶ Περσικῷ γένει P. 508.

Δύσποτμος. τί οὖν ἔτευξεν ἄλλο δυσπότμῳ βοΐ; S. 301. αὐτὸς δ' ἀναλοῖ δῆτα δύσποτμον γένος T. 795. πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι T. 801. ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε, ἄλγος δὲ σιγᾶν, πανταχῇ δὲ δύσποτμα V. 198. ὁρᾶτε δεσμώτην με δύσποτμον θεὸν V. 119.

Δυσπότμως. πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων Σαλαμῖνος ἀκταὶ P. 264.

Δύσποτος. ἀπὸ δὲ σοῦ βόσκαν φεροίμαν πώματος δυσπότου E. 256.

Δυσπραγεῖν. τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν πᾶς τις ἕτοιμος A. 764.

Δυσπραξία. τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν σαφῶς ἐπίστασ' οὐκ ἂν ἀλλάξαιμ' ἐγὼ V. 968. ἀμηχάνοις δυσπραξίαις E. 739.

Δυσσέβεια. πρὸς δυσσεβείας ἦν ἐμοὶ τόδ' ἐν φρεσὶν τοιόνδε πρᾶγμα μὴ 'καρανῶσαι φίλοις C. 693.

Δυσσεβεῖν. τῶν δυσσεβούντων δ' ἐκφαρωτέρα πέλοις E. 870.

Δυσσεβής. φρενὸς πνέων δυσσεβῆ τροπαίαν ἄναγνον A. 212. τὸ δυσσεβὲς γὰρ ἔργον μετὰ μὲν πλείονα τίκτει, σφετέρᾳ δ' εἰκότα γέννᾳ A. 736. φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις T. 580.

Δυσσεβία. δυσσεβίας μὲν ὕβρις τέκος ὡς ἐτύμως E. 506.

Δυστέκμαρτος. δυστέκμαρτον εἰς τέχνην ὥδωσα θνητοὺς V. 495.

Δυστερπής. ἔχοντα πολλὰ δυστερπῆ κακὰ C. 275.

Δύστηνος. σιγῶ πάλαι δύστηνος P. 281. κρεοκοποῦσι δυστήνων μέλη P. 455. δύστηνος ἐγὼ στυγερᾶς μοίρας τῆσδε κυρήσας P. 873. πεφύκαμεν μητρὸς ταλαίνης κἀπὸ δυστήνου πατρὸς T. 1023. τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασιν ξυνειχόμην δύστηνος V. 659. φθείροντε τὸν δύστηνον Ἀργείων στρατὸν A. 638. ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον θέρος A. 1640. δύστανος ἀθλία Fr. Prot. 1. 1.

Δύστλητος. ἐθέλω δαίμονι τῷ Πλεισθενιδᾶν ὅρκους θεμένη, τάδε μὲν στέργειν δύστλητά περ ὄντα A. 1552.

Δύστονος. δύστονα κήδε' ὁμώνυμα T. 971. ἰὼ δυστόνων κακῶν T. 988. ἰὼ δύστον' ἄφερτα κήδη C. 462.

Δυστυχεῖν. ἐπεύχομαι τάδε μὲν εὐτυχεῖν, ἰὼ πρόμαχ' ἐμῶν δόμων, τοῖσι δὲ δυστυχεῖν T. 464. καὶ δυστυχούντων γ' εὐμαρὴς ἀπαλλαγὴ S. 334. ἐγὼ

γὰρ, οὐκ εἰ δυστυχῶ, τοῦδ' εἵνεκα θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν V. 345. μὴ νῦν βροτοὺς μὲν ὠφέλει καίρου πέρα, σαυτοῦ δ' ἀκήδει δυστυχοῦντος V. 506.

Δυστυχής. πολλὰ γὰρ εὖτε πόλις δαμασθῇ, ἓ ἓ ἕ, δυστυχῆ τε πράσσει T. 319. ἰὼ βρότεια πράγματ', εὐτυχοῦντα μὲν σκιά τις ἂν τρέψειεν, εἰ δὲ δυστυχῇ, βολαῖς ὑγρώσσων σπόγγος ὤλεσε γραφὴν A. 1301. τεκοῦσα γάρ μ' ἔῤῥιψας ἐς τὸ δυστυχὲς C. 900. ἰὼ μεγάλατοι κόραιδ υστυχεῖς Νυκτὸς ἀτιμοπενθεῖς E. 760.

Δυστυχῶς. δαίμονος χολῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι A. 1645.

Δύσφατος. τὰ δ' ἐπίφοβα δυσφάτῳ κλαγγᾷ μελοτυπεῖς A. 1123.

Δυσφημεῖν. ἡ δ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ οὐδὲν προσήκοντ' ἐν γόοις παραστατεῖν A. 1048.

Δυσφιλής. τί νιν καλοῦσα δυσφιλὲς δάκος τύχοιμ' ἄν; A. 1205. ὁ δυσφιλὴς σκότῳ λιμὸς ξύνοικος μάλθακόν σφ' ἐπόψεται A. 1625. δυσφιλὲς γαμήλευμ' ἀπεύχετον δόμοις C. 615. σέβει γὰρ οὔτις τὸ δυσφιλὲς θεοῖς C. 628. ἐξ ὀμμάτων στάζουσιν αἷμα δυσφιλὲς C. 1054. ἐξ ὀμμάτων λείβουσι δυσφιλῆ βίαν E. 54.

Δυσφορεῖν. οὔτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενὸς S. 508. ἐπ' ἄλγει δυσφορῶν μαινομένᾳ κραδίᾳ T. 762.

Δύσφορος. γένος γὰρ Αἰγύπτιον ὕβριν δύσφορον ἀρσενογενὲς S. 798. βλοσυρόφρονα χλιδᾷ δύσφορα ναΐ τε καὶ γᾷ S. 814. ἐμαυτῆς δύσφορον λέξω βίον A. 833. μάλα γὰρ οὖν ἁλομένα ἀνέκαθεν βαρυπεσῆ καταφέρω ποδὸς ἀκμὰν, σφαλερὰ τανυδρόμοις κῶλα δύσφορον ἄταν E. 350. μὴ καὶ τεκνωθῇ δυσφορώτερος γόος T. 639.

Δυσφρόνως. Ξέρξης δὲ πάντ' ἐπέσπε δυσφρόνως βαρίδεσσι ποντίαις P. 544.

Δύσφρων. ὕπαστρον δέ τοι μῆχαρ ὁρίζομαι γάμου δύσφρονος φυγᾷ S. 389. δρακόντων δυσφρόνων ἐχθίονες S. 506. ἰὼ ἰὼ δύσφρονες, φίλων ἄπιστοι T. 856. πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στύγος στρατῷ; A. 533. δωμάτων κύνα ἐσθλὴν ἐκείνῳ, πολεμίαν τοῖς δύσφροσιν A. 594. δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος ἄχθος διπλοΐζει τῷ πεπαμένῳ νόσον A. 908. τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μειλίγματα βροτοῖς πιφαύσκων εἶπε C. 276.

Δυσχάριστος. ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων Fr. Myrm. 6. 2.

Δυσχείμερος. συγγενῆ θεὸν δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ V. 15. δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύας V. 748. δυσχειμέρους ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος C. 269. μή σ' ἀναρπάσῃ δυσχειμέρῳ πέμφιγι συστρέψας ἄνω Fr. Prom. Sol. 5. 3.

Δυσχερής. βοτόν ἐσορῶντες δυσχερὲς μιξόμβροτον S. 563. ἄλλην δ' ἄκουσον δυσχερῆ θεωρίαν V. 804.

Δύσχιμος. δύσχιμοι κέλευθοι P. 559. εἴρξει νεοσσῶν ὡς δράκοντα δύσχιμον T. 485. ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι σταγόνες ἄφραστοι δυσχίμου πλημμυρίδος C. 184. δέσποινα νύμφη δυσχίμων ὀρῶν ἄναξ Fr. Inc. 110.

Δώδεκα. σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδὸν Βερέκυντα χῶρον Fr. Niob. 1. 1.

Δωδώνη. ὅ δ' ἔς τε Πυθὼ, κἀπὶ Δωδώνης πυκνους θεοπρόπους ἴαλλε V. 661. τὴν αἰπύνωτον ἀμφὶ Δωδώνην V. 832.

Δῶμα. λαφύροις δῶμα κοσμήσει πατρὸς T. 461. ἰὼ ἰὼ δῶμα, δῶμα καὶ πρόμοι A. 398. ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη A. 885. ἀνδρὸς τελείου δῶμ' ἐπιστροφωμένου A. 946. ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοὰν A. 1322. ἀλκῇ πεποιθὼς δῶμ' ἀνακτήσῃ πατρὸς C. 235. πρόσειμι δῶμα καὶ βρέτας τὸ σὸν, θεὰ E. 233. ἀχλὺν κατὰ δώματος αὐδᾶται πολύστονος φάτις E. 357. ὄξους σπανίζειν δῶμα μὲν ποιήσομεν Fr. Cab. 2. ἐνθουσιᾷ δὲ δῶμα, βακχεύει στέγη Fr. Lyc. 5. κακῶσαι δῶμα παμπήδην θέλει Fr. I. 26. 2. κληδοῦχον Ἥρας δωμάτων S. 288. πῶς πατρῷα δώματα λιπεῖν ἔτλητε; S. 322. οὔτοι κάθησθε δωμάτων ἐφέστιοι ἐμῶν S. 360. δώματ' ἐστὶ πολλὰ μὲν τὰ δήμια S. 935. ὅπου χρὴ δώματα ναίειν S. 949. ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα P. 292. κλαυτὸν δ' ἀρτιτρόποις, ὠμοδρόπων νομίμων προπάροιθεν διαμεῖψαι δωμάτων στυγερὰν ὁδὸν T. 317. πόλιν ἕξει πατρῴων δωμάτων τ' ἐπιστροφὰς T. 630. ἰὼ δωμάτων ἐρειψίτοιχοι T. 863.

ἰὼ ἰὼ κακὰ δώμασι καὶ χθονὶ T. 986. ἐξήλασέν με κἀπέκλεισε δωμάτων ἄκουσαν ἄκων V. 673. φλεόντων δωμάτων ὑπέρφευ ὑπὲρ τὸ βέλτιστον A. 367. δωμάτων κυὼν A. 593. δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασιν A. 750. δωμάτων ἐμῶν φύλαξ A. 889. ποίαν Ἐρινὺν τῶνδε δωμάτων κέλῃ ἐπορθιάζειν; A. 1090. ὑμνοῦσι δ' ὕμνον δώμασιν προσήμεναι πρώταρχον ἄτην A. 1164. οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις A. 1285. δαῖμον, ὃς ἐμπιτνεῖς δώμασι καὶ διφυίοισι Ταντελίδαισι A. 1447. ἐγὼ καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων καλῶς A. 1658. περὶ φόβῳ γυναικείοισιν ἐν δώμασιν βαρὺς πιτνὼν C. 36. δμωαὶ γυναῖκες δωμάτων εὐθήμονες C. 82. ὦ φίλτατον μέλημα δώμασιν πατρὸς C. 233. πολύχωστον ἂν εἶχες τάφον διαποντίου γᾶς δώμασιν εὐφόρητον C. 348. ἴδεσθ' Ἀτρειδῶν τὰ λοίπ' ἀμηχάνως ἔχοντα, καὶ δωμάτων ἄτιμα C. 402. ἰὼ δυσκατάπαυστον ἄλγος δώμασιν ἔμμοτον C. 464. τέκνον δ' ἐπεισφέρει δώμασιν, δωμάτων παλαιτέρων τίνειν μύσος C. 638. ἄγγελλε τοῖσι κυρίοισι δωμάτων C. 647. ἐξελθέτω τις δωμάτων τελεσφόρος γυνὴ τόπαρχος C. 652. ὦ δυσπάλαιστε τῶνδε δωμάτων ἀρὰ C. 681. οὐδ' ἧσσον ἂν γένοιο δώμασιν φίλος C. 697. ἡμεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων κοινώσομεν C. 705. ποῖ δὴ πατεῖς, Κίλισσα, δωμάτων πύλας; C. 721. πλοῦτον δωμάτων λυτήριον C. 808. τάχα δὲ παντελὴς χρόνος ἀμείψεται πρόθυρα δωμάτων C. 960. δωμάτων πορθήτορες C. 968. ἰατρόμαντις δ' ἐστὶ καὶ τερασκόπος, καὶ τοῖσιν ἄλλοις δωμάτων καθάρσιος E. 63. ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος χωρεῖτε E. 170. δωμάτων γὰρ εἱλόμαν ἀνατροπὰς E. 334. ξενοτίμους ἐπιστροφὰς δωμάτων αἰδόμενός τις ἔστω E. 518. ἐν Ἄργει δώματ' οἰκήσει πατρὸς E. 624. δωμάτων ἐπίσκοπος E. 710. κλῇδας οἶδα δωμάτων μόνη θεῶν, ἐν ᾧ κεραυνός ἐστιν ἐσφραγισμένος E. 791.

Δωματῖτις. σοῦ μολόντος δωματῖτιν ἑστίαν A. 942.

Δωματοῦν. δεδωμάτωμαι δ' οὐδ' ἐγὼ σμικρᾷ χερὶ S. 936.

Δωρεά. αὐχῶ γὰρ, αὐχῶ τήνδε δωρεὰν ἐμοὶ δώσειν Δί', ὥστε τῶνδέ σ' ἐκλῦσαι πόνων V. 338. οὔκουν πόροις ἂν τήνδε δωρεὰν ἐμοί; V. 619.

Δωρεῖσθαι. δυοῖν λόγοιν σε θατέρῳ δωρήσομαι V. 780. μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς V. 251.

Δώρημα. ἀλλ' οὐ μεγαίρω τοῦδέ σοι δωρήματος V. 629. αὕτη δὲ πολλῶν χρημάτων ἐξαίρετον ἄνθος, στρατοῦ δώρημ', ἐμοὶ ξυνέσπετο A. 929. ἐξαίρετον δώρημα Θησέως τόκοις E. 380. γῇ τε καὶ φθιτοῖς δωρήματα ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν P. 515.

Δωρικός. ἡ μὲν πέπλοισι Περσικοῖς ἠσκημένη, ἡ δ' αὖτε Δωρικοῖσι P. 178.

Δωρίς. Δωρίδ' αἶαν, Μηλιᾶ τε κόλπον P. 478. τόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο P. 803.

Δῶρον. θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτοὺς T. 607. τὸ μὴ κακῶς φρονεῖν θεοῦ μέγιστον δῶρον A. 902. μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ᾗ τόδε; C. 175. βωμοὶ δώροισι φλέγονται A. 91. οὐκ ἔχοιμ' ἂν εἰκάσαι τάδε τὰ δῶρα, μείω δ' ἐστὶ τῆς ἁμαρτίας C. 512. πιθήσασα δώροισι Μίνω C. 609. μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ Fr. Niob. 5. ποῦ μοι τὰ πολλὰ δῶρα κἀκροθίνια; Fr. Perrh.

E.

E. ἒ, ἒ S. 134. V. 580. 601 A. 1085. ter. P. 537. T. 308. 321. quater. T. 135. 139. 142. ἰώ μοί μοι, ἒ ἒ ἒ ἒ V. 743. ἒ ἒ C. 778. ἒ ἒ ὀτοτοτοῖ C. 856.

Ἔα. ἆ ἆ, ἔα ἔα V. 114. 565. ἔα, τί χρῆμα; V. 298. ἔα ἔα ἄπεχε, φεῦ V. 690. ἔα ἔα μάλα C. 857.

Ἐάν. ἐὰν δὲ προστιθῇ τὸ καρτερὸν S. 607. ἐάν περ δεῦρ' ἐμοῦ πρόσθεν μόλῃ P. 521. ἐὰν θνήσκοντας ἢ τε-

τρωμένους πύθησθε T. 224. ἐὰν δὲ τοὔμπαλιν κρίνῃ θεὸς A. 1399. ἐὰν δαίμων 'Ορέστην δεῦρ' ἀπευθύνῃ μολεῖν A. 1652.

'Εᾶν. πόρον δ' Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν ὁ μάντις T. 360. ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτ' ἐκπλεῖν ἐᾷ Fr. Philoct. 3. ἔα με τῇδε τῇ νόσῳ νοσεῖν V. 384. ὃς οὐκ ἐάσει γλῶσσαν ἐργμάτων ἄτερ ἔσω πυλῶν ῥέουσαν ἀλδαίνειν κακὰ T. 537. καὶ νῦν ἔασον, μηδέ σοι μελησάτω V. 332.

'Εαυτορέγμων. αὐτορέγμονος πότμου ἑαυτορέγμονος Fr. Inc. 78.

'Εαυτοῦ. οἶδ' ὅτι τραχὺς καὶ παρ' ἑαυτῷ τὸ δίκαιον ἔχων Ζεὺς V. 186. μαθεῖν γὰρ τῆσδε πρῶτ' ἐχρῄζετε τὸν ἀμφ' ἑαυτῆς ἆθλον ἐξηγουμένης V. 704. ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν ἀριστεύει μακρῷ V. 892.

'Εβδομαγέτας. τὰς ἑβδόμας δ' ὁ σεμνὸς ἑβδομαγέτας ἄναξ 'Απόλλων εἵλετ' T. 781.

"Εβδομος. ἕκτος δὲ Μάραφις, ἕβδομός τ' 'Αρταφρένης P. 764. πύλαις ἑβδόμαις προσίστανται T. 118. ἄνδρας ἓξ ἐμοὶ σὺν ἑβδόμῳ T. 264. τὸν ἕβδομον δὴ τόνδ' ἐφ' ἑβδόμαις πύλαις λέξω T. 613. μὴ 'λθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις T. 696. τὰς ἑβδόμας δ' ὁ σεμνὸς ἑβδομαγέτας ἄναξ 'Απόλλων εἵλεθ' T. 781.

"Εγγαιος. εἰ δὲ κυρεῖ τις πέλας οἰωνοπόλων ἔγγαιος S. 57. γᾶ δ' αἰάζει τὰν ἐγγαίαν ἥβαν Ξέρξᾳ κταμέναν P. 886.

'Εγγενής. πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς πορθεῖν T. 564. ὦ πόνος ἐγγενὴς C. 459.

"Εγγονος. πέφανται δ' ἐγγόνους ἀτολμήτων "Αρη πνεόντων μεῖζον, ἢ δικαίως A. 364.

'Εγγράφειν. νῦν δ' ἥπερ ἐν δόμοισι βακχείας καλῆς ἰατρὸς ἐλπὶς ἦν, παροῦσαν ἐγγράφει C. 688. σοὶ πρῶτον, 'Ιοῖ, πολύδονον πλάνην φράσω, ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν V. 791. τοῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα, οὐδ' ἐν πτυχαῖς βίβλων κατεσφραγισμένα S. 924.

'Εγγύη. καί μοι προπαντὸς ἐγγύην θήσῃ χρόνου E. 858.

'Εγγύθεν. ἀχέων τοίων τάδ' ἐγγύθεν T. 958. αὐτὸς ἦν θνήσκοντος ἐγγύθεν παρὼν C. 839. οὐδ' ἀπόθεν εἶδες αὐτὸν, οὐ γὰρ ἐγγύθεν ὁρᾷς Fr. Inc.

'Εγγύς. ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑστῶτες τάφου P. 672. ἐγγὺς γὰρ ἤδη πάνοπλος 'Αργείων στρατὸς χωρεῖ T. 59. διὰ τέλους δέ σοι φύλαξ ἐγγὺς παρεστὼς E. 65. μὴ παρασπίστης ἐμοὶ εἴη μὲν οὖν, μήτ' ἐγγὺς Fr. Inc. 37. νόμῳ πόλεως φάσκοντες ἐγγύτατα γένους εἶναι S. 383.

'Εγείρειν. ἐγείρω πρευμενεῖς τοὺς νυμφίους Fr. Dan. ἔγειρ', ἔγειρε καὶ σὺ τήνδ', ἐγὼ δὲ σὲ E. 135. λαμπὰς— ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρὸς A. 290.

'Εγκαθίει Fr. Sacerd. 1. 2.

'Εγκαλύπτειν. οὐδ' ἐγκαλύπτει νὺξ κακῶς εἰργασμένα Fr. 4. 3.

'Εγκατασκήπτειν. πολλὰ δ' ἐκλείπω λέγων κακῶν, ἃ Πέρσαις ἐγκατέσκηψεν θεὸς P. 505.

'Εγκατιλλώπτειν. ὑμὶν ἐγκατιλλώψας μέγα E. 113.

'Εγκελεύειν. δρᾶν ταῦτ' ἀνάγκη, μηδὲν ἐγκέλευ' ἄγαν V. 72.

'Εγκονεῖν. κέλευθον ἥνπερ ἦλθες, ἐγκόνει πάλιν V. 964.

'Εγκοτεῖν. κρίται δὲ τῶνδ' ὀνειράτων θεόθεν ἔλακον ὑπέγγυοι, μέμφεσθαι τοὺς γᾶς νέρθεν περιθύμως, τοῖς κτανοῦσί τ' ἐγκοτεῖν C. 41.

"Εγκοτος. ἔγκοτον στύγος C. 386. ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας C. 911. σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες C. 1050.

'Εγκουράδι Fr. Myrm. 14.

'Εγκρατής. ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει ῥαιστῆρι θεῖνε P. 55.

'Εγχειρίδιος. σὺν τοῖσδ' ἱκετῶν ἐγχειριδίοις ἐριοστέπτοισι κλάδοισι S. 21.

'Εγχλίειν. κάρβανος ὢν δ' "Ελλησιν ἐγχλίεις μέγα S. 892.

"Εγχος. ὀπισθοβριθὲς ἔγχος Fr. 366. ἔγχη σταδαῖα καὶ φεράσπιδες σάγαι P. 236.

'Εγχρίμπτεσθαι. πρὶν ἄνδρ' ἄπευκτον τῷδ' ἐγχριμφθῆναι χεροῖν S. 771.

'Εγχώριος. Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι γυναιξίν ἐστε, κοὐδαμῶς ἐγχωρίαις S. 277. δαιμόνων ἐγχωρίων βωμοὶ S. 477. ὀπάονας δὲ φράστοράς τ' ἐγχωρίων ξύμπεμψον S.

487. λαοὺς συγκαλῶν ἐγχωρίους S. 512. θεοὺς ἐγχωρίους λιταῖς παραιτοῦ S. 515. θαρσεῖτε, παῖδες, εὖ τὰ τῶν ἐγχωρίων S. 595. θεοὺς δ', οἳ γᾶν ἔχουσιν, ἀεὶ τίοιεν ἐγχωρίους S. 685. ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις; S. 897. θεῶν ἐγχωρίων βωμοὶ T. 14. σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο, ῥίζωμ' ἀνεῖται, κάρτα δ' ἔστ' ἐγχώριος T. 395. πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους δίκη προσειπεῖν A. 784. ἀλλά νιν γυνὴ χώρας μίασμα καὶ θεῶν ἐγχωρίων ἔκτεινε A. 1629.

Ἐγώ. ἐγὼ δὲ πρός σε, πότερον ὡς ἔτην λέγω, ἢ τηρὸν ἱεροῦ ῥάβδον; S. 244. τοῦ γηγενοῦς γάρ εἰμ' ἐγὼ Παλαίχθονος ἶνις S. 247. λέγ' εὐθαρσῶς ἐμοὶ S. 246. ἐμοῦ δ' ἄνακτος εὐλόγως ἐπώνυμον γένος Πελασγῶν τήνδε καρποῦται χθόνα S. 249. ἦ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι S. 447. ἤκουσα, κεἰ λέγοις ἄν, οὔ με φεύξεται S. 451. μηδ' ἀποῤῥιφθῇ λόγος ἐμοῦ S. 480. καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με; S. 504. ἐγὼ δὲ λαοὺς συγκαλῶν ἐγχωρίους πείσω τὸ κοινὸν S. 512. ἐγὼ δὲ ταῦτα πορσυνῶν ἐλεύσομαι S. 517. ὦ χαῖρε, πρέσβυ, φίλτατ' ἀγγέλλων ἐμοὶ, ἓν εἰπὲ δ' ἡμῖν S. 596. εὔσημον γὰρ οὔ με λανθάνει S. 695. μαχοῦνται περὶ σέθεν, σάφ' οἶδ' ἐγὼ S. 720. μελαινόχρως δὲ πάλλεταί μου καρδία πατρὸς σκοπαὶ δέ μ' εἷλον S. 767. οἳ ἐγὼ τάλαινα P. 509. T. 790. ὡς κάρτα μοι σαφῶς ἐδήλωσας κακὰ P. 511. ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα P. 595. γαπότους δ' ἐγὼ τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς P. 613. ὁμῶς δ' ἐκείνοις ἐνδυναστεύσας ἐγὼ ἥκω P. 676. ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω P. 825. ἰὼ δύστηνος ἐγὼ P. 873. ὅδ' ἐγὼν, οἳ οἳ αἰακτὸς μέλεος γέννᾳ P. 895. ἴυγγά μοι δῆτ' ἀγαθῶν ἑτάρων ὑπομιμνήσκεις P. 949. σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ ἔπεμψα T. 36. αὐτὸς κατόπτης δ' εἰμ' ἐγὼ τῶν πραγμάτων T. 41. οὔκουν ἔμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι T. 230. ἄνδρες ἕξ, ἐμοὶ σὺν ἑβδόμῳ T. 263. ὡς ἐμοὶ δοκεῖ T. 351. ἰὼ ἰὼ κακὰ δώμασι καὶ χθονὶ, πρὸ πάντων δ' ἐμοὶ T. 987. ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω T. 1016. ἐγώ σφε θάψω T. 1019. μηχανήσομαι τάφον γὰρ αὐτῷ καὶ κατασκαφὰς ἐγὼ T. 1029. ἐγὼ δὲ θάψω τόνδε T. 1043. ἀπεννέπω δ' ἐγὼ T. 1044. ἐγὼ δ' ἄτολμός εἰμι συγγενῆ θεὸν δῆσαι V. 14. ἦ μὴν ἔτ' ἐμοῦ χρείαν ἕξει V. 167. εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα σπεύδων σπεύδοντί ποθ' ἥξει V. 191. καὶ τοῖσιν οὐδεὶς ἀντέβαινε πλὴν ἐμοῦ V. 234. ἐγὼ δ' ἐτόλμησ' V. 235. οὔκουν πόροις ἂν τήνδε δωρεὰν ἐμοί; V. 619. πάντα γὰρ πύθοιό μου V. 620. μήτοι με κρύψῃς τοῦθ' V. 627. ἰὼ μοί μοι, ἓ ἓ ἓ ἓ V. 743. οἳ ἐγὼ ἐγὼ A. 1230. ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω A. 1321. ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ A. 1323. κἀγὼ τοιούτου γνώματος κοινωνὸς A. 1325. ψῆφον δ' Ὀρέστῃ τήνδ' ἐγὼ προσθήσομαι E. 705. ἐγὼ δ' ἄτιμος ἡ τάλαινα E. 750. ἐμοὶ πίθεσθε E. 761. ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι E. 771. κἀγὼ πέποιθα Ζηνὶ E. 790. ἐμὲ παθεῖν τάδε, φεῦ, ἐμὲ παλαιόφρονα κατὰ γᾶν οἰκεῖν E. 801. πολλῶν τάδ' ἡμῖν ἐστὶν ἠξιώμενα S. 485. ἡμᾶς μετοικεῖν τῆσδε γῆς S. 604. ἀμφ' ἡμῶν λέγων S. 610. οὕνεκ' ᾤκτισαν ἡμᾶς S. 630. καλῶς γ' ἂν ἡμῖν ξυμφέροι ταῦτ', ὦ τέκνα S. 734. ἡμῶν χεῖρ' ἀπόσχωνται S. 737. παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος ὑπηντίαζε P. 398. τί πόλις ἄμμιν πάσχει; T. 141. πευθώ τιν' ἡμῖν, ὦ ξέναι, νέαν φέρει T. 351. ἡμᾶς δὲ δίκη πρότερον φήμης τὸν δυσκέλαδόν θ' ὕμνον Ἐριννύος ἰαχεῖν T. 848. ἡμεῖς μὲν ἴμεν καὶ συνθάψομεν αἵδε προπομποὶ T. 1060. γέγων' ἡμῖν λόγον V. 193. δίδαξον ἡμᾶς V. 196. ἡμεῖς γάρ ἐσμεν Νυκτὸς αἰανῆς τέκνα E. 394.

Ἔγωγε. ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα T. 569. αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι A. 31. ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι πηγαὶ κατεσβήκασι A. 861.

Ἐδανός. τί κακὸν, ὦ γύναι, χθονοτρεφὲς ἐδανὸν ἢ ποτὸν πασαμένα, ῥυτᾶς ἐξ ἁλὸς ὀρόμενον τόδ' ἐπέθου θύος δημοθρόους τ' ἀράς; A. 1381.

Ἔδνος. ὅτε τὰν ὁμοπάτριον ἕδνοις ἤγαγες Ἡσιόναν πιθὼν δάμαρτα κοινόλεκτρον V. 558.

Ἕδος. Ἰκάρου θ' ἕδος P. 862. ἑπτάπυλον ἕδος ἐπιῤῥύου T. 149. τάνδ' ἐς ἀκρόπτολιν, τίμιον ἕδος ἱκόμαν T. 223. ὁπόσοι τ' ἔποικον ἁγνᾶς Ἀσίας ἕδος νέμονται T. 410. ἔνθ' Ἀδραστείας ἕδος Fr. Niob. ἐλευθεροῦτε δὲ παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη P. 396.

Ἕδρα. ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ P. 458. θέλοντες ἐκβαλεῖν ἕδρης Κρόνον V. 201. ὁρῶ δ' ἐπ' ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ ἕδραν ἔχοντα E. 41. πάγον τ' Ἄρειον τόνδ' Ἀμαζόνων ἕδραν E. 655. τιμίαν ἕδραν ἔχουσα E. 817. ἄνασσ' Ἀθάνα, τίνα με φὴς ἔχειν ἕδραν; E. 852. πέφρικα λεύσσων τάσδ' ἕδρας κατασκίους S. 341. ἐν θεῶν ἕδραισιν ὧδ' ἱδρυμένας ἐκδόντες ὑμᾶς S. 407. μηδ' ἴδῃς μ' ἐξ ἐδρᾶν πολυθέων ῥυσιασθεῖσαν S. 418. πολισσούχων ἕδραι θεῶν S. 489. ἡγεῖσθε βωμοὺς ἀστικοὺς θεῶν ἕδρας S. 496. τῷ νέον θακοῦντι παγκρατεῖς ἕδρας V. 389. παμπρέπτοις ἐν ἕδραισι A. 117. εὐφημοῦντες ἐν θεῶν ἕδραις θυηφάγον κοιμῶντες εὐώδη φλόγα A. 582. ἐς τήνδε γαῖαν ἦλθε, Παρνησοῦ θ' ἕδρας E. 11. ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονὸς ἕξειν E. 772.

Ἕδρανον. ἑδράνων ἐφ' ἁγνῶν S. 96. λεῖφ' ἕδρανα, κἀς δόρυ S. 832. τῶν ἀφνεῶν καὶ πολυχρύσων ἑδράνων φύλακες P. 4.

Ἑδώλιον. πρὶν ἐμὸν ἐσθορεῖν δόμον, πωλικῶν θ' ἑδωλίων ὑπερκόπῳ δορί ποτ' ἐκλαπάξαι T. 437. οἴγοντι δ' οὐδὲ νυμφικῶν ἑδωλίων ἄκος C. 69.

Ἕζεσθαι. ᾗ δὴ τὸ μητρὸς δευτερὰ τόδ' ἕζετο μαντεῖον E. 3.

Ἔθειρα. καὶ ψάλλ' ἔθειραν, καὶ κατοίκτισαι στρατὸν P. 1019. ὁμόπτερος ποίαις ἐθείραις C. 173.

Ἐθέλειν. μετὰ τοῦδ', ὅτι χρή, πάσχειν ἐθέλω V. 1069. ἐγὼ δ' οὖν ἐθέλω δαίμονι τῷ Πλεισθενιδᾶν ὅρκους θεμένη τάδε μὲν στέργειν A. 1550. κἀγὼ πάλον δ' ἔκυρσα τοὔπερ ἤθελον P. 765. ξένοισιν ὧδ' εὐδαίμοσιν κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον γνωστὸς γενέσθαι C. 690. πρὶν ἂν ἐξ ἀγρίων δεσμῶν χαλάσῃ, ποινάς τε τίνειν τῆσδ' αἰκίας ἐθελήσῃ V. 177.

Ἔθνος. οἵτ' ἐπίπαν ἠπειρογενὲς κατέχουσιν ἔθνος P. 43. τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης Ἀσίας ἕπεται P. 56. Ζεὺς γὰρ αἱματοσταγὲς ἀξιόμισον ἔθνος τόδε λέσχας ἃς ἀπηξιώσατο E. 344.

Ἔθος. χρονισθεὶς δ' ἀπέδειξεν ἔθος τὸ πρόσθε τοκήων A. 710.

Εἰ. εἰ δὲ μὴ S. 145. εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν S. 242. εἰ μή τις ἐς ναῦν εἶσιν S. 879. λέξον καταστάς, κεἰ στένεις κακοῖς ὅμως P. 287. ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας Ἕλληνες οὐ μένοιεν P. 349. εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον, μηδ' εἰ στράτευμα πλεῖον ᾖ τὸ Μηδικὸν P. 776. εἴ τι πιστεῦσαι θεῶν χρὴ θεσφάτοισι P. 786. εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεῶν, εἰ δ' αὖθ', ὃ μὴ γένοιτο, συμφορὰ τύχοι T. 4. αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος T. 242. κεἰ στόμαργός ἐστ' ἄγαν T. 429. εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι T. 532. εἴ που πάλαι A. 506. ποῦ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες, οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην; A. 1110. καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω A. 1212. τί τοῦτ' ἔφευξας; εἴ τι μὴ φρενῶν στύγος A. 1281. χαίροιτ' ἄν, εἰ χαίροιτε A. 1367. εἰ δικαίως, εἴτε μή, κρῖνον δίκην E. 446. εἰ δικαίως εἴτε μὴ τῇ σῇ φρενὶ δοκεῖ τόδ' αἷμα, κρῖνον E. 582.

Εἰδεῖν (scire). διδαχθεὶς δ' ἂν τόδ' εἰδείην πλέον S. 286. ὅπως ἂν εἰδῇ μὴ μάτην κλύουσά μου V. 826. ἐμασχαλίσθη δ' ἔθ' ὡς τόδ' εἰδῇς C. 433. τάχ' εἴσῃ πάντα νημερτῆ λόγον P. 242. λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ' εἴσομαι T. 243. τάχ' εἰσόμεσθα τἀπίσημ' ὅπη τέλει T. 641. τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγὰς εἴτ' οὖν ἀληθεῖς A. 475. εἰ δὲ μή, τάχ' εἴσεται C. 303. ἐκμαρτύρησον προὐμόσας τό μ' εἰδέναι λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων A. 1169. σάφ' εἰδότας χρὴ τῶνδε μυθοῦσθαι πέρι, τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι τρανῶς Ἀτρείδην εἰδέναι κυροῦνθ' ὅπως A. 1341. εἰ δὲ τυγχάνω τοῖς κυρίοισι καὶ προσήκουσιν λέγων, οὐκ οἶδα, τὸν τεκόντα δ' εἰκὸς εἰδέναι C. 679. εἰδὼς ἂν αἶσαν τήνδε συγγνοίη βροτοῖς S. 213. εἰδὼς ἀμὸν ἀρχαῖον γένος S. 318. λέγω πρὸς εἰδότα S. 723. ὡς ἂν εἰδὼς ἐννέπω σαφέστερον S. 908. σα-

φηνείᾳ λόγου εἰδὼς τὰ τῶν θύραθεν, ἀβλαβὴς ἔσῃ T. 68. λέγοιμ' ἂν εἰδὼς εὖ τὰ τῶν ἐναντίων T. 356. ἀλλ' αὐτὰ σιγῶ, καὶ γὰρ εἰδυίαισιν ἂν ὑμῖν λέγοιμι V. 439. εἰδότι μοι τάσδ' ἀγγελίας ὅδ' ἐθώϋξεν V. 1043. εἰδυῖαι γὰρ, κοὐκ ἐξαίφνης οὐδὲ λαθραίως εἰς ἀπέραντον δίκτυον ἄτης ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας V. 1079. εἰδὼς λέγοιμ' ἂν A. 812. εἴπερ τις εἰδώς γ' εὖ τόδ' ἐξεῖπον τέλος A. 908. ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας λέγω A. 1375. εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα C. 198. καὶ γὰρ οἶδα P. 333. εἰ γάρ τι κακῶν ἄκος οἶδε πλέον P. 623. μόνης γὰρ, οἶδα, σοῦ κλύων ἀνέξεται P. 824. ἀλλ' οἶδεν, ὥς σφε χρὴ τελευτῆσαι μάχῃ T. 599. σὺ τοίνυν οἶσθα διαπερῶν T. 978. οἶδ' ὅτι τραχὺς καὶ παρ' ἑαυτῷ τὸ δίκαιον ἔχων Ζεὺς V. 186. ἦ οὐκ οἶσθ' ἀκριβῶς, ὢν περισσόφρων, ὅτι γλώσσῃ ματαίᾳ ζημία προστρίβεται; V. 328. οὐδεὶς, σάφ' οἶδα V. 502. τί φάρμακον νόσου; δεῖξον εἴπερ οἶσθα V. 609. οὐκ οἶδ' ὅπως ὑμῖν ἀπιστῆσαί με χρὴ V. 643. ἐγὼ τάδ' οἶδα, χ' ᾧ τρόπῳ V. 917. τίς οἶδεν; A. 465. οὐδ' οἶδα τέρψιν, οὐδ' ἐπίψογον φάτιν ἄλλου παρ' ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφὰς A. 597. οὐκ οἶδεν οὐδεὶς ὥστ' ἀπαγγεῖλαι τορῶς A. 618. οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς λέξασα A. 1201. εἰ δ' ἐτητύμως μόρον τὸν αὐτῆς οἶσθα A. 1270. οὐκ οἶδα βουλῆς ἧς τινος τυχὼν λέγω A. 1331. οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους A. 1653. τοὺς φιλτάτους γὰρ οἶδα νῷν ὄντας πικροὺς C. 232. θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε. Οἶδ' ὦ τέκνον, παρῆν γὰρ C. 515. εἴπερ οἶδεν ἔνδημος παρὼν C. 563. οὐ γὰρ οἶδ' ὅπῃ τελεῖ C. 1017. ἄναξ Ἄπολλον, οἶσθα μὲν τὸ μὴ 'δικεῖν E. 85. τὰ μὲν γὰρ οἶδα κάρτα σ' ἐνθυμουμένην E. 213. πίπτων δ', οὐκ οἶδεν τόδ' ὑπ' ἄφρονι λύμᾳ E. 355. γένος μὲν οἶδα, κληδόνας τ' ἐπωνύμους E. 396. κλῇδας οἶδα δωμάτων μόνη θεῶν E. 791. οὐκ οἶδεν ὅθεν πληγαὶ βιότου E. 892.

Εἴδειν (videre). εἴ τι φλαυρὸν εἶδες P. 212. κοὔπω τις εἶδε Ζῆνά που νικώμενον T. 496. τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω A. 239. ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν πράξασαν ὡς ἔπραξεν A. 1260. εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας δεῖπνον φερούσας E. 50. σύ τ' ἀμήχανος πόρον εἶδες ἐν ἄλγεσι Fr. Inc. 23. 9. οὐδ' ἀπόθεν εἶδες αὐτὸν Fr. Inc. 80. 1. εἰδῶμεν ἢ νικῶμεν ἢ νικώμεθα C. 877. ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον S. 345. ἴδετε παρθένων ἱκέσιον λόχον δουλοσύνας ὕπερ T. 106. Ζεὺς δὲ γεννήτωρ ἴδοι S. 207. πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταὐτὸν πτερὸν S. 324. μήποτε πάλιν ἴδοιμ' ἀλφεσίβοιον ὕδωρ S. 834. χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ ἐχθροὺς ἴδοιμι V. 975. οὓς ἴδοιμ' ἐγώ ποτε θανόντας ἐν κηκῖδι πισσήρει φλογὸς C. 265. ὡς ἴδωσι τῆσδ' ἀφιξέως τέκμαρ πάντες πολῖται S. 478. ἴδετε πολυκρατεῖς ἀραὶ φθιμένων, ἴδεσθ' Ἀτρειδᾶν τὰ λοίπ' ἀμηχάνως ἔχοντα C. 400. ὡς ἴδῃ πατὴρ C. 978. μήτ' ἴδῃς μ' ἐξ ἑδρᾶν πολυθέων ῥυσιασθεῖσαν S. 419. πρέπουσι δ' ἄνδρες νήϊοι μελαγχίμοις γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν S. 701. φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην P. 27. ταῦτ' ἔμοιγε δείματ' ἔστ' ἰδεῖν, ὑμῖν γ' ἀκούειν P. 207. ὅνπερ φῂς ἰδεῖν κατ' εὐφρόνην P. 217. ἁβρόγοοι Περσίδες ἀνδρῶν ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν P. 534. ζηλῶ θανόντα, πρὶν κακῶν ἰδεῖν βάθος P. 698. ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακὸν P. 712. χρυσήλατον γὰρ ἄνδρα τευχέστην ἰδεῖν ἄγει γυνή τις T. 626. πημοναῖσι κάμπτομαι, πάσχειν μὲν ἀλγειναῖσιν οἰκτραῖσιν δ' ἰδεῖν V. 238. τὸ δ' εὖ κρατοίη μὴ διχοῤῥόπως ἰδεῖν A. 340. πάρεστι σιγᾶσ', ἄτιμος, ἀλοίδορος, ἄδιστος ἀφεμένων ἰδεῖν A. 402. ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα A. 1585. ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος C. 172. αὐτοῖσιν ἡμῖν κάρτα προσφερὴς ἰδεῖν C. 174. τήνδε τ', Ἠλέκτραν λέγω ἰδεῖν πάρεστί σοι C. 251. ἀπριγκτόπληκτα πολυπλάνητά τ' ἦν ἰδεῖν C. 419. δὸς τυχεῖν μοι κυρίως τὰ σώφροσιν εὖ μαιομένοις ἰδεῖν C. 775. τοῦτ' ἰδεῖν δάπεδον C. 787. εὖ δὸς ἀνιδεῖν δόμον ἀνδρὸς, καί νιν ἐλευθερίως λαμπρῶς τ' ἰδεῖν φιλίοις ὄμμασι δνοφερὰς καλύπτρας C. 798. ἰδεῖν ἐλέγξαι τ' αὖ θέλω τὸν ἄγγελον C. 838. πάρα

τὸ φῶς ἰδεῖν C. 955. τύχᾳ δ' εὐπροσωποκοίτᾳ τὸ πᾶν ἰδεῖν [ἀκοῦσαι] θρεομένοις μέτοικοι δόμων πεσοῦνται πάλιν C. 964. ἄπτεροί γε μὴν ἰδεῖν αὗται, μέλαιναί τ' E. 51. ἀλλὰ θεοὶ γενέται, κλύετ' εὖ τὸ δίκαιον ἰδόντες S. 73. ἰὼ δωμάτων ἐρειψίτοιχοι καὶ πικρὰς μοναρχίας ἰδόντες T. 864. τὸν Γηγενῆ τε Κιλικίων οἰκήτορα ἄντρων ἰδὼν ᾤκτειρα V. 352. ᾔδοι' ἄν, οἶμαι, τήνδ' ἰδοῦσα συμφορὰν V. 759. κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασι δισσοὺς 'Ατρεΐδας μαχίμους A. 121. οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοὶ ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν A. 1593. πλόκαμον ἰδοῦσα τόνδε C. 186. ἰδοῦσα τήνδε κηδείου τριχὸς κουρὰν C. 224. μηδέ νιν κέρδος ἰδών, ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς E. 513. τὸν οὔποτ' αὐχοῦντ' ἰδὼν ἀμηχάνοις δύαις λέπαδνον E. 531. ἰδόντα μηχανὴν πτερώματος Fr. Myrm. 2. ἰδὼν ἀμηχανοῦντά σ' ὁ Ζεὺς οἰκτερεῖ Fr. Prom. Sol. 6. 6. ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην P. 175. εἰδομέναν τοκεῦσιν δαίμονα A. 748. ἴδοιτο δῆτα πρευμενοῦς ἀπ' ὄμματος S. 207. ἴδοιτο δῆτ' ἄνατον φυγὰν ἱκεσία Θέμις Διὸς Κλαρίου S. 354. μήποτε, μήποτέ μ', ὦ Μοῖραι, λεχέων Διὸς εὐνάτειραν ἴδοισθε πέλουσαν V. 898. ἰδέσθω δ' ἐς ὕβριν βρότειον S. 97. ἴδεσθέ μ', οἷα πρὸς θεῶν πάσχω θεὸς V. 92. ἆ ἆ, ἰδοὺ, ἰδοὺ A. 1095. ἰδοὺ δ' 'Απολλὼν αὐτὸς ἐκδύοντ' ἐμὲ χρηστηρίαν ἐσθῆτα A. 1242. ἰδοῦ δὲ γένναν εὖνιν αἰετοῦ πατρὸς C. 245. ἰδὼν νεοσσοὺς τούσδε C. 494. ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα C. 967. ἴδεσθε δ' αὖτε, τῶνδ' ἐπήκοοι κακῶν, τὸ μηχάνημα C. 974. ἰδοῦ σταθμοῦχος ἐκκατίλλων φῶς ἀθρεῖ Fr. Sis. 2. ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ E. 137. τρέμω δ' αἱματηφόρους μόρους ὑπὲρ φίλων ὀλομένων ἰδέσθαι T. 403.

Εἶδος. οὔτ' εἶδος, οὔτε θυμὸν, οὔθ' ὅπλων σχέσιν μωμητὸς T. 489.

Εἴδωλον. εἴδωλον Ἄργου γηγενοῦς V. 567. εἴδωλον σκιᾶς A. 813.

Εἴθε. εἴθ' ὄφελεν, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν τῶν οἰχομένων θανάτου κατὰ μοῖρα καλύψαι P. 879. εἴθε γὰρ θεοὶ τούσδ' ὀλέσειεν T. 548. ἰὼ γᾶ, γᾶ, εἴθ' ἔμ' ἐδέξω A. 1519. εἴθ' εἶχε φωνὴν εὔφρον' ἀγγέλου δίκην, ὅπως δίφροντις οὖσα μὴ κινυσσόμην C. 193.

Εἰκάζειν. οὐδ' αὖτε Γοργείοισιν εἰκάσω τύποις E. 49. 'Αμαζόνας, εἰ τοξοτευχεῖς ἦτε, κάρτ' ἂν ᾔκασα S. 285. ᾔκασεν δέ τις τὸ δεινὸν αὖ Λημνίοισι πήμασιν C. 624. τίν' ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα; C. 338. οὐκ ἔχοιμ' ἂν εἰκάσαι τάδε τὰ δῶρα, μείω δ' ἐστὶ τῆς ἁμαρτίας C. 511.

Εἴκασμα. τοῦ χθονίου δέμας δαίμονος ἐχθρὸν εἴκασμα βροτοῖς τε καὶ δαροβίοισι θεοῖς T. 505.

Εἴκειν (cedere). σὺ δ' οὐδέπω ταπεινὸς, οὐδ' εἴκεις κακοῖς V. 320. μέμνησο δ' εἴκειν S. 199. εἴκουσ' ἀνάγκῃ τῇδε καίνισον ζυγὸν A. 1041.

Εἴκειν (similis esse). εἰκὸς δὲ πράξειν ἄνδρας ὧδε T. 499. ὡς κομπάσαι τῷδ' εἰκὸς ἡλίου φάει A. 561. δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν εἰκὸς μάλιστα A. 572. τὸ δυσσεβὲς γὰρ ἔργον μετὰ μὲν πλείονα τίκτει σφετέρᾳ δ' εἰκότα γέννᾳ A. 738. ξένῳ γὰρ εἰκὼς, παντελῆ σάγην ἔχων ἥξω C. 553. τὸν τεκόντα δ' εἰκὸς εἰδέναι C. 679. λέοντος ἄντρον αἱματοῤῥόφου οἰκεῖν τοιαύτας εἰκὸς E. 185. ἕλξειν ἔοιχ' ὑμᾶς ἀποσπάσας κόμης S. 883. νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι φίλοις P. 729. ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην T. 527. χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασι V. 973. ἐρεῖν ἔοικας οὐδὲν ὧν χρῄζει πατὴρ V. 985. λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν V. 1009. χρήσειν ἔοικεν ἀμφὶ τῶν αὑτῆς κακῶν A. 1053. ἔοικεν εὖρις ἡ ξένη κυνὸς δίκην εἶναι, ματεύειν δ' ὧν ἀνευρήσει φόνον A. 1064. ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ δεῖσθαι A. 1032. λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς πνέων ἐσῄξειν A. 1153. ἔοικεν ἁνὴρ ὁ ξένος τεύχειν κακὸν C. 719. ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας αὐχὴν πεσεῖσθαι πρὸς δίκην πεπληγμένης C. 870. κτενεῖν ἔοικας, ὦ τέκνον, τὴν μητέρα C. 909. ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην C. 913. θέλξειν μ' ἔοικας καὶ μεθίσταμαι κότου E. 860.

Εἰκῆ. τὸν μακρὸν χρόνον ἔφυρον εἰκῆ πάντα V. 448. θολεροὶ δὲ λόγοι παίουσ' εἰκῆ στυγνῆς πρὸς κύμασιν ἄτης V. 887.

Εἰκότως. νέμων εἰκότως ἄδικα μὲν κακοῖς, ὅσια δ' ἐννόμοις S. 398. ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ A. 889.

Εἰκώς. γυναικείοις τύποις εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων S. 280. θηρὸς ἐχθίστου δάκους εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος S. 541.

Εἰλαπίναι Fr. Inc. 163.

Εἱλίσσων. στρόμβοι δὲ κόνιν εἱλίσσουσι V. 1087. ὦ πάντων αἰθὴρ κοινὸν φάος εἱλίσσων V. 1094. τοῦ περὶ πᾶσαν θ' εἱλισσομένου χθόν' ἀκοιμήτῳ ῥεύματι παῖδες πατρὸς Ὠκεανοῦ V. 138.

Εἰλλόμενον Fr. Bass. 1.

Εἷμα. ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων περιστιχίζω, πλοῦτον εἵματος κακοῦ A. 1356. μηδ' εἵμασιν στρώσασ' ἐπίφθονον πόρον τίθει A. 895. εἱμάτων βαφαὶ A. 934. πολλῶν πατησμὸν εἱμάτων ἂν εὐξάμην A. 937. δακρύω δ' ὑφ' εἱμάτων ματαίοισι δεσποτᾶν τύχαις C. 79.

Εἰν. κατὰ Σαρπηδόνιον χῶμα πολυψάμαθον ἀλαθεὶς εὐρείαις ἐν αὔραις S. 850.

Εἶναι. εἴτις ἐστὶ κηδεμὼν S. 72. ἔστι δὲ κἀκ πτολέμου τειρομένοις βωμὸς Ἄρης φυγάσιν ῥῦμα S. 77. ἄμεινόν ἐστι παντὸς εἵνεκ', ὦ ξέναι, πάγον προσίζειν S. 185. χρεῖος εἶ ξένη φυγὰς S. 199. τοῦ Γηγενοῦς γάρ εἰμ' ἐγὼ Παλαίχθονος Ἶνις Πελασγὸς S. 247. ὅπως τόδ' ὑμῖν ἐστιν Ἀργεῖον γένος S. 275. Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι γυναιξίν ἐστε S. 277. ἀδελφὸς δ' ἐστὶ πεντηκοστόπαις S. 316. πόλεμον αἴρεσθαι μέγαν πᾶσ' ἔστ' ἀνάγκη S. 435. πολλῶν τάδ' ἡμῖν ἐστιν ἠξιωμένα S. 485. ἀεὶ δ' ἀνάκτων ἐστὶ δεῖμ' ἐξαίσιον S. 509. γένος, τὸ δὴ Ζηνός ἐστιν ἀληθῶς S. 580. ἐξῶλές ἐστι μάργον Αἰγύπτου γένος S. 722. ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσονας κυνῶν εἶναι S. 741. κελαινὸν εἴτι κεῦθός ἐστί που S. 759. τί δ' ἄνευ σέθεν θνατοῖσι τέλειόν ἐστι S. 804. καὶ δώματ' ἐστὶ πολλὰ S. 935. εὔθυμόν ἐστιν εὐτυχεῖς ναίειν δόμους πολλῶν μετ' ἄλλων S. 937. Διὸς οὐ πάρβατός ἐστι μεγάλα φρὴν S. 1034. ὅ τι τοι μόρσιμόν ἐστι, τόδε γένοιτ' ἂν S. 1032. τόθεν οὐκ ἔστιν ὑπὲρ θνατὸν ἀλύξαντα φυγεῖν P. 100. ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσὶ P. 161. ἐστὶ γὰρ πλοῦτός γ' ἀμεμφής, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος P. 163. ταῦτ' ἔμοιγε δείματ' ἔστ' ἰδεῖν P. 206. ἀργύρου πηγή τις αὐτοῖς ἐστὶ P. 234. ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα P. 254. ἔτ' ἆρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις; Ἀνδρῶν γὰρ ὄντων ἕρκος ἐστὶν ἀσφαλὲς P. 340. νῆσός τις ἐστὶ πρόσθεν Σαλαμῖνος τόπων P. 439. ταῦτ' ἔστ' ἀληθῆ P. 505. ἐστὶ δ' οὐκ εὐέξοδον P. 674. οἱ κατὰ χθονὸς θεοὶ λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι P. 676. τί ἐστὶ Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν; P. 679. ἔστι τίς σωτηρία; P. 721. τοίγαρ σφὶν ἔργον ἐστὶν ἐξειργασμένον μέγιστον P. 745. εἴπερ τάδ' ἐστὶ P. 850. δίδυμα γάρ ἐστι καὶ τριπλᾶ P. 990. γυμνός εἰμι προπομπῶν P. 993. αὐτὸς κατόπτης δ' εἰμ' ἐγὼ τῶν πραγμάτων T. 41. πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας μήτηρ T. 206. ἀνδρῶν τάδ' ἐστὶ σφάγια καὶ χρηστήρια θεοῖσιν ἔρδειν T. 212. ἐλπίς ἐστι νυκτερὸν τέλος μολεῖν T. 349. κάρτα δ' ἔστ' ἐγχώριος T. 395. κεἰ στόμαργός ἐστ' ἄγαν T. 429. πρὸς τῶν κρατούντων δ' ἐσμέν, οἱ δ' ἡσσωμένων T. 498. ἔστιν δὲ καὶ τῷδ' ὃν λέγεις τὸν Ἀρκάδα, ἀνὴρ ἄκομπος T. 535. ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς κάκιον οὐδὲν T. 581. εἰ καρπός ἐστι θεσφάτοισι Λοξίου T. 600. θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτοὺς T. 607. τοιαῦτ' ἐκείνων ἐστὶ τἀξευρήματα T. 631. ἀνδροῖν δ' ὁμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος, οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος T. 664. τί δ' ἐστὶ πρᾶγος νεόκοτον πόλει παρόν; T. 785. μαντίς εἰμι τῶν κακῶν T. 790. κάρτα δ' εἰσ' ὅμαιμοι T. 922. μέλαινά τ' Ἐριννὺς, ἦ μεγασθενής τις εἶ T. 962. ἐγὼ δ' ἄτολμός εἰμι συγγενῆ θεὸν δῆσαι V. 14. ἐλεύθερος γὰρ οὔτις ἐστὶ πλὴν Διὸς V. 50. τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος V. 105. οὔτε σιγᾶν, οὔτε μὴ σιγᾶν τύχας οἷόν τε μοι τάσδ' ἐστὶ V. 107. ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε V. 197. οὐδ' ἔστιν ἆθλον

τέρμα σοι προκείμενον V. 257. χωρίς τε γένους, οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν νείμαιμ', ἢ σοὶ V. 291. οὐ γάρ ποτ' ἐρεῖς ὡς Ὠκεανοῦ φίλος ἐστὶ βεβαιότερός σοι V. 297. ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι V. 379 εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι λυθέντα, μηδὲν μεῖον ἰσχύσειν Διὸς V. 507. τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος; V. 513. τούτων ἄρ' ὁ Ζεύς ἐστιν ἀσθενέστερος V. 515. ἦπου τι σεμνόν ἐστιν ὁ ξυναμπέχεις V. 519. πρό γε στενάζεις, καὶ φόβου πλέα τις εἶ V. 698. ὅτῳ θανεῖν μέν ἐστιν οὐ πεπρωμένον V. 755. νῦν δ' οὐδέν ἐστι τέρμα μοι προκείμενον μόχθων V. 757. ἦ γάρ ποτ' ἐστὶν ἐκπεσεῖν ἀρχῆς Δία; V. 759. οὐδ' ἔστιν αὐτῷ τῆσδ' ἀποστροφὴ τύχης; V. 771. τίς οὖν ὁ λύσων σ' ἐστὶν ἄκοντος Διός; V. 773. σημεῖά σοι τάδ' ἐστὶ τῆς ἐμῆς φρενὸς V. 844. σεμνόστομός γε καὶ φρονήματος πλέως ὁ μῦθός ἐστι V. 956. οὐκ ἔστιν αἴκισμ', οὐδὲ μηχάνημ', ὅτῳ προτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε V. 991. τοιάδε μέντοι τῶν φρενοπλήκτων βουλεύματ' ἔπη τ' ἐστὶν ἀκοῦσαι V. 1057. οὐκ ἔστι νόσος τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον V. 1071. ἔστι δ' ὅπῃ νῦν ἔστι A. 67. κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν ἐκτελέων A. 104. Ζεὺς, ὅστις ποτ' ἐστὶν, εἰ τόδ' αὐτῷ φίλον κεκλημένῳ, τοῦτό νιν προσεννέπω A. 155. δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν γυναῖκ' ἐρημωθέντος ἄρσενος θρόνου A. 250. τί γὰρ τὸ πιστόν ἐστι τῶνδε σοι τέκμαρ; Ἔστιν· τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ A. 263. καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα φθογγὰς ἀκούειν ἐστὶ συμφορᾶς διπλῆς A. 317. οὐ γάρ ἐστιν ἔπαλξις Πλούτου πρὸς κόρον ἀνδρὶ λακτίσαντι μέγαν δίκας βωμὸν εἰς ἀφάνειαν A. 370. τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη τάδ' ἐστὶν A. 415. τίς οἶδεν, ἤ τι θεῖόν ἐστι μὴ ψύθος A. 465. οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ, ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον A. 606. ἐκείνων εἴ τις ἐστὶν ἐμπνέων A. 657. δίχα δ' ἄλλων μονόφρων εἰμὶ A. 735. οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς A. 770. παυροῖς γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε, φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν A. 806. ἔστιν θάλασσα—τίς δέ νιν κατασβέσει; A. 932. οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης A. 914. εἴπερ ἐστὶ A. 1020. τούτων ἄϊδρίς εἰμι τῶν μαντευμάτων A. 1076. φρενομανής τις εἶ θεοφόρητος A. 1111. ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων A. 1168. θῆλυς ἄρσενος φονεύς ἐστιν A. 1205. οὐκ ἔστ' ἄλυξις, οὔ, ξένοι, χρόνῳ πλέων A. 1272. τί δ' ἐστὶ χρῆμα; τίς σ' ἀποστρέφει φόβος A. 1279. τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεύειν πέρι A. 1332. κἀγὼ τοιοῦτός εἰμι A. 1333. οὗτός ἐστιν Ἀγαμέμνων, ἐμὸς πόσις A. 1377. ἐπήκοος δ' ἐμῶν ἔργων δικάστης τραχὺς εἶ A. 1395. μεγαλόμητις εἶ περίφρονα δ' ἔλακες A. 1400. τί τῶνδ' οὐ θεόκραντόν ἐστιν; A. 1468. δύσμαχα δ' ἐστὶ κρῖναι A. 1542. νόμος βροτοῖς ἔστ' ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε στέφη C. 92. κεἰ θυραῖός ἐσθ' ὅμως C. 113. καὶ ταῦτα μοὐστὶν εὐσεβῆ θεῶν πάρα C. 119. ἐκ δὲ χρημάτων φεύγων Ὀρέστης ἐστὶν C. 134. εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι C. 168. οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν C. 170. καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος C. 172. καὶ γὰρ δύ' ἐστὸν τώδε περιγραφὰ ποδοῖν C. 205. ὅδ' εἰμὶ, μὴ μάτευ' ἐμοῦ μᾶλλον φίλον C. 217. προσαυδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον C. 237. τοὔργον ἔστ' εἰργαστέον C. 296. λύκος γὰρ ὥστ' ὠμόφρων ἄσαντος ἐκ ματρός ἐστι θυμὸς C. 416. ὑπὲρ σοῦ τοιάδ' ἔστ' ὀδύρματα C. 501. ἔσται· πυθέσθαι δ' οὐδέν ἐστ' ἔξω δρόμου C. 507. μείω δ' ἐστὶ τῆς ἁμαρτίας C. 512. εἴπερ φιλόξεν' ἐστὶ δώματα C. 645. ἀνδρῶν τόδ' ἐστὶν ἔργον, οἷς κοινώσομεν C. 662. ξένος μέν εἰμι Δαυλιεὺς C. 663. τί γὰρ ξένου ξένοισίν ἐστιν εὐμενέστερον; C. 691. ἀλλ' ἔσθ' ὁ καιρὸς ἡμερεύοντας ξένους μακρᾶς κελεύθου τυγχάνειν τὰ προσφόρα C. 699. λύπη δ' ἄμισθός ἐστί σοι ξυνέμπορος C. 722. Αἴγισθος οὐκ ἔτ' ἐστὶν C. 864. τί δ' ἐστὶ χρῆμα; τίνα βοὴν ἵστης δόμοις; C. 872. ἕως ἔτ' ἔμφρων εἰμὶ C. 1022. οὐκ εἰσὶ δόξαι τῶνδε πημάτων ἐμοὶ, σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες C. 1049. Διὸς προφήτης δ' ἐστὶ Λοξίας E. 19. ἰατρόμαντις δ' ἐστὶ καὶ τερασκόπος E. 62.

φίλοις γὰρ εἰσὶν οὐκ ἐμοῖς προσίκτορες E. 118. οἵας ἑορτῆς ἔστ' ἀπόπτυστοι θεοῖς στέργηθρ' ἔχουσαι E. 182. ἀλλ' ἔστιν ἡμῖν τοῦτο προστεταγμένον E. 199. εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μορσίμη ὅρκου 'στὶ μείζων τῇ δικῇ φρουρουμένη E. 209. εἶεν, τόδ' ἐστὶν ἀνδρὸς ἐκφανὲς τέκμαρ E. 235. καὶ νῦν ὅδ' ἐνθάδ' ἐστί που E. 243. μέγας γὰρ Ἅιδης ἐστὶν εὔθυνος βροτῶν E. 263. οὐδέ τις ἐστὶ συνδαίτωρ μετάκοινος E. 330. τίνες πότ' ἐστέ; E. 386 ἡμεῖς γάρ ἐσμεν Νυκτὸς αἰανῆς τέκνα E. 394. οὐκ εἰμὶ προστρόπαιος E. 423. Ἀργεῖός εἰμι E. 433. τοιαῦτα μὲν τάδ' ἐστὶν ἀμφότερα μένειν E. 493. ἔστι γὰρ δόμων ἱκέτης ὅδ' ἀνὴρ E. 546. πολλαὶ μέν ἐσμεν, λέξομεν δὲ συντόμως E. 555. δρᾶσαι γὰρ, ὥσπερ ἐστὶν, οὐκ ἀρνούμεθα E. 581. ἔστι τοῦδ' ἄκος E. 615. ἅπαξ θανόντος οὐκ ἔτ' ἔστ' ἀνάστασις E. 618. οὐκ ἔστι μήτηρ ἡ κεκλημένου τέκνου τοκεὺς, τροφὸς δὲ κύματος νεοσπόρου E. 628. Ἄρει δ' ἔθυον, ἔνθεν ἔστ' ἐπώνυμος πέτρα E. 659. καὶ μὴν βαρεῖαν τήνδ' ὁμιλίαν χθονὸς ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι E. 682. ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις θεοῖς ἄτιμος εἶ σὺ E. 692. μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ' ἐγείνατο E. 706. κάρτα δ' εἰμὶ τοῦ πατρὸς E. 708. ἴσον γάρ ἐστι τἀρίθμημα τῶν πάλων E. 723. αὐτοῖσιν ἡμεῖς ἐσμὲν εὐμενέστεροι E. 744. οὐκ ἔστ' ἄτιμοι E. 788. καὶ κλῇδας οἶδα δωμάτων μόνη θεῶν ἐν ᾧ κεραυνός ἐστιν ἐσφραγισμένος E. 792. ὀργὰς ξυνοίσω σοι, γεραιτέρα γὰρ εἶ E. 810. εἰ μὲν ἁγνόν ἐστί σοι πειθοῦς σέβας E. 845. τοιαῦτα σοὔστι E. 872. ὅδ' ἐστὶν ὅς ποτ' ἀμφ' ἐμοὶ βέλος ἔρριψε Fr. Inc. 77. 1. δένδρων δέ τις ὥρ' ἐκ νοτίζοντος γάμου τέλειός ἐστι Fr. Dan. 2. 6. ὡς δ' ἐστὶ μύθων τῶν Λιβυστικῶν λόγος Fr. Myrm. 2. 1. οἷς ἐν Ἰδαίῳ πάγῳ Διὸς πατρῴου βωμός ἐστι Fr. Niob. οὐ βωμός ἐστι Fr. Niob. 5. 2. ἁπλᾶ γάρ ἐστι τῆς ἀληθείας ἔπη Fr. Arm. Jud. 2. ἐγὼ γένος μέν εἰμι Κρὴς Fr. Pen. ἐπεὶ πᾶς χῶρός ἐστι μαλθακὸς Fr. Prom. Sol. 6. 4. ἀλλ' ἀρουραῖός τις ἐστι σμίνθος ὡς ὑπερφυὴς Fr. Sis. 3. μόνος γὰρ εἶ σὺ τῶν ἀνηκέστων κακῶν ἰατρὸς Fr. Philoct. 1. 2. ἡμῶν γε μέντοι Νέμεσίς ἐσθ' ὑπερτέρα Fr. Phryg. 2. 4. αὐτός ἐστιν ὁ κτανὼν τὸν παῖδα τὸν ἐμὸν Fr. Psych. 1. 8. κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ Fr. Inc. 12. ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι Fr. Inc. 13. ὅρκος βεβαιός ἐστιν Fr. Inc. 15. γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον Fr. Inc. 22. ἀλλ' ἐστὶ κἀμοὶ κλεῖς ἐπὶ γλώσσῃ φύλαξ Fr. Inc. 34. Ζεύς ἐστιν αἰθὴρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ' οὐρανὸς Fr. Inc. 36. ποῦ δ' ἐστὶν Ἀργοῦς ἱερὸν αὔδασον ξύλον Fr. Inc. 54. ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ καλῶν ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς Fr. Inc. 79. αἵματός ἐστιν ἡ ἀρέτη ὠνία Fr. Inc. 91. τὸ μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι κρεῖσσον κακῶς πράσσοντα Fr. Inc. 1011. μὴ νῦν σχόλαζε, μηχανῆς δ' ἔστω κράτος S. 204. ἥβας δ' ἄνθος ἄδρεπτον ἔστω S. 650. εὐμενὴς δ' ὁ Λύκειος ἔστω πάσᾳ νεολαίᾳ S. 669. φιλοθύτων δέ τοι πόλεως ὀργίων μνήστορες ἔστε μοι T. 163. ἔκηλος ἴσθι, μηδ' ἄγαν ὑπερφοβοῦ T. 220. εἴπερ κακὸν φέρει τις αἰσχύνης ἄτερ, ἔστω T. 666. ἀλλ' αὐτόβουλος ἴσθ', ἀπεννέπω δ' ἐγὼ T. 1044. ἔστω δ' ἀπήμαντον, ὥστε κἀπαρκεῖν εὖ πραπίδων λαχόντα A. 368. νῦν δ' αὖτε σωτὴρ ἴσθι, κἀπαγώνιος A. 498. τῆσδ' ἔστε βουλῆς, ὦ φίλοι, μεταίτιοι C. 98. ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω C. 145. πομπαῖος ἴσθι E. 91. πρὸς τάδε τις τοκέων σέβας εὖ προτίων καὶ ξενοτίμους ἐπιστροφὰς δωμάτων αἰδόμενός τις ἔστω E. 519. θυραῖος ἔστω πόλεμος E. 826. τάχ' ἂν ὀπτῆρες εἶεν S. 182. εἴη δ' ἄνατον· πρᾶγμα τοῦτ' ἀστοξένων S. 351. ἄγος μὲν εἴη τοῖς ἐμοῖς παλιγκότοις S. 371. ὑμῖν δ' ἂν εἴη δῆμος εὐμενέστερος S. 483. εἴη δὲ νίκη καὶ κράτη τοῖς ἄρσεσι S. 929. εἴη δὲ τὰ λῷστα S. 952. μήτ' ἐν κακοῖσι μήτ' ἐν εὐεστοῖ φίλη ξύνοικος εἴην τῷ γυναικείῳ γένει T. 169. ἦ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος Δίκη T. 652. εἶεν V. 36. C. 646. 708. E. 235. χροῖαν τίνα ἔχοντ' ἂν εἴη δαίμοσιν πρὸς ἡδονὴν V. 492. εἴης φορητὸς οὐκ ἂν, εἰ πράσσοις καλῶς V. 981. εὖ γὰρ εἴη A. 210. μήτ' εἴην πτολιπόρθης, μήτ' οὖν αὐτὸς ἁλοὺς ὑπ' ἄλλων βίον κατίδοιμι A. 459. οὐκ ἂν Ἀργείων τόδ' εἴη φῶτα προσσαίνειν κακὸν A. 1650.

τοιάνδε πάλην μόνος ὢν ἔφεδρος δισσοῖς μέλλει θεῖος Ὀρέστης ἅψειν, εἴη δ' ἐπὶ νίκῃ C. 855. εἴη δ' ἀγαθῶν ἀγαθὴ διάνοια πολίταις E. 961. μὴ παρασπίστης ἐμοὶ εἴη μὲν οὖν μήτ' ἔγγυς Fr. Inc. 37. 1. Ἀμαζόνας, εἰ τοξοτευχεῖς ἦτε, κάρτ' ἂν ᾔκασα ὑμᾶς S. 285. ἀσφάλεια δ' ᾗ δι' ἄστεος στείχουσι S. 490. τάχυνε δ', ὡς ἄμεμπτος ὦ χρόνου P. 677. εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον, μηδ' εἰ στράτευμα πλεῖον ᾖ τὸ Μήδικον P. 777. μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ᾖ τόδε; C. 175. τί γάρ; πρὸς ὑμᾶς πῶς τιθεῖσ' ἄμομφος ὦ; E. 648. νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων ὀφθαλμὸς, ἥτις ἀνδρὸς ᾖ γεγευμένη Fr. Sagitt. 1. 1. ἡ χαρίεν ἔστ' ἄνθρωπος, ἢ ἄνθρωπος ᾖ Fr. Inc. 10. Ἰνδοὺς δ' ἀκούω νομάδας ἱπποβάμοσιν εἶναι καμήλοις S. 282. φάσκοντες ἐγγύτατα γένους εἶναι S. 385. θέλω δ' ἄϊδρις μᾶλλον ἢ σοφὸς κακῶν εἶναι S. 449. δι' ἃς τοι γένος εὐχόμεθ' εἶναι γᾶς ἀπὸ τᾶσδ' ἔνοικοι S. 532. ἄτιμον εἶναι S. 609. λεὼς ἔκραν' ἄνευ κλητῆρος ὡς εἶναι τάδε S. 617. ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι S. 895. ἡμεῖς δ' ὕμνοις αἰτησόμεθα φθιμένων πομποὺς εὔφρονας εἶναι P. 619. εὔχου τὰ κρείσσω συμμάχους εἶναι θεοὺς T. 248. αἰσχρῶν γὰρ ἀργὸς, μὴ κακὸς δ' εἶναι θέλει T. 393. οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει T. 574. Δίκη δ' ἄρ' εἶναί φησι T. 628. ἐκφορᾶς φίλων ὕπο ἄτιμον εἶναι T. 1015. κράτιστα δή μοι τῶν παρεστώτων τότε ἐφαίνετ' εἶναι προσλαβόντι μητέρα ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν V. 217. ὥστε σοὶ τὸν νῦν χόλον παρόντα μόχθων παιδιὰν εἶναι δοκεῖν V. 314. ἐμὸν δοκήσει τἀμπλάκημ' εἶναι τόδε V. 386. νόσημα γὰρ αἴσχιστον εἶναί φημι συνθέτους λόγους V. 689. ἆρ' ὑμῖν δοκεῖ ὁ τῶν θεῶν τύραννος ἐς τὰ πάνθ' ὁμοῦ βίαιος εἶναι; V. 739. οὓς γὰρ νῦν ἀκήκοας λόγους εἶναι δόκει σοι μηδέπω 'ν προοιμίοις V. 743. τῶν σῶν τιν' αὐτὸν ἐκγόνων εἶναι χρεὼν V. 774. πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι προτίουσι A. 762. δοκοῦντες εἶναι κάρτα πρευμενεῖς ἐμοὶ A. 814. ἐπεί σ' ἔθηκε Ζεὺς ἀμηνίτως δόμοις κοινωνὸν εἶναι χερνίβων A. 1007. ἔοικεν εὖρις ἡ ξένη κυνὸς δίκην εἶναι A. 1065. οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος εἶναι A. 1102. φίλοι δοκοῦντες εἶναι A. 1348. αὐχεῖς εἶναι τόδε τοὔργον ἐμὸν A. 1476. Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον A. 1480. τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος εἶναι μετασχεῖν C. 290. ἀλλ' εὔχομαι γῇ τῇδε καὶ πατρὸς τάφῳ τοὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεσφόρον C. 534. ὅπως δοκῶμεν τῶνδ' ἀναίτιαι κακῶν εἶναι C. 861. ἐκτὸς αἰτίας κακῆς εἶναι C. 1028. εὐθυδίκαι δ' ἡδόμεθ' εἶναι E. 302. φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο E. 403. ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος E. 426. ἔξεστι γάρ σοι τῆσδέ γ' εὔμοιρου χθονὸς εἶναι δικαίως ἐς τὸ πᾶν τιμωμένῃ E. 851. τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα ἤλπιζον εἶναι μαντικῇ βρύον τέχνῃ Fr. Psych. 1. Δημήτερ, ἡ θρέψασα τὴν ἐμὴν φρένα, εἶναί με τῶν σῶν ἄξιον μυστηρίων Fr. Inc. 99. πρύτανις ἄκριτος ὢν κρατύνεις βωμὸν ἑστίαν χθονὸς S. 366. κάρβανος δ' ὢν Ἕλλησιν ἐγχλίεις ἄγαν S. 892. εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς P. 171. ταῦτα θυμόμαντις ὢν σοι πρευμενῶς παρῄνεσα P. 220. ἀνδρῶν γὰρ ὄντων ἕρκός ἐστιν ἀσφαλὲς P. 341. ζηλωτὸς ὢν βίοτον εὐαίωνα Πέρσαις P. 696. διαίνομαι γοέδνος ὢν P. 996. ἐκτὸς οὖσ' ἀγαλμάτων εὔχου τὰ κρείσσω T. 247. χαρᾷ ματαίᾳ θνητὸς ὢν ἐς οὐρανὸν πέμπει γέγωνα Ζηνὶ κυμαίνοντ' ἔπη T. 424. δίκαιος ὢν T. 587. ὡς ὄντ' ἀναστατῆρα Καδμείων χθονὸς T. 1006. κατασκαφὰς ἐγὼ γυνή περ οὖσα, τῷδε μηχανήσομαι T. 1029. ὑπαίθριος δεσμοῖσι πασσαλευτὸς ὢν V. 113. ἢ οὐκ οἶσθ' ἀκριβῶς, ὢν περισσόφρων, ὅτι γλώσσῃ ματαίᾳ ζημία προστρίβεται; V. 328. τίς ὤν, τίς ἄρα μ', ὦ τάλας, τὰν ταλαίπωρον ὧδ' ἐτήτυμα προσθροεῖς; V. 596. ὡς τοίνυν ὄντων τῶνδέ σοι μαθεῖν πάρα V. 762. μήτε τῶν γέννᾳ μεγαλυνομένων ὄντα χερνήταν ἐραστεῦσαι γάμων V. 895. σὲ γὰρ προσήυδων οὐκ ἂν ὄνθ' ὑπηρέτην V. 985. ἐκερτόμησας δῆθεν ὡς παῖδ' ὄντα με V. 988. οὐδὲν ἂν λέξαι πρὶν ὢν A. 164. ἢ τορῶς λέγω Τροίαν Ἀχαιῶν οὖσαν; A. 260. λόγοις τοιούτοις πλαγκτὸς οὖσ' ἐφαινόμην A.

579. ῥίζης γὰρ οὔσης, φυλλὰς ἵκετ' ἐς δόμους A. 940. πεύθομαι δ' ἀπ' ὀμμάτων νόστον, αὐτόμαρτυς ὢν A. 962. ἐκτὸς δ' ἂν οὖσα μορσίμων ἀγρευμάτων πείθοι' ἂν εἰ πείθοιο A. 1018. εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχει λόγον A. 1030. ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενὸς A. 1275. τάδε μὲν στέργειν, δύστλητά περ ὄντα A. 1552. ἀμφίλεκτος ὢν κράτει A. 1567. τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ συνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις A. 1587. καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὢν A. 1590. ὅπως δίφροντις οὖσα μὴ κινυσσόμην C. 194. τοὺς φιλτάτους γὰρ οἶδα νῷν ὄντας πικροὺς C. 232. οὐ γάρ τι φωνεῖ παῖς ἔτ' ὢν ἐν σπαργάνοις C. 744. τούτων πρόμαντις οὖσα C. 747. τοιάνδε πάλην μόνος ὢν ἔφεδρος δισσοῖς μέλλει θεῖος 'Ορέστης ἅψειν C. 853. διχῶς ἐπράθην ὢν ἐλευθέρου πατρὸς C. 902. κλύει δὲ καὶ πρόσωθεν, ὢν θεὸς E. 287. ἐπὶ τὸν, ὦ, διόμεναι κρατερὸν ὄντα E. 338. μάντις δ' ὢν οὐ ψεύσομαι E. 585. ἀμφίβουλος οὖσα θυμοῦσθαι πόλει E. 703. ὄντες ἐν τάφοις E. 757. τοίγαρ κατὰ χθόν' οὖσ' ἐπικτήσῃ φίλους E. 861. Παλλάδος δ' ὑπὸ πτεροῖς ὄντας ἅζεται πατὴρ E. 956. ἔνθ' οὐ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὢν, μέμψῃ Fr. Prom. Sol. 6. 2. βοᾷς τοιοῦδε πράγματος θεωρὸς ὢν Fr. Inc. 97. τἄλλα πόλλ' ἐπεικάσαι δίκαιον ἦν εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν S. 241. ἀπ' ἀρχῆς πραγμάτων κοινωνὸς ἦν S. 339. βροτοὺς οἱ γᾶς τότ' ἦσαν ἔννομοι S. 560. τίς ἦν ὁ θέλξας πολύπλαγκτον ἀθλίαν οἰστροδόνητον 'Ιώ; S. 567. οὐδαμῶς ἐμαυτῆς ἦν ἀδείμαντος P. 158. πόσον τι πλῆθος ἦν νεῶν; P. 326. ἦν ὁ πᾶς ἄριθμος ἐς τριακάδας δέκα P. 331. χιλιὰς μὲν ἦν, ὧν ἦγε, πλῆθος P. 334. δεκὰς δ' ἦν τῶνδε χωρὶς ἔκκριτος P. 333. αἱ δ' ὑπέρκομποι τάχει ἑκατὸν δὶς ἦσαν P. 335. ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν; P. 342. πᾶσιν στέρεσθαι κρατὸς ἦν προκείμενον P. 363. ὡς ἕκαστος ἦν τεταγμένος P. 373. πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν P. 390. οὐκ ἔτ' ἦν μέλλειν ἀκμὴ P. 399. θάλασσα δ' οὐκ ἔτ' ἦν ἰδεῖν P. 411. φυγῇ δ' ἀκόσμῳ πᾶσα ναῦς ἠρέσσετο, ὅσαι περ ἦσαν βαρβάρου στρατεύματος P. 415. Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν P. 433. ἀμφότερα γὰρ ἦν τάδε P. 483. διπλοῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν P. 706. Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ P. 751. οἷς τόδ' ἦν χρέος P. 763. οἷος ἦν Φαρανδάκης P. 919. οἶκτος δ' οὔτις ἦν διὰ στόμα T. 51. ὁ σηματοῦργος δ' οὔ τις εὐτελὴς ἄρ' ἦν T. 473. τάχ' ἂν τόδ' ἦν T. 645. ἀλλ' εἰς ἅπαντας ἄνθ' ἑνὸς τόδ' ἔργον ἦν T. 1041. ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ, οὔτ' ἀνθεμώδους ἦρος V. 453. οὐκ ἦν ἀλέξημ' οὐδὲν V. 477. αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγὴ V. 756. ἦ σοφὸς, ἦ σοφὸς ἦν V. 889. ὅστις πάροιθεν ἦν μέγας A. 162. εὐναὶ γὰρ ἦσαν δηΐων πρὸς τείχεσι A. 545. κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος A. 775. ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος A. 816. ὅσονπερ ἦν ὑπ' 'Ιλίῳ χρόνον A. 834. ἦν τεθνηκὼς A. 843. ἦμεν κλέος σοῦ μαντικὸν πεπυσμένοι, ἦμεν A. 1069. αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε A. 1177. ἀλλ' ἦν παλαιστὴς κάρτ' ἐμοὶ πνέων χάριν A. 1179. πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότῳ; A. 1184. εἰ δ' ἦν πρεπόντων ὥστ' ἐπισπένδειν νεκρῷ, τάδ' ἂν δικαίως ἦν A. 1369. τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς, ἐγὼ δ' ὕποπτος ἐχθρὸς ἦ παλαιγενὴς A. 1619. πιστὸς δ' ἀδελφὸς ἦσθα C. 241. βασιλεὺς γὰρ ἦς, ὄφρ' ἔζης C. 355. ἀπριγτόπληκτα πολυπλάνητα δ' ἦν ἰδεῖν C. 419. ἄτρωτον οὖθαρ ἦν ὑπὸ στυγός; C. 525. ἰατρὸς ἐλπὶς ἦν C. 688. πρὸς δυσσεβείας ἦν ἐμοὶ τόδ' ἐν φρεσὶν τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις C. 692. αὐτὸς ἦν θνήσκοντος ἐγγύθεν παρὼν C. 839. σεμνοὶ μὲν ἦσαν C. 969. αὐτός θ' ὁ χρήσας, αὐτὸς ἦν ὁ μαρτυρῶν E. 765. ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι Fr. Glauc. Potn. 1. 2. τίν' αὐδὴν τήνδε γηρυθεῖσ' ἔσῃ; S. 455. οὐδὲν ἔσται τῶνδε S. 710. τὸ Κίσσινον πόλισμ' ἀντίδουπον ἔσσεται P. 120. τόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο P. 802. ἀβλαβὴς ἔσῃ T. 68. οὔκουν τάδ' ἔσται πρὸς θεῶν

T. 199. ὑπὸ δὲ σώματι γᾶς πλοῦτος ἄβυσσος ἔσται T. 931. ἀλλ' ἔμπας μαλακογνώμων ἔσται ποθ' V. 189. τέρμα τῆς ἐμῆς πλάνης δεῖξον τίς ἔσται V. 626. ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας τῆς σῆς πορείας V. 734. ἦ μὴν ἔτι Ζεύς, καίπερ αὐθάδης φρενῶν, ἔσται ταπεινὸς V. 910. πῶς φράσω τέλος; τάχος γὰρ τόδ' ἔσται A. 1081. ὁ χρησμὸς οὐκ ἔτ' ἐκ καλυμμάτων ἔσται δεδορκὼς A. 1152. εἴπερ ἔσται γ', ἀλλὰ μὴ γένοιτό πως A. 1222. ἀπόπολις δ' ἔσῃ A. 1384. τύραννος Ἀργείων ἔσῃ A. 1616. παρ' εὐδείπνοις ἔσῃ ἄτιμος ἐν πυροῖσι κνισσωτοῖς χθονὸς C. 472. δίκαιος ὢν οὐκ ἄνολβος ἔσται E. 521. ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγείῳ στρατῷ ἀεὶ δικαστῶν τοῦτο βουλευτήριον E. 653. ὑπιρρέων γὰρ τιμιώτερος χρόνος ἔσται πολίταις τοῖσδε E. 816. θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρών, ἐν ᾧ τις ἔσται δεινὸς εὐκλείας ἔρως E. 827. ἡ Διὸς κλεινὴ δάμαρ μέλλουσ' ἔσεσθαι V. 837.

Εἵνεκα. ἄμεινόν ἐστι παντὸς εἵνεκ', ὦ κόραι S. 185. ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ, τοῦδ' εἵνεκα θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν V. 345.

Εἰπεῖν. εἶπον δὲ καὶ πρίν, οὐκ ἄνευ δήμου τάδ' ἂν πράξαιμι S. 393. οὕτω δ' εἶπε τεράζων A. 124. ἄναξ δ' ὁ πρέσβυς τάδ' εἶπε φωνῶν A. 198. καὶ τίς μ' ἐνίπτων εἶπε A. 576. τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μειλίγματα βροτοῖς πιφαύσκων εἶπε C. 277. εἶπε θαρσήσας ἀνὴρ πρὸς ἄνδρα C. 655. ἀγνὼς πρὸς ἀγνῶτ' εἶπε συμβαλὼν ἀνὴρ C. 666. τοσαῦτ' ἀκούσας εἶπον C. 677. οὐπώποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις οὐκ ἀνδρός, οὐ γυναικὸς οὐ πόλεως πέρι, ὁ μὴ κελεύσῃ Ζεὺς E. 586. ταύτην τοιαύτην εἶπον, ὡς δηχθῇ λεὼς E. 608. ἓν εἰπὲ δ' ἡμῖν, ποῖ κεκύρωται τέλος S. 598. μήτε μηκιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγων, εἰπὲ καὶ πέραινε πάντα P. 685. φέρ', ὅπως ἄχαρις χάρις, ὦ φίλος, εἰπέ που τίς ἀλκά; V. 545. πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ' ἀπύεις, εἰπέ μοι V. 595. αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω A. 120. σὺ δ' εἰπέ, κῆρυξ A. 603. καὶ μὴν τόδ' εἰπὲ μὴ παρὰ γνώμην ἐμοὶ A. 905. πρὸς τοὺς τεκόντας, πανδίκως μεμνημένος, τεθνεῶτ' Ὀρέστην εἰπὲ C. 671. ἀλλ' εἶφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας C. 905. τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας E. 557. εἰ γάρ τι κακῶν ἄκος οἶδε πλέον, μόνος ἂν θνητῶν πέρας εἴποι P. 624. σιδαρόπλακτοι δὲ τοὺς μένουσι, τάχ' ἄν τις εἴποι, τίνες; T. 896. τί τῶνδ' ἂν εἴποις ὥστε δηλῶσαι φρενὶ C. 834. ἄρκυν δ' ἂν εἴποις καὶ ποδιστῆρας πέπλους C. 994. καὶ μήποτε εἴπῃ λεώς, εἴ που τι μὴ τοῖον τύχῃ, ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν S. 395. μηδέ ποτ' εἴπηθ' ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον πῆμ' εἰσέβαλεν V. 1075. φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω; A. 1470. πῶς εὔφρον' εἴπω; C. 86. νῦν δ' αὖ τρίτος ἦλθέ ποθεν σωτήρ, ἢ μόρον εἴπω C. 1070. ὡς μήποτ' εἴπῃς, πρὸς νεωτέρας ἐμοῦ ἄτιμος ἔρρειν E. 842. τό τ' εἰπεῖν εὐπετὲς μύσαγμά πως S. 973. ὡς εἰπεῖν ἔπος P. 700. πάρεστι δ' εἰπεῖν ἐπ' ἀθλίοισιν, ὡς ἐρξάτην πολλὰ μὲν πολίτας T. 905. εἰ δ' ἔχεις εἰπεῖν ὅτι λοιπὸν πόνων, σήμαινε V. 686. Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν A. 358. ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω ἐμὸν τὸν αὐτῆς A. 1295. τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι A. 1346. πρὶν αὐτὸν εἰπεῖν, Ποδαπὸς ὁ ξένος; νεκρὸν θήσω C. 568. τί πρὸς τάδ' εἰπεῖν, ὦ ξέν', ἐν μέρει θέλεις; E. 414. εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες E. 561. ὡς ἐστι μύθων καὶ Λιβυστικῶν λόγος πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν ἀετὸν εἰπεῖν Fr. Myrm. 2. 1. ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις; S. 897. 899. Ἀπόλλωνος βίᾳ, τρὶς εἰπόντος ἐν μεσομφάλοις Πυθικοῖς χρηστηρίοις, θνήσκοντα γέννας ἄτερ, σώζειν πόλιν T. 728. πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχοις; A. 608. τί δ' ἂν εἰπόντες τύχοιμεν ἄν; C. 412. ὑπὸ δ' εὐνοίας πῶς ἴσον εἰποῦσ' ἀνύσωμαι; C. 845. ξύμπαντ' εἰπὼν Fr. Psychost. 1. 3. αὐτὸς τάδ' εἰπὼν Fr. Psych. 1. 8. βαρέα σύ γ' εἶπας, πόλεμον αἱρεσθαι νέον S. 337. τούτῳ μὲν εἶπας καὶ τεταγμένος κίοι S. 499. ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα P. 292. πῶς εἶπας; P. 784. V. 775. τί δ' εἶπας; T. 788. ἀπουσίᾳ μὲν εἶπας εἰκότως ἐμῇ, μακρὰν γὰρ ἐξέτεινας A. 889.

Εἴπερ. ἄγοις ἄν, εἴπερ εὐσεβὴς πίθοι

λόγος S. 919. εἴπερ τόδ' ἐστὶ P. 789. εἴπερ κακὸν φέρει τις αἰσχύνης ἄτερ, ἔστω T. 665. εἴπερ Ἰλίου πόλις ἑάλωκεν A. 29. εἴπερ τις, εἰδὼς γ' εὖ τόδ' ἐξεῖπον τέλος A. 908. εἴπερ ἐστὶ A. 1020. εἴπερ ἔσται, ἀλλὰ μὴ γένοιτό πως A. 1222. εἴπερ φιλόξεν' ἐστὶ δώματα C. 645.

Εἴργειν. λέκτρων, ὧν θέμις εἴργει S. 37. δακτυλοδεικτῶν δ' οὔτις ἀπειπὼν εἴργει μελάθρων A. 1306. ὀχυροῖς ἕρκεσιν εἴργειν ἄμαχον κῦμα θαλάσσης P. 89. δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται εἴργειν τεκούσῃ μητρὶ πολέμιον δορὺ T. 398. εἴργων γὰρ ἐχθροὺς, θάνατον εἷλετ' ἐν πόλει T. 1000. εἰ δὲ μὴ τεταγμένα μοῖρα μοῖραν ἐκ θεῶν εἶργε μὴ πλέον φέρειν A. 997. εἴρξει, νεοσσῶν ὡς δράκοντα T. 485. ἄλγος γυναιξὶν ἀνδρὸς εἴργεσθαι C. 907. ἀπὸ χώρων, ποτάμων τ' εἰργομένα S. 61.

Εἰρήνη. ἔθηκε πᾶσιν εἰρήνην φίλοις P. 755.

Εἷς. ἓν εἰπὲ δ' ἡμῖν S. 597. τοιάδε δημόκραντος ἐκ πόλεως μία ψῆφος κέκρανται S. 920. ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς ὄλβος P. 247. εἷς ἀνὴρ πλεῖστον πόνον ἐχθροῖς παρασχὼν P. 319. ἡμέρᾳ μιᾷ πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν P. 423. ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου P. 454. ἕν' ἄνδρα πάσης Ἀσίδος μηλοτρόφου ταγεῖν P. 749. πάντες ἑνὶ πιτύλῳ τλάμονες ἀσπαίρουσι χέρσῳ P. 937. Ἐτεοκλέης ἂν εἷς πολὺς κατὰ πτόλιν ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις T. 6. πάταγος οὐχ ἑνὸς δορὸς T. 99. φέρει δ' ὑφ' αὐτῇ φῶτα Καδμείων ἕνα T. 545. ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν T. 1041. Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία V. 211. πολλῶν ῥαγεισῶν ἐλπίδων, μιᾶς τυχὼν A. 491. πόλει μὲν ἕλκος ἓν τὸ δήμιον τυχεῖν A. 626. μία τὰς πολλὰς, τὰς πάνυ πολλὰς ψυχὰς ὀλέσασ' A. 1431. μία πολλῶν ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασ' A. 1444. πόροι πάντες ἐκ μιᾶς ὁδοῦ βαίνοντες C. 69. πολλοὶ γὰρ εἰς ἓν συμπιτνοῦσιν ἵμεροι C. 297. τὰ πάντα γάρ τις ἐγχέας ἀνθ' αἵματος ἑνὸς, μάτην ὁ μόχθος C. 514. τούσδ' ἕν τι ποιεῖν, τοὺς δὲ μή τι δρᾶν λέγων C. 546. ἓν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων E. 559. οἶκον ψῆφος ὤρθωσεν μία E. 721. χάρματα δ' ἀντιδίδοιεν κοινοφελεῖ διανοίᾳ, καὶ στυγεῖν μιᾷ φρενὶ E. 941. μίαν παρείρας πλεκτάνην χειμάῤῥοον στέγην πυρώσω Fr. Oreth. 1. 3. νηδύος μιᾶς ἄπο παῖδες Fr. Inc. 32. 6.

Εἰς. ἰδέσθω δ' εἰς ὕβριν βρότειον S. 97. εἰς βυθὸν μολεῖν δεδορκὸς ὄμμα δεῖ S. 403. παλαιὸν δ' εἰς ἴχνος μετέσταν ματέρος ἀνθονόμους ἐπωπὰς S. 543. οὐδ' ὅρμος, οὐδὲ πεισμάτων σωτηρία εἰς γῆν ἐνεγκεῖν S. 747. βαίνειν κελεύω βᾶριν εἰς ἀντίστροφον ὅσον τάχιστα S. 859. πεπέρακε στρατὸς εἰς ἀντίπορον γείτονα χώραν P. 67. παράγει βροτὸν εἰς ἀρκύστατα P. 99. εἰς ὄψιν μολεῖν P. 179. εὖτ' ἂν εἰς οἴκους μολῶμεν P. 226. Συέννεσίς τε πρωτὸς εἰς εὐψυχίαν P. 318. ὦ παγκρατὲς Ζεῦ, τρέψον εἰς ἐχθροὺς βέλος T. 237. εἰς ἑπτατειχεῖς ἐξόδους μολὼν T. 266. εἰς ἀφανῆ χέρσον T. 842. ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν T. 1041. χθονὸς μὲν εἰς τηλουρὸν ἥκομεν πέδον, Σκύθην ἐς οἶμον, ἄβατον εἰς ἐρημίαν V. 1. εἰς ἀπέραντον Τάρταρον ἧκε V. 153. εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα σπεύδων σπεύδοντί ποθ' ἥξει V. 191. ἐξερυσάμην βροτοὺς τοῦ μὴ διαῤῥαισθέντας εἰς Ἀΐδου μολεῖν V. 236. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς ἐφεψαλώθη κἀξεβροντήθη σθένος V. 361. μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ V. 388. εἴ τις εἰς νόσον πέσοι V. 476. δυστέκμαρτον εἰς τέχνην ὥδωσα θνητοὺς V. 495. τὸν ἐξαμαρτόντ' εἰς θεοὺς ἐφημέροις πορόντα τιμὰς V. 947. ἄψοῤῥον ἥξεις εἰς φάος V. 1024. εἰς ἀναύγητον μολεῖν Ἀΐδην V. 1030. ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον πῆμ' εἰσέβαλε V. 1076. εἰς ἀπέραντον δίκτυον ἄτης ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας V. 1080. σκιρτᾷ δ' ἀνέμων πνεύματα πάντων, εἰς ἄλληλα στάσιν ἀντίπνουν ἀποδεικνύμενα V. 1088. εἰς ἀφάνειαν A. 374. ἀντὶ δὲ φωτῶν τεύχη καὶ σποδὸς εἰς ἑκάστου δόμους ἀφικνεῖται A. 424. τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη A. 496. ἦ καὶ τέκνων ἐς ἔργον ἤλθετον νόμῳ; A. 1180. μηδ' εἰς Ἑλένην κότον ἐκτρέψῃς A. 1443. ἥκω γὰρ εἰς γῆν τήνδε C. 3. τενόντων θ' ὑπογραφαὶ

μετρουμέναι ἐς ταυτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις C. 208. εἰς ὄψιν ἥκεις ὧνπερ ἐξεύχου πάλαι C. 213. εἰς δὲ θηρίων γραφὴν ἰδοῦ C. 230. πολλοὶ γὰρ εἰς ἓν συμπιτνοῦσιν ἵμεροι C. 297. εἰς Ἄργος κίεις C. 669. ἀγ' αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων C. 701. οὔτοι σ' ἀπέῤῥιψ' εἰς δόμους δορυξένους C. 901. ἔπειτα μάντις εἰς θρόνους καθιζάνω E. 29. εἰς τὸ πᾶν ἔπραξας, ὡς παναίτιος E. 190. χρημάτων λάχος μέγα ἔνειμαν αὐτόπρεμνον εἰς τὸ πᾶν ἐμοὶ E. 379. θεσμὸν τὸν εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον E. 462. εἰς τὸν αἰανῆ χρόνον E. 542. ὅπως γένοιτο πιστὸς εἰς τὸ πᾶν χρόνου E. 640. ταύτην μὲν ἐξέτειν' ἐμοῖς παραίνεσιν ἀστοῖσιν ἐς τὸ λοιπὸν E. 678. εἰς ἅπαντα πλειστήρη χρόνον E. 733. πέμψω δὲ φέγγη λαμπάδων σελασφόρων εἰς τοὺς ἔνερθε καὶ κατὰ χθονὸς τόπους E. 976. ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα Fr. Xant. 1. 2. ἥξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατὸν Fr. Prom. Sol. 6. 1. ἁπλοῦς οἶμος εἰς Ἅιδου φέρει Fr. Tel. 1. 1.

Εἰσάγειν. ὑμῖν ὁ μῦθος· εἰσάγω δὲ τὴν δίκην E. 552. σὺ δ' εἴσαγε, ὅπως ἐπίστᾳ, τήνδε κυρώσων δίκην E. 550.

Εἰσαεί. ἔσται δὲ θνητοῖς εἰσαεὶ μέγας λόγος τῆς σῆς πορείας V. 734.

Εἰσαμείβειν. οὐδ' εἰσαμεῖψαι θηρὸς ἐχθίστου δάκους εἰκὼ φέροντα πολεμίας ὑπ' ἀσπίδος—ἐάσει T. 540.

Εἰσάπαξ. κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς V. 752.

Εἰσαφάσματα Fr. Prom. Sol. 8.

Εἰσβάλλειν. μηδέ ποτ' εἴπηθ', ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον πῆμ' εἰσέβαλεν V. 1076.

Εἰσείδειν. μήτε τλῆς τὰν ἱκέτιν εἰσιδεῖν ἀπὸ βρετέων βίᾳ δίκας ἀγομέναν S. 423. καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω P. 196. ἐγὼ γὰρ οὐκ ἂν εἰσιδεῖν τόδε ἔχρῃζον, εἰσιδοῦσά τ' ἠλγύνθην κέαρ V. 244. κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος λέγοιμ' ἂν A. 874. καὶ γὰρ τάχ' ἄν τις οἶκτος εἰσιδὼν τάδε ὕβριν μὲν ἐχθήρειεν ἄρσενος στόλου S. 481. φοβερὰ δ' ἐμοῖς ὄσσοισιν ὁμίχλη προσῇξε πλήρης δακρύων σὸν δέμας εἰσιδούσῃ V. 146. ἰὼ ἰὼ μοῖρα, μοῖρα, πέφρικ' εἰσιδοῦσα πρᾶξιν Ἰοῦς V. 697. ὡς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοάς V. 802. δαμέντ' ἀδαμαντοδέτοις Τιτᾶνα λύμαις εἰσιδόμην θεῶν Ἄτλανθ' V. 425.

Εἰσέρχεσθαι. εἰσελθέτω σε μήποθ', ὡς ἐγὼ Διὸς γνώμην φοβηθεὶς, θηλύνους γενήσομαι V. 1004.

Εἰσικνεῖσθαι. ἱκνεῖται δ', εἰσικνουμένου βέλει βουκόλου πτερόεντος, Δῖον πάμβοτον ἄλσος S. 551.

Εἰσοιχνεῖν. τὸν πᾶσι θεοῖς δι' ἀπεχθείας ἐλθόνθ', ὁπόσοι τὴν Διὸς αὐλὴν εἰσοιχνεῦσιν V. 122.

Εἴσοδος. καὶ νῦν τυχεῖν με τῶν πρὶν εἰσόδων μακρῷ ἄριστα δοῖεν E. 30.

Εἰσόπιν. εἰσόπιν χρόνου πόλιν παχῦναι S. 612.

Εἰσορᾶν. μεθύστερον δὲ κίρκον εἰσορῶ δρόμῳ πτεροῖς ἐφορμαίνοντα P. 203. ἀλλ' εἰσορῶ γὰρ τόνδε τὸν Διὸς τρόχιν V. 943. καὶ μὴν φίλοις ἐλεεινὸς εἰσορᾶν ἐγὼ V. 246. φοβοῦμαι τὸν μυριωπὸν εἰσορῶσα βούταν V. 568. ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν εἰσορῶσ' Ἰοῦς γάμῳ δαπτομέναν δυσπλάνοις Ἥρας ἀλατείαις πόνων V. 901. καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει A. 811.

Εἴσω. σὸν δ' αὖ τὸ σιγᾶν, καὶ μένειν εἴσω δόμων T. 214. ἔξωθεν εἴσω τῷ φέροντι μέμψεται T. 542. εἴσω κομίζου καὶ σύ· Κασάνδραν λέγω A. 1005. εἴσω καθαρμός. Λοξίου δὲ προσθιγὼν ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει C. 1055. εἴσω κλισίας Fr. Myrm. 1. 6.

Εἶτα. μή μοι προτείνων κέρδος, εἶτ' ἀποστέρει V. 779. εἶτ' ἔσκηψεν, εἶτ' ἀφίκετο Ἀραχναῖον αἶπος A. 299.

Εἴτε. εἴτ' ἀπήμων, εἴτε καὶ τεθυμένος ὠμῇ ξὺν ὀργῇ S. 183. εἴτε κεδνὸν, εἴτε μὴ, πεπυσμένη A. 252. εἴτ' οὖν ἀληθεῖς, εἴτ' ὀνειράτων δίκην A. 477. εἴτ' οὖν θανόντος, εἴτε καὶ ζῶντος πέρι λέγω A. 817. εἴτ' αὐτὸς ἦν θνήσκοντος ἐγγύθεν παρὼν, εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθὼν C. 840. εἰ δικαίως, εἴτε μὴ, κρῖνον δίκην E. 446. εἰ δικαίως, εἴτε μὴ, τῇ σῇ φρενὶ δοκεῖ τόδ' αἷμα E. 582.

Εἴτις. εἴτις ἐστὶ κηδέμων S. 72. πολυδρόμου φυγᾶς ὄφελος εἴτι μοι S. 718. κελαινὸν εἴτι κεῦθός ἐστί που S. 759. ἄγοιμ' ἂν, εἴτις τάσδε μὴ 'ξευρήσεται S. 902. εἴτι δράσεις τῶνδε μὴ σχόλην

τίθει A. 1029. *ξένοι λέγοιτ' ἂν, εἴτι δεῖ* C. 657. *τὸ πρᾶγμα μεῖζον εἴτις οἴεται τόδε βροτὸς δικάζειν* E. 448.

'Ἐξ, *ἐξ.* *ὅθεν δὴ γένος ἡμέτερον τῆς οἰστροδόνου βοὸς ἐξ ἐπαφῆς, κἀξ ἐπιπνοίας Διὸς εὐχόμενον τετέλεσται* S. 17. *Ἶνίν τ' ἀνθονομούσας προγόνου βοὸς ἐξ ἐπιπνοίας Ζηνὸς ἔφαψιν* S. 44. *ἔστι δὲ κἀκ πτολέμου τειρομένοις βωμὸς Ἄρης φυγάσιν ῥῦμα* S. 77. *χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμὼν* S. 156. *τὸ μὴ μάταιον δ' ἐκ μετωποσωφρόνων ἴτω προσώπων ὄμματος παρ' ἡσύχου* S. 195. *ἐλθὼν Ἆπις ἐκ Ναυπακτίας χώρας* S. 259. *τοίγαρ νιν ἐκ γῆς ἤλασεν μακρῷ δρόμῳ* S. 305. *τί, τῶνδ' ἐξ ἴσου ῥεπομένων, μεταλλαγεῖς τὸ δίκαιον ἔρξαι;* S. 400. *μηδ' ἴδῃς μ' ἐξ ἑδρᾶν πολυθέων ῥυσιασθεῖσαν* S. 418. *χρήμασιν μὲν ἐκ δόμων πορθουμένων, ἄτης γε μείζω, καὶ μέγ' ἐμπλήσας γόμον γένοιτ' ἂν ἄλλα κτησίου Διὸς χάριν* S. 438. *ἐκ τῶνδε τοίνυν, ἴσθι, μηχανὴ καλὴ* S. 454. *ἐκ τῶνδ' ὅπως τάχιστ' ἀπάγξασθαι θεῶν* S. 460. *καὶ τόδ' ἂν γένος λέγων ἐξ Ἐπάφου, κυρήσαις* S. 584. *τοίγαρ ὑποσκίων ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχὰ* S. 644. *τὸ πᾶν τ' ἐκ δαιμόνων λάβοιεν* S. 674. *ἀγνῶν τ' ἐκ στομάτων φερέσθω φῆμα φιλοφόρμιγξ* S. 677. *ἐκ ποίου φρονήματος ἀνδρῶν Πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα;* S. 889. *τοιάδε δημόπρακτος ἐκ πόλεως μία ψῆφος κέκρανται* S. 920. *σαφῆ δ' ἀκούεις ἐξ ἐλευθεροστόμου γλώσσης* S. 926. *κομίζου δ' ὡς τάχιστ' ἐξ ὀμμάτων* S. 927. *ἀλλ' ἄρσενάς τοι τῆσδε γῆς οἰκήτορας εὑρήσετ' οὐ πίνοντας ἐκ κριθῶν μέθυ* S. 931. *τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης Ἀσίας ἕπεται* P. 56. *πολυάνδρου δ' Ἀσίας θούριος ἄρχων ἐπὶ πᾶσαν χθόνα ποιμανόριον θεῖον ἐλαύνει διχόθεν, πεζονόμοις, ἔκ τε θαλάσσης* P. 77. *λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου* P. 293. *πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο* P. 297. *οἶδε ναὸς ἐκ μιᾶς πέσον* P. 305. *ἐξ Ἀθηναίων στρατοῦ ἐλθὼν* P. 347. *οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο* P. 365. *εὐθὺς δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ ἔπαισαν ἅλμην βρύχιον ἐκ κελευσμάτων* P. 389. *πολλὰ μὲν γὰρ ἐκ χερῶν πέτροισιν ἠράσσοντο* P. 451. *ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου παίουσι* P. 454. *γῇ τε καὶ θεοῖς δωρήματα ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν* P. 516. *κέλευθον ἐκ δόμων πάλιν ἔστειλα τήνδε* P. 600. *δαίμονα μεγαυχῆ ἰόντ' αἰνέσατ' ἐκ δόμων* P. 634. *πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ γίνεται θνητοῖς* P. 693. *τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν* P. 743. *ἐξ οὔτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν* P. 748. *πῶς ἂν ἐκ τούτων ἔτι πράσσοιμεν ὡς ἄριστα;* P. 774. *λαβοῦσα κόσμον ἐκ δόμων* P. 835. *ἐκ πολέμων νόστοι* P. 846. *ὀλοοὺς ἀπέλιπον Τυρίας ἐκ ναὸς ἔρροντας* P. 924. *καλῶς τὰ πλείω πολεμὸς ἐκ θεῶν κυρεῖ* T. 23. *ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων* T. 40. *πεδία δ' ἀργηστὴς ἀφρὸς χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πνευμάτων* T. 61. *σέθεν γὰρ ἐξ αἵματος γεγόναμεν* T. 128. *ἐκ χαλεπᾶς δύας ὕπερθ' ὀμμάτων κρημναμενᾶν νεφελᾶν ὀρθοῖ* T. 210. *τίν' ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα;* T. 338. *Ἐτεόκλῳ τρίτος πάλος ἐξ ὑπτίου πήδησεν εὐχάλκου κράνους* T. 441. *φοβηθεὶς ἐκ πυλῶν χωρήσεται* T. 458. *τόδ' αὐδᾷ μητρὸς ἐξ ὀρεσκόου βλάστημα καλλίπρωρον* T. 514. *βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος, ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα* T. 575. *κρατηθεὶς ἐκ φίλων ἀβουλίαις* T. 732. *ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων* T. 787. *οἶμαι σφ' ἐρατῶν ἐκ βαθυκόλπων στηθέων ἥσειν ἄλγος ἐπάξιον* T. 846. *κλαίω, στένομαι, καὶ δόλος οὐδεὶς μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν* T. 855. *ἐκ πατρὸς ἀραίῳ πότμῳ* T. 880. *ἐτύμως δακρυχέων ἐκ φρενὸς* T. 902. *πικρὸς λυτὴρ νεικέων ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθεὶς θηκτὸς σιδηρὸς* T. 924. *δυσθέατα πήματα ἐδείξατ' ἐκ φυγᾶς ἐμοὶ* T. 964. *δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρους* V. 59. *πρὶν ἂν ἐξ ἀγρίων δεσμῶν χαλάσῃ* V. 175. *τοιάδ' ἐξ ἐμοῦ ὁ τῶν θεῶν τύραννος ὠφελημένος* V. 221. *σιδηρόφρων τε κἀκ πέτρας εἰργασμένος* V. 242. *ἐξ ὀμμάτων ἤστραπτε γοργωπὸν σέλας* V. 356. *ἔκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ ὕπαρ γένεσθαι* V. 483. *πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως* V.

504. εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι λυθέντα, μηδὲν μεῖον ἰσχύσειν Διὸς V. 507. ἀλλά με τὰν τάλαιναν ἐξ ἐνέρων περῶν κυνηγετεῖ V. 572. πυρωπὸν ἐκ Διὸς μολεῖν κεραυνὸν V. 670. ἐκ Διὸς πάσχω κακῶς V. 761. πρὶν ἔγωγ' ἂν ἐκ δεσμῶν λυθῶ V. 772. ὃς πόνων ἐκ τῶνδ' ἐμὲ λύσει V. 874. σπορᾶς γεμὴν ἐκ τῆσδε φύσεται θρασὺς τόξοισι κλεινὸς V. 872. μήτε πλασθείην γαμέτᾳ τινὶ τῶν ἐξ οὐρανοῦ V. 899. ὃς αὐτὸν ἐκ τυραννίδος θρόνων τ' ἄϊστον ἐκβαλεῖ V. 912. χθόνα δ' ἐκ πυθμένων αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι V. 1048. τόπων μετά που χωρεῖτ' ἐκ τῶνδε θοῶς V. 1062. αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν A. 9. μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη A. 48. ἐκ θυσιῶν ἀγανὰ φαίνουσ' ἐλπὶς A. 101. χερὸς ἐκ δορυπάλτου A. 116. πέφευγε τοὔπος ἐξ ἀπιστίας A. 259. μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον Ἄθωον αἶπος Ζηνὸς ἐξεδέξατο A. 275. ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοὶ A. 307. οὐκέτ' ἐξ ἐλευθέρου δέρης ἀποιμώζουσι φιλτάτων μόρον A. 319. ἐκ μάχης πόνος A. 321. τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύοις A. 339. πυρωθὲν ἐξ Ἰλίου φίλοισι πέμπει βαρὺ ψῆγμα A. 428. ὡς πόλλ' ἀμαυρᾶς ἐκ φρενός μ' ἀναστένειν A. 532. ἐξ οὐράνου γὰρ κἀπὸ γῆς λειμωνίαι δρόσοι κατεψέκαζον A. 546. ἀνὴρ ἄφαντος ἐξ Ἀχαϊκοῦ στρατοῦ A. 610. ἀναχθεὶς ἐμφανῶς ἐξ Ἰλίου A. 612. ἐκ τῶν ἀβροτίμων προκαλυμμάτων ἔπλευσε Ζεφύρου γίγαντος αὔρᾳ A. 675. ἐκ θεῶν δ' ἱερεύς τις ἄτας δόμοις προσεθρέφθη A. 717. ἐκ δ' ἀγαθᾶς τύχας γένει βλαστάνειν ἀκόρεστον οἰζὺν A. 734. τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας ὑδαρεῖ σαίνειν φιλότητι A. 771. ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ A. 851. πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλαφής τε καὶ ἐξ ἀλόκων ἐπετειᾶν νῆστιν ὤλεσεν νόσον A. 986. εἰ δὲ μὴ τεταγμένα μοῖρα μοῖραν ἐκ θεῶν εἶργε μὴ πλέον φέρειν A. 997. προτείνει δὲ χεῖρ' ἐκ χειρὸς ὀρεγομένα A. 1081. ἐξ αἰνιγμάτων ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ A. 1083. ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων ἔσται δεδορκὼς A. 1151. φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων A. 1156. ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινα A. 1196. ἐκ δρόμου πεσὼν τρέχω A. 1218. οὐ μὴν ἄτιμοι γ' ἐκ θεῶν τεθνήξομεν A. 1252. ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας A. 1257. ὅμοιος ἀτμὸς, ὥσπερ ἐκ τάφου, πρέπει A. 1284. ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος; A. 1339. φάρμακον—ῥυτᾶς ἐξ ἁλὸς ὀρόμενον A. 1382. νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ A. 1386. ἐκ τῶν ὁμοίων A. 1397. κράτος τ' ἰσόψυχον ἐκ γυναικῶν καρδιόδηκτον ἐμοὶ κρατύνεις A. 1449. ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς νείρει τρέφεται A. 1457. φρενὸς ἐκ φίλιας τί ποτ' εἴπω; A. 1470. δολίῳ μόρῳ δαμεὶς ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ A. 1475. ἐμὸν ἐκ τοῦδ' ἔρνος ἀερθὲν A. 1506. οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκου A. 1533. ἰόντ' ἐκ τῶνδε δόμων A. 1553. ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων A. 1568. ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα A. 1585. ἥκοντες ἐκ μάχης A. 1608. ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι ἄρχειν πολιτῶν A. 1622. ἰαλτὸς ἐκ δόμων ἔβην χοᾶς προπομπὸς ὀξύχειρι σὺν κτύπῳ C. 22. ἐξ ὕπνου κότον πνέων C. 33. πόροι πάντες ἐκ μιᾶς ὁδοῦ βαίνοντες C. 70. ἐκ γὰρ οἴκων πατρῴων δούλιον ἐσᾶγον αἶσαν C. 74. ἐκ δὲ χρημάτων φεύγων Ὀρέστης ἐστὶν C. 133. κλύε, σέβας ὦ δέσποτ', ἐξ ἀμαυρᾶς φρενὸς C. 155. ἄλλας τε φωνεῖ προσβολὰς Ἐριννύων ἐκ τῶν πατρῴων αἱμάτων τελουμένας C. 283. τῶν ἐνερτέρων βέλος ἐκ προστροπαίων ἐν γένει πεπτωκότων C. 285. μάταιος ἐκ νυκτῶν φόβος C. 286. ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρῄζων θείη κελάδους εὐφθογγοτέρους C. 335. λύκος γὰρ ὥστ' ὠμόφρων ἄσαντος ἐκ ματρός ἐστι θυμὸς C. 415. παγκληρίας οἴσω πατρῴων ἐκ δόμων γαμηλίους C. 480. τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνον C. 500. ἐκ τίνος λόγου; C. 508. ἐξ ὀνειράτων καὶ νυκτιπλάγκτων δειμάτων πεπαλμένη C. 516. ἡ δ' ἐξ ὕπνου κέκραγεν ἐπτοημένη C. 528. ξένος μέν εἰμι Δαυλιεὺς ἐκ Φωκέων C. 663. ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθὼν C. 840. ξυνῆκα τοὔπος ἐξ αἰνιγμάτων C. 874. ἦ κάρτα μάντις οὐξ ὀνειράτων φόβος C.

916. *ἐξ οὗ τέκνων ἤνεγχ' ὑπὸ ζώνην βάρος* C. 986. *ὀλοίμην πρόσθεν ἐκ θεῶν ἄπαις* C. 1000. *ἐκ τῶνδέ τοι ταραγμὸς ἐς φρένας πιτνεῖ* C. 1052. *ἐξ ὀμμάτων στάζουσιν αἷμα δυσφιλὲς* C. 1054. *πρῶτον μὲν εὐχῇ τῇδε πρεσβεύω θεῶν τὴν πρωτόμαντιν Γαῖαν, ἐκ δὲ τῆς Θέμιν* E. 2. *ἐξ οὗ τε Βάκχαις ἐστρατήγησεν θεὸς* E. 25. *πάλιν μ' ἔπεμψεν ἐκ δόμων* E. 35. *ἐξ ὀμμάτων λείβουσι δυσφιλῆ βίαν* E. 54. *σέβει τοι Ζεὺς τόδ' ἐκ νόμων σέβας* E. 92. *καὶ ταῦτα κούφως ἐκ μέσων ἀρκυσμάτων ὤρουσεν* E. 112. *ὄνειδος ἐξ ὀνειράτων μολὸν ἐμοὶ* E. 150. *τοὺς μητραλοίας ἐκ δόμων ἐλαύνομεν* E. 201. *ἀπὸ ζῶντος ῥοφεῖν ἐρυθρὸν ἐκ μελέων πέλανον* E. 255. *πολὺς δέ μοι γένοιτ' ἂν ἐξ ἀρχῆς λόγος* E. 274. *ὕμνος ἐξ Ἐρινύων* E. 318. *τὸν μοιρόκραντον ἐκ θεῶν δοθέντα τέλεον* E. 370. *βροτοκτονοῦντας ἐκ δόμων ἐλαύνομεν* E. 399. *ἐκ τῶν ὑστάτων τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα* E. 421. *ἐκ δ' ὑγιείας φρενῶν ὁ πᾶσιν φίλος καὶ πολύευκτος ὄλβος* E. 507. *ἐκ τῶνδ' ἀνάγκας ἄτερ δίκαιος ὢν οὐκ ἄνολβος ἔσται* E. 520. *ὁ γὰρ διώκων, πρότερος ἐξ ἀρχῆς λέγων, γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος* E. 553. *ἀρωγὰς ἐκ τάφου πέμπει πατὴρ* E. 568. *ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους καθιππάσασθε, κἀκ χερῶν εἵλεσθέ μου* E. 749. *ἐκ τοῦ* F. 754. *ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν* E. 764. *τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ* E. 829. *γῆθεν, ἔκ τε ποντίας δρόσου, ἐξ οὐράνου τε* E. 864. *τὰ γὰρ ἐκ προτέρων ἀμπλακήματά νιν πρὸς τάσδ' ἀπάγει* E. 894. *ἐκ τῶν φοβερῶν τῶνδε προσώπων μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις* E. 944. *πάλιν γὰρ ἵκουσ' ἐκ σκότους τύδ' ἐς φάος* Fr. Ætn. 1. 4. *δένδρων δέ τις ὥρ' ἐκ νοτίζοντος γάμου τέλειός ἐστι* Fr. Dan. 2. 6. *ὑπομυκῶνταί ποθεν ἐξ ἀφανοῦς φοβεροὶ μῖμοι* Fr. Edon. 1. *ἐκ ποδῶν δ' ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον πόδα* Fr. Xant. 1. 1. *ἑλέσθαι δ' οὔτιν' ἐκ γαίας λίθον ἕξεις* Fr. Pr. Sol. 6. 3. *καὶ τὸ καλὸν πλέον ἢ κακὸν ἐκ σέθεν* Fr. Inc. 23. 4. *λοῦται γε μὴν λουτήριον αὐτὸ δεύτερον ἀλλ' ἐκ μεγίστων εὐμαρῶς λουτηρίων* Fr. Inc. 63. *τοσαῦτα, κῆρυξ, ἐξ ἐμοῦ διάρτασον* Fr. Inc. 64.

Ἕκαθεν. *τὰν ἕκαθεν ἐκβολαῖς δυσθέοις ὁρμέναν* S. 416.

Ἑκάς. *ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς Μεσαπίου φύλαξι σημαίνει μολὸν* A. 283. *ἀλκὰ δ' ἑκὰς ἀποστατεῖ* A. 1075. *εἶα δὴ φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε* A. 1634. *δώμασιν ἔμμοτον τῶνδ' ἑκὰς οὐδ' ἀπ' ἄλλων ἔκτοθεν, ἀλλ' ἀπ' αὐτῶν, διώκειν ἔριν αἱματηρὰν* C. 465.

Ἕκαστος. *καὶ γὰρ πρέπει κήρυκ' ἀπαγγέλλειν τορῶς ἕκαστα* S. 910. *ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν Δαναὸς θεραποντίδα φέρνην* S. 956. *ἑκάστα πόθῳ φιλάνορι τὸν αἰχμάεντα θοῦρον εὐνατῆρ' ἀποπεμψαμένα λείπεται μονόζυξ* P. 133. *πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος* P. 373. *ὥραν ἔχονθ' ἕκαστον* T. 13. *ὡς πάλῳ λαχὼν ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον* T. 56. *ὡς ἐν πύλαις ἕκαστος εἴληχεν πάλον* T. 358. *δίαιταν ἥντινα ἔχουσ' ἕκαστοι* V. 489. *γυνὴ γὰρ ἄνδρ' ἕκαστον αἰῶνος στερεῖ* V. 864. *καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως, ἀλλ' αὔθ' ἕκαστ' ἔκφραζε* V. 951. *ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει φιλοίκτῳ* A. 231. *ἀλλ' ὡς ἕκαστος ἔσπασεν τύχης πάλον* A. 324. *τὸ πᾶν δ' ἀφ' Ἑλλάδος αἴας συνορμένοις πένθεια τλησικάρδιος δόμων ἑκάστου πρέπει* A. 420. *ἀντὶ δὲ φωτῶν τεύχη καὶ σποδὸς εἰς ἑκάστου δόμους ἀφικνεῖται* A. 425. *ἁπὰξ ἑκάστῳ κατθανὼν μορφώματι* A. 847. *ἔχονθ' ἕκαστον τῆς δίκης ἐπάξια* A. 262.

Ἑκάτη. *Ἄρτεμιν δ' Ἑκάταν γυναικῶν λόχους ἐφορεύειν (εὐχόμεθα)* S. 661. *δέσποιν' Ἑκάτη τῶν βασιλείων πρόδρομος μελάθρων* Fr. Inc. 94.

Ἕκατι. *πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι βαρβάρους ναυσὶν κρατῆσαι* P. 329. *τοιῶνδ' ἕκατι κληδόνων* A. 848. *ἐπεὶ τί νῦν ἕκατι δαιμόνων κυρῶ;* C. 212. *πατρὸς δ' ἀτίμωσιν ἆρα τίσει, ἕκατι μὲν δαιμόνων, ἕκατι δ' ἀμᾶν χερῶν* C. 430. *ξένοισιν ὧδ' εὐδαίμοσιν κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον γνωστὸς γενέσθαι* C. 690. *τόλμης ἕκατι κἀδίκου φρονήματος* C. 990. *κακῶν ἕκατι κἀγένοντο* E.

71. Παλλάδος καὶ Λοξίου ἕκατι E. 729.

Ἑκατόν. αἱ δ' ὑπέρκομποι τάχει ἑκατὸν δὶς ἦσαν P. 335.

Ἑκατοντάρχης. καὶ ταξιάρχας καὶ ἑκατοντάρχας στρατῷ ἔταξα Fr. Pal. 2. 1.

Ἑκατοντοκάρηνος. δάϊον τέρας ἑκατοντοκάρηνον Κιλικίων οἰκήτορα ἄντρων V. 353.

Ἐκβάζειν. ἀλλ' ἦ τὸ χαίρειν μᾶλλον ἐκβάζει λέγων A. 484.

Ἐκβαίνειν. ἔκβαιν' ἀπήνης τῆσδε A. 880. 1009.

Ἐκβάλλειν. ἐκβάλλεθ' ὡς τάχιστα τευχέων πάλους E. 712. κακοῦ δ' ἔκβαλ' ἔρωτος ἀρχὰν T. 670. ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων T. 451. τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων; A. 1546. σὺ δ' εὐπειθὴς ἐμοὶ γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα καρπὸν E. 794. οἱ μὲν θέλοντες ἐκβαλεῖν ἕδρης Κρόνον V. 201. ἐκβαλεῖν ἔπη τοιαῦτα A. 1648. φοβοῦμαι δ' ἔπος τόδ' ἐκβαλεῖν C. 46. ὅς αὐτὸν ἐκ τυραννίδος θρόνων τ' ἄϊστον ἐκβαλεῖ V. 913.

Ἔκβασις. οὕτω γένοιτ' ἂν οὐδ' ἂν ἔκβασις στρατοῦ καλή, πρὶν ὅρμῳ ναῦν θρασυνθῆναι S. 752.

Ἐκβάτανα. οἵτε τὸ Σούσων ἠδ' Ἐκβατάνων καὶ τὸ παλαιὸν Κίσσινον ἕρκος προλιπόντες ἔβαν P. 16. ἄστυ τὸ Σούσων ἠδ' Ἐκβατάνων πένθει δνοφερῷ κατέκρυψας P. 527.

Ἐκβολή. πρόπρυμνα δ' ἐκβολὰν φέρει ἀνδρῶν ἀλφηστῶν ὄλβος ἄγαν παχυνθεὶς T. 751. πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι E. 718. τὰν φυγάδα μὴ προδῷς τὰν ἕκαθεν ἐκβολαῖς δυσθέοις ὁρμέναν S. 416.

Ἐκβροντᾶν. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς ἐφεψαλώθη κἀξεβροντήθη σθένος V. 362.

Ἔκγονος. τῆς πολυτέκνου Τηθύος ἔκγονα V. 137. τῶν σῶν τιν' αὐτὸν ἐκγόνων εἶναι χρεὼν V. 774.

Ἐκδέκτωρ. ταύρων γονὰς δοὺς ἀντίδουλα καὶ πόνων ἐκδέκτορα Fr. Prom. Sol. 4. 2.

Ἐκδέχεσθαι. Ὀρέστην ἐξεδεξάμην πατρὶ C. 751. ποῦ δῆθ' ὁ τιμὸς ὄντιν' ἐξεδεξάμην; C. 903.

Ἐκδιδάσκειν. ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος V. 983. λέγ', ἐκδίδασκε V. 700.

Ἐκδιδόναι. οὔτοι πτερωτῶν ἁρπαγαῖς σ' ἐκδώσομεν S. 505. αἰτοῦσι μὴ 'κδῷς παισὶν Αἰγύπτου πάλιν S. 336. ψῆφος κέκρανται μήποτ' ἐκδοῦναι βίᾳ στόλον γυναικῶν S. 921. ἐν θεῶν ἕδραισιν ὧδ' ἱδρυμένας ἐκδόντες ὑμᾶς S. 409.

Ἔκδικος. ἐσορᾷς μ' ὡς ἔκδικα πάσχω V. 1095. ὅρκων περῶντες μηδὲν ἔκδικον φρεσὶν E. 467.

Ἐκδίκως. ταὐτοῦ κυρήσας ἐκδίκως ἀγρεύματος T. 589. παθόντες εὖ κακοῦσί μ' ἐκδίκως V. 978.

Ἐκδοχή. ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρὸς A. 290.

Ἐκδρακοντοῦν. ἐκδρακοντωθεὶς δ' ἐγώ, κτείνω νιν, ὡς τοὔνειρον ἐννέπει τόδε C. 542.

Ἐκδύνειν. ἰδοὺ δ' Ἀπόλλων αὐτὸς ἐκδύων ἐμὲ χρηστηρίαν ἐσθῆτα A. 1242.

Ἐκεῖ. κἀκεῖ δικάζει τἀμπλακήμαθ', ὡς λόγος S. 227. σκληρὸς μέτοικος γῆς ἐκεῖ κατέφθιτο P. 311. φίλος φίλοισι τοῖς ἐκεῖ καλῶς θανοῦσι C. 350. πρόπολός τε τῶν μεγίστων χθονίων ἐκεῖ τυράννων C. 354. κἀκεῖ δικάστας τῶνδε καὶ θελκτηρίους μύθους ἔχοντες μηχανὰς εὑρήσομεν E. 81. οὕνεκ' ἐκεῖ λειμώνι' ἄνθεα Fr. Inc. 42.

Ἐκεῖθεν. ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων T. 40.

Ἐκεῖθι. ἐκεῖθί τ' ἦλθον; βαρέα δ' οὖν, ὅμως φράσον T. 792.

Ἐκεῖνος. ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα P. 254. σάλπιγξ δ' αὐτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν P. 387. ὅμως δ' ἐκείνοις ἐνδυναστεύσας ἐγὼ ἥκω P. 677. ἄλλος δ' ἐκείνου παῖς τόδ' ἔργον ἤνυσε P. 752. πρὸς ταῦτ' ἐκεῖνον σωφρονεῖν κεχρημένοι πινύσκετ' εὐλόγοισι νουθετήμασι P. 815. τοῦτ' ἄντ' ἐκείνων τοὔπος αἴρουμαι σέθεν T. 246. αὐτοῖς ἐκείνοις ἀνοσίοις κομπάσμασιν T. 533. τοιαῦτ' ἐκείνων ἐστὶ τἀξευρήματα T. 631. παρθένος Δίκη παρῆν ἔργοις ἐκείνου καὶ φρεσὶν T. 645. τόδ', ἐκεῖνό θ' V. 555. πρὸς ὧν ἐκεῖνος ἐκπίπτει κράτους V. 950. δωμάτων κύνα ἐσθλὴν ἐκείνῳ, πολεμίαν τοῖς δύσφροσιν A. 594. ἐκείνων εἴτις ἐστὶν ἐμπνέων A. 657. ἡμεῖς τ' ἐκεί-

νους ταῦτ' ἔχειν δοξάζομεν A. 659. τούτων ἄϊδρίς εἰμι τῶν μαντευμάτων, ἐκεῖνα δ' ἔγνων A. 1077. καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολὺ A. 1303. μαλίστ' ἐκείνου βοστρύχοις προσείδεται C. 176. καὶ πῶς ἐκεῖνος δεῦρ' ἐτόλμησεν μολεῖν; C. 177. καὶ γὰρ δύ' ἔστε τώδε περιγραφὰ ποδοῖν, αὐτοῦ τ' ἐκείνου καὶ ξυνεμπόρου τινὸς C. 206. ἐκεῖνον ἐν θρόνοισιν εὑρήσω πατρὸς C. 565. ἢ δὴ κλύων ἐκεῖνος εὐφρανεῖ νόον C. 731. ποτιτρόπαιος δ' ὢν ἕτερον ἐν κάρᾳ μιάστορ' ἐκείνου πάσεται E. 169. τί δ' οὐκ ἐκείνην ζῶσαν ἤλαυνες φυγῇ; E. 574.

'Εκεῖσε. τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; P. 703.

'Εκηβόλος. ἑκηβόλοις τόξοισιν ἐξηρτημένοι V. 713. θουρίοις τόξοις ἑκηβόλοισιν E. 598.

"Εκηλος. ἕκηλος ἴσθι μηδ' ἄγαν ὑπερφοβοῦ T. 220.

'Εκθαμνίζειν. μή μοι πόλιν γε πρυμνόθεν πανώλεθρον ἐκθαμνίσητε δηϊάλωτον T. 71.

'Εκθοινᾶσθαι. ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος κελαινόβρωτον ἧπαρ ἐκθοινήσεται V. 1027.

'Εκθρώσκειν. ναῶν ἐξέθρωσκον P. 449.

"Εκθυμος. τοσαῦτ' ἔλεξε κάρτ' ὑπ' ἐκθύμου φρενὸς P. 364.

'Εκκαθαίρειν. χθόνα τήνδ' ἐκκαθαίρει κνωδάλων βροτοφθόρων S. 261.

'Εκκαλεῖσθαι. χαρά μ' ὑφέρπει, δάκρυον ἐκκαλουμένη A. 261.

'Εκκαλύπτειν. πάντ' ἐκκάλυψον καὶ γέγων' ἡμῖν λόγον V. 192.

'Εκκατήλλων Fr. Sis. 2.

'Εκκαρπίζεσθαι. ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται T. 583.

'Εκκενοῦν. οἷον ἔργον οὐδέπω τόδ' ἄστυ Σούσων ἐξεκείνωσεν πέδον P. 747. νῦν γὰρ πρόπασα μὲν στένει γαῖ' 'Ασίας ἐκκενούμενα S. 541. βοᾷ δ' ἐκκενουμένα πόλις λαΐδος ὀλλυμένας μιξοθρόου T. 311.

'Εκκλέπτειν. ἡμᾶς γε μὲν δή, ναῦν τ', ἀκήρατον σκάφος, ἤ τοί τις ἐξέκλεψεν, ἢ 'ξῃτήσατο θεός τις A. 648. τὸν μητραλοίαν δ' ἐξέκλεψας ὢν θεὸς E. 147.

"Εκκριτος. πλῆθος ἔκκριτον στρατοῦ λείπει P. 787. πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως πυλῶν ἐπ' ἐξόδοισι ταγεῦσαι τάχος T. 57.

"Εκκρουστος. λαμπρὸν ἔκκρουστον δέμας T. 524.

'Εκκυλίζειν. αὐτὸν γάρ σε δεῖ προμηθέως, ὅτῳ τρόπῳ τῆσδ' ἐκκυλισθήσῃ τέχνης V. 87.

'Εκλάμπειν. ἕλικες δ' ἐκλάμπουσι στεροπῆς ζάπυροι V. 1086. ἐν ᾗ πυρωπὸν μηνὸς ἐκλάμψαι φλόγα Fr. Inc. 299. 4.

'Εκλείπειν. πολλὰ δ' ἐκλείπω λέγων κακῶν P. 504. τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς σύμφθογγος, οὐκ εὔφωνος A. 1159. ἀλλ' οὖν θεοὺς τοὺς τῆς ἁλούσης πόλεος ἐκλείπειν λόγος T. 200. τὸν αὐτὸν χῶρον ἐκλείπων ἐμοὶ C. 536. ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων V. 829. Σουσισκάνης τ' 'Αγβάταν' ἐκλιπὼν P. 922. κλαγγαίνεις δ' ἅπερ κύων μέριμναν οὔποτ' ἐκλιπὼν πόνου E. 127. ὡς μὲν ἔκτανον, ὄνειδος ἐν νεκροῖσιν οὐκ ἐκλείπεται E. 97. πᾶς γὰρ ἱππηλάτας καὶ πεδοστιβὴς λεώς, σμῆνος ὡς ἐκλέλοιπε μελισσῶν P. 126.

"Εκλογον Fr. Sal. 1.

'Εκλούειν. καλοῖσι λουτροῖς ἐκλέλουμαι μὲν δέμας Fr. Glauc. Potn. 2.

'Εκλύειν. ἑλοῦ γὰρ ἢ πόνων τὰ λοιπά σοι φράσω σαφηνῶς, ἢ τὸν ἐκλύσοντ' ἐμὲ V. 783. πειράσομαι, ἐὰν δύνωμαι τῶνδέ σ' ἐκλῦσαι πόνων V. 326. αὐχῶ τήνδε δωρεὰν ἐμοὶ δώσειν Δί', ὥστε τῶνδέ σ' ἐκλῦσαι πόνων V. 339. ἐμοί τε λυπρὸς, καὶ τὸν οὐκ ἐκλύσεται E. 166.

"Εκλυσις. ἄθλων δ' ἔκλυσιν ζήτει τινα V. 262.

'Εκμανθάνειν. τῶνδ' εἴτι σοὶ ψελλόν τε, καὶ δυσεύρετον, ἐπαναδίπλαζε, καὶ σαφῶς ἐκμάνθανε V. 819. ὡς ἂν τέρματ' ἐκμάθῃς ὁδοῦ V. 707. κεῖνα δ' ἐκμαθεῖν θέλω P. 226. καὶ μηδὲ σαυτῆς ἐκμαθεῖν ζήτει πόνους V. 778. σύ τ' οὐδὲν ἐκμαθοῦσα κερδανεῖς V. 879. ἀφ' οὗγε πολλὰς ἐκμαθήσονται τέχνας V. 254.

'Εκμαρτυρεῖν. λουτρῶν ἐξεμαρτύρει φόνον E. 439. ἐκμαρτύρησον προὐμόσας τό μ' εἰδέναι λόγῳ παλαίας τῶνδ' ἁμαρτίας δόμων A. 1169.

'Εκμαστεύειν. τετραυματισμένον γὰρ

ὡς κύων νεβρὸν πρὸς αἷμα καὶ σταλαγμὸν ἐκμαστεύομεν E. 238.

Ἐκμοχθεῖν. ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκεν, φράσω V. 827.

Ἐκνόμως. σταθεῖσ' ἐκνόμως ὕμνον ὑμνεῖν ἐπεύχεται A. 1452.

Ἔκπαγλος. τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα ἧσθαι δόμοις ἔρημον, ἔκπαγλον κακὸν A. 836. δεῖ τοί νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας, θανεῖν βιαίως C. 541.

Ἐκπαγλοῦσθαι. ξύνοιδ' Ὀρέστην πολλά σ' ἐκπαγλουμένην C. 215.

Ἐκπάτιος. τρόπον αἰγυπιῶν, οἵτ' ἐκπατίοις ἄλγεσι παίδων, ὕστατοι λεχέων στροφοδινοῦνται A. 49.

Ἐκπέμπειν. Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας A. 272. στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας, πάλιν C. 96.

Ἐκπέραμα. τρίτον τόδ' ἐκπέραμα δωμάτων καλῶ C. 644.

Ἐκπερᾶν. οἷς μὴ πελάζειν, ἀλλ' ἁλιστόνοις πόδας χρίμπτουσα ῥαχίαισιν ἐκπερᾶν χθόνα V. 715. ὃν θρασυσπλάγχνως σὲ χρὴ λιποῦσαν αὐλῶν' ἐκπερᾶν Μαιωτικὸν V. 733. ὅμοια χέρσον καὶ θάλασσαν ἐκπερῶν E. 231.

Ἐκπέρθειν. θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν καὶ μὴ θέλοντός φησι T. 409. ὡς τὴν Διὸς τυραννίδ' ἐκπέρσων βίᾳ V. 357. ἀνὴρ δ' ὁπλίτης κλίμακος προσαμβάσεις στείχει, πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων T. 449.

Ἐκπεύθεσθαι. οἶ οἶ οἶ βόα καὶ πάντ' ἐκπεύθου P. 916.

Ἐκπήδημα. ὕψος κρεῖσσον ἐκπηδήματος P. 1349.

Ἐκπιδύεσθαι. οὐδέπω κακῶν κρηπὶς ὕπεστιν, ἀλλ' ἔτ' ἐκπιδύεται P. 801.

Ἐκπίνειν. τοσόνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε πλήσας ἀραίων αὐτὸς ἐκπίνει μολὼν A. 1371.

Ἐκπίπτειν. πρὸς ὧν ἐκεῖνος ἐκπίπτει κράτους V. 950. πρὶν ἂν Ζεὺς ἐκπέσῃ τυραννίδος V. 758. ἦ γάρ ποτ' ἐστὶν ἐκπεσεῖν ἀρχῆς Δία; V. 759. πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος V. 998. ἐκ τῶνδ' ἐγὼ δισσοὺς τυράννους ἐκπεσόντας ᾐσθόμην V. 959.

Ἐκπιτνεῖν. ἀρὰ—ἣν ἐκπιτνῶν ἠρᾶτο δηναίων θρόνων V. 915.

Ἐκπλεῖν. ἔνθ' οὔτε μίμνειν ἄνεμος, οὔτ' ἐκπλεῖν ἐᾷ Fr. Philoct. 3.

Ἐκπλήθειν. κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα στειχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι P. 422.

Ἔκπληξις. τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας P. 597.

Ἐκπλήσσειν. ἐκ δ' ἔπληξέ μου τὰν θεμερῶπιν αἰδῶ V. 134. ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων κομπασμάτων V. 360. σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη κακοῖσι P. 282. ἔνδον γενοῦ· χαρᾷ δὲ μὴ 'κπλαγῇς φρένας P. 282.

Ἔκπλους. ἔκπλους φυλάσσειν, καὶ πόρους ἁλιρρόθους P. 359. οὐ μάλ' Ἑλλήνων στρατὸς κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο P. 377.

Ἔκπλυτος. μητροκτόνον μίασμα δ' ἔκπλυτον πέλει E. 272.

Ἐκπνεῖν. κεραυνὸς ἐκπνέων φλόγα V. 359. ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων A. 1472.

Ἐκποδὼν. οὐδὲ τὴν Διὸς ἔριν πέδῳ σκήψασαν ἐκποδὼν σχέθειν T. 411. ἀλλ' ἡσύχαζε, σαυτὸν ἐκποδὼν ἔχων V. 344. Πυλάδη, σταθῶμεν ἐκποδὼν C. 20. ὡς πόλλ' ἐπωπᾷς κἀκποδὼν εὖ κείμενα C. 682. ταύτην μὲν οὕτω φροντίδ' ἐκποδὼν λέγω E. 431.

Ἐκπονεῖν. ξυνῇ μελέσθω λαὸς ἐκπονεῖν ἄκη S. 362.

Ἐκπράττειν. εἰ μὲν γὰρ ὑμῖν μὴ τόδ' ἐκπράξω χρέος S. 467. ἥμενον ἄνω φρόνημά πως αὐτόθεν ἐξέπραξεν ἔμπας S. 95. καὶ τόδ' ἐξέπραξεν, ὥστε Βόσπορον κλεῖσαι μέγαν P. 709. ἡ δύσορνις ἅδε ξυναυλία δορὸς ἐξέπραξεν, οὐδ' ἀπεῖπε πατρόθεν εὐκταία φάτις T. 822. χάρις τιμήσεται Διὸς τάδ' ἐκπράξασα A. 568. καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ, ἀπήγαγ' ἐς τοιάσδε θανασίμους τύχας A. 1248.

Ἐκπρεπής. ἀκμαῖοι φύσιν, ψυχήν τ' ἄριστοι κεὐγένειαν ἐκπρεπεῖς P. 434.

Ἐκρηγνύναι. ἔνθεν ἐκραγήσονταί ποτε ποταμοὶ πυρὸς V. 367.

Ἐκρίπτειν. πῶς οὐχὶ ταρβεῖς, τοιάδ' ἐκρίπτων ἔπη; V. 934.

Ἐκρύεσθαι. ἐξερυσάμην βροτοὺς τοῦ μὴ διαρραισθέντας εἰς Ἅιδου μολεῖν V. 235.

Ἐκσώζειν. ἄλλος ἄλλοσε δρασμῷ κρυφαίῳ βίοτον ἐκσωζοίατο P. 352. ὅταν

νεῶν φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο P. 443.

Ἐκτείνειν. οὔκουν, ἔμοιγε χρώμενος διδασκάλῳ, πρὸς κέντρα κῶλον ἐκτενεῖς V. 323. θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε A. 803. μακρὰν γὰρ ἐξέτεινας A. 890. ταύτην μὲν ἐξέτειν' ἐμοῖς παραίνεσιν ἀστοῖσιν ἐς τὸ λοιπὸν E. 677. πῶς δή; τοσοῦτον μῆκος ἔκτεινον λόγον E. 192. γλῶσσα μισητῆς κυνὸς—ἐκτείνασα φαιδρόνους A. 1202. Ἰωνικὴν ῥῆσιν ἐκτείνας Fr. Inc. 68.

Ἐκτελεῖν. κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν ἐκτελέων A. 105. ἐκτελοῖτο δὴ τὰ χρηστὰ P. 224.

Ἐκτελευτᾶν. αὐτοῖσί θ' ἡμῖν ἐκτελευτήσει καλῶς S. 405. διὰ μακροῦ χρόνου τάδ' ηὔχουν ἐκτελευτῆσαι θεοὺς P. 727. μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου ἄψορρος ἥξεις πρὸς φάος V. 1023.

Ἐκτελής. τά τ' ἀγάθ' ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις P. 214.

Ἐκτέμνειν. ἐκτεμὼν ἡβῶσα χεῖρ' ἐφίετο Fr. Oss. 1. 5.

Ἐκτενής. καί μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐκτενεῖς φίλους πικρῶς ἤκουσαν αὐτάνεψιους S. 961.

Ἐκτήκειν. ἀλλά μοι τόδ' ἐμμένοι καὶ μήποτ' ἐκτακείη V. 533.

Ἐκτίνειν. ἐκτίνει δ' ὁ καίνων A. 1544. μένει Ἄρει 'κτίνειν ὁμοίαν θέμιν S. 430. ἐκτίνων καλὰς τροφὰς Ἄργει T. 530. χερὸς πατρῴας ἐκτίνοντα μηχανὰς κεῖσθαι A. 1564.

Ἔκτοθεν. λίμνας ἔκτοθεν P. 852. πύργων δ' ἔκτοθεν βαλὼν Ζεύς σφε κάνοι κεραυνῷ T. 611. δώμασιν ἔμμοτον τῶνδ' ἑκὰς οὐδ' ἀπ' ἄλλων ἔκτοθεν C. 466.

Ἐκτολυπεύειν. οὐδὲν ἐπελπομένα πω καίριον ἐκτολοπεύσειν A. 1003.

Ἐκτός. ἐκτὸς οὖσ' ἀγαλμάτων εὔχου τὰ κρείσσω T. 247. ζηλῶ σ' ὅθ' οὕνεκ' ἐκτὸς αἰτίας κυρεῖς V. 330. ἐκτὸς αἰτίας ὢν C. 1027.

Ἕκτος. ἕκτος δὲ Μάραφις P. 764. ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστερον T. 550.

Ἐκτρέπειν. δορίπονα κάκ' ἐκτρέποντες γᾶς πρὸς ἐπιμόλους T. 610. μηδ' εἰς Ἑλένην κότον ἐκτρέψῃς A. 1443.

Ἐκτρέφειν. ὃν ἐξέθρεψα μητρόθεν δεδεγμένη C. 738.

Ἐκτροπή. τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν δύναιτ' ἂν αὐτῷ πλὴν ἐμοῦ δεῖξαι σαφῶς V. 915.

Ἐκτυφλοῦν. ἐκτυφλωθέντες σκότῳ C. 529.

Ἐκφανής. θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν P. 390.

Ἐκφάτνωμα. ἐκφάτνωμα Λέσβιον Fr. 64.

Ἐκφάτως. τίοντες ἐκφάτως ὑμέναιον A. 689.

Ἐκφεύγειν. θεῶν διδόντων, οὐκ ἂν ἐκφύγοι κακὰ T. 701. οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην V. 516. γάμον ἄγαμον ἐκφυγεῖν S. 135. τυτθὰ δ' ἐκφυγεῖν ἄνακτ' αὐτὸν ἀκούομεν P. 556. τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν A. 876. ἥκουσιν ἐκφυγόντες οὐ πολλοί τινες P. 502. τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακὰ T. 1035. ἀνὴρ ὅδ' ἐκπέφευγεν αἵματος δίκην E. 722.

Ἐκφθίνειν. ἐξέφθινθ' αἱ τρίσκαλμοι νᾶες P. 665. πάνυ γὰρ φύστις μυριὰς ἀνδρῶν ἐξέφθινται P. 891.

Ἐκφοβεῖν. τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας P. 598.

Ἐκφορά. ἐκφορᾶς φίλων ὕπο ἄτιμον εἶναι T. 1015. δαΐαις ἐν ἐκφοραῖς ἄνευ πολιτῶν ἄνακτ', ἄνευ δὲ πενθημάτων ἔτλης ἀνοίμωκτον ἄνδρα θάψαι C. 425.

Ἔκφορος. τῶν δυσσεβούντων δ' ἐκφορωτέρα πέλοις E. 870.

Ἐκφράζειν. ἀλλ' αὖθ' ἕκαστ' ἔκφραζε V. 952.

Ἐκφυγγάνειν. δεσμοὺς ἀεικεῖς καὶ δύας ἐκφυγγάνω V. 523.

Ἐκφυσᾶν. ἔνθα ποταμὸς ἐκφυσᾷ μένος κροτάφων ἀπ' αὐτῶν V. 722.

Ἐκφυσιοῦν. ἐκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρόσου A. 1362.

Ἔκφυσις. δεινήν γε στόματος ἔκφυσιν ποδὸς λαβὼν Fr. Philoct. 702.

Ἐκχεῖν. μηδέ τις ἄλλων ἐρασθεὶς, ὄλβον ἐκχέῃ μέγαν P. 812. ἐγχέουσα γάποτον χύσιν C. 95. ὄξος τ' ἄλειφά τ' ἐγχέας ταυτῷ κύτει A. 313. τὰ πάντα γάρ τις ἐγχέας ἀνθ' αἵματος ἑνὸς, μάτην ὁ μόχθος C. 513. τὸ μητρὸς αἷμ' ὅμαιμον ἐγχέας πέδῳ E. 623. προφθάσασα καρδία γλῶσσαν ἂν τάδ' ἐξέχει A. 1000.

'Εκών. ταύτας ἑκούσας μὲν κατ' εὔνοιαν φρενῶν ἄγοις ἂν S. 918. κράτιστα δή μοι τῶν παρεστώτων τότε ἐφαίνετ' εἶναι προσλαβόντι μήτερα ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν V. 218. ἑκὼν ἑκὼν ἥμαρτον, οὐκ ἀρνήσομαι V. 266. πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦσ'. ἐλεύσεται V. 856. ὡς ἑκὼν ἐγὼ μαθοῦσιν αὐδῶ, κοὐ μαθοῦσι λήθομαι A. 38. ὅσπερ οὐχ ἑκὼν ἔπλει A. 815. πιθοῦ· κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοὶ A. 917. ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ A. 927. σὺ δ' ἄνδρα τόνδ' ἔφης ἑκὼν κατακτανεῖν A. 1596. εἰ προδῶ σφ' ἑκὼν E. 225.

'Ελαία. ξανθῆς ἐλαίας καρπὸς P. 609. κατάσκιον κλάδοις ἐλαίας A. 480. ἐλαίας ὑψιγέννητον κλάδον ἔχοντα E. 43.

'Ελαιόφυτος. Λέσβος, ἐλαιόφυτός τε Σάμος P. 858.

"Ελανδρος. πρεπόντως Ἑλένας ἕλανδρος ἑλέπτολις ἐκ τῶν ἁβροτίμων προκαλυμμάτων ἔπλευσε Ζεφύρου γίγαντος αὔρᾳ A. 674.

'Ελάσσων. τοίγαρ κακῶς δράσαντες οὐκ ἐλάσσονα πάσχουσι P. 799. ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει V. 940. τὸν ἐλάσσονα ταχέως ὁ μέγας καταπίνει Fr. Ix. 80.

'Ελατήρ. ἵππων τ' ἐλατὴρ Σωσθάνης P. 32.

'Ελατήριος. ὅταν ἀφ' ἑστίας μύσος πᾶν ἐλάσῃ καθαρμοῖσιν ἀτᾶν ἐλατηρίοις C. 962.

'Ελαύνειν. ἐπὶ πᾶσαν χθόνα ποιμανόριον θεῖον ἐλαύνει P. 75. τοὺς μητραλοίας ἐκ δόμων ἐλαύνομεν E. 201. βροτοκτονοῦντας ἐκ δόμων ἐλαύνομεν E. 399. τί δ' οὐκ ἐκείνην ζῶσαν ἤλαυνες φόβῳ; E. 574. τοίγαρ νιν ἐκ γῆς ἤλασεν μακρῷ δρόμῳ S. 305. Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ P. 757. Ἰλίῳ δὲ κῆδος ὀρθώνυμον τελεσσίφρων μῆνις ἤλασε A. 685. ἐλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς E. 75. οἰστρόπληξ δ' ἐγὼ μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι V. 685. ἐλαύνομαι δὲ, κοὐκέτ' ἂν μείναιμ' ἐγὼ C. 1058. κατὰ χέρσον ἐληλαμέναι νῆσοι P. 852. καθαρμοῖς ἠλάθη χοιροκτόνοις E. 273.

'Ελαφρός. αἰθὴρ δ' ἐλαφραῖς πτερύγων ῥιπαῖς ὑποσυρίζει V. 125. ἐλαφρὸν, ὅστις πημάτων ἔξω πόδα ἔχει, παραινεῖν νουθετεῖν τε τοὺς κακῶς πράσσοντας V. 263. ἐλαφρῷ ποδὶ κραιπνόσυτον θῶκον προλιποῦσα V. 279.

'Ελέγχειν. μὴ 'λεγχε τὸν πονοῦντ' ἔσω καθημένη C. 906. ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ, καὶ πρᾶγμ' ἐλέγχειν ξὺν νεορράντῳ ξίφει A. 1324. ἰδεῖν ἐλέγξαι δ' αὖ θέλω τὸν ἄγγελον C. 838. ἀγνῶθ' ὅμιλον ὡς ἐλέγχεσθαι χρόνῳ S. 971.

'Ελεδεμνάς. ἐλεδεμνὰς πεδιοπλόκτυπος ὠσὶ χρίμπτεται βοὰ T. 83.

'Ελεεινός. καὶ μὴν φίλοις ἐλεεινὸς εἰσορᾶν ἐγὼ V. 246.

'Ελειοβάτης. ἐλειοβάται ναῶν ἐρέται δεινοὶ P. 39.

"Ελειος. ἔς τε Μακεδόνων χώραν ἀφικόμεσθ' ἐπ' Ἀξίου πόρον, Βόλβης θ' ἕλειον δόνακα P. 486.

'Ελελελελεῦ V. 879.

'Ελένη. τὰν δορίγαμβρον ἀμφινεική θ' Ἑλέναν, ἐπεὶ πρεπόντως Ἑλένας, ἕλανδρος, ἑλέπτολις A. 673. στέλλων στρατίαν Ἑλένης ἕνεκα A. 774. ἰὼ ἰὼ παράνους Ἑλένα A. 1430. μηδ' εἰς Ἑλένην κότον ἐκτρέψῃς A. 1443.

'Ελέπτολις. πρεπόντως Ἑλένας, ἕλανδρος, ἑλέπτολις ἐκ τῶν ἁβροτίμων προκαλυμμάτων ἔπλευσε Ζεφύρου γίγαντος αὔρᾳ A. 674.

'Ελευθερία. πῦρ καὶ φῶς ἐπ' ἐλευθερίᾳ δαίων C. 850.

'Ελευθερίως. ἐλευθερίως λαμπρῶς τ' ἰδεῖν φιλίοις ὄμμασι C. 797.

'Ελεύθερος. μετοικεῖν τῆσδε γῆς ἐλευθέρους S. 604. ἐλευθέροις νῦν ἐσθλὰ κηρυκευέτω S. 218. λέλυται γὰρ λαὸς ἐλεύθερα βάζειν P. 584. Κάδμου πόλιν, ἐλευθέραν τε γῆν T. 74. ἐλεύθερος γὰρ οὔτις ἐστὶ πλὴν Διὸς V. 50. οὐκέτ' ἐξ ἐλευθέρου δέρης ἀποιμώζουσι φιλτάτων μόρον A. 319. τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει, καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερὸς C. 101. διχῶς ἐπράθην, ὢν ἐλευθέρου πατρὸς C. 902. ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει C. 1056. τοίγαρ σὺ μὲν ζῇς, ἡ δ' ἐλευθέρα φόνου E. 573.

'Ελευθεροστομεῖν. ἄγαν ἐλευθεροστομεῖς V. 180.

'Ελευθερόστομος. σαφῆ δ' ἀκούεις ἐξ ἐλευθεροστόμου γλώσσης S. 926.

Ἐλευθεροῦν. ὃς οὐδ' ἐν Ἀΐδου τὸν θανόντ' ἐλευθεροῖ S. 411. ἐλευθεροῦτε πατρίδ', ἐλευθεροῦτε δὲ παῖδας P. 395. ἐλευθερώσας πᾶσαν Ἀργείαν πόλιν C. 1042. τὸ γὰρ θανεῖν ἐλευθεροῦται φιλαιακτῶν κακῶν S. 783. ὑπό τε γᾶν φυγὼν, οὔ ποτ' ἐλευθεροῦται E. 167.

Ἑλίγδην. τροχοδινεῖται δ' ὄμμαθ' ἑλίγδην V. 884.

Ἐλιννύειν. ὡς μή σ' ἐλιννύοντα προσδερχθῇ πατὴρ V. 50. μηδ' ἐλιννύσαιμι θεοὺς ὁσίαις θοίναις ποτινισσομένα βουφόνοις V. 526.

Ἕλιξ. ἕλικες δ' ἐκλάμπουσι στεροπῆς ζάπυροι V. 1085.

Ἕλκειν. ἕλξειν ἔοιχ' ὑμᾶς ἀποσπάσας κόμης S. 883. εἷλκον ἄνω λυκηδὸν, ὥστε διπλόοι λύκοι νεβρὸν φέρουσι Fr. Inc. 45. 1.

Ἑλκοποιός. οὐδ' ἑλκοποιὰ γίνεται τὰ σήματα T. 381.

Ἕλκος. πόλει μὲν ἕλκος ἓν τὸ δήμιον A. 626.

Ἑλλάς. ἀφ' Ἑλλάδος τύπων S. 234. Ἑλλὰς χθὼν S. 240. Ἑλλάδ' ἐς αἶαν P. 2. ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι P. 50. Ἑλλάδα κλήρῳ λαχοῦσα γαῖαν P. 182. πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος P. 230. ἐπ' Ἑλλάδα χώραν P. 263. ἐν Ἑλλάδος τόποις P. 782. γῆν μολόντες Ἑλλάδα P. 795. μέμνησθ' Ἀθηνῶν Ἑλλάδος τε P. 810. Ἑλλάδος φθόγγον πόλιν χέουσαν T. 71. Ἑλλάδος ἥβας ξύμφρονα ταγὰν A. 109. ἀφ' Ἑλλάδος αἴας A. 417. θεοῖς λάφυρα ταῦτα τοῖς καθ' Ἑλλάδα δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος A. 564.

Ἐλλείπειν. προθυμίας γὰρ οὐδὲν ἐλλείπεις V. 341. πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω V. 963. τί γὰρ ἐλλείπει μὴ παραπαίειν; V. 1058. τὸν ἐλλείποντ' ἔτι ἥβης ἀκμαίας T. 10.

Ἕλλη. πορθμὸν ἀμείψας Ἀθαμαντίδος Ἕλλης P. 70. μηχαναῖς ἔζευξεν Ἕλλης πορθμὸν P. 708. πᾶν στράτευμα βαρβάρων περᾷ τὸν Ἕλλης πορθμὸν P. 785. Ἕλλας ἀμφὶ πόρον P. 854.

Ἕλλην. ἀνὴρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ P. 347. οὐ ξυνεὶς δόλον Ἕλληνος ἀνδρὸς P. 354. Ἑρμῆς δὅ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις S. 217. κάρβανος ὢν δ' Ἕλλησιν ἐγχλίεις ἄγαν S. 892. καὶ γὰρ Ἕλλησιν μὲν ἦν ὁ πᾶς ἄριθμος ἐς τριακάδας δέκα ναῶν P. 330. τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης; P. 343. ὡς εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας, Ἕλληνες οὐ μένοιεν P. 350. εἰ μόρον φεύξοίαθ' Ἕλληνες κακὸν P. 361. Ἑλλήνων στρατὸς P. 376. κέλαδος Ἑλλήνων πάρα μολπηδὸν εὐφήμησεν P. 380. παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες P. 385. ὦ παῖδες Ἑλλήνων P. 394. θεὸς ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης P. 447. εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον P. 776. τὰς πολυάνδρους Ἑλλάνων νάσους P. 868. Ἕλλην' ἐπίσταμαι φάτιν A. 1227. παρ' Ἑλλήνων τινες ἴτων, πάλῳ λαχόντες E. 31. καί τις Ἑλλήνων ἐρεῖ κ. τ. λ. E. 726. ῥυσίβωμον Ἑλλάνων ἄγαλμα δαιμόνων E. 881.

Ἑλληνικός. ἦρξε δ' ἐμβολῆς Ἑλληνικὴ ναῦς P. 401. Ἑλληνικαί τε νῆες οὐκ ἀφραδμόνως κύκλῳ πέριξ ἔθεινον P. 409. Ἑλληνικὸν νόμισμα θυστάδος βοῆς T. 251.

Ἑλληνίς. ποσόν τι πλῆθος ἦν νεῶν Ἑλληνίδων; P. 326.

Ἑλλήσποντος. ὅστις Ἑλλήσποντον ἱερὸν, δοῦλον ὣς, δεσμώμασιν ἤλπισεν σχέθειν P. 731.

Ἐλπίζειν. ξυνὰ δ' ἐλπίζω λέγειν T. 77. οὐκ ἄτιμον ἐλπίζω μόρον T. 571. ὧδε γὰρ κρατεῖ γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ A. 11. τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα ἤλπιζον εἶναι μαντικῇ βρύον τέχνῃ Fr. Psych. 1. πῶς γὰρ ἐλπίσω ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης; E. 185. Ἑλλήσποντον ἱερὸν, δοῦλον ὣς, δεσμώμασιν ἤλπισεν σχέθειν P. 732. οὔποτ' ἐλπίσαντες ἤμησαν καλῶς A. 1015. οὔποτ' ἐλπίσασι τήνδ' ἕξειν χάριν A. 1028. ἄκος τομαῖον ἐλπίσασα πημάτων C. 532.

Ἐλπίς. ἐλπίς ἐστι νυκτερὸν τέλος μολεῖν T. 349. τίς ἐλπίς; V. 259. τότε δ' ἐκ θυσιῶν ἀγανὰ φαίνουσ' ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον A. 102. πεύσῃ δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν A. 257. ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν A. 665. τῷ δ'

ἐναντίῳ κύτει ἐλπὶς προσήει χειρὸς οὐ πληρουμένη A. 790. οὐ τὸ πᾶν ἔχων ἐλπίδος φίλον κράτος A. 966. εὔχομαι δ' ἀπ' ἐμᾶς τι ἐλπίδος ψύθη πεσεῖν A. 971. οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖν A. 1409. σαίνομαι δ' ὑπ' ἐλπίδος C. 192. δάκρυτος ἐλπὶς σπέρματος σωτηρίου C. 234. νῦν δ' ἥπερ ἐν δόμοισι βακχείας καλῆς ἰατρὸς ἐλπὶς ἦν, παροῦσαν ἐγγράφει C. 688. Ὀρέστης ἐλπὶς οἴχεται δόμων C. 765. ἰάπτει δ' ἐλπίδων ἀφ' ὑψιπύργων πανώλεις βρότους S. 90. πλῆθος ἔκκριτον στρατοῦ λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος P. 790. τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα V. 250. ἡδύ τι θαρσαλέαις τὸν μακρὸν τείνειν βίον ἐλπίσι V. 536. εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς A. 253. πολλῶν ῥαγεισῶν ἐλπίδων μιᾶς τυχὼν A. 491. οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίσιν σιτουμένους A. 1653.

Ἕλωρ. κυσὶν δ' ἔπειθ' ἕλωρα κἀπιχωρίοις ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν S. 781.

Ἐμαυτοῦ. ὁρῶν ἐμαυτὸν ὧδε προυσελούμενον V. 436. ἔρριψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας V. 750. ἐμαυτῆς δύσφορον λέξω βίον A. 833. τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε; A. 1237.

Ἐμβαίνειν. σὺν ταῖσδέ μ' ἐμβαίνονθ' ἁλουργέσι A. 920. ὡς ὠμοφρόνως δαίμων ἐνέβη Περσῶν γενεᾷ P. 875. ἐς τόνδ' ἐνέβης ξὺν ἀληθείᾳ χρησμὸν A. 1547.

Ἐμβάλλειν. λίμνῃ δ' ἔμβαλε πυρφοροειδεῖ τὰν μελανόζυγ' ἄταν S. 524. τοῖς ἔξω πύργων ῥίψοπλον ἄταν ἐμβαλόντες T. 298. στράτευμ' ἐπακτὸν ἐμβαλὼν ᾕρει πόλιν T. 1010. στράτευμ' ἐπακτὸν ἐμβεβληκὼς T. 565.

Ἔμβασις. ὑπαί τις ἀρβύλας λύοι τάχος πρόδουλον ἔμβασιν ποδὸς A. 919.

Ἐμβατεύειν. νῆσος ἣν ὁ φιλόχορος Πὰν ἐμβατεύει P. 441.

Ἐμβολή. ἦρξε δ' ἐμβολῆς Ἑλληνικὴ ναῦς P. 401. ἀπώλλυτο στρατὸς, δαμασθεὶς ναΐοισιν ἐμβολαῖς P. 271. Περσικῷ στρατεύματι μάχην ξυνάψαι ναΐοισιν ἐμβολαῖς P. 328. αὐτοὶ δ' ὑφ' αὑτῶν ἐμβολαῖς χαλκοστόμοις παίοντο P. 407. νᾶες ἀπώλεσαν τοτοῖ, νᾶες, πανωλέθροισιν ἐμβολαῖς P. 554. θινὸς ἐμβολὰς ἁλὸς Fr. Inc. 66.

Ἐμβριθής. τί δ' ἐστὶ Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν; P. 679.

Ἐμβριμᾶσθαι. ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας δινεῖ T. 443.

Ἔμβρυον. μῆλά τ' εὐθενοῦντ' ἄγαν ξὺν διπλοῖσιν ἐμβρύοις E. 905.

Ἐμεῖν. ἐμῇ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρὺν E. 700. ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐμῶν A. 1581. φόνου ἐμοῦσα θρόμβους E. 175.

Ἐμμανής. ἐμμανεῖ σκιρτήματι ησσον V. 672. ἀοίνοις ἐμμανεῖς θυμώμασι E. 822.

Ἐμμέλεια Fr. Arg. 4.

Ἐμμένειν. ἀλλά μοι τόδ' ἐμμένοι καὶ μήποτ' ἐκτακείη V. 532. ὅρκος τ' ἐμμένει πιστώμασιν C. 971.

Ἔμμοτος. δώμασιν ἔμμοτον τῶνδ' ἑκὰς οὐδ' ἀπ' ἄλλων ἔκτοθεν C. 464.

Ἐμός. τἄμ' ἔπη S. 176. πατέρ' ἐμοῦ πατρὸς S. 314. δωμάτων ἐφέστιοι ἐμῶν S. 361. ἄγος μὲν εἴη τοῖς ἐμοῖς παλιγκότοις S. 371. πέπλων ἐπιλαβὰς ἐμῶν S. 427. γένοιτο δ' εὖ παρὰ γνώμην ἐμὴν S. 449. ὁρῶ τάδε φροίμια πρόξενα πόνων βιαίων ἐμῶν S. 811. ἐπεὶ οὐκ ἀκούεις ὀξὺ τῶν ἐμῶν λόγων S. 884. ἀβουκόλητον τοῦτ' ἐμῷ φρονήματι S. 907. μηδ' αἶσχος ἡμῖν, ἡδονὴν δ' ἐχθροῖς ἐμοῖς πράξωμεν S. 986. ἐμῆς ὀπώρας οὕνεκ' εὖ θάρσει, πάτερ S. 993. ξὺν εὐχαῖς ἐμαῖς S. 1058. ἐμὴ βασίλεια P. 148. Δαρείου τε κἀμὸν κοινὸν εὐναστήριον P. 156. παῖς ἐμὸς P. 173. ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα P. 292. λεύσσων ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας P. 670. τὴν ἐμὴν αἰδῶ μεθεὶς P. 685. τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ' P. 690. τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; P. 703. πλούτου πόνος οὑμὸς P. 738. οὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολὰς P. 769. ἐμοὶ ξυνήλικες P. 770. λέλυται γὰρ ἐμῶν γυίων ῥώμη P. 877. ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς; P. 977. ἔρεσσ' ἔρεσσε καὶ στέναζ' ἐμὴν χάριν P. 1003. ἐμῶν ἀκούσασ' εὐγμάτων T. 249. πρὶν ἐμὸν ἐσθορεῖν δόμον T. 436. ἰὼ πρόμαχ' ἐμῶν δόμων T. 465. φοβερὰ δ' ἐμοῖσιν

ὅσσοις ὀμίχλη προσῆξε V. 144. ἐμαῖσι βουλαῖς V. 219. πόνων ἐμῶν ἥκεις ἐπόπτης V. 298. ἐμὸν δοκήσει τἀμπλάκημ' εἶναι τόδε V. 386. μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ V. 388. μηδάμ' ὁ πάντα νέμων θεῖτ' ἐμᾷ γνώμᾳ κράτος ἀντίπαλον Ζεὺς V. 525. πόθεν ἐμοῦ συ πατρὸς ὄνομ' ἀπύεις; V. 595. τέρμα τῆς ἐμῆς πλάνης V. 625. παρθενῶνας τοὺς ἐμοὺς V. 647. τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν, σαφῶς ἐπίστασ', οὐκ ἂν ἀλλάξαιμ' ἐγὼ V. 968. χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ ἐχθροὺς ἴδοιμι V. 974. Ἄπολλον, Ἄπολλον, ἀγυιᾶτ' Ἀπόλλων ἐμὸς A. 1051. δεσπότης ἐμὸς A. 1199. τοῖς ἐμοῖς τιμαόροις A. 1297. ἐμὸς πόσις A. 1377. ἀκούεις ὁρκίων ἐμῶν θέμιν A. 1406. τῆς ἐμῆς παιδὸς δίκη A. 1407. ἐμοὶ δ' ἐπήγαγεν εὐνῆς παροψώνημα τῆς ἐμῆς χλιδῆς A. 1422. στίβοι τε τοῖς ἐμοῖσιν ἐμφερεῖς C. 204 εἰς ταυτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις C. 208. ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾷν θέλεις. Κἂν τοῖς ἐμοῖς ἄρ', εἴπερ ἔν γε τοῖσι σοῖς C. 220. χρησμοὺς τοὺς ἐμούς τε καὶ Διὸς E. 683. τὰν ἐμὰν χάριν λέγω E. 899. τἀμὰ γὰρ διοίχεται Fr. Myrm. 120. θυμός ποτ' ἐμὸς οὐρανῷ κυρῶν Fr. Niobe 2. 1.

Ἔμπαιος. ἐμπαίοις τύχαισι συμπνέων A. 180.

Ἔμπαλιν. ἐσθλά σοι πέμπειν, τέκνῳ τε, γῆς ἔνερθεν ἐς φάος· τἄμπαλιν δὲ τῶνδε γαίᾳ κάτοχ' ἀμαυροῦσθαι σκότῳ P. 219. τοὔμπαλιν σπεύδοντες, ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν V. 202. ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεὸς A. 1399.

Ἔμπας. ἥμενον ἄνω φρόνημά πως αὐτόθεν ἐξέπραξεν ἐμπὰς S. 95. ἔμπας τις αὐτὴν ἄλλος ὤφελεν λαχεῖν V. 48. ἔμπας μαλακογνώμων ἔσται V. 188. τί γὰρ κευθωφρενὸς θεῖον ἔμπας ποτᾶται C. 384. μέγας γὰρ ἐμπὰς παρ' Διὸς θρόνοις λέγῃ E. 220.

Ἐμπατεῖν. οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖν A. 1409.

Ἔμπεδος. ἔμπεδον σίνος ἐσθημάτων A. 547.

Ἐμπέδως. νίκη δ' ἐπείπερ ἕσπετ', ἐμπέδως μένοι A. 827. τίπτε μοι τόδ' ἐμπέδως δεῖγμα προστατήριον καρδίας τερασκόπου ποτᾶται; A. 949.

Ἔμπειρος. κακῶν ἔμπειρος P. 590.

Ἐμπεραίνειν Fr. Thal. 1. 2

Ἐμπίπτειν. ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ ποθεῖν ἃ μὴ χρὴ A. 332. ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ A. 1323.

Ἐμπιτνεῖν. πολλάκι δ' ἐμπιτνῶ ξὺν λακίδι S. 113. δαῖμον, ὃς ἐμπιτνεῖς δώμασι καὶ διφυίοισι Τανταλίδαις A. 1447. καὶ τίς σε κακοφρονῶν τίθησι δαίμων ὑπερβαρὴς ἐμπιτνῶν A. 1148.

Ἐμπλέκειν. λέξω τορῶς, οὐκ ἐμπλέκων αἰνίγματ' V. 613. οὐδὲ λαθραίως εἰς ἀπέραντον δίκτυον ἄτης ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας V. 1081.

Ἐμπλήθειν. ἐμπλήσας γόμον S. 439.

Ἐμπνεῖν. εἴ τίς ἐστιν ἐμπνέων A. 657.

Ἐμποδίζειν. γένος ἐμπεποδισμένον V. 549.

Ἐμποδών. εἰ μὴ θεῶν τις ἐμπόδων ἔστη δορὶ T. 1007. οὐδὲν ἐμποδὼν ἔτι V. 13.

Ἐμπολᾶν. ἀπὸ στρατείας ἠμποληκότα E. 601.

Ἐμπρέπειν. λαμπροὺς δυνάστας ἐμπρέποντας αἰθέρι ἀστέρας A. 6. κατὰ χθονὸς ἐμπρέπων C. 351.

Ἐμπρεπής. ἰηλέμοισιν ἐμπρεπῆ ζῶσα γόοις με τιμᾷ S. 107.

Ἔμπορος. ὥρα δ' ἐμπόρους μεθιέναι ἄγκυραν ἐν δόμοισι πανδόκοις ξένων C. 650.

Ἐμφανής. νυκτὸς ὄψις ἐμφανὴς P. 510. κασήμηνεν ἐμφανὲς τέκμαρ C. 656. ἀνδρὸς ἐμφανὲς τέκμαρ E. 236. εἰ λέγοι τις ἐμφανῆ λόγον E. 398. οὐδὲν ἐμφανέστερος C. 805.

Ἐμφανῶς. μὴ νῦν ἀκούουσ' ἐμφανῶς ἄκου' ἄγαν T. 228. ἀναχθεὶς ἐμφανῶς ἐξ Ἰλίου A. 612. τά δ' ἐμφανῶς πράσσουσα E. 214.

Ἐμφερής. στίβοι ποδῶν ὅμοιοι, τοῖς τ' ἐμοῖσιν ἐμφερεῖς C. 204. βροτείοις ἐμφερεῖς μορφώμασιν E. 390. Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι γυναιξίν ἐστε S. 275.

Ἔμφρων. ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα V. 850. ἕως ἔτ' ἔμφρων εἰμὶ C. 1022.

'Εμφύλιος. Ἄρη ἐμφύλιόν τε καὶ πρὸς ἀλλήλους θρασὺν E. 825.

'Εμφύρεσθαι. ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι Fr. Glauc. Potn. 1. 2.

'Εν. πάντα τοι φλεγέθει κἂν σκότῳ S. 82. καὶ μὴ πρόλεσχος, μηδ' ἐφολκὸς ἐν λόγῳ γένῃ S. 197. ἐν ἁγνῷ δ' ἑσμὸς ὡς πελειάδων ἵζεσθε S. 220. οὐδὲ μὴ 'ν Ἅιδου θανὼν φύγῃ ματαίων αἰτίας, πράξας τάδε S. 225. μνήμην ποτ' ἀντίμισθον εὑρέτ' ἐν λιταῖς S. 267. Κύπριος χαρακτὴρ τ' ἐν γυναικείοις τύποις εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων S. 279. μονοσκήπτροισιν ἐν θρόνοις χρέος πᾶν ἐπικραίνεις S. 368. ἐν ἀγκάλαις λαβὼν κλάδους S. 476. ὕψιστος ἐν βροτοῖς φόβος S. 474. διχῇ δ' ἀντίπυρον γαῖαν ἐν αἴσᾳ διατέμνουσα πόρον κυματίαν ὁρίζει S. 540. τὸν ἀρότοις θερίζοντα βροτοὺς ἐν ἄλλοις S. 629. τρίτον τόδ' ἐν θεσμίοις δίκας γέγραπται μεγιστοτίμου S. 689. χρόνῳ τοι κυρίῳ τ' ἐν ἡμέρᾳ θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην S. 713. μῆκος οὐδὲν ἐν μέσῳ χρόνου S. 716. πολλοὺς δέ γ' εὑρήσουσιν ἐν μεσημβρίᾳ θάλπει βραχίον' εὖ κατερρινημένους S. 727. ἐν ἀγχυρουχίαις θαρσοῦσι ναῶν ποιμένες S. 747. βλοσυρόφρονα χλιδᾷ δύσφρονα ναὶ κὰν γᾶ S. 814. τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῇ ἔλυσεν S. 913. ἐν χρόνῳ μαθὼν S. 916. ἐν πτυχαῖς βίβλων κατεσφραγισμένα S. 925. ξύν τ' εὐκλείᾳ καὶ ἀμηνίτῳ βάξει λαῶν ἐν χώρῳ τάσσεσθε S. 954. πᾶς δ' ἐν μετοίκῳ γλῶσσαν εὔτυκον φέρει κακὴν S. 972. βυσσίνοις δ' ἐν πέπλοις πέσῃ λακὶς P. 123. ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσὶ P. 161. πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα P. 169. στάσιν τεύχειν ἐν ἀλλήλῃσι P. 185. ἐν ἡνίαισιν εἶχεν εὔαρκτον στόμα P. 189. ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς ὄλβος P. 247. ἀλίδονα σώματα πολυβαφῆ κατθανόντα λέγεις φέρεσθαι πλαγκτοῖς ἐν διπλάκεσσι P. 269. στῖφος ἐν στίχοις τρισὶν τάξαι νεῶν P. 358. πλῆθος ἐν στενῷ νεῶν ἤθροιστο P. 405. ἔν τε Βοιωτῶν χθονὶ στρατὸς διώλλυθ' P. 474. νυκτὶ δ' ἐν ταύτῃ θεὸς χειμῶν' ἄωρον ὦρσε P. 488. οὐδ' ἔτι γλῶσσα βροτοῖσιν ἐν φυλακαῖς P. 584. ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν P. 596. βοᾷ δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος P. 597. τῆς αἰὲν ἐν φύλλοισι θαλλούσης βίον ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα P. 608. πάντ' ἀκούσῃ μῦθον ἐν βραχεῖ λόγῳ P. 699. ἄσμενον μολεῖν γέφυραν ἐν δυοῖν ζευκτηρίαν P. 722. τὸν δὲ σὺν δόλῳ 'Αρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις P. 762. ἐν Ἑλλάδος τόποις μείνας P. 782. ὑμεῖς δὲ πρέσβεις, χαίρετ', ἐν κακοῖς ὅμως P. 826. οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν P. 837. φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως T. 2. ἐν ὠσὶ νωμῶν καὶ φρεσὶν πυρὸς δίχα χρηστηρίους ὄρνιθας T. 25. κόναβος ἐν πύλαις χαλκοδέτων σακέων T. 145. ἐν μάχαισι μάκαιρ' ἄνασσ' Ὄγκα T. 147. μήτ' ἐν κακοῖσι μήτ' ἐν εὐεστοῖ φίλῃ ξύνοικος εἴην τῷ γυναικείῳ γένει T. 169. νιφάδος ὀλοᾶς νιφομένας βρόμος ἐν πύλαις T. 195. πολλάκι δ' ἐν κακοῖσι τὸν ἀμήχανον— ὀρθοῖ T. 209. ἀραγμὸς ἐν πύλαις ὀφέλλεται T. 231. τοιαῦτ' ἐπεύχου μὴ φιλοστόνως θεοῖς, μηδ' ἐν ματαίοις κἀγρίοις ποιφύγμασι T. 262. πολλὰ δ' ἀκριτόφυρτος γᾶς δόσις οὐτιδανοῖς ἐν ῥοθίοις φορεῖται T. 344. ὡς ἐν πύλαις ἕκαστος εἴληχεν πάλον T. 358. λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμὸς, πρέπει T. 371. ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ T. 396. λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα T. 433. ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας δινεῖ T. 443. βοᾷ δὲ χ' οὗτος γραμμάτων ἐν συλλαβαῖς T. 450. οὐ κόμπον ἐν χεροῖν ἔχων T. 455. ἐν χρείᾳ τύχης T. 488. ἔχοντ' ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας δαίμονος T. 504. πόλεως ὄνειδος ἐν χαλκηλάτῳ σάκει T. 521. εἴθε γὰρ θεοὶ τούσδ' ὀλέσειαν ἐν γᾷ T. 549. ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς κάκιον οὐδὲν T. 581. οὔτ' ἐν τροφαῖσιν, οὔτ' ἐφηβήσαντά πω, οὔτ' ἐν γενείου συλλογῇ τριχώματος Δίκη προσεῖπεν T. 648. ἐν πατρῴας χθονὸς κακουχίᾳ παραστατεῖν T. 650. μόνον γὰρ κέρδος ἐν τεθνηκόσιν T. 666. ἐπεὶ δαίμων λήματος ἐν τροπαίᾳ χρονίᾳ μεταλλακτὸς T. 688. 'Απόλλωνος εἰ-

πόντος ἐν μεσομφάλοις Πυθικοῖσι T. 727. μεταξὺ δ' ἀλκὰ δι' ὀλίγου τείνει πύργος ἐν εὔρει T. 745. πόλις δ' ἐν εὐδίᾳ T. 777. καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασιν T. 780. ἣν λάβωσιν ἐν ταφῇ χθονὸς ἕξουσι (μοῖραν) T. 801. πολυφθόρους ἐν δαΐδι T. 908. νείκεος ἐν τελευτᾷ T. 919. ἐν δὲ γαίᾳ ζωὰ φονορύτῳ μέμικται T. 920. ἔστακε δ' ἄτας τρόπαιον ἐν πύλαις ἐν αἷς ἐθείνοντο T. 937. ἰὼ δαιμονῶντες ἐν ἄτᾳ T. 992. εἴργων γὰρ ἐχθροὺς θάνατον εἷλετ' ἐν πόλει T. 1000. δεσμῶν ἐν ἀῤῥήκτοις πέδαις V. 6. σκοπέλοις ἐν ἄκροις φρουρὰν ἄζηλον ὀχήσω V. 142. κρατεραῖς ἐν γυιοπέδαις αἰκιζόμενος V. 168. στάσις τ' ἐν ἀλλήλοισιν ὠροθύνετο V. 200. θνητοὺς ἐν οἴκτῳ προθέμενος V. 239. τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα V. 250. νέος γὰρ καὶ τύραννος ἐν θεοῖς V. 310. κορυφαῖς ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ Ἥφαιστος V. 366. ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ V. 379. ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾷν τίνα ὁρᾷς ἐνοῦσαν ζημίαν; V. 381. ἄσμενος δέ τ' ἂν σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ V. 396. ὀξυπρώροισι βρέμων ἐν αἰχμαῖς V. 422. ἐν πόνοις δαμέντ' ἀδαμαντοδέτοις Τιτᾶνα λύμαις V. 423. ἄντρων ἐν μυχοῖς ἀνηλίοις V. 451. φαναῖς θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις V. 537. χαλινοῖς ἐν πετρίνοισιν χειμαζόμενον V. 561. τί ποτε ταῖσδ' ἐνέζευξας εὑρὼν ἁμαρτοῦσαν ἐν πημοναῖσι; V. 579. σήμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασε V. 621. σὺ γὰρ νῦν ἀκήκοας λόγους εἶναι δόκει σοι μηδέπω 'ν προοιμίοις V. 743. ἐν τάχει V. 749. ἐν γνώμᾳ V. 890. χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ ἐχθροὺς ἴδοιμι· καὶ σὲ δ' ἐν τούτοις ἐρῶ V. 975. ἐν προτελείοις A. 65. παμπρέπτοις ἐν ἕδραισιν A. 117. στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας μνησιπήμων πόνος A. 172. ἐν Αὐλίδος τόποις A. 184. Τροίαν 'Αχαιοὶ τῇδ' ἔχουσ' ἐν ἡμέρᾳ A. 311. οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν A. 312. πρὸς οὐδὲν ἐν μέρει τεκμήριον A. 323. ἐν αἰχμαλώτοις Τρωικοῖς οἰκήμασιν ναίουσιν A. 325. ὀμμάτων δ' ἐν ἀχηνίαις ἔῤῥει πᾶσ' Ἀφροδίτα A. 407. ταλαντοῦχος ἐν μάχῃ δορὸς A. 427. ἐν φοναῖς καλῶς πεσὼν A. 435. ἐν δ' ἀΐστοις τελέθοντος οὔτις ἀλκὰ A. 452. τῇδ' ἐν 'Αργείᾳ χθονὶ θανὼν μεθέξειν φιλτάτου τάφου μέρος A. 493. ἡμῖν φῶς ἐν εὐφρόνῃ φέρων A. 508. ἐν πολλῷ χρόνῳ A. 537. εὖτε πόντος ἐν μεσημβριναῖς κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσὼν A. 551. τοὺς ἀναλωθέντας ἐν ψήφῳ λέγειν A. 556. εὐφημοῦντες ἐν θεῶν ἕδραις θυηφάγον κοιμῶντες εὐώδη φλόγα A. 582. οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου A. 596. ἐν νυκτὶ δυσκύμαντα δ' ὠρώρει κακὰ A. 639. ὡς μηδ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν A. 651. γλῶσσαν ἐν τύχᾳ νέμων A. 671. ἐν βιότου προτελείοις A. 702. ἐν ἀγκάλαις A. 705. φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεάζουσαν ἐν κακοῖς βροτῶν ὕβριν A. 743. δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασιν A. 749. καινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει A. 819. ἐν χρόνῳ δ' ἀποφθίνει τὸ τάρβος ἀνθρώποισιν A. 831. ἐν ὀψικοίτοις δ' ὄμμασιν βλάβας ἔχω A. 863. ἐν δ' ὀνείρασι λεπταῖς ὑπαὶ κώνωπος ἐξεγειρόμην ῥιπαῖσι θωΰσσοντος A. 865. μὴ γυναικὸς ἐν τρόποις ἐμὲ ἅβρυνε A. 892. ἐν ποικίλοισι θνητὸν ὄντα κάλλεσιν βαίνειν A. 897. βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ A. 903. ἐν χρηστηρίοις A. 938. θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολὼν A. 943. ψῦχος ἐν δόμοις πέλει A. 945. θεὸν καλεῖ οὐδὲν προσήκοντ' ἐν γόοις παραστατεῖν A. 1049. μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενὶ A. 1054. μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακὸν A. 1073. ἐν πέπλοισι μελάγκερων λαβοῦσα μηχανήματι τύπτει (ταῦρον) A. 1097. πιτνεῖ δ' ἐν ἐνύδρῳ τεύχει A. 1099. ὀρθίοις ἐν νόμοις A. 1124. ἐγὼ δὲ θερμόνους τάχ' ἐν πέδῳ βαλῶ A. 1145. βρότειον αἷμα κῶμος ἐν δόμοις μένει A. 1162. ἐν μέρει δ' ἀπέπτυσαν εὐνὰς ἀδελφῶν A. 1165. ἐν λέχει στρωφώμενον A. 1197. Σκύλλαν τινα οἰκοῦσαν ἐν πέτραισι A. 1207. ὥσπερ ἐν μάχης τροπῇ A. 1210. οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει A. 1262. ἐν δόμοισι κωκύσουσ' ἐμὴν μοῖραν A. 1286. Διὸς νότῳ γανᾷ σπορητὸς κάλυκος ἐν λοχεύμασι A.

1365. τοσῶνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε πλήσας A. 1370. τίς ἂν μόλοι φέρουσα μοῖρ' ἐν ἡμῖν τὰν ἀτέλευτον ὕπνον; A. 1425. ἥτις ἦν τότ' ἐν δόμοις ἔρις ἐρίδματος ἀνδρὸς οἰζὺς A. 1439. κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδε A. 1471. μίμνει δὲ, μίμνοντος ἐν χρόνῳ Διὸς, παθεῖν τὸν ἔρξαντα A. 1544. ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐριννύων τὸν ἄνδρα A. 1562. τυτθὸν ὄντ' ἐν σπαργάνοις A. 1588. ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσι A. 1593. ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω A. 1594. οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα δημοῤῥιφεῖς, σάφ' ἴσθι, λευσίμους ἀρὰς A. 1598. ἀλλ' ἐγώ σ' ἐν ὑστέραισιν ἡμέραις μέτειμ' ἔτι A. 1651. γυναικείοισιν ἐν δώμασιν βαρὺς πιτνῶν C. 36. ἐν βροτοῖς C. 58. ἐν φάει C. 60. ἐν μεταιχμίῳ σκότου C. 61. χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρὸς C. 90. κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν C. 99. ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα C. 135. τά τ' ἐν χεροῖν παλίντονα ἐν ἔργῳ βέλη 'πιπάλλων Ἄρης C. 159. οἰοῖσιν ἐν χειμῶσι, ναυτίλων δίκην στροβούμεθ' C. 200. ἐν στίβοισι τοῖς ἐμοῖς ἰχνοσκοποῦσα C. 226. θανόντος ἐν πλεκταῖσι καὶ σπειράμασιν δεινῆς ἐχίδνης C. 246. βουθύτοις ἐν ἤμασι C. 259. λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὄφρυν C. 283. ἐν γένει C. 285. ἐν μέρει κλῦθι C. 329. παίων μελάθροις ἐν βασιλείοις C. 339. λιπὼν εὔκλειαν ἐν δόμοις C. 344. δαΐαις ἐν ἐκφοραῖς θάψαι C. 424. τοιαῦτ' ἀκούων ἐν φρεσὶν γράφου C. 443. οὐκ ἔσῃ ἄτιμος ἐν πυροῖσι κνισσωτοῖς χθονὸς C. 478. βουλευτοῖσιν ἐν καλύμμασι C. 487. ἐν σπαργάνοισι παιδὸς ὁρμῆσαι δίκην C. 522. ἐν τώνείρατι C. 524. ἐν γάλακτι θρόμβον αἵματος σπάσαι C. 526. ληφθῶσιν ἐν ταυτῷ βρόχῳ C. 550. ἐν θρόνοισιν εὑρήσω πατρὸς C. 565. φύλασσε τἀν οἴκῳ C. 572. ἐν λόγοις στυγεῖν τιν' C. 604. τίς ἔνδον ἐν δόμοις; C. 643. μεθιέναι ἄγκυραν ἐν δόμοισι C. 651. αἰδὼς γὰρ ἐν λεχθεῖσιν οὐκ ἐπαργέμους λόγους τίθησιν C. 654. πεύθομαι γὰρ ἐν λόγῳ C. 668. πρὸς δυσσεβείας ἦν ἐμοὶ τόδ' ἐν φρεσὶν C. 692. ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα C. 735. ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος C. 762. ζυγέντ' ἐν ἅρματι πῶλον C. 784. ἐν δρόμῳ C. 785. Περσέως ἐν φρεσὶν καρδίαν σχέθων C. 818. οἴμοι μάλ' αὖθις ἐν τρίτοις προσφθέγμασιν C. 863. ἐν ταυτῷ τάφῳ κείσῃ C. 881. ἔθιγε δ' ἐν μάχᾳ χερὸς Διὸς κόρα C. 936. ὀλέθριον πνέουσ' ἐν ἐχθροῖς κότον C. 940. ἐν θρόνοις τόθ' ἥμενοι C. 969. ὡς ἂν παρῇ μοι μάρτυς ἐν δίκῃ C. 961. ἐμοὶ ξύνοικος ἐν δόμοισι C. 999. ἐν τρίτῳ λάχει E. 4. μάντιν ἐν θρόνοις ἵζει E. 18. τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεοὺς E. 20. Παλλὰς προναία δ' ἐν λόγοις πρεσβεύεται E. 21. ἀπητιμασμένη ἄλλοισιν ἐν νεκροῖσιν E. 96. ὄνειδος ἐν φθιτοῖσιν οὐκ ἐκλείπεται E. 97. ἐν ἡμέρᾳ δὲ μοῖρ' ἀπρόσκοπος βροτῶν E. 105. ποτιτρόπαιος ὢν ἕτερον ἐν κάρᾳ μιάστορ' ἐκείνου πάσεται E. 168. χρηστηρίοις ἐν τοῖσι πλησίοισι τρίβεσθαι E. 186. ἀντάκουσον ἐν μέρει E. 189. δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει τοῦ προστροπαίου μῆνις E. 224. διδαχθεὶς ἐν κακοῖς E. 266. ἐν δὲ τῷδε πράγματι φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου E. 268. ἐν θεαῖσι E. 389. Ἀραὶ δ' ἐν οἴκοις γῆς ὑπαὶ κεκλήμεθα E. 395. ἐν τρόποις Ἰξίονος E. 419. πράξας γὰρ ἔν σοι πανταχῇ τάδ' αἰνέσω E. 447. ἐν φάει E. 496. ἐν μέσᾳ δυσπαλεῖ τε δίνᾳ E. 536. ἐγὼ δὲ μητρὸς τῆς ἐμῆς ἐν αἵματι; E. 576. μαντικοῖσιν ἐν θρόνοις εἶπον E. 586. ἐν δ' ἀτέρμονι κόπτει πεδήσασ' ἄνδρα δαιδάλῳ πέπλῳ E. 604. ἐν Ἄργει δώματ' οἰκήσει πατρὸς E. 624. ἐν σκότοισι νηδύος τεθραμμένη E. 635. ἐν δὲ καρδίᾳ ψῆφον φέροντες ὅρκον αἰδεῖσθε E. 649. ἐν δὲ τῷ σέβας ἀστῶν E. 660. ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις θεοῖς ἄτιμος εἶ σὺ E. 691. τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις E. 693. τὸ μὴ 'δικεῖν σέβοντες ἐν διαιρέσει E. 719. ἔν τε χρήμασιν οἰκεῖ πατρῴοις E. 727. ὄντες ἐν τάφοις E. 737. ἄτιμος ἐν γᾷ E. 751. βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ E. 756. ἐν ᾧ κεραυνός ἐστιν ἐσφραγισμένος E. 792. σὺ δ' ἐν τόποισι τοῖς ἐμοῖσι μὴ βάλῃς μήθ' αἱματηρὰς θηγάνας, μηδ' κ. τ. λ. E. 820. μηδ' ἐν τοῖς ἐμοῖς ἀστοῖσιν ἱδρύσῃς Ἄρη ἐμ-

φύλιον E. 824. (πόλεμος) ἐν ᾧ τις ἔσται δεινὸς εὐκλείας ἔρως E. 827. τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν E. 875. ἐν πόλει στάσις E. 933. πολλῶν γὰρ τόδ' ἐν βροτοῖς ἄκος E. 942. σωφρονοῦντες ἐν χρόνῳ E. 954. σαύρας ὑποσκίοισιν ἐν ψυκτηρίοις Fr. Jud. πέλυντρ' ἔχουσιν εὐθέτοις ἐν ἀρβύλαις Fr. Phœn. ἐν θοίνῃ παρὼν Fr. Psych. 1. 7. ἀμηχανίας πόρον εἶδες ἐν ἄλγεσι Fr. Inc. 23. 5. καὶ λαμπρὸν φάος ἄγαγες ἐν σκότῳ Fr. Inc. 23. 9. τρώματ' ἐν στέρνοις λαβὼν Fr. Inc. 25. 1. ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ Fr. Inc. 25. 4. τραχὺν πετραῖον ὄρνιν ἐν παντευχίᾳ Fr. Inc. 32. 3. ἐν διῤῥυμίᾳ πῶλοι Fr. 74. μὴ τεθυμῶσθαι θεοῖς ἐν τοῖς κακοῖσι Fr. Inc. 79. 2. ἐν λόχῳ τ' ἀπείρονι εὔξασθε Fr. Inc. 108. 2.

Ἐναγής. θεοῖς ἐναγέα τέλεα S. 116.

Ἐναγώνιος. Ἐναγώνιε Μαίας καὶ Διὸς Ἑρμᾶ Fr. Inc. 95.

Ἐναίρειν. οὕτως ἀδελφαῖς χερσὶν ἠναίροντ' ἄγαν T. 793.

Ἐναίσιμος. τὸν ἐναίσιμον τίει βίον A. 751.

Ἐναισίμως. ἐναισίμως αἰνεῖν, παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας A. 890.

Ἐνάλιος. φίλους ὑπεκσώζοιεν ἐναλίων πόρων P. 445.

Ἐνάλλεσθαι. ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς ποδοῖν ἐνήλλου παντὶ Περσικῷ γένει P. 509.

Ἐναντίος. λέγοιμ' ἂν εἰδὼς εὖ τὰ τῶν ἐναντίων T. 357. τῷ τ' ἐναντίῳ κύτει ἐλπὶς προσήει χειρὸς οὐ πληρουμένη A. 790. τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι A. 1346. οὐδὲν τόδ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων A. 1388. Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις A. 1612. τοῖς δ' ἐναντίοις λέγω φανῆναί σου, πάτερ, τιμάορον C. 140. πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις E. 746.

Ἐναντιοῦν. οὐκ ἐναντιώσομαι τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅπερ προσχρῄζετε V. 788.

Ἐναντίως. πῶς ταῦτα τούτοις οὐκ ἐναντίως λέγεις; E. 612.

Ἐναργής. ἀλλ' οὔ τι πω τοιόνδ' ἐναργὲς εἰδόμην ὡς τῆς παρούσης εὐφρόνης P. 175. ἐναργὴς βάξις ἦλθεν Ἰνάχῳ V. 666.

Ἐναργῶς. Κάδμου ἐπώνυμον πόλιν φύλαξον, κήδεσαί τ' ἐναργῶς T. 126.

Ἐναρίζειν. τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς οὐκ αὐτὸς ἠνάριζες; A. 1628.

Ἔνδαις. σπονδαὶ δ' ἐς τὸ πᾶν ἔνδαιδες οἴκων E. 996.

Ἐνδάκνειν. μαιμᾷ πέλας δίπους ὄφις, ἔχιδνα δ' ὥς με τί ποτ' ἐνδακοῦσα S. 874.

Ἐνδακρύειν. ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν; Ὥστ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο A. 527.

Ἐνδατεῖσθαι. δὶς δ' ἐν τελευτῇ τοὔνομ' ἐνδατούμενος καλεῖ T. 560. ἐνδατεῖσθαι τὰς ἑὰς εὐπαιδίας Fr. Psych. 1. 1.

Ἐνδεικνύναι. ὑπερήφανον θεοῖς τοῖς πάρος ἐνδείκνυσιν αἰχμὰν V. 404.

Ἔνδημος. δακρυογόνον Ἄρην βοάν τ' ἔνδημον ἐξοπλίζων S. 666. εἴπερ οἶδεν ἔνδημος παρὼν C. 563.

Ἐνδιδόναι. χρωτὸς ἐνδίδοντος οὐδαμῇ Fr. Thr. 3. 2.

Ἔνδικος. ὕβριν δ' ἑτοίμως στυγοῦντες πέλοιτ' ἂν ἔνδικοι γάμοις S. 76. ἰὼ γᾶ βουνῖτι, ἔνδικον σέβας S. 757. βίαια μὴ φίλοις ὁρῶν ὄμμασιν ἐνδίκοις S. 794. σπλάγχνα δ' οὔτι ματάζει πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις δίναις κυκλούμενον κέαρ A. 968. πατέρων τε καὶ τεκόντων γόος ἔνδικος ματεύει τὸ πᾶν C. 327. ἄλγησον ἧπαρ ἐνδίκοις ὀνείδεσιν E. 130. τίς γὰρ δεδοικὼς μηδὲν, ἔνδικος βροτῶν; E. 669. κευθμῶνας ἐνδίκου χθονὸς E. 772. παντὶ δόμῳ μετάκοινοι, παντὶ χρόνῳ δ' ἐπιβριθεῖς ἐνδίκοις ὁμιλίαις, πάντα τιμιώταται θεῶν E. 924. ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς Fr. Inc. 79. 1. τίν' ἂν θεῶν ἐνδικωτέροισι κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις S. 585. τίς ἄλλος μᾶλλον ἐνδικώτερος; T. 655. γῆρας γὰρ ἥβης ἐστὶν ἐνδικώτερον Fr. Inc. 12. δῆμον ἐνδικώτατον Σκυθῶν Fr. Prom. Sol. 7. 1.

Ἐνδίκως. ὀρθῶς ἐνδίκως τ' ἐπώνυμον T. 387. πλὴν τοῦδ' ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μοι V. 63. ξυλλάβοι τ' ἐνδίκως παῖς ὁ Μαίας C. 799. τόνδ' ἐγὼ μετῆλθον ἐνδίκως μόρον C. 982.

οὔ φημ' Ὀρέστην σ' ἐνδίκως ἀνδρηλατεῖν E. 212. τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας E. 670.

Ἔνδοθεν. βοᾷ μελέων ἔνδοθεν ἦτορ P. 953. αὐτοὶ δ' ὑφ' αὑτῶν ἔνδοθεν πορθούμεθα T. 176. ἔνδοθεν φοινίαν ἄταν τιθεὶς C. 822.

Ἔνδον. ἀνανδρίας ὕπο ἔνδον αἰχμάζειν P. 742. μὴ γυνὴ βουλευέτω τἄξωθεν, ἔνδον δ' οὖσα μὴ βλάβην τίθει T. 182. μὴ κεύθετ' ἔνδον καρδίας, φόβῳ τινος C. 100. ἔνδον γενοῦ, χαρᾷ δὲ μὴ 'κπλαγῇς φρένας C. 231. τίς ἔνδον; C. 643.

Ἔνδροσος. εὖτ' ἂν δὴ νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω εὐνὴν P. 676.

Ἐνδυναστεύειν. ὅμως ἐκείνοις ἐνδυναστεύσας ἐγὼ ἥκω P. 677.

Ἐνδυτός. στόλος πρεσβυτίδων φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασι E. 982.

Ἐνέζεσθαι. τόδ' ἐνεζόμενοι στέγος ἀρχαῖον P. 137.

Ἐνεῖναι. γυνὴ μονωθεῖσ' οὐδὲν, οὐκ ἔνεστ' Ἄρης S. 730. λόγος κρατεῖ σαφηνής· τοῦτό γ' οὐκ ἔνι στάσις P. 724. ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι νόσημα V. 224. οὐδὲ μάτην χαριτογλωσσεῖν ἔνι μοι V. 294. Ἄρης δ' οὐκ ἔνι χώρᾳ A. 78. οὐδ' ἔνι σταγὼν A. 862. ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾷν τινα ὁρᾷς ἐνοῦσαν ζημίαν; V. 382.

Ἕνεκα. στέλλων στρατιὰν Ἑλένης ἕνεκ' A. 774. τίνος κατέκτας ἕνεκα παῖδ' ἐμὸν βλάβης; Fr. Pal. 1.

Ἔνερθεν. γῆς ἔνερθεν ἐς φάος ἐσθλά σοι πέμπειν P. 218. τοῖς ἔνερθε γῆς φίλοις P. 225. πέμψατ' ἔνερθεν ψυχὴν ἐς φῶς P. 622. ἔνερθέ τε χθονὸς κεκρυμμέν' ἀνθρώποισιν ὠφελήματα V. 498. οἱ γῆς ἔνερθε δαίμονες C. 122. μέγας γὰρ Ἅιδης ἐστὶν εὔθυνος βροτῶν ἔνερθε χθονὸς E. 264. πέμψω τε φέγγη λαμπάδων σελασφόρων ἐς τοὺς ἔνερθε καὶ κατὰ χθονὸς τόπους E. 976.

Ἔνεροι. ἐνέρων βασιλεῦ P. 621. ἀλλά με τὰν τάλαιναν ἐξ ἐνέρων περῶν κυνηγετεῖ V. 572.

Ἐνέρτερος T. 284.

Ἐνέχειν. καὶ τότ' οὐ δικαίοις Ζεὺς ἐνέξεται λόγοις S. 160.

Ἐνζευγνύναι. τί ποτε ταῖσδ' ἐνέζευξας εὑρὼν ἁμαρτοῦσαν ἐν πημοναῖσι; V. 579.

Ἐνηλύσια Fr. Arg. 2.

Ἔνθα. ἔνθα—ἁλὸς ἀντήσαντες, ὄλοιντο S. 33. ἔνθα δὴ πλεῖσται θάνον P. 483. μίμνουσι δ' ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς ἄρδει P. 791. ἔνθα ποταμὸς ἐκφυσᾷ μένος V. 722. ἔνθ' Ἀμαζόνων στρατὸν ἥξεις V. 725. ναίουσιν, ἔνθα ποταμὸς Αἰθίοψ V. 811. ἔνθα Βυβλίνων ὀρῶν ἄπο ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος V. 813. ἔνθα σ' ἔχουσιν εὐναὶ C. 316. ἔνθα Κωρυκὶς πέτρα κοίλη E. 22. ἔνθα συμβολὰς τριῶν κελεύθων Ποτνιάδων ἠμείβομεν Fr. Œd. ἔνθ' οὐ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὤν, μέμψῃ Fr. Prom. Sol. 6. 2. ἔνθα Νεῖλος ἑπτάρους Fr. Inc. 12. 2.

Ἐνθάδε. οὔτοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε S. 870. οἱ δ' ἐνθάδ' οὐδὲν (δαίμονες) S. 902. ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ A. 850. κατ' ἄκρας ἐνθάδ' ὡς πορθούμεθα C. 681. καὶ νῦν ὅδ' ἐνθάδ' ἐστί που E. 243.

Ἔνθεν. λειμῶν' ἔνθεν Ἰὼ οἴστρῳ ἐρεσσομένα φεύγει S. 535. ἔνθεν πᾶσα βοᾷ χθὼν S. 578. ἔνθεν ἀεξόμενον ζώφυτον αἷμα βροτοῖσι θάλλει S. 836. ἔνθεν ἐκραγήσονταί ποτε ποταμοὶ πυρὸς V. 367. τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω A. 238. ἔνθεν διώκουσ' ἦλθον ἄτρυτον πόδα E. 381. Ἄρει δ' ἔθυον, ἔνθεν ἔστ' ἐπώνυμος πέτρα E. 659.

Ἐνθένδε. πρῶτον μὲν ἐνθένδ' ἡλίου πρὸς ἀντολὰς στρέψασα σαυτὴν, στεῖχ' ἀνηρότους γύας V. 709.

Ἔνθεος. ἔνθεος δ' Ἄρει βακχᾷ πρὸς ἀλκὰν T. 479. τέχναισιν ἐνθέοις ᾑρημένη A. 1182. τέχνης δέ νιν Ζεὺς ἔνθεον κτίσας φρένα ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις E. 17.

Ἔνθηρος. δρόσοι κατεψέκαζον, ἔμπεδον σῖνος ἐσθημάτων τιθέντες ἔνθηρον τρίχα A. 548.

Ἐνθουσιᾷν. ἐνθουσιᾷ δὲ δῶμα, βακχεύει στέγη Fr. Lyc. 5.

Ἐνθυμοῦσθαι. τὰ μὲν γὰρ οἶδα κάρτα σ' ἐνθυμουμένην E. 213.

Ἐνιέναι. οὐ γὰρ δράκων ἐνῆκεν, ἀλλ' ἐνῴκισε δεινήν γε στόματος ἔκφυσιν ποδὸς λαβὼν Fr. Philoct. 7.

Ἐνίπτειν. καὶ τίς μ' ἐνίπτων εἶπε,

φρυκτώρων διὰ πεισθεῖσα, Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς A. 576.

'Εννέπειν. φρονοῦντως πρὸς φρονοῦντας ἐννέπεις S. 201. τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω A. 239. ὡς τοὔνειρον ἐννέπει τόδε C. 543. δόμοισι καὶ σώμασι πεπλαγμένους ἐννέπω T. 878. ὡς ἂν εἰδὼς ἐννέπω σαφέστερον S. 908. ὥστ' ἐπεικάζειν τινα δόμοις παραστείχοντα, καὶ τάδ' ἐννέπειν C. 561. πολὺ δ' ἔστενον τόδ' ἐννέποντες δόμων προφῆται A. 397.

'Εννοεῖν. εἰ σὺ μὴ τόδ' ἐννοεῖς, ἐγὼ λέγω σοι, καὶ τάδ' οὐκ ἐρεῖς ψύθη A. 1058.

"Εννομος (incola). βροτοί θ' οἱ γᾶς τότ' ἦσαν ἔννομοι S. 560.

"Εννομος. δίκας οὐ τυγχάνουσιν ἐννόμου S. 379. ἄδικα μὲν κακοῖς, ὅσια δ' ἐννόμοις S. 399. οὕτω γὰρ ἄν σοι δαῖτες ἔννομοι βροτῶν κτιζοίατ' C. 476.

"Εννους. νηπίους ὄντας τὸ πρὶν ἔννους ἔθηκα V. 441.

"Εννυχος. ὄψεις ἔννυχοι V. 648.

'Ενόδιος. ἐνοδίους τε συμβόλους διώρισ' V. 485.

'Ενοικίζειν. οὐ γὰρ δράκων ἐνῆκεν, ἀλλ' ἐνῴκισεν δεινήν γε στόματος ἔκφυσιν ποδὸς λαβὼν Fr. Philoct. 7.

'Ενοίκιος. ἐνοικίου δ' ὄρνιθος οὐ λέγω μάχην E. 828.

"Ενοικος. εὐχόμεθ' εἶναι γᾶς ἀπὸ τᾶσδ' ἔνοικοι S. 532. μήτ' ἐνοίκων μήτ' ἐπηλύδων τινα ἄγειν S. 606. Κολχίδος τε γᾶς ἔνοικοι παρθένοι V. 413.

'Ενταῦθα. ἐνταῦθα πέμπει τούσδε P. 442. ἐνταῦθα νῦν ὕβριζε V. 82. ἐνταῦθ' ἐγὼ τὰ λῷστα βουλεύων, πιθεῖν οὐκ ἠδυνήθην V. 204. ὀδύρεσθαι τύχας ἐνταῦθ' ὅπη μέλλει τις οἴσεσθαι δάκρυ V. 641. ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα V. 850. ἐνταῦθα γὰρ δὴ τοὐδ' ἀφικόμην κακοῦ C. 878. πέπρωται γάρ σε καὶ βέλη λιπεῖν ἐνταῦθα Fr. Prom. Sol. 64.

'Εντείνειν. τόξον ὥς τις ἐντείνων Fr. Thr.

'Εντελὴς C. 248.

'Εντέμνειν. ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος, κλαίω A. 17.

"Εντερα. σὺν ἐντέροισι σπλάγχνα A. 1194.

'Εντεῦθεν. ἐντεῦθεν ἡμᾶς γῆς 'Αχαΐδος πέδον ἐδέξατ' P. 480. τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις λέξω T. 440. ἐντεῦθεν οἰστρήσασα τὴν παρακτίαν ἥξεις κέλευθον V. 838. τἀντεῦθεν ἤδη τῷνδε δεσπότῃ δόμων αὐτῷ μελέσθω E. 60.

"Εντη. χεροῖν ἔντη δίφρου διασπαράττει P. 190.

'Εντιθέναι. κἀμοῦ μισθὸν ἐνθήσειν κότῳ ἐπεύχεται A. 1234. πόλει πρόστριμμ' ἄφερτον ἐνθεὶς A. 384.

'Εντολή. σφῷν μὲν ἐντολὴ Διὸς ἔχει τέλος δή, κοὐδὲν ἐμποδὼν ἔτι V. 12.

'Εντός. ἐντὸς δὲ καρδία στένει T. 952. νεαρὸς μυελὸς στέρνων ἐντὸς ἀνάσσων A. 77. ἐντὸς οὖσα μορσίμων ἀγρευμάτων A. 1018. πρὸς μὲν οἰκέτας θέτο σκυθρωπὸν ἐντὸς ὀμμάτων γέλων C. 727. πῶς γάρ σ' ἔθρεψεν ἐντὸς, ὦ μιαίφονε; E. 577.

"Ενυδρος. πιτνεῖ δ' ἐν ἐνύδρῳ τεύχει A. 1098.

'Ενύπνιον. ἐνυπνίων κριτὴς P. 222. ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐνυπνίων P. 516.

'Ενύπνιος. ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων ὄψεις T. 692.

"Ενυπνος. ἔνυπνον φάντασμα Fr. Inc. 419.

'Ενυώ. "Αρην, 'Ενυὼ, καὶ φιλαίματον Φόβον ὡρκωμότησαν T. 45.

'Ενώπιον. ἐπιδέτω Διὸς κόρα, ἔχουσα σέμν' ἐνώπι' ἀσφαλὲς S. 138.

'Ενώτιον. ἀμφωτίδες τοι τοῖς ἐνωτίοις πέλας Fr. Cerc. 1.

"Εξ. ἐπ' ἄνδρας ἕξ, ἐμοὶ σὺν ἑβδόμῳ μολὼν T. 264. καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασι T. 780. τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας A. 33.

'Εξ. Vide 'Εκ.

'Εξάγειν. ναυβάτην φορτηγὸν, ὅστις ῥῶπον ἐξάγει χθονὸς Fr. Phr. 1. 2.

'Εξαγίζειν. πολλοὺς δὲ πολλῶν ἐξαγισθέντας δόμων ἄνδρας διπλῇ μάστιγι, τὴν "Αρης φιλεῖ A. 627.

'Εξαϊστοῦν. ὃς πᾶν ἐξαϊστώσει γένος V. 672.

'Εξαιρεῖν. εἴ τις τάσδε μὴ 'ξαιρήσεται S. 902. ἐξελοῦσ' ὡς καρδίαν ἀλεκτόρων E. 823.

'Εξαίρετας. πολλῶν χρημάτων ἐξαίρετον ἄνθος A. 928. ἐξαίρετον δώρημα Θησέως τόκοις E. 380.

Ἐξαιτεῖν. ἡμᾶς γε μὲν δή, ναῦν τ', ἀκήρατον σκάφος, ἤ τοί τις ἐξέκλεψεν ἢ 'ξῃτήσατο θεός τις A. 648.
Ἐξαίφνης V. 1080.
Ἐξακούειν. πρόσωθεν ἐξήκουσα κληδόνος βοὴν E. 375.
Ἐξαλείφειν. μὴ 'ξαλείψῃς σπέρμα Πελοπιδῶν τόδε C. 496. τιμὰς μὴ 'ξαλειφθῆναί ποτε T. 15.
Ἐξαλύσκειν. ὁ δ' ἐξαλύξας οἴχεται νεβροῦ δίκην E. 111.
Ἐξαμᾷν. ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος P. 708. ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον θέρος A. 1640.
Ἐξαμαρτάνειν. σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν V. 1041. τὸν ἐξαμαρτόντ' εἰς θεοὺς ἐφημέροις πορόντα τιμὰς V. 947.
Ἐξαμβρῦσαι. γαίας ἐξαμβρόσαι φαιδρὸν ἁλίου σέλας E. 885.
Ἐξαμείβειν. τοιάδ' ὠφελημένος κακαῖσι ποιναῖς ταῖσδέ μ' ἐξημείψατο V. 223.
Ἐξαμέλγειν. μαστὸν, πρὸς ᾧ σὺ πολλὰ δὴ βρίζων ἅμα οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα C. 885.
Ἐξαμύνεσθαι. ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους V. 482.
Ἐξαναζεῖν. τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον V. 370.
Ἐξαναλίσκειν. Διὸς οὔπω θέλοντος ἐξαναλῶσαι γένος A. 664.
Ἐξαναστρέφειν. δαιμόνων θ' ἱδρύματα πρόῤῥιζα φύρδην ἐξανάστραπται βάθρων P. 798.
Ἐξανθεῖν. Ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν Ἄτης P. 807.
Ἐξανιστάναι. ἢ πρὸς δάμαρτος ἐξανίσταται θρόνων; V. 769.
Ἐξαπολλύναι. τὸν αἴτιον ἐξαπολλὺς μόρου C. 824. σπέρμα πάσης ἐξαπόλλυται χθονὸς A. 514.
Ἐξαποφθείρειν. ἕως ἁπάντων ἐξαπέφθειραν βίον P. 456.
Ἐξαρτᾷν. ἐκηβόλοις τόξοισιν ἐξηρτημένοι V. 713.
Ἐξαρτύεσθαι. οἷον ἐξαρτύεται γάμον γαμεῖν V. 911.
Ἐξαρκής. πλοῦτος ἐξαρκὴς δόμοις P. 233.
Ἐξαυδᾶσθαι. ὑμᾶς δὲ κωκύτοις ἐπανθίζειν νόμος, παιᾶνα τοῦ θανόντος ἐξαυδωμένας C. 149. δυσχειμέρους ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος C. 270.
Ἐξαυστήρ Fr. Inc. 133.
Ἐξαφρίζεσθαι. πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος A. 1037.
Ἐξεγείρειν. ἆρ' ἐξεγείρῃ τοῖσδ' ὀνείδεσιν, πάτερ; C. 488. ἐν δ' ὀνείρασιν λεπταῖς ὑπαὶ κώνωπος ἐξεγειρόμην ῥιπαῖσι θωΰσσοντος A. 866.
Ἐξεικάζειν. κεραυνὸν οὐδὲν ἐξεικασμένον μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου T. 427. καὶ φόβος μ' ἔχει κλύοντ' ἀληθῶς οὐδὲν ἐξεικασμένα A. 1217.
Ἐξεῖπειν. εἴπερ τις, εἰδώς γ' εὖ τόδ' ἐξεῖπον τέλος A. 908.
Ἐξελαύνειν. ἐξήλασέν με κἀπέκλεισε δωμάτων ἄκουσαν ἄκων V. 673.
Ἐξελέγχειν. ἀλλ' ἐξέλεγχε, κρῖνε δ' εὐθεῖαν δίκην E. 411.
Ἐξεπίστασθαι. εἰδὼς λέγοιμ' ἂν, εὖ γὰρ ἐξεπίσταμαι A. 812.
Ἐξεργάζεσθαι. ἐπίσταμαι μὲν ὡς ἐπ' ἐξεργασμένοις P. 517. τοίγαρ σφιν ἔργον ἐστὶν ἐξειργασμένον μέγιστον P. 745. ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις A. 1352.
Ἐξέρχεσθαι. ἰσόψηφος δίκη ἐξῆλθε E. 762. ἔξελθε πρὸς Λέρνης βαθὺν λειμῶνα V. 655. ἐξελθέτω τις δωμάτων τελεσφόρος γυνὴ τόπαρχος C. 652.
Ἐξέσθειν. νόσους σαρκῶν ἐπεμβατῆρας ἀγρίαις γνάθοις λιχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν C. 279.
Ἔξεστι. ἔξεστι γάρ σοι τῇδέ γ' εὐμοίρου χθονὸς εἶναι δικαίως ἐς τὸ πᾶν τιμωμένῃ E. 850. ἔξεστι γάρ μοι μὴ λέγειν ἃ μὴ τελῶ E. 859. τί παρθενεύῃ δαρὸν, ἐξόν σοι γάμου τυχεῖν μεγίστου V. 652.
Ἐξευλαβεῖσθαι. ἵν' εὐλαβοῦ βρόμον καταιγίζοντα Fr. Prom. Sol. 181. 3.
Ἐξεύρημα. τοιαῦτ' ἐκείνων ἐστὶ τἀξευρήματα T. 631.
Ἐξευρίσκειν. τοιόνδ' ὁ νέος ταγὸς μακάρων ἐξεῦρ' ἐπ' ἐμοὶ δεσμὸν ἀεικῆ V. 96. ἀριθμὸν ἔξοχον σοφισμάτων ἐξεῦρον αὐτοῖς V. 458. τίς φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ; V. 501. τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας βροτοῖσιν, αὐτὸς οὐκ ἔχω σόφισμα V. 467.
Ἐξεύχεσθαι. Ἀργεῖαι γένος ἐξευχό-

μέσθα S. 272. Πάρις γὰρ οὔτε συντελὴς πόλις ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον A. 519. γένος τ' ἂν ἐξεύχοιο καὶ λέγοις πρόσω S. 269. ἐς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι C. 213.

Ἔξηβος. τὸν ἔξηβον χρόνῳ T. 11.

Ἐξηγεῖσθαι. τἄλλα δ' ἐξηγοῦ φίλοις C. 545. ἐξηγοῦ δέ μοι, Ἄπολλον, εἴ σφε σὺν δίκῃ κατέκτανον E. 579. τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι V. 214. ὧν δέδωκ' εὔνοιαν ἐξηγούμενος V. 444. μαθεῖν γὰρ τῆσδε πρῶτ' ἐχρῄζετε τὸν ἀμφ' ἑαυτῆς ἆθλον ἐξηγουμένης V. 704. τί φῶ; δίδασκ' ἄπειρον ἐξηγουμένη C. 116. ὁ μάντις ἐξηγεῖτό σοι μητροκτονεῖν E. 565.

Ἑξῆς. ἑξῆς δ' ὀπάζει δόχμιον, ἄλλοθ' ὕστερον Fr. Inc. 4. 3.

Ἐξικνεῖσθαι. ὄρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον φάος A. 293. ἔστ' ἂν ἐξίκῃ πρὸς Γοργόνεια πεδία Κισθήνης V. 794. ἕως ἂν ἐξίκῃ καταβαθμὸν V. 812. καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος; A. 271. ὄμμα γὰρ πάσης χθονὸς Θησῇδος ἐξίκοιτ' ἂν E. 980.

Ἐξιχνεύειν. πάρεστι τοῦτό γ' ἐξιχνεῦσαι A. 359.

Ἐξιστορεῖν. θέλων ἐξιστορῆσαι μοῖραν, ἐν χρείᾳ τύχης T. 488. ἐξιστορήσας καὶ σαφηνίσας ὁδὸν C. 667.

Ἔξοδος. ἄνδρας ἐκκρίτους πόλεως πυλῶν ἐπ' ἐξόδοισι ταγεῦσαι T. 58. ἐς ἑπτατειχεῖς ἐξόδους μολὼν T. 266.

Ἐξοκέλλειν. ὡς μήτ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν, μήτ' ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα A. 652. δεῦρο δ' ἐξοκέλλεται S. 433.

Ἐξομματοῦν. καὶ φλογωπὰ σήματα ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα V. 497.

Ἐξόπιν. ἐξόπιν ἀργίας φανέντες ἴκταρ μελάθρων A. 114.

Ἐξοπλίζειν. βίαν οὔτιν' ἐξοπλίζει S. 92. πρὶν ἐξοπλίζειν Ἄρη S. 683. δακρυογόνον Ἄρην βοάν τ' ἔνδημον ἐξοπλίζων S. 666.

Ἐξορθιάζειν. ἐξορθιάζων πολλὰ C. 269.

Ἐξαρίνειν. σὺ δ' ἐξορίνας ἠπίοις ὑλάγμασιν ἄξῃ A. 1614.

Ἐξορμᾶν. καὶ πολύχρυσοι Σάρδεις ἐπόχους πολλοῖς ἅρμασιν ἐξορμῶσιν P. 46. λαβοῦσα πτηνὸν ἀργηστὴν ὄφιν χρυσηλάτου θώμιγγος ἐξορμώμενον E. 173.

Ἐξοτρύνειν. ὠμοδακής σ' ἄγαν ἵμερος ἐξοτρύνει πικρόκαρπον ἀνδροκτασίαν τελεῖν αἵματος οὐ θεμιστοῦ T. 675.

Ἔξοχος. ἀριθμὸν ἔξοχον σοφισμάτων ἐξεῦρον αὐτοῖς V. 457. δεσμός τε καὶ τὸ γῆρας αἵ τε νήστιδες δύαι διδάσκειν ἐξοχώταται φρενῶν ἰατρομάντεις A. 1605.

Ἐξυπτιάζειν. ἐξυπτιάζων ὄνομα Πολυνείκους βίαν T. 559.

Ἔξω. τοῖς ἔξω πύργων ἀνδρολέτειραν καὶ τὰν ῥίψοπλον ἄταν ἐμβαλόντες T. 295. Πολυνείκους νεκρὸν ἔξω βαλεῖν ἄθαπτον T. 1005. ἐλαφρὸν, ὅστις πημάτων ἔξω πόδα ἔχει, παραινεῖν V. 263. ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμὲ V. 668. ἔξω δὲ δρόμου φέρομαι V. 885. δύσπεμπτος ἔξω A. 1163. πυθέσθαι δ' οὐδέν ἐστ' ἔξω δρόμου C. 507. ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα C. 686. ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος χωρεῖτε E. 170. μὴ τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν E. 668. ὥσπερ ξὺν ἵπποις ἡνιοστρόφου δρόμου ἐξωτέρω C. 1019.

Ἔξωθεν. μέλει γὰρ ἀνδρὶ, μὴ γυνὴ βουλευέτω, τἄξωθεν T. 183. ἔξωθεν εἴσω τῷ φέροντι μέμψεται T. 542.

Ἐξώλης. ἐξῶλές ἐστι μάργον Αἰγύπτου γένος S. 722.

Ἐξωριάζειν. ἐξωριάζειν γὰρ πατρὸς λόγους βαρὺ V. 17.

Ἑορτή. οἵας ἑορτῆς ἔστ' ἀπόπτυστοι θεοῖς E. 182.

Ἑός. ἐνδατεῖσθαι τὰς ἑὰς εὐπαιδίας Fr. Inc. 264.

Ἐπαγγέλλειν. τοῖς θεοῖς τελεσφόρους εὐχὰς ἐπαγγέλλουσα C. 211.

Ἐπάγειν. ἐπάγει δουρικλύτοις ἀνδράσι τοξοδάμνον Ἄρην P. 85. ποῖ δ' ἔτι τέλος ἐπάγει θεός; T. 142. βοᾷ γὰρ λοιγὸν Ἐρινὺς παρὰ τῶν φθιμένων προτέρων ἄτην ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ C. 398. ἐμοὶ δ' ἐπήγαγεν εὐνῆς παροψώνημα τῆς ἐμῆς χλιδῆς A. 1420.

Ἐπαγωγός. μανίας ἐπαγωγὸν ὁμοκλὰν Fr. Ed.

Ἐπαγώνιος. νῦν δ' αὖτε σωτὴρ ἴσθι κἀπαγώνιος ἄναξ Ἄπολλον A. 498.

Ἐπαιδεῖσθαι. σέβας δὲ μηρῶν ἁγνὸν οὐκ ἐπῃδέσω Fr. Myrm. 6. 1.

Ἐπαείδειν. τόδ' ἐπὶ γᾶν πεσόνθ' ἅπαξ θανάσιμον προπάροιθ' ἀνδρὸς μέλαν αἷμα τίς ἂν πάλιν ἀγκαλέσαιτ' ἐπαείδων; A. 992.

Ἐπαΐειν. θεῶν οὐδὲν ἐπαΐοντες S. 740.

Ἐπαινεῖν. ὑμᾶς δ' ἐπαινῶ μὴ καταισχύνειν ἐμὲ S. 974. τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας πέμπειν ἐπαινῶ T. 578. πόλις ἄλλως ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια T. 1063. τὰ μέν σ' ἐπαινῶ, κοὐδαμοῦ λήξω ποτε V. 340. ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν C. 574. ἐς αἰεὶ τόνδ' ἐπαινέσεις λόγον E. 800.

Ἐπαισθάνεσθαι. τί δ' ἐπαισθομένη, τίνος ἀγγελίας πειθοῖ περίπεμπτα θυοσκινεῖς; A. 85.

Ἐπαισχύνεσθαι. τἀναντί' εἰπεῖν οὐκ ἐπαισχυνθήσομαι A. 1346.

Ἐπαιτιᾶσθαι. ἦ κἀμὲ γάρ τι συμφοραῖς ἐπαιτιᾷ; V. 976.

Ἐπαίτιος. καὶ τῶνδε κοινῇ Λοξίας ἐπαίτιος E. 443. εἰ μή τι τῶνδ' ἔρξαιμι τοὺς ἐπαιτίους E. 445.

Ἐπακούειν. νῦν ἐπάκουσον, νῦν ἐπάρηξον C. 714.

Ἐπακρίζειν. ἐπεὶ δὲ πολλῶν αἱμάτων ἐπήκρισε τλήμων Ὀρέστης C. 920.

Ἐπακτός. στράτευμ' ἐπακτὸν ἐμβεβληκότα T. 565. στράτευμ' ἐπακτὸν ἐμβαλών, ᾕρει πόλιν T. 1010.

Ἐπαλαλάζειν. αὐτὸς δ' ἐπηλάλαξεν, ἔνθεος δ' Ἄρει βακχᾷ πρὸς ἀλκὰν T. 479. τελευτᾷ δ' αἵδ' ἐπηλάλαξαν ἀραὶ τὸν ὀξὺν νόμον T. 934.

Ἔπαλξις. οὐ γάρ ἐστιν ἔπαλξις Πλούτου πρὸς χάριν ἀνδρὶ λακτίσαντι μέγαν δίκας βωμὸν A. 371. ἀλλ' ἔς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων ὁρμᾶσθε T. 30. ἀκροβόλων δ' ἐπαλξέων λιθὰς ἔρχεται T. 143.

Ἐπαμβατήρ. νόσους σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις λίχηνας ἐξέσθοντας C. 278.

Ἐπαμμένειν. οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν P. 793. τέκμηρον, ὅ τι μ' ἐπαμμένει παθεῖν V. 608.

Ἐπαναδιπλάζειν. τῶν δ' εἴ τί σοι ψελλόν τε καὶ δυσεύρετον, ἐπαναδίπλαζε V. 818.

Ἐπανέρεσθαι. τάδε σ' ἐπανερόμαν P. 934.

Ἐπανθίζειν. ἰὼ πολλοῖς ἐπανθίσαντες πόνοισί γε δόμους T. 932.

Ἐπαντέλλειν. λευκὰς δὲ κόρσας τῇδ' ἐπαντέλλειν νόσῳ C. 280.

Ἐπάξιος. οἶμαί σφ' ἐρατῶν ἐκ βαθυκόλπων στηθέων ἥσειν ἄλγος ἐπάξιον T. 846. ὁρῶ κυροῦντα τόνδε τῶν ἐπαξίων V. 70. κακῶν ἐπαξίαν δοῦναι δόσιν C. 93. ὄψει δέ, κεἴ τις ἄλλος ἤλιτεν βροτῶν, ἔχονθ' ἕκαστον τῆς δίκης ἐπάξια E. 262.

Ἐπαοιδή. οὔτι με πειθοῦς μελιγλώσσοις ἐπαοιδαῖσιν θέλξει V. 173.

Ἐπάργεμος. φλογωπὰ σήματα ἐξωμμάτωσα, πρόσθεν ὄντ' ἐπάργεμα V. 497. νῦν γὰρ ἐξ αἰνιγμάτων ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ A. 1084. αἰδὼς γὰρ ἐν λεχθεῖσιν οὐκ ἐπαργέμους λόγους τίθησιν C. 652.

Ἐπαρκεῖν. τίς ἄρα ῥύσεται; τίς ἄρ' ἐπαρκέσει θεῶν ἢ θεᾶν; T. 91. οὐδὲν γὰρ αὐτῷ τοῦτ' ἐπαρκέσει τὸ μὴ οὐ πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετὰ V. 920. ἄκος δ' οὐδὲν ἐπήρκεσαν A. 1143.

Ἔπαρχος. νεῶν τ' ἔπαρχος, Ἰλίου τ' ἀναστάτης A. 1200.

Ἐπάσω Fr. Prot. 2.

Ἐπασσυτεροτριβής. ἀπριγκτόπληκτα πολυπλάνητα δ' ἦν ἰδεῖν, ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα ἄνωθεν ἀνέκαθεν C. 420.

Ἔπαυλον. οἷαι Στρυμονίου πελάγους Ἀχελωΐδες εἰσὶ πάροικοι Θρηϊκίων ἐπαύλων P. 851.

Ἐπαφᾶν. ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα, ἐπαφῶν ἀταρβεῖ χειρί, καὶ θιγὼν μόνον V. 851.

Ἐπαφή. τῆς οἰστροδόνου βοὸς ἐξ ἐπαφῆς S. 17.

Ἔπαφος. Ἔπαφόν τ' ἐγέννασε S. 47. Ἔπαφος ἀληθῶς ῥυσίων ἐπώνυμος S. 310. καὶ τόδ' ἂν γένος λέγων ἐξ Ἐπάφου, κυρήσαις S. 584. ἐπώνυμον δὲ τῶν Διὸς γεννημάτων τέξεις κελαινὸν Ἔπαφον V. 853.

Ἐπεγχεῖν. τὸ γὰρ ἐμὸν θροῶ πάθος ἐπεγχέασα A. 1108.

Ἐπεί. ἐπεὶ τελεία ψῆφος Ἀργείων, τέκνα, θάρσει S. 720. ἕλξειν ἔοιχ' ὑμᾶς ἀποσπάσας βίᾳ, ἐπεὶ οὐκ ἀκούεις ὀξὺ τῶν ἐμῶν λόγων S. 884. ἐπεὶ σωτῆρες οὐ διχοῤῥόπως S. 960. ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο P. 369. ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο στρατὸς P. 491. ἐπεὶ δέος πα-

λαιὸν σῶν φρενῶν ἀνθίσταται P. 689. ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεὺς T. 671. ἐπεὶ δ' ἀρτίφρων ἐγένετο μέλεος ἀθλίων γάμων T. 760. ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου V. 199. ἐπεὶ προθυμῇ, χρὴ λέγειν· ἄκουε δὴ V. 633. δέκατον μὲν ἔτος ἐπεὶ κ. τ. λ. A. 40. ἐπεὶ δὲ καὶ πικροῦ χείματος ἄλλο μῆχαρ βριθύτερον πόμοισι μάντις ἔκλαγξεν A. 191. ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον A. 211. προσεννέπειν θέλουσ' ἐπεὶ πολλάκις πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους ἔμελψεν A. 234. τὸ δὲ προκλύειν ἐπεὶ γένοιτ' ἂν ἤλυσις, προχαιρέτω A. 243. κακῶν δ' ἕκατι κἀγένοντ' ἐπεὶ κακὸν σκότον νέμονται E. 71. ἐπεὶ δ' ἐπίστα, καὶ τὸ μὴ 'μελεῖν μάθε E. 86.

Ἐπείγεσθαι. οὔκουν ἐπείξῃ δεσμὰ τῷδε περιβαλεῖν V. 52. τάχυνε δ', ὡς καὶ νυκτὸς ἅρμ' ἐπείγεται σκοτεινὸν C. 649.

Ἐπειδὰν E. 617.

Ἐπείδειν. μάχιμα δ' ἔπιδε, πάτερ S. 792. ἔπιδ', ἔπιδε πόλιν T. 102. Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως στόλον ἡμέτερον S. 1. θέλουσα δ' αὖ θέλουσαν ἁγνά μ' ἐπιδέτω Διὸς κόρα S. 137. ἐπίδοι τ' Ἄρτεμις ἁγνὰ στόλον οἰκτιζομένα S. 1011. μήτ' ἐπίδοιμι τάνδ' ἀστυδραμουμένην πόλιν T. 203. ὡς δ' ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει μαινομένᾳ φρενὶ, τώς νιν Ζεὺς νεμέτωρ ἐπίδοι κοταίνων T. 467. ἰὼ γᾶ, γᾶ, εἴθ' ἔμ' ἐδέξω, πρὶν τόνδ' ἐπιδεῖν ἀργυροτοίχου δροίτας κατέχοντα χαμεννὰν A. 1520. τὸ πρὸς γυναικῶν ἐπιδὼν S. 526. Δῖον ἐπιδόμενοι πράκτορά τε σκοπὸν δυσπολέμητον S. 636.

Ἐπειδή. ὅμως δ' ἐπειδὴ τῇδ' ἐκύρωσεν φάτις ὑμῶν P. 513. ἐπειδὴ κτάνωσιν αὐτοὶ T. 715. ὃς οὐκ, ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον, δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως A. 1617. τά δ' ἄλλ', ἐπειδὴ δρᾷν κατώρθωσαι φρενὶ, ἔρδοις ἂν ἤδη C. 505. ἐπειδὴ δαιμονᾷ δόμος κακοῖς C. 559. ἐπειδὴ πιτνεῖ δόμος δίκας E. 491.

Ἐπεικάζειν. μενοῦμεν οὕτως, ὥστ' ἐπεικάζειν τινα δόμοις παραστείχοντα C. 560. καὶ τἄλλα πόλλ' ἐπεικάσαι δίκαιον ἦν S. 241. ὡς ἐπεικάσαι πάθη πάρεστιν C. 970. ἦ πατρὶ τῷ 'μῷ τάσδ' ἐπεικάσας κυρῶ χοὰς φερούσας νερτέροις μειλίγμασιν; C. 14.

Ἐπείκειν. πάρεστι γὰρ ὁποῖάπερ δόμοισι τοῖσδ' ἐπεικότα C. 658.

Ἐπεῖναι. τίς δε ποιμάνωρ ἔπεστι κἀπιδεσπόζει στρατοῦ; P. 237. Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν φρονημάτων ἔπεστι P. 814. τί ποτε Δαρεῖος μὲν οὕτω τότ' ἀβλαβὴς ἐπῆν τόξαρχος πολιήταις; P. 547. σῆμα δ' οὐκ ἐπῆν κύκλῳ T. 573. πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στύγος στράτῳ; A. 533.

Ἐπειπεῖν. πᾶς τις ἐπειπεῖν ψόγον ἀλλοθρόοις εὔτυκος S. 950.

Ἐπείπερ. ἐπείπερ καὶ πάγας ὑπερκότους ἐπραξάμεσθα A. 796. νίκη δ' ἐπείπερ ἕσπετ' ἐμπέδως μένοι A. 827. ἐπείπερ ἄλλως, ὦ ξέν', εἰς Ἄργος κίεις C. 669.

Ἐπεισφέρειν. τέκνον δ' ἐπεισφέρει δώμασιν C. 638. ἐπεισφέρειν κακοῦ κάκιον ἄλλο πῆμα A. 838.

Ἔπειτα. κυσὶν δ' ἔπειθ' ἕλωρα κἀπιχωρίοις ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν S. 781. ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα ἥξω λαβοῦσα P. 515. κἀμῶν ἀκούσασ' εὐγμάτων ἔπειτα σὺ ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον T. 249. ὃς ἔπειτ' ἔφυ τριαίνας οἴχεται τυχὼν A. 165. εἶτ'—ἔπειτα A. 301. τίς ὧδε παιδνὸς, ἢ φρενῶν κεκομμένος φλογὸς παραγγέλμασιν νέοις πυρωθέντα καρδίαν, ἔπειτ' ἀλλαγᾷ λόγου καμεῖν A. 469. ἔπειτα δ' Ἅιδην πόντιον πεφευγότες ἐβουκολοῦμεν φροντίσιν νέον πάθος A. 653. ἔπειτ' ἐγὼ νοσφίσας ὀλοίμαν C. 432. πέμπει τ' ἔπειτα τάσδε κηδείους χοὰς C. 531. ἢ καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα ἐρεῖ C. 566. ἔπειτα μάντις εἰς θρόνους καθιζάνω E. 29. ἔπειθ' ὑπέστης αἵματος δέκτωρ νέου E. 195. λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς τὰς σὰς, ἔπειτα τόνδ' ἀμυνάθου ψόγον E. 416. καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεὰ, καὶ τοὺς ἔπειτα E. 642.

Ἐπέκεινος. Πίνδου τε τἀπέκεινα S. 254.

Ἐπεκχωρεῖν. ὁ πᾶς στόλος ἐπεξεχώρει P. 393.

Ἐπέλπεσθαι. οὐδὲν ἐπελπομένα ποτε καίριον ἐπιτολοπεύσειν A. 1003.

Ἐπεμβαίνειν. πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς χθονὶ T. 616.

Ἐπενδιδόναι. παίω δέ νιν δὶς—καὶ πεπτωκότι τρίτην ἐπενδίδωμι A. 1359.

Ἐπενθορεῖν. σέλμασι ναῶν ἐπενθορόντες P. 351.

Ἐπεξέρχεσθαι. μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς V. 872.

Ἐπεξιακχάζειν. ἁλώσιμον παιᾶν' ἐπεξιακχάσας T. 617.

Ἐπέρχεσθαι. κακῶν δὲ πλῆθος, ποταμὸς ὥς, ἐπέρχεται S. 464. ὅτ' ἐπέρχεται τυφῶ μένος ὕδωρ τὸ Νείλου νόσοις ἄθικτον S. 554. παπαῖ, οἷον τό πῦρ· ἐπέρχεται δέ μοι A. 1229. αἶ αἶ, τὸ πάρον τό τ' ἐπερχόμενον πῆμα στενάχω V. 98. μηδέ τις ἀνδροκμὴς λοιγὸς ἐπελθέτω S. 663. ὅταν κλύδων κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ P. 592.

Ἕπεσθαι. ἁβροδιαίτων δ' ἕπεται Λυδῶν ὄχλος P. 41. τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης Ἀσίας ἕπεται P. 56. φθογγῇ δ' ἑπέσθω, πρῶτα μὲν τὸ μὴ θρασὺ S. 194. ἕπου, πρὸς αὐτὸν τόνδε σε σφάξαι θέλω C. 801. ἕπου, μάραινε δευτέροις διώγμασιν E. 134. ἕπου δὲ μηνυτῆρος ἀφθέγκτου φραδαῖς E. 236. πειθὼ δ' ἕποιτο καὶ τύχη πρακτήριος S. 518. ὄπιθεν ἑπόμενοι P. 962. ἑπόμενα προτέροισι τάδ' ἐφημίσω A. 1146. νίκη δ' ἐπείπερ ἕσπετ' ἐμπέδως μένοι A. 827.

Ἐπέτειος. πολλά τοι δόσις ἐκ Διὸς ἀμφιλαφής τε καὶ ἐξ ἀλόκων ἐπετειᾶν νῆστιν ὤλεσεν νόσον A. 987.

Ἐπευθύνειν. νομίσματα πύργινα πάντ' ἐπεύθυνον P. 845.

Ἐπευφημεῖν. χοαῖσι ταῖσδε νερτέρων ὕμνους ἐπευφημεῖτε P. 612. θεοφιλεῖς ἐμὰς τύχας παιὼν ἐπευφήμησεν Fr. Pscych. 1. 3.

Ἐπεύχεσθαι. ἐπεύχεται θήγουσα φωτὶ φάσγανον ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον A. 1235. ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν A. 1265. ἡλίῳ δ' ἐπεύχομαι πρὸς ὕστατον φῶς A. 1296. χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι A. 1377. σταθεῖσ' ἐκνόμως ὕμνον ὑμνεῖν ἐπεύχεται A. 1453. μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται A. 1582. ἥτις αἶα τοῦτ' ἐπεύχεται γένος τρέφουσ' ἀνατεὶ μὴ μεταστένειν πόνων E. 58. τᾶδ' ἐπεύχομαι βρέμειν E. 934. μηδὲν θανάτου μοῖραν ἐπεύχου τοῖσδε βαρυνθεὶς A. 1441. Ζεῦ, Ζεῦ, τί λέγω; πόθεν ἄρξωμαι τάδ' ἐπευχομένη C. 843. ἐμοί τε καὶ σοί γ' ἄρ' ἐπεύξομαι τάδε C. 110.

Ἐπέχειν. ἐπίσχες, ἔστ' ἂν καὶ τὰ λοιπὰ προσμάθῃς V. 699. ἐπίσχες, ὦ παῖ, τόνδε δ' αἰδέσαι, τέκνον, μαστὸν C. 883.

Ἐπήβολος. ἔννους ἔθηκα, καὶ φρενῶν ἐπηβόλους V. 442. τερπνῆς ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου; A. 528.

Ἐπήκοος. ἐπήκοος δ' ἐμῶν ἔργων δικαστὴς τραχὺς εἶ A. 1394. ἴδεσθε δ' αὖτε, τῶνδ' ἐπήκοοι κακῶν τὸ μηχάνημα C. 974. δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω E. 702.

Ἔπηλυς. τὰ χρεῖ' ἔπη ξένους ἀμείβεσθ', ὡς ἐπήλυδας πρέπει S. 192. ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν S. 396. μήτ' ἐνοίκων, μήτ' ἐπηλύδων τίνα ἄγειν S. 606. πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας; P. 239. μηδ' ἐπηλύδων ταρβεῖτ' ἄγαν ὅμιλον T. 34.

Ἐπήρατος. νεανίδων τ' ἐπηράτων ἀνδροτευχεῖς βιότους δότε E. 918.

Ἐπί. ἑδράνων ἐφ' ἁγνῶν S. 96. ὃν οὔτις ἂν δόμος ἔχοι ἐπ' ὀρόφων μιαίνοντα S. 638. οἱ μὲν ἐφ' ἵππων, οἱ δ' ἐπὶ ναῶν P. 17. ζεύγνυσιν αὐτὰ, καὶ λέπαδν' ἐπ' αὐχένων τίθησι P. 187. νῆσός τίς ἐστι, ποντίας ἀκτῆς ἔπι P. 441. ὀλοοὺς ἀπέλιπον Τυρίας ἐκ ναὸς ἔῤῥοντας, ἐπ' ἀκταῖς Σαλαμινίαισι στυφέλου θείνοντας ἐπ' ἀκτᾶς P. 927. ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε T. 369. νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν T. 382. δύ' ἄνδρε, καὶ πόλισμ' ἐπ' ἀσπίδος ἑλὼν T. 460. ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδων θεοὺς T. 492. Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδος σταδαῖος ἧσται T. 494. σωτὴρ γένοιτο Ζεὺς ἐπ' ἀσπίδος τυχὼν T. 502. θηρὸς ἐχθίστου δάκους εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος T. 541. εἴ νιν κατάξει χρυσότευκτα γράμματα, ἐπ' ἀσπίδος φλύοντα σὺν φοίτῳ φρενῶν T. 643. τὰ κατ' οἴκους ἐφ' ἑστίας ἄχη A. 415. λίπος ἐπ' ὀμμάτων αἵματος εὐπρέπειαν τίετον A. 1403. ἐπὶ σώματος σταθεῖσα A. 1451. ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας αὐχὴν πεσεῖσθαι πρὸς

δίκην πεπληγμένης C. 870. σέβουσαί γ' ἀξίαν τ' ἐπ' ἀξίων E. 413. οὔτιν' ἐφ' αἵματι δημηλασίαν ψήφῳ πόλεως γνωσθεῖσαι S. 6. πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώτῳ S. 85. οὔκουν πελάζει Ζεὺς ἐπ' εὐκραίρῳ βοΐ S. 296. τίν' ἂν θεῶν ἐνδικωτέροισι κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις S. 586. λέξωμεν ἐπ' Ἀργείοις εὐχὰς ἀγαθὰς S. 620. Ζεὺς δ' ἐφορεύοι ξένιος ξενίου στόματος τιμὰς ἐπ' ἀληθείᾳ S. 623. ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν Δαναὸς θεραποντίδα φερνὴν S. 956. καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι πᾶς τις παρελθὼν ὄμματος θελκτήριον τόξευμ' ἔπεμψε S. 983. τίεται δ' αἰολόμητις θεὸς ἔργοις ἐπὶ σεμνοῖς S. 1020. ἐπὶ σκηπτουχίᾳ ταχθεὶς P. 289. τοιάδ' ἐπ' αὐτοῖς ἦλθε συμφορὰ πάθους P. 428. πίπτον δ' ἐπ' ἀλλήλοισι P. 498. ἐπίσταμαι μὲν ὡς ἔπ' ἐξειργασμένοις P. 517. ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις πιστοῖσι πιστὰ συμφέρειν βουλεύματα P. 519. δαίμων γὰρ ὅδ' αὖ μετάτροπος ἐπ' ἐμοὶ P. 905. πέπλον δ' ἀπέῤῥηξ' ἐπὶ συμφορᾷ κακοῦ P. 987. ἐπὶ σέλμασιν πύργων στάθητε, καὶ πυλῶν ἐπ' ἐξόδοις μίμνοντες εὐθαρσεῖτε T. 33. ἄνδρας ἐκκρίτους πόλεως πυλῶν ἐπ' ἐξόδοισι ταγεῦσαι τάχος T. 57. τοὶ δ' ἐπ' ἀμφιβόλοισιν ἰάπτουσι πολίταις χερμάδ' ὀκρυόεσσαν T. 280. εἰ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι T. 385. Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις T. 405. ἀνὴρ δ' ἐπ' αὐτῷ, κεἰ στόμαργός ἐστ' ἄγαν, αἴθων τέτακται λῆμα T. 429. κόμπαζ' ἐπ' ἄλλῳ μηδέ μοι φθόνει λέγων T. 462. ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτεσθαι βέλη T. 526. ἐπ' αὐτῷ φῶτα, Λασθένους βίαν, ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν T. 602. τὸν ἕβδομον δὴ τόνδ' ἐφ' ἑβδόμαις πύλαις λέξω T. 613. ἐπ' ἄλγει δυσφορῶν T. 762. μελέους θανάτους εὕροντο δόμων ἐπὶ λύπῃ T. 861. οὐκ ἐπὶ φιλίᾳ, ἀλλ' ἐπὶ φόνῳ διεκρίθητε T. 866. πάρεστι δ' εἰπεῖν ἐπ' ἀθλίοισιν ὡς κ. τ. λ. T. 904. ἐπ' εὐνοίᾳ χθονὸς θάπτειν T. 998. ἐξεῦρ' ἐπ' ἐμοὶ δεσμὸν V. 96. ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι, οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται; V. 294. τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασιν αἰκίζεται V. 255. ἀλᾶσθαι γῆς ἐπ' ἐσχάτοις ὅροις V. 669. ἰσθμὸν δ' ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις ἥξεις V. 731. τοῖον παλαιστὴν νῦν παρασκευάζεται ἐπ' αὐτὸς αὑτῷ V. 923. πρὸς ταῦτ' ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν πυρὸς ἀμφήκης βόστρυχος V. 1045. τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ Διόθεν τεύχουσα φόβον στείχει φανερῶς V. 1091. βοῦς ἐπὶ γλώσσῃ μέγας βέβηκε A. 36. Ἀτρέως παῖδας ὁ κρείσσων ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος Ζεὺς A. 61. ἰσχὺν ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις A. 76. πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὔπραξις A. 246. ἐπὶ Τροίας πύργοις ἔβαλες στεγανὸν δίκτυον A. 348. ἐπ' Ἀλεξάνδρῳ τείνοντα πάλαι τόξον A. 354. Ζεὺς ἂν αὐτ' ἔπαυσεν ἐπ' ἀβλαβείᾳ A. 995. ἕστηκα δ' ἔνθ' ἔπαισ', ἐπ' ἐξειργασμένοις A. 1352. ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον A. 1373. ἐπιτύμβιος αἶνος ἐπ' ἀνδρὶ A. 1527. τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ συνεξελαύνει A. 1587. σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορὸς A. 1601. τύμβου δ' ἐπ' ὄχθῳ τάδε γε κηρύσσω πατρὶ κλύειν C. 4. τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοὰς C. 147. βοᾷ γὰρ λοιγὸν Ἐριννὺς παρὰ τῶν προτέρων φθιμένων ἄτην ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ C. 398. μήτιδας φρενῶν ἐπ' ἀνδρὶ τευχεσφόρῳ, ἐπ' ἀνδρὶ δήοισιν ἐπίκοτῳ σέβας C. 618. πότε δὴ στομάτων δείξομεν ἰσχὺν ἐπ' Ὀρέστῃ; C. 710. ὦ πότνια χθὼν—ἣ νῦν ἐπὶ ναυάρχῳ σώματι κεῖσαι τῷ βασιλείῳ C. 712. ἐπ' ἔργοις διαπεπραγμένοις C. 727. πῦρ καὶ φῶς ἐπ' ἐλευθερίᾳ δαίων C. 850. ἐπ' ὄχθει ἄξεν ἀδόλως δολίας βλαπτομέναν χρονισθεῖσαν ἐποίχεται C. 949. ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος C. 985. ὁρῶ δ' ἐπ' ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ ἕδραν ἔχοντα E. 40. καὶ νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς ἔθυον E. 108. ἐπὶ τῷ τεθυμένῳ τόδε μέλος E. 316. γιγνομένοισι λάχη τάδ' ἐφ' ἡμῖν ἐκράνθη E. 329. ἐπὶ δέ μοι γέρας παλαιὸν E. 371. ἢ κἀπ' ἐμοὶ τρέποιτ' ἂν αἰτίας τέλος; E. 412. γελᾷ δὲ δαίμων ἐπ' ἀνδρὶ θερμοεργῷ E. 530. ἐπὶ τέρματι φᾶρος παρεσκήνωσε E. 603. ἡμένας ἐπ' ἐσχάραις E. 773. καθ' ὁδὸν δ' ὀλολύξατε νῦν

ἐπὶ μολπαῖς E. 995. ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῷ νεκρὸς ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι Fr. Gl. P. 1. ἐπὶ δυσμαῖς σοῦ πατρὸς Fr. Hel. 2. τὸ συγκλινὲς ἐπ' Αἴαντι Fr. Thr. 2. ἀλλ' ἔστι κἀμοὶ κλεῖς ἐπὶ γλώσσῃ φύλαξ Fr. 34. τῶνδ' ἔτ' ἐπὶ τάδε κρατῶ S. 256. ἐπὶ Μέμφιν ἵκετο S. 307. βωμοὺς ἐπ' ἄλλους δαιμόνων ἐγχωρίων θὲς S. 477. σοῦσθ' ἐπὶ βᾶριν S. 816. σοῦσθε, σοῦσθ' ὀλόμεναι ὀλόμεν' ἐπ' ἀμίδα S. 822. ἐπὶ πᾶσαν χθόνα P. 74. ἦλθ' ἐπ' αἶαν δίαν Ἑλλάδα χώραν P. 262. ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δόρυ P. 403. ἀφικόμεσθ' ἐπ' Ἀξίου πόρον P. 485. ἥκουσιν ἐκφυγόντες—ἐφ' ἑστιοῦχον γαῖαν P. 503. ἔλθ' ἐπ' ἄκρον κόρυμβον ὄχθου P. 650. στράτευμ' ἐφ' Ἑλλάδ' ἐβούλευσε P. 744. Ἀσία δὲ χθὼν, βασιλεῦ γαίας, αἰνῶς αἰνῶς ἐπὶ γόνυ κέκλιται P. 894. ἐπὶ πόλιν διώκων T. 89. ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρχαῖα βρέτη T. 193. ἐπ' ἄνδρας ἓξ, ἐμοὶ σὺν ἑβδόμῳ μολὼν T. 263. μὴ 'λθῃς ὁδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμας πύλας T. 696. ἤκουσ' αἶδ' ἐπὶ πρᾶγος πικρὸν T. 843., δόμων μάλ' ἀχὼ ἐπ' αὐτοὺς προπέμπει δαΐκτὴρ γόος T. 898. προπέμπειν ἐπὶ τύμβον T. 1051. ἵκετο τερμόνιον ἐπὶ πάγον V. 117. τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις V. 866. πέμπει Τευκρίδ' ἐπ' αἶαν A. 112. ἐπ' Εὐρίπους ῥοὰς μολὼν A. 283. ὅρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον A. 294. κέλσαντες Σιμόεντος ἐπ' ἀκτὰς ἀεξιφύλλους A. 681. πᾶν δ' ἐπὶ τέρμα νωμᾷ A. 756. δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται A. 766. ἐπὶ γᾶν πεσόντα A. 989. ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς σταγὼν A. 1092. δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει βλάβης A. 1517. πέμπετ' ἀρωγὴν παισὶν προφρόνως ἐπὶ νίκην C. 471. ἥξω ξὺν ἀνδρὶ τῷδ' ἐφ' ἑρκείους πύλας C. 554. στείχω δ' ἐπ' ἄνδρα τόνδε λυμαντήριον οἴκων C. 753. κέλσας ἐπ' ἀκτὰς, ναυπόρους τὰς Παλλάδος E. 9. ἐπὶ τὸν, ὦ, διόμεναι κρατερὸν ὄνθ', ὁμοίως μαυροῦμεν ὑφ' αἵματος νέου E. 337. γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα καρπὸν E. 794. οὐ πελάθεις ἐπ' ἀρωγὰν Fr. Myrm. 4. 2. ἔργ' ἐπ' οὐρανίων τε κἀνθρώπων ὁρᾷς Fr. Inc. 5. 2. ὅτι νῦν ἦλθ' ἐπὶ στόμα Fr. Inc. 69. ὅ τι κεν ἐπ' ἀκαιρίμαν γλῶσσαν ἔλθῃ Fr. Inc. 166.

Ἐπιβαίνειν. πρίν ποτε λέκτρων, ὧν θέμις εἴργει, σφετεριξάμενον πατραδελφείαν τήνδ' ἀεκόντων ἐπιβῆναι S. 39.

Ἐπιβάλλειν. καὶ πότ' ἂν ἀμφιθαλὴς Ζεὺς ἐπὶ χεῖρα βάλοι; C. 388.

Ἐπιβοᾶν. εὔφημον δ' ἐπιβοῷεν Μοῦσαι θεοί τ' ἀοιδοὶ S. 675. καὶ στέρν' ἄρασσε, κἀπιβόα τὸ Μύσιον P. 1011.

Ἐπιβουλεύειν. λέγει μεγίστην προσβολὴν Ἀχαιΐδα νυκτηγορεῖσθαι, κἀπιβουλεύειν πόλει T. 29.

Ἐπίβουλος. τίς γὰρ ἂν κατέπαυσεν Ἥρας νόσους ἐπιβούλους S. 582.

Ἐπιβριθής. παντὶ χρόνῳ δ' ἐπιβριθεῖς ἐνδίκοις ὁμιλίαις E. 923.

Ἐπιβώμιος. κάρφει παλαιῷ κἀπιβωμίῳ ψόλῳ Fr. Bass. 2.

Ἐπιγηθεῖν. ὡς μήποτε θεὸς μήτε τις ἄλλος τοῖσδ' ἐπεγήθει V. 156.

Ἐπιγινώσκειν. ἐπιγνοὺς ἔργον οὐ καταίσιον A. 1580.

Ἐπιγλωσσᾶσθαι. σὺ θὴν ἃ χρῄζεις, ταῦτ' ἐπιγλωσσᾷ Διὸς V. 930. ἀλλ' εὖ γ' ἔπραξας, μήτ' ἐπιζευχθῇς στόμα φήμαις πονήραις, μήτ' ἐπιγλωσσῶ κακὰ C. 1041.

Ἐπιγλωσσῶ Fr. Heracl. 3.

Ἐπίγονος. μενεῖ κτέανα τ' ἐπιγόνοις T. 886.

Ἐπιδεικνύναι. τά τε νῦν ἐπιδείξω πιστὰ τεκμήρια S. 52.

Ἐπιδεσπόζειν. τίς δὲ ποιμάνωρ ἔπεστι, κἀπιδεσπόζει στρατοῦ; P. 237.

Ἐπιδιπλοΐζειν. χαίρετε, χαίρετε δ' αὖθις, ἐπιδιπλοΐζω, πάντες οἱ κατὰ πτόλιν E. 968.

Ἐπιδρομᾶν. θεοῖς δ' ἐναγέα τέλεα, πελομένων καλῶς, ἐπιδρομῶσ' ὅθι θάνατος ἀπῇ S. 117.

Ἐπιέναι. οἷός σε χειμὼν καὶ κακῶν τρικυμία ἔπεισ' ἄφυκτος V. 1018. νὺξ ἐπῄει P. 370. ἐπῆμεν τῆς ὁδοῦ τροχήλατον τρίοδον Fr. Œd.

Ἐπιζεῖν. ἐπέζεσεν γὰρ Οἰδίπου κατεύγματα T. 691.

Ἐπιζευγνύναι. πώλοις ἀκμαίοις τόνδ' ἐπιζεύξασ' ὄχον E. 383. ἀλλ' εὖ τ'

ἔπραξας, μήτ' ἐπιζευχθῇς στόμα φήμαις πονηραῖς C. 1040.

'Επίζηλος, ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει A. 913.

'Επιθοάζειν. Ζεῦ, Ζεῦ, τί λέγω; πόθεν ἄρξωμαι τάδ' ἐπευχομένη κἀπιθοάζουσ' C. 844.

'Επιθυμεῖν. παυσανέμου γὰρ θυσίας παρθενίου θ' αἵματος ὀργᾷ περιόργως ἐπιθυμεῖν θέμις A. 210.

'Επιθύειν. τόνδ' ἀπέτισεν, τέλεον νεαροῖς ἐπιθύσας A. 1485.

'Επιθωΰσσειν. ἦ μὴν κελεύσω, κἀπιθωΰξω γε πρὸς V. 73. οὐκ ἀκούσαις ἐπεθώϋξας τοῦτο, Προμηθεῦ V. 277.

'Επικαινοῦν. αὐτῶν πολιτῶν μὴ 'πικαινούντων νόμους E. 663.

'Επικέκλεσθαι. ἐπικεκλόμενοι δῖον πόρτιν ὑπερπόντιον τιμάορα S. 40.

'Επικεύθειν. οὐ γάρ σ' ἐπικεύσω A. 774.

'Επικηρύσσειν. πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς χθονὶ T. 616.

'Επίκλοπος. ἰὼ παῖ Διὸς ἐπίκλοπος πέλῃ E. 144.

'Επίκοτος. τέκνοις δ' ἀραίας ἐφῆκεν ἐπικότους τροφὰς T. 768. Ἥρας ἐπικότοισι μήδεσι δαμεῖσα V. 604. ἐπ' ἀνδρὶ τευχεσφόρῳ, ἐπ' ἀνδρὶ δῄοισιν ἐπικότῳ σέβας C. 619.

'Επικότως. ὁ δ' ἐπικότως ἀεὶ θέμενος ἄγναμπτον νόον δάμναται οὐρανίαν γένναν V. 162.

'Επικουρία. καὶ τἄλλα πλοῖα πᾶσά θ' ἡ 'πικουρία εὔπρεπτος S. 702. ὦ πόποι, κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ P. 717.

'Επίκουρος. ἀκάματον δὲ παρῆν σθένος ἀνδρῶν τευχεστήρων, παμμίκτων τ' ἐπικούρων P. 870.

'Επικραίνειν. μονοσκήπτροισιν ἐν θρόνοις κράτος πᾶν ἐπικραίνεις S. 368. ἦ τάδ' ἀκούετε, πόλεως φρούριον, οἷ' ἐπικραίνει; E. 910. καρποτελεῖ δέ τοι Ζεὺς ἐπικραινέτω φέρματι γᾶν πανώρῳ S. 671. σπευδόμενας ἀφελεῖν τινα τάσδε μερίμνας θεῶν δ' ἀτέλειαν ἐμαῖσι λιταῖς ἐπικραίνειν E. 341. ἄλλων ποινὰς θανάτων ἄγαν ἐπικρανεῖ A. 1313. κύδιστ' ἀχέων ἐπέκρανεν S. 13. Ζεὺς δ' ἐπέκρανεν τέλος S. 619. κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδα πότνι' Ἐρινὺς ἐπέκρανεν T. 879. παρακλίνουσ' ἐπέκρανεν δὲ γάμου πικρὰς τελευτὰς A. 724. τάδε τοι χώρᾳ τῇ 'μῇ προφρόνως ἐπικραινομένων γάνυμαι E. 927. ἐπωνυμίᾳ δ' ἐπεκραίνετο μόρσιμος αἰὼν εὐλόγως S. 46.

'Επικρούειν. ὥστε χθόνα βάκτροις ἐπικρούσαντας 'Ατρείδας δάκρυ μὴ κατασχεῖν A. 196.

'Επικρύπτειν. ὅστις δ' ἀλιτρῶν, ὥσπερ ὅδ' ἀνὴρ χεῖρας φονίας ἐπικρύπτει E. 307.

'Επικτᾶσθαι. τοίγαρ κατὰ χθόν' οὖσ' ἐπικτήσῃ φίλους E. 861. καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεὰ E. 641.

'Επικύρειν. ὦ πόποι, ἦ μεγάλας ἀγαθᾶς τε πολισσονόμου βιοτᾶς ἐπεκύρσαμεν P. 839.

'Επιλαβή. πέπλων ἐπιλαβὰς ἐμῶν S. 427.

'Επιλέγειν. Ἔπαφον τ' ἐγέννασεν, οὐκ ἐπιλεξαμένα, νῦν ἐν ποιονόμοις ματρὸς ἀρχαίας τόποις πρόσθε πόνων μνασαμένα S. 48.

'Επίλυσις. ἐπίλυσιν φόβων, ἐπίλυσιν δίδου T. 124.

'Επιμαίνεσθαι. δορυτίνακτος δ' αἰθὴρ ἐπιμαίνεται T. 136. φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται A. 1402.

'Επιμαστίδιος. βλαχαὶ δ' αἱματόεσσαι τῶν ἐπιμαστιδίων ἀρτιτρεφεῖς βρέμονται T. 332.

'Επιμέλπειν. 'Αΐδᾳ τ' ἐχθρὸν παιᾶν' ἐπιμέλπειν T. 851.

'Επίμολος. δορίπονα κάκ' ἐκτρέποντες γᾶς πρὸς ἐπιμόλους T. 611.

'Επίμομφος. τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν, τὰ δ' αὖτε κἀπίμομφα A. 539. περαίνων ἐπίμομφον ἄταν C. 817.

'Επινέμειν. πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται ταχύπορος A. 472.

'Επινωμᾶν. ὡς ἐπινωμᾷ στάσις ἅμα E. 301. ξένος δὲ κλήρους ἐπινωμᾷ Χάλυβος Σκυθῶν ἄποικος T. 709.

'Επιξενοῦσθαι. ἐπιξενοῦμαι ταῦτα δ' ὡς θανουμένη A. 1293. ἐπιξενοῦσθαι Fr. Myrm. 102.

'Επίξηνον. βωμοῦ πατρῴου δ' ἀντ' ἐπίξηνον μένει A. 1250.

'Επιπάλλειν. τά τ' ἐν χεροῖν παλίντονα ἐν ἔργῳ βέλη 'πιπάλλων Ἄρης C. 160.

'Επίπαν. σὸν δ' ἐπίπαν ζυγὸν ταλάντου S. 802. οἵτ' ἐπίπαν ἠπειρογενὲς κατέχουσιν ἔθνος P. 43.

Ἐπιπείθειν. μαρτυρίοισι γὰρ τοῖσδ' ἐπιπείθομαι A. 1066.

Ἐπιπλήσσειν. ὀργῆς τε τραχύτητα μὴ 'πίπλησσέ μοι V. 80.

Ἐπιπνεῖν. μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας μιαίνων εὐσέβειαν Ἄρης Τ. 325.

Ἐπίπνοια. ἐξ ἐπιπνοίας Διὸς S. 17. ἐξ ἐπιπνοίας Ζηνὸς S. 44. θείαις ἐπιπνοίαις παύεται S. 572. φυγάδας ἐπιπνοίας S. 1027.

Ἐπιποτᾶσθαι. Στυγία γάρ τις ἐπ' ἀχλὺς πεπόταται P. 656. τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσος πεπόταται E. 356.

Ἐπιρρέειν. οὑπιρρέων γὰρ τιμιώτερος χρόνος ἔσται πολίταις τοῖσδε E. 815.

Ἐπιρρέπειν. δίκα δὲ τοῖς μὲν παθοῦσι μαθεῖν ἐπιρρέπει τὸ μέλλον A. 242. εἰ δ' οὖν ἀνάγκη τῆσδ' ἐπιρρέποι τύχης A. 1012. οὔ τ' ἂν δικαίως τῇδ' ἐπιρρέποις πόλει μῆνίν τιν' E. 848. ὑμέναιον, ὃς τότ' ἐπέρρεπεν γάμβροισιν ἀείδειν A. 690.

Ἐπιρρηγνύναι. πέπλον δ' ἐπέρρηξ' ἐπὶ συμφορᾷ κακοῦ P. 987.

Ἐπιρρίπτειν. τῇδε γὰρ θνητῇ θεὸς θέλων μιγῆναι, τάσδ' ἐπέρριψεν πλάνας V. 740.

Ἐπιρροή. βιάζεται δ' ὁμοσπόροις ἐπιρροαῖσιν αἱμάτων μέλας Ἄρης A. 1491. κακαῖς ἐπιρροαῖσι βορβόρῳ θ' ὕδωρ λαμπρὸν μιαίνων E. 664. ἰὼ Κάϊκε, Μύσιοί τ' ἐπιρροαὶ Fr. Myrm. 7.

Ἐπιρροθεῖν. κτύπῳ δ' ἐπιρροθεῖ κροτητὸν ἀμὸν καὶ πανάθλιον κάρα C. 421. στάσις δὲ πάγκοινος ὧδ' ἐπιρροθεῖ C. 451.

Ἐπίρροθος. ἐλπίς ἐστι νυκτέρον τέλος μολεῖν παγκλαύτων ἀλγέων ἐπίρροθον T. 350.

Ἐπιρρύεσθαι. ἑπτάπυλον ἕδος ἐπιρρύου T. 149.

Ἐπίρρυτος. καρπόν τε γαίας καὶ βοτῶν ἐπίρρυτον E. 867.

Ἐπισεύειν. πέδον ἐπισύμενος E. 755.

Ἐπίσημον. τάχ' εἰσόμεσθα τὠπίσημ' ὅπῃ τελεῖ T. 641.

Ἡνία. ἐν ἡνίαισιν εἶχεν εὔαρκτον στόμα P. 189. ὡς νεοζυγὴς πῶλος, βιάζῃ, καὶ πρὸς ἡνίας μάχῃ V. 1012.

Ἥνικα. νέας δ' ὀπώρας ἥνικ' αὐανθῇ στάχυς, τεκεῖ νιν αὖθις Fr. Inc. 23. 6.

Ἡνιοστρόφος. ἡνιοστρόφου δρόμου C. 1018.

Ἧπαρ. κελαινόβρωτον δ' ἧπαρ ἐκθοινήσεται V. 1027. πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ A. 421. δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται A. 766. δυσχειμέρους ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος C. 270. ἄλγησον ἧπαρ ἐνδίκοις ὀνείδεσιν E. 130.

Ἠπειρογενής. οἵ τ' ἐπίπαν ἠπειρογενὲς κατέχουσιν ἔθνος P. 42.

Ἤπειρος. κενώσας πᾶσαν ἠπείρου πλάκα P. 704. πρὸς ἤπειρον σεσῶσθαι τήνδε P. 723. λιποῦσα δ' Εὐρώπης πέδον ἤπειρον ἥξεις Ἀσιάδ' V. 737. ἐλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς E. 75.

Ἤπιος. ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων V. 480. σὺ δ' ἐξορίνας ἠπίοις ὑλάγμασιν ἄξῃ A. 1614.

Ἦπου. ἦπου τὶ σεμνόν ἐστιν ὁ ξυναμπέχεις V. 519.

Ἦρ. ἦρι μὲν φαίνοντι διαπάλλει πτέρον κίρκου λεπάργου Fr. Inc. 23. 4. ἦν δ' οὐδὲν αὐτοῖς οὐδὲ χείματος τέκμαρ, οὐδ' ἀνθεμώδους ἦρος V. 435.

Ἥρα. κληδοῦχον Ἥρας δωμάτων S. 288. κρυπτά γ' Ἥρας ταῦτα S. 292. ὀδύναις κεντροδηλήτοις θείας Ἥρας S. 559. τίς γὰρ ἂν κατέπαυσεν Ἥρας νόσους ἐπιβούλους; S. 581. δύναται γὰρ Διὸς ἄγχιστα σὺν Ἥρᾳ S. 1018. ὦ πότνι' Ἥρα T. 137. τοὺς ὑπερμήκεις δρόμους Ἥρᾳ στυγητὸς πρὸς βίαν γυμνάζεται V. 594. Ἥρας ἐπικότοισι μήδεσι δαμεῖσα V. 603. οἷα χρὴ πάθη τλῆναι πρὸς Ἥρας τήνδε V. 706. δαπτομέναν δυσπλάνοις Ἥρας ἀλατείαις πόνων V. 902. παρ' οὐδὲν ἠρκέσω Ἥρας τελείας καὶ Διὸς πιστώματα E. 205. Ἥρα τέλεια, Ζηνὸς εὐναία δάμαρ Fr. Inc. 59.

Ἠριγένεια. λέαιναν ἠριγένειαν Fr. Inc. 363.

Ἥρως. ἥρως τε τοὺς πεμψάντας— προσαυδῶ A. 502. τὴν δευτέραν δὲ κρᾶσιν Ἥρωσιν νέμω Fr. Epig. 1. 2.

Ἧσθαι. πάροιθεν δὲ πρώρας δρίμυς ἧται καρδίας θυμὸς C. 385. βρέτας τόδε ἧσαι φυλάσσων E. 418. ἄρσενος δίχα ἧσθαι δόμοις ἔρημον, ἔκπαγλον κακὸν A. 836. ἥμενον ἄνω φρόνημά πως αὐτόθεν ἐξέπραξεν ἔμπας S. 94. οὔ τινος ἄνωθεν ἡμένου σέβει κάτω S. 592. κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ Ἥφαιστος V. 376. δαιμόνων δέ που χάρις, βιαίως σέλμα σεμνὸν ἡμένων A. 177. τρέφει δὲ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω C. 909. σεμνοὶ μὲν ἦσαν ἐν θρόνοις τόθ' ἥμενοι C. 969. λόχος εὕδει γυναικῶν ἐν θρόνοισιν ἥμενος E. 47. λιπαροθρόνοισιν ἡμένας ἐπ' ἐσχάραις E. 773. ἴκταρ ἥμενοι Διὸς E. 952. Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδος σταδαῖος ἧσται T. 495.

Ἡσιόνη. ὅτε τὰν ὁμοπατρίαν ἕδνοις ἤγαγες Ἡσιόναν πιθὼν δάμαρτα κοινόλεκτρον V. 558.

Ἡσσᾶσθαι. πρὸς τῶν κρατούντων ἐσμέν, οἱ δ' ἡσσωμένων T. 498.

Ἥσσων. θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας S. 200. τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει S. 484. χαίρουσαν οὐδὲν ἧσσον ἢ— A. 1364. οὐχ ἧσσον ἐνδάκρυτά μοι λέγεις τάδε C. 179. οὐδ' ἧσσον ἂν γένοιο δώμασιν φίλος C. 697. οὐδὲν ἥσσονας ὕβριζ' ὑβρισμοὺς Fr. Oss. 1. 2.

Ἡσυδουπία S. 828.

Ἡσυχάζειν. σὺ δ' ἡσύχαζε V. 327.

ἀλλ' ἡσυχάζε, σαυτὸν ἐκποδὼν ἔχων V. 344.

Ἥσυχος. τὸ μὴ μάταιον δ' ἐκ μετωποσωφρόνων ἴτω προσώπων ὄμματος παρ' ἡσύχου S. 196. δι' ὤτων δὲ συντέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει C. 445. τὰ μὲν γὰρ οἶδα κάρτα σ' ἐνθυμουμένην, τὰ δ' ἐμφανῶς πράσσουσαν ἡσυχαιτέραν E. 214.

Ἡσύχως. ἡσύχως τε καὶ σεσωφρονισμένως πρὸς πρᾶγμ' ὁρῶσαι S. 705.

Ἦτορ. βοᾷ μελέων ἔνδοθεν ἦτορ P. 953.

Ἥφαιστος. Ἥφαιστε, σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς ἅς σοι πατὴρ ἐφεῖτο V. 3. κορυφαῖς δ' ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ Ἥφαιστος V. 367. βούλευμα μὲν τὸ Δῖον, Ἡφαίστου δὲ χεὶρ V. 622. Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας A. 272. πέμπουσι δ' αὐτὸν καὶ σεβίζουσιν μέγα κελευθοποιοὶ παῖδες Ἡφαίστου E. 13.

Ἡφαιστοτυχής. Ἡφαιστοτυχὲς δέπας Fr. Hel. 1. 1.

Ἠχή. πρῶτον μὲν ἠχῇ κέλαδος Ἑλλήνων πάρα μολπηδὸν εὐφήμησεν P. 380.

Ἠχώ. ὄρθιον δ' ἅμα ἀντηλάλαξε νησιώτιδος πέτρας ἠχὼ P. 383. δόμων μαλ' ἀχὼ ἔπ' αὐτοὺς προπέμπει δαϊκτὴρ γόος T. 898. βρυχία δ' ἠχὼ παραμυκᾶται βροντῆς V. 1084. τυμπάνου τ' ἠχὼ Fr. Ed. 1. 8.

Θ.

Θακεῖν. μακρὰν ἀνωτέρω θακῶν Ζεὺς V. 313. τὸν νέον θακοῦντα παγκρατεῖς ἕδρας V. 389.

Θᾶκος. φίλαι στέγαι σεμναί τε θᾶκοι A. 505.

Θαλαμηπόλος. πικρὸν δ' ὄμμα θαλαμηπόλων T. 341.

Θάλαμος. σύ τε πέμπε χοὰς θαλάμους ὑπὸ γῆς P. 616. προτέραν δέ με χρὴ στείχειν θαλάμους ἀποδείξουσαν E. 958.

Θάλασσα. συντέμνει δ' ὅρος ὑγρᾶς θαλάσσης S. 256. ὀχυροῖς ἕρκεσιν εἴργειν ἄμαχον κῦμα θαλάσσης P. 90. ἔμαθον δ' εὐρυπόροιο θαλάσσης πολιαινομένης πνεύματι λάβρῳ ἐσορᾶν πόντιον ἄλσος P. 109. θάλασσα δ' οὐκ ἔτ' ἦν ἰδεῖν P. 411. πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ γίνεται θνητοῖσι P. 693. κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει T. 740. ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτώμενοι A. 562. ξυνώμοσαν γὰρ, ὄντες ἔχθιστοι τὸ πρὶν, πῦρ καὶ θάλασσα A. 637. ἔστιν θάλασσα A. 932. ὅμοια χέρσον καὶ θάλασσαν ἐκπερῶν E. 231. ἐρυθρᾶς ἱερὸν χεῦμα θαλάσσης Fr. Prom. Sol. 3. 2.

Θαλάσσιος. πεζούς τε καὶ θαλασσίους νᾶες ἤγαγον P. 549. στενωποῦ πλήσιον θαλασσίου V. 365. θαλασσίαν τε γῆς τινάκτειραν νόσον τρίαιναν V. 926.

Θαλασσόπλαγκτος. θαλασσόπλαγκτα δ' οὔτις ἄλλος ἀντ' ἐμοῦ λινόπτερ' εὗρε ναυτίλων ὀχήματα V. 465.

Θαλασσόπληκτος. θαλασσόπληκτον νῆσον Αἴαντος P. 299.

Θαλερός. ἴσως ἂν ἔλθοι θαλερωτέρῳ πνεύματι T. 689.

Θάλλειν. ἔνθεν ἀεξόμενον ζώφυτον αἷμα βροτοῖσι θάλλει S. 837. τῆς τ' αἰὲν ἐν φύλλοισι θαλλούσης βίον ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα P. 608.

Θάλλος. οἷα νεάζει πυθμὴν δι' ἁμὸν γάμον τὸ θάλλος δυσπαραβούλοισι φρεσὶν S. 99.

Θαλλός. ξὺν τῷδε θαλλῷ καὶ στέφει προσίξομαι μεσόμφαλόν θ' ἵδρυμα C. 1031.

Θάλπειν. ἡ Διὸς θάλπει κέαρ ἔρωτι V. 592. ὑπό μ' αὖ σφάκελος καὶ φρενοπληγεῖς μανίαι θάλπουσ' V. 881. Ζεὺς γὰρ ἱμέρου βέλει πρός σου τέθαλπται V. 653.

Θάλπος. πολλούς δέ γ' εὑρήσουσιν ἐν μεσημβρίᾳ θάλπει βραχίον' εὖ κατερ-

ῥινημένους S. 728. χιὼν ἢ θάλπος A. 551. θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολὼν A. 943. τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς μεσημβρινοῖσιν θάλπεσιν προσείκασεν T. 413. κεραυνὸν οὐδὲν ἐξεικασμένον μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου T. 428.

Θαμβεῖν. τέρας δ' ἐθάμβουν S. 565.

Θάμνος. οὔτοι δυσοίζω, θάμνον ὡς ὄρνις, φόβῳ ἄλλως A. 1289.

Θανάσιμος. θανάσιμον μέλαν αἷμα A. 990. ἀπήγαγ' ἐς τοιάσδε θανασίμους τύχας A. 1249. τὸν ὕστατον μέλψασα θανάσιμον γόον A. 1420.

Θανατηφόρος. θανατηφόρος αἶσα C. 363.

Θάνατος. ὅθι θάνατος ἀπῇ S. 117. εἴθ' ὄφελεν, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν τῶν οἰχομένων θανάτου κατὰ μοῖρα καλύψαι P. 881. Ἄτης ἄρουρα θάνατον ἐκκαρπίζεται T. 583. ἀνδροῖν δμαίμοιν θάνατος ὧδ' αὐτοκτόνος T. 663. δι' ὧν νεῖκος ἔβα καὶ θανάτου τέλος αἰνομόροις T. 888. εἴργων γὰρ ἐχθροὺς θάνατον εἵλετ' ἐν πόλει T. 1000. μηδὲν θανάτου μοῖραν ἐπεύχου τοῖσδε βαρυνθεὶς A. 1441. ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων A. 1472. οὔτ' ἀνελεύθερον οἶμαι θάνατον τῷδε γενέσθαι A. 1502. ξιφοδηλήτῳ θανάτῳ τίσας ἅπερ ἦρξεν A. 1511. ξυνώμοσαν μὲν θάνατον ἀθλίως πατρὶ C. 972. στυγερῷ θανάτῳ διεπράχθης C. 1002. βίου πονηροῦ θάνατος εὐκλεέστερος Fr. Inc. 1. μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ Fr. Niobe 1. 4. ὦ Θάνατε ποτί με μὴ ἀτιμάσῃς μολεῖν Fr. Phil. 1. 1. ὦ Θάνατε παιὰν Fr. Phil. 1. ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοὶ Fr. Inc. 28. ζωῆς πονηρᾶς θάνατος εὐπορώτερος Fr. Inc. 101. μελέους θανάτους εὕροντο δόμων ἐπὶ λύμῃ T. 860. αἲ αἲ δ' ἀντιφόνων θανάτων ἀραὶ T. 875. ἄλλων ποινὰς θανάτων ἄγαν ἐπικρανεῖ A. 1313. ἄλλην γενεὰν τρίβειν θανάτοισιν αὐθένταις A. 1554. δνόφοι καλύπτουσιν δόμους δεσποτῶν θανάτοισι C. 52.

Θανατοῦν. πάντως ἐμέ γ' οὐ θανατώσει P. 1055.

Θανατοφόρος. πάθεα γοερὰ θανατοφόρα A. 1149.

Θάπτειν. ἔπρασσε δ' ᾗπέρ νιν, ὧδε θάπτει C. 434. Ἐτεοκλέα θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς T. 999. μέτοικον, εἰς τὸ πᾶν ἀείξενον θάπτειν C. 674. ἐγὼ σφε θάψω T. 1019. ἐγὼ δὲ θάψω τόνδε T. 1043. τίς ὁ θάψων νιν; A. 1552. ἔτλης ἀνοίμωκτον ἄνδρα θάψαι C. 427. Τόλμον τ' αἰχμᾶς ἀκόρεστον ἔταφον P. 961.

Θαῤῥεῖν. θαρσεῖτε, παῖδες, εὖ τὰ τῶν ἐγχωρίων S. 595. θάρσει S. 713. 721. Fr. Inc. 39. θαρσεῖτ', οὐκ ἐρεῖτ' ἀναρχίαν S. 888. ἐμῆς δ' ὀπώρας οὕνεκ' εὖ θάρσει, πάτερ S. 993. θαρσεῖτε παῖδες μητέρων τεθραμμέναι T. 774. οὐδ' ἐν ἀγκυρουχίαις θαρσοῦσι ναῶν ποιμένες S. 748. θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις πιστὸς V. 917. κόμπασον θαῤῥῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας A. 1656. σὺ δὲ θαρσῶν, ὅταν ἥκῃ μέρος ἔργων, ἐπαΰσας πατρὸς ἔργῳ C. 814. εἶπε θαρσήσας ἀνὴρ πρὸς ἄνδρα C. 655.

Θαρσαλέος. ἡδύ τι θαρσαλέαις τὸν μακρὸν τείνειν βίον ἐλπίσι V. 534.

Θάρσος. στρατῷ τε θάρσος τῷδε πυργηρουμένῳ ταῦτα T. 166. θάρσος φίλοις T. 252. θάρσει πάρεσται μηχανὴ δραστήριος T. 1032. θάρσος εὐπιθὲς ἵζει φρενὸς φίλον θρόνον A. 955. τῶνδ' οὐ πάρεστι θάρσος C. 89.

Θαρσύνειν. σὺ σε βουλόμεσθα, μῆτερ, οὔτ' ἄγαν φοβεῖν λόγοις, οὔτε θαρσύνειν P. 212.

Θάρυβις P. 52. 315. 932.

Θαῦμα. οὔτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενὸς S. 508. ταρβῶ μὲν οὐδέν, θαῦμα δ' ὄμμασιν πάρα E. 355.

Θαυμάζειν. θαυμάζω δέ σου πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν κυρεῖν λέγουσαν, ὥσπερ εἰ παρεστάτεις A. 1172. θαυμάζομέν σου γλῶσσαν A. 1371. τίν' ἀνδρῶν γὰρ τόσον ἐθαύμασαν θεοὶ καὶ ξυνέστιοι πόλεως; T. 754. μηδὲ θαυμάσῃς τόδε A. 853. χάρις δ' ἀφ' ἡμῶν ὀλομένων θαυμάζεται T. 685. τὰ λοιπά μου κλύουσα θαυμάσῃ πλέον V. 474.

Θαυμαστός. τοῦτο θαυμαστὸν πέλει S. 237. πράξας μὲν εὖ, θαυμαστὸς ἂν γένοιτ' ἀνὴρ P. 208. πρόσθεν δὲ τἀνδρὸς τοῦδε θαυμαστὸς λόχος εὕδει γυναικῶν E. 46.

Θέα. ἀνηλεῶς ὧδ' ἐῤῥύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα V. 240.

Θεά. θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς P. 339. δίκας δὲ Παλλὰς τῶνδ' ἐποπτεύσει θεὰ E. 215. πρόσειμι δῶμα καὶ βρέτας τὸ σὸν, θεὰ E. 233. περὶ βρέτει πλεχθεὶς θεᾶς ἀμβρότου E. 249. καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεὰ E. 641. Μοῦσαι θεαί τ' ἀοιδοὶ S. 676. ἰὼ θεοὶ θεαί τε T. 86. τίς ἄρ' ἐπαρκέσει θεῶν ἢ θεᾶν; T. 91. ὦ κατὰ χθονὸς θεαὶ E. 115. οὐδ' ἐν θεαῖσι πρὸς θεῶν ὁρώμεναι E. 388. παρηπάτησας ἀρχαίας θεὰς E. 698. μηδ' ὑπερθύμως ἄγαν θεαὶ βροτῶν στήσητε δύσκηλον χθόνα E. 789.

Θέαμα. ὁρᾷς θέαμα δυσθέατον ὄμμασιν V. 69. δέρκου θέαμα, τόνδε τὸν Διὸς φίλον V. 304.

Θεήλατος. θεηλάτου βοὸς δίκην, πρὸς βωμὸν εὐτόλμως πατεῖς A. 1269.

Θείνειν. λαβὼν νιν, ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει ῥαιστῆρι θεῖνε V. 56. ἐῤῥωμένως νῦν θεῖνε διατόρους πέδας V. 76. Ἑλληνικαί τε νῆες οὐκ ἀφραδμόνως κύκλῳ πέριξ ἔθεινον P. 410. στυφέλου θείνοντες ἐπ' ἀκτᾶς P. 927. στυφλοὺς παρ' ἀκτὰς θείνεται Σιληνίων P. 295. ἐφυμνῆσαι γένοι τό μοι πευκήεντ' ὀλολυγμὸν ἀνδρὸς C. 382. ἐν πύλαις ἐν αἷς ἐθείνοντο T. 938.

Θεῖος. ὀδύναις κεντροδαλήτοις θείας Ἥρας S. 559. θείαις ἐπιπνοίαις παύεται S. 572. χθόνα ποιμανόριον θεῖον ἐλαύνει P. 75. μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι V. 685. μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενὶ A. 1054. ἐπιτύμβιος αἶνος ἐπ' ἀνδρὶ θείῳ A. 1527. τί γὰρ κευθόφρενος θεῖον ἔμπας ποτᾶται C. 382. θεῖος Ὀρέστης C. 854. κρατεῖταί πως τὸ θεῖον παρὰ τὸ μὴ ὑπουργεῖν κακοῖς C. 952. τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα Fr. Psych. 1. 5.

Θέλγειν. σὺ δὲ θέλγοις ἂν ἄθελκτον S. 1041. καὶ μ' οὔτι μελιγλώσσοις πειθοῦς ἐπαοιδαῖσιν θέλξει V. 173. μίαν δὲ παίδων ἵμερος θέλξει, τὸ μὴ κτείνειν σύνευνον V. 867. θέλξειν μ' ἔοικας, καὶ μεθίσταμαι χόλου E. 860. καὶ τότε δὴ τίς ἦν ὁ θέλξας πολύπλαγκτον ἀθλίαν οἰστροδόνητον Ἰώ; S. 566. πάρεστι σαίνειν, τὰ δ' οὐχὶ θέλγεται C. 414.

Θέλειν. θέλω δ' ἄϊδρις μᾶλλον ἢ σοφὸς κακῶν εἶναι S. 448. κεῖνα δ' ἐκμαθεῖν θέλω P. 226. θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω P. 514. οὐ γὰρ δοκεῖν ἄριστος, ἀλλ' εἶναι θέλει T. 574. παραινέσαι γέ σοι θέλω τὰ λῷστα V. 307. πρὸς τοῖς παροῦσι δ' ἄλλα προσλαβεῖν θέλεις V. 321. μάτην πονήσεις, εἴ τι καὶ πονεῖν θέλεις V. 343. συναίρεσθαι Κύπριν θέλει V. 654. σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι V. 820. κρατείτω τόνδε τὸν βραχὺν χρόνον, ὅπως θέλει V. 942. ὡς θέλει τόδ' ἄγχιστον Ἀπίας γαίας μονόφρουρον ἕρκος A. 247. ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν, ἢ θρῆνον θέλω A. 1295. τοῦτο γὰρ θέλω μαθεῖν C. 173. ἀλλ' ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾶν θέλεις C. 221. εἴπερ κρατηθείς γ' ἀντινικῆσαι θέλεις C. 492. ἰδεῖν ἐλέγξαι τ' αὖ θέλω τὸν ἄγγελον C. 838. πρὸς αὐτὸν τόνδε σε σφάξαι θέλω C. 891. ἐγώ σ' ἔθρεψα, νῦν δὲ γηρᾶναι θέλω C. 895. ὑπόδικος θέλει γενέσθαι χερῶν E. 250. ἀλλ' ὅρκον οὐ δέξαιτ' ἂν, οὐ δοῦναι θέλει. Κλύειν δικαίως μᾶλλον ἢ πρᾶξαι θέλεις E. 407. τί πρὸς τάδ' εἰπεῖν, ὦ ξέν', ἐν μέρει θέλεις; E. 414. εἰ δὲ μὴ θέλεις μένειν E. 847. θέλοιμ' ἂν ἤδη σοι πέλας θρόνους ἔχειν S. 205. τίς ἂν τοῖσδ' ἀντιωθῆναι θέλοι; S. 384. θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν V. 346. εἰ μὴ θέλοι V. 670. λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι διηνεκῶς θέλοιμ' ἂν A. 310. ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ P. 270. ἤν μή τις ἄλλος τόνδε συνθάπτειν θέλῃ T. 1018. σὺ δ' αἰνεῖν, εἴτε με ψέγειν θέλεις, ὅμοιον A. 1376. ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ Fr. Inc. 27. θέλουσα δ' αὖ θέλουσάν μ' ἐπιδέτω Διὸς κόρα S. 136. κείνου θέλοντος εὖ τελευτήσει S. 208. ἄγειν θέλοντες S. 709. Ἰαόνων γῆν οἴχεται πέρσαι θέλων P. 174. ἀποτρόποισι δαίμοσι θῦσαι θέλουσα πέλανον P. 199. ξύν-

νομον θέλων ἔχειν T. 336. θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν καὶ μὴ θέλοντος φησὶν T. 409. θελούσας πρὸς πύλαις πεπτωκέναι (ἵππους) T. 444. ἐχθρῶν πύργον ἐκπέρσαι θέλων T. 449. θέλων ἐξιστορῆσαι μοῖραν T. 487. θεῶν θελόντων δ' ἂν ἀληθεύσαιμ' ἐγὼ T. 544. Διὸς θέλοντος T. 595. τοιγὰρ θέλουσ' ἄκοντι κοινώνει κακῷ ψυχὴ T. 1024. τί δὴ θέλων; V. 118. θέλοντες ἐκβαλεῖν ἕδρης Κρόνον V. 201. μὴ μάτην φλῦσαι θέλων V. 502. προσεννέπειν θέλουσα A. 234. τύχη δὲ σωτὴρ ναῦν θέλουσ' ἐφέζετο A. 650. Διὸς οὔπω θέλοντος ἐξαναλῶσαι γένος A. 664. γενοῦ δὲ σύμμαχος θέλων ἐμοὶ C. 19. θέλοντι δ', εἴπερ οἶσθ', ἐμοὶ φράσον τάδε C. 515. θέλων δὲ τῶνδε πεύσεται λόγων C. 754. δίδυμα καὶ τριπλᾶ παλίμποινα θέλων ἀμείψει C. 782. ξυλλάβοι δ' ἐνδίκως παῖς ὁ Μαίας ἐπιφορώτατος πρᾶξιν οὐρίαν θέλων C. 801. θελούσης, οὐδὲ πρὸς βίαν E. 5. τήνδε μοι χάριν θέσθαι θέλησον V. 785. θελήσῃ τ' εἰς ἀναύγητον μολεῖν Ἅιδην V. 1030.

Θέλεος. βάσῃ τάχα θέλεος ἀθέλεος S. 842.

Θελκτήριος. γένοιτο μύθου μῦθος αὖ θελκτήριος S. 442. ὄμματος θελκτήριον τόξευμα S. 982. θερμὰ λουτρὰ, καὶ πόνων θελκτήρια C. 659. δικάστας τῶνδε, καὶ θελκτηρίους μύθους ἔχοντες E. 81. θελκτήριον γλώσσης ἐμῆς μείλιγμα E. 846.

Θέλκτωρ. Πόθος δ' οὐδὲν ἄπαρνον τελέθει θέλκτορι Πειθοῖ S. 1024.

Θεμερῶπις. ἐκ δ' ἔπληξε μου τὰν θεμερῶπιν αἰδῶ V. 134.

Θέμις. λέκτρων, ὧν θέμις εἴργει S. 37. πότερα κατ' ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις; S. 331. ἴδοιτο δῆτ' ἄνατον φυγὰν ἱκεσία Θέμις Διὸς Κλαρίου S. 355. μένει Ἄρει 'κτίνειν ὁμοίαν Θέμιν S. 431. τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ V. 18. Θέμις καὶ Γαῖα V. 210. Τιτανίς Θέμις V. 876. ὅ τι καὶ δύνατον καὶ θέμις αἰνεῖν A. 98. παυσανέμου γὰρ θυσίας παρθενίου θ' αἵματος ὀργᾷ περιόργως ἐπιθυμεῖν θέμις A. 210. καὶ μὴν ἀκούεις ὁρκίων ἐμῶν θέμιν A. 1406. τὸ μὴ θέμις γὰρ οὐ λὰξ πέδον πατούμενον C. 633. ἐκ δὲ τῆς Θέμιν (πρεσβεύω) E. 2. ἀποστατεῖ θέμις E. 392. οὐδὲ μὴν ἐμοὶ θέμις φόνου διαιρεῖν ὀξυμηνίτου δίκας E. 449. κεῖτ' ἀμπλάκημα τῷ περῶντι τὴν θέμιν Fr. Inc. 3.

Θεμίσκυρα. αἳ Θεμίσκυράν ποτε κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ' V. 726.

Θεμιστός. ἀνδροκτασίαν τελεῖν αἵματος οὐ θεμιστοῦ T. 676.

Θεμίστως. τὸ πᾶν Διὸς σέβας παρεκβάντες οὐ θεμίστως C. 635.

Θένειν. θένει δ' ὀνείδει μάντιν T. 364.

Θεοβλαβεῖν. λῆξαι θεοβλαβοῦνθ' ὑπερκόμπῳ θράσει P. 817.

Θεόθεν. θεόθεν γὰρ κατὰ μοῖρ' ἐκράτησεν τὸ παλαιὸν P. 101. ὑπ' ἀνδρὸς Ἀχαιοῦ θεόθεν περθομέναν ἀτίμως (πόλιν) T. 306. ἔτι γὰρ θεόθεν καταπνείει πειθὼ μολπὰν A. 106. οἷον μήτις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας στρατωθὲν A. 130. κριταί τε τῶνδ' ὀνειράτων θεόθεν ἔλακον ὑπέγγυοι C. 37. θεόθεν εὖ φραδαῖσιν ὡρμημένος C. 929.

Θεοκλυτεῖν. πολλὰ θεοκλυτῶν ἐπαύσατο στρατὸς P. 492.

Θεόκλυτος. λιταῖσί σε θεοκλύτοις ἀπύουσαι πελαζόμεσθα T. 130.

Θεόκραντος. τί τῶνδ' οὐ θεόκραντόν ἐστιν; A. 1467.

Θεομανής. ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος T. 635.

Θεομήστωρ. θεομήστωρ δ' ἐπικικλήσκετο Πέρσαις, θεομήστωρ δ' ἔσκεν P. 646.

Θεομυσής. ὁρῶ δ' ἐπ' ὀμφαλῷ μὲν ἄνδρα θεομυσῆ ἕδραν ἔχοντα E. 40.

Θέοινος. πάτερ Θέοινε, Μαινάδων ζευκτήριε Fr. Inc. 75.

Θέορτος. γαμεῖ γάμον τοιοῦτον, ὦ ποτ' ἀσχαλᾷ. Θέορτον ἢ βρότειον; V. 767.

Θεοπρόπος. ἔς τε Πυθὼ, κἀπὶ Δωδώνης πυκνοὺς θεοπρόπους ἴαλλεν V. 662.

Θεόπτυστος. ὄλωλεν ἀνδρῶν σὺν θεοπτύστῳ γένει T. 586.

Θεός. φυγάδ' ἀπ' οὐρανοῦ θεὸν S. 211. σημεῖον θεοῦ S. 215. βοῦν τὴν γυναῖκ' ἔθηκεν Ἀργεία θεὸς S. 295. τὸν πανώλεθρον θεὸν βαρὺν ξύνοικον θησόμεσθα S. 409. τίεται δ' αἰολόμητις θεὸς ἔργοις ἐπὶ σεμνοῖς S. 1020. λυτηρίοις μηχαναῖς θεοῦ πάρα S. 1059. δολόμητιν δ' ἀπάταν θεοῦ τίς ἀνὴρ

θνητὸς ἀλύξει P. 93. θεοῦ μὲν εὐνήτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς P. 153. θεὸς ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης P. 446. πρὶν σκεδασθῆναι θεοῦ ἀκτῖνας P. 494. ἃ Πέρσαις ἐγκατέσκηψεν θεὸς P. 506. Περσᾶν Σουσιγενὴς θεὸς P. 635. βίοτον εὐαιῶνα Πέρσαις, ὡς θεὸς, διήγαγες P. 697. ὅταν σπεύδῃ τις αὐτὸς, χὠ θεὸς ξυνάπτεται P. 728. Βόσπορον ῥόον θεοῦ P. 732. θεὸς γὰρ οὐκ ἤχθηρεν P. 758. ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεὸς T. 21. εὖ τελεῖ θεὸς T. 35. ποῖ δ' ἔτι τέλος ἐπάγει θεύς; T. 142. θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν καὶ μὴ θέλοντος φησὶ T. 409. αἰχμὴν ἣν ἔχει μᾶλλον θεοῦ σέβειν πεποιθὼς T. 511. πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνοι θεὸς T. 531. θεοῦ δὲ δῶρόν ἐστιν εὐτυχεῖν βροτοὺς T. 607. τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεὸς T. 671. νίκην γε μέντοι καὶ κακὴν τιμᾷ θεὸς T. 698. πέφρικα τὰν ὠλεσίοικον θεὸν T. 703. ἄτολμός εἰμι συγγενῆ θεὸν δῆσαι V. 14. θεὸς θεῶν γὰρ οὐκ ὑποπτήσσων χόλον V. 29. τί τὸν θεοῖς ἔχθιστον οὐ στυγεῖς θεόν; V. 37. οἷα πρὸς θεῶν πάσχω θεὸς V. 92. ὁρᾶτε δεσμώτην με δύσποτμον θεὸν V. 119. ὡς μήποτε θεὸς, μήτε τις ἄλλος τοῖσδ' ἐπεγήθει V. 155. τῇδε γὰρ θνήτῃ θεὸς χρῄζων μιγῆναι τάσδ' ἐπέρριψεν πλάνας V. 739. φθόνον δὲ σωμάτων ἕξει θεὸς V. 861. μὴ δολώσαντος θεοῦ A. 264. ἀπὸ στρατείας ἄνδρα σώσαντος θεοῦ A. 589. ἐξῃτήσατο θεός τις, οὐκ ἄνθρωπος A. 649. ἐκ θεοῦ δ' ἱερεὺς τις ἄτας δόμοις προσεθρέφθη A. 717. λέγω κατ' ἄνδρα, μὴ θεὸν, σέβειν ἐμὲ A. 899. θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται A. 926. τὸν θεὸν καλεῖ A. 1048. θεός περ ἱμέρῳ πεπληγμένος A. 1176. ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεὸς A. 1398. θεός τε καὶ θεοῦ πλέον C. 58. ἀνάγκαν γὰρ ἀμφίπτολιν θεοὶ προσήνεγκαν C. 73. θεοῦ τ' ἐφετμαὶ C. 298. ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρῄζων θείη κελάδους εὐφθογγοτέρους C. 336. καὶ σ' ἐποπτεύων πρόφρων θεὸς φυλάσσοι καιρίοισι συμφόραις C. 1060. ἐξ οὗ τε Βάκχαις ἐστρατήγησεν θεὸς E. 25. ὡς ἂν ἡγῆται θεὸς E. 33. τὸν μητραλοίαν δ' ἐξέκλεψας, ὢν θεὸς E. 147. ἢ θεὸν ἢ ξένον τιν' ἀσεβῶν E. 260. πρὸς ἑστίᾳ θεοῦ Φοίβου E. 272. κλύει δὲ καὶ πρόσωθεν ὢν θεὸς E. 287. πάντι μέσῳ τὸ κράτος θεὸς ὤπασε E. 503. οἷσι μὴ βλάψῃ θεὸς E. 631. οἷον ἔρνος οὔτις ἂν τέκοι θεὸς E. 636. θεὸς παλαιὰ πρὸς νεωτέρας ἐμοῦ ἄτιμος ἔρρειν E. 843. ἀπάτης δικαίας οὐκ ἀποστατεῖ θεὸς Fr. Inc. 11. φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεὸς Fr. Inc. 16. θεὸς μὲν αἰτίαν φύει βροτοῖς, ὅταν κακῶσαι δῶμα παμπήδην θέλῃ Fr. Inc. 27. ὕπατοί τε θεοὶ S. 24. ἀλλὰ θεοὶ γενέται κλύετ' εὖ τὸ δίκαιον ἰδόντες S. 73. θεοῖς ἐναγέα τέλεα S. 116. μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων S. 152. Ἰοῦς ἰὼ μῆνις μάστειρ' ἐκ θεῶν S. 154. πάγον προσίζειν τόνδ' ἀγωνίων θεῶν S. 186. κεῖνται παρ' ὑμῖν πρὸς θεοῖς ἀγωνίοις S. 239. τί φῂς ἱκνεῖσθαι τῶνδ' ἀγωνίων θεῶν; S. 328. ὅμιλον τῶνδ' ἀγωνίων θεῶν S. 350. θεῶν λήμματ' ἀπ' ἀνδρὸς ἁγνοῦ S. 358. κρῖνε σέβας τὸ πρὸς θεῶν S. 391. πεσεῖν χρηστήρια θεοῖσι πολλοῖς πολλὰ S. 446. πολισσούχων θεῶν βωμοὺς S. 489. θεῶν ἕδρας S. 496. θεοὺς ἐγχωρίους λιταῖς παραιτοῦ S. 515. τίν' ἂν θεῶν ἐνδικωτέροισι κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις; S. 585. νῦν ὅτε καὶ θεοὶ Διογενεῖς κλύοιτ' εὐκταῖα γένει χεούσας S. 625. καθαροῖσι βωμοῖς θεοὺς ἀρέσονται S. 642. θεοὺς δ' οἳ γᾶν ἔχουσιν, ἀεὶ τίοιεν S. 685. τῶνδε μὴ 'μελεῖν θεῶν S. 706. θεοὺς ἀτίζων τις βροτῶν δώσει δίκην S. 714. εἴ σοί τε καὶ θεοῖσιν ἐχθαιροίατο S. 735. θεῶν σέβη δείσαντες S. 736. θεῶν οὐδὲν ἐπαΐοντες S. 739. φρόνει μὲν ὡς ταρβοῦσα μὴ 'μελεῖν θεῶν S. 754. οὐράνια μέλη λίτανα θεοῖσι S. 790. κάλει θεοὺς S. 851. τοὺς θεοὺς οὐδὲν σέβη S. 899. οὐ γὰρ ξενοῦμαι τοὺς θεῶν συλήτορας S. 905. Ἀργείοισιν εὔχεσθαι χρεὼν, θύειν τε λείβειν θ', ὡς θεοῖς S. 959. εἰ γάρ τι μὴ θεοῖς βεβούλευται νέον S. 994. τἄλλ' εὐτυχοῖμεν, πρὸς θεῶν Ὀλυμπίων S. 992. μακάρας θεοὺς γανάεντες πολιούχους τε S. 997. τὰ θεῶν μηδὲν ἀγάζειν S. 1047. ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς φάος ὁρμᾶται μήτηρ

βασιλέως P. 146. οὐκ ἄνευ θεῶν τινος P. 160. προστροπαῖς θεοὺς ἱκνουμένη P. 212. ταῦτα δ', ὡς ἐφίεσαι, πάντα θήσομεν θεοῖσι P. 224. ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν θεῶν διδόντων P. 286. θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς P. 339. οὐ ξυνεὶς θεῶν φθόνον P. 355. οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο P. 365. θεῶν τε πατρῴων ἕδη P. 396. θεοὺς δέ τις τὸ πρὶν νομίζων οὐδαμοῦ τότ' εὔχετο λιταῖσι P. 489. θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω P. 514. ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν P. 596. τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς P. 614. οἱ κατὰ χθονὸς θεοὶ P. 675. διὰ μακροῦ χρόνου τάδ' ηὔχουν ἐκτελευτῆσαι θεούς P. 727. θνητὸς ὢν θεῶν κρατήσειν ᾤετ' P. 735. εἴ τι πιστεῦσαι θεῶν χρὴ θεσφάτοισιν P. 786. οὐ θεῶν βρέτη ᾐδοῦντο συλᾶν P. 795. εἰ μὲν γὰρ εὖ πράξαιμεν, αἰτία θεῶν T. 4. πόλει τ' ἀρήγειν καὶ θεῶν ἐγχωρίων βωμοῖσι T. 14. καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ T. 23. ὦ Ζεῦ τε καὶ Γῆ, καὶ πολισσοῦχοι θεοὶ T. 69. ἰὼ θεοὶ θεαί τε T. 86. τίς ἄρ' ἐπαρκέσει θεῶν ἢ θεᾶν; T. 91. θεοὶ πολισσοῦχοι χθονὸς T. 104. ἰὼ παναλκεὶς θεοὶ T. 150. βρέτη πεσοῦσαι πρὸς πολισσούχων θεῶν T. 167. θεοῖσι πίσυνος T. 194. οὔκουν τάδ' ἔσται πρὸς θεῶν, ἀλλ' οὖν θεοὺς τοὺς τῆς ἁλούσης πόλεος ἐκλείπειν λόγος T. 199. μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν ἅδε πανήγυρις T. 202. μή μοι θεοὺς καλοῦσα βουλεύου κακῶς T. 205. ἔστι θεοῖς δ' ἔτ' ἰσχὺς καθυπερτέρα T. 208. ἀνδρῶν τάδ' ἐστὶν σφάγια καὶ χρηστήρια θεοῖσιν ἔρδειν T. 213. διὰ θεῶν πόλιν νεμόμεθ' ἀδάματον T. 215. θεοὶ πολῖται, μή με δουλείας τυχεῖν T. 235. εὔχου τὰ κρείσσω, συμμάχους εἶναι θεοὺς T. 248. χώρας οἱ πολισσοῦχοι θεοὶ T. 253. ἑστίας θεῶν T. 257. ταυροκτονῶν θεοῖσι T. 258. τοιαῦτ' ἐπεύχου μὴ φιλοστόνως θεοῖς T. 261. Διογενεῖς ὦ θεοὶ T. 284. τὸν ἁμὸν νῦν ἀντίπαλον θεοὶ δοῖεν εὐτυχεῖν T. 399. τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοὶ T. 404. θεοὺς ἀτίζων T. 433. Ἀρτέμιδος εὐνοίαισι, σύν τ' ἄλλοις θεοῖς T. 432. ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδι θεοὺς T. 493. ἐχθρὸν εἴκασμα βροτοῖς τε καὶ δαροβίοισι θεοῖς T. 506. εἰ γὰρ τύχοιεν, ὧν φρονοῦσι, πρὸς θεῶν T. 532. θεῶν θελόντων δ' ἂν ἀληθεύσαιμ' ἐγὼ T. 544. εἴθε γὰρ θεοὶ τούσδ' ὀλέσειαν ἐν γᾷ T. 548. ἔργον θεοῖσι προσφιλὲς T. 562. θεοὺς τοὺς ἐγγενεῖς πορθεῖν T. 564. δεινὸς ὃς θεοὺς σέβει T. 578. θεοὺς γενεθλίους καλεῖ πατρῴας γῆς T. 621. ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος T. 635. οὔτ' ἂν ἐκ χερῶν θεοὶ θυσίαν δέχωνται T. 683. θεοῖς μὲν ἤδη πως παρημελήμεθα T. 684. θεῶν διδόντων οὐκ ἂν ἐκφύγοι κακὰ T. 701. τίν' ἀνδρῶν γὰρ τόσον ἐθαύμασαν θεοὶ καὶ ξυνέστιοι πόλεως; T. 755. εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ τῷ τοῦδε T. 1007. ἄγος δὲ καὶ θανὼν κεκτήσεται θεῶν πατρῴων T. 1009. ἤδη τὰ τοῦδ' οὐ διατετίμηται θεοῖς T. 1038. Ἔρις περαίνει μῦθον ὑστάτη θεῶν T. 1042. θεῶν γέρα συλῶν V. 82. τὸν πᾶσι θεοῖς δι' ἀπεχθείας ἐλθόντ' V. 120. ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν V. 203. ὁ τῶν θεῶν τύραννος V. 222. 738. νέος γὰρ καὶ τύραννος ἐν θεοῖς V. 310. πᾶσιν ὃς ἀντέστη θεοῖς V. 354. ὑπερήφανον θεοῖς τοῖς πάρος ἐνδείκνυσιν αἰχμὰν V. 403. δαμέντ' ἀδαμαντοδέτοις Τιτᾶνα λύμαις εἰσιδόμην θεῶν V. 426. θεοῖσι τοῖς νέοις τούτοις γέρα τίς ἄλλος ἢ 'γὼ παντελῶς διώρισεν V. 437. μηδ' ἐλιννύσαιμι θεοὺς ὁσίαις θοίναις ποτινισσομένα βουφόνοις V. 526. κρεισσόνων θεῶν ἔρως V. 905. οὐδεὶς θεῶν V. 915. δαρὸν γὰρ οὐκ ἄρξει θεοῖς V. 942. τὸν ἐξαμαρτόντ' εἰς θεοὺς V. 947. θεῶν ὑπηρέτης V. 956. τοὺς νέους θεοὺς ταρβεῖν V. 963. ἐχθαίρω θεοὺς V. 977. θεῶν τις διάδοχος τῶν σῶν πόνων P. 1029. θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων A. 1. θεῶν ἀστυνόμων, ὑπάτων, χθονίων A. 88. θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι A. 308. εὐσεβοῦσι τοὺς πολισσούχους θεοὺς A. 329. θεῶν ἱδρύματα A. 330. 513. θεοῖς ἂν ἀμπλάκητος εἰ μόλοι στρατὸς A. 336. θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι A. 344. οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέ-

λειν A. 361. λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν A. 385. τῶν πολυκτόνων γὰρ οὐκ ἄσκοποι θεοὶ A. 449. τοὺς ἀγωνίους θεοὺς πάντας προσαυδῶ A. 499. τεθνᾶναι δ' οὐκ ἔτ' ἀντερῶ θεοῖς A. 525. τίς δὲ πλὴν θεῶν ἅπαντ' ἀπήμων; A. 539. θεοῖς λάφυρα ταῦτ' ἐπασσάλευσαν A. 564. ἐν θεῶν ἕδραις A. 582. χωρὶς ἡ τιμὴ θεῶν A. 623. χειμὼν 'Αχαιῶν οὐχ ἀμήνιτος θεοῖς A. 635. πρῶτον μὲν Ἄργος καὶ θέους ἐγχωρίους δίκη προσειπεῖν A. 784. δίκας οὐκ ἀπὸ γλώσσης θεοὶ κλύοντες A. 787. τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν τίνειν A. 795. θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε A. 803. πρὸς πόλιν τε καὶ θεοὺς βουλευσόμεσθα A. 818. θεοῖσι πρῶτα δεξιώσομαι A. 826. ξὺν θεοῖς A. 888. θεούς τοι τοῖσδε τιμαλφεῖν χρεὼν A. 896. ηὔξω θεοῖς δείσας ἂν ὧδ' ἔρδειν τάδε A. 907. θεῶν μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος A. 920. εἰ δὲ μὴ τεταγμένα μοῖρα μοῖραν ἐκ θεῶν εἶργε μὴ πλέον φέρειν A. 997. περιβάλοντο γὰρ οἱ πτεροφόρον δέμας θεοὶ A. 1119. οὐ μὴν ἄτιμοι γ' ἐκ θεῶν τεθνήξομεν A. 1252. ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας A. 1257. οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει A. 1262. φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη A. 1561. χώρας μίασμα καὶ θεῶν ἐγχωρίων A. 1629. σὺν θεοῖσι καὶ γῇ, καὶ δίκῃ νικηφόρῳ C. 146. εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα C. 199. τοῖς θεοῖς τελεσφόρους εὐχὰς ἐπαγγέλλουσα C. 210. θεῶν τῶν κατὰ γᾶς ὅδ' ὕμνος C. 468. σέβει γὰρ οὔτις τὸ δυσφιλὲς θεοῖς C. 628. μέλει θεοῖσιν ὧνπερ ἂν μέλῃ πέρι C. 769. γένοιτο δ' ὡς ἄριστα σὺν θεῶν δόσει C. 771. πάτερ Ζεῦ θεῶν 'Ολυμπίων C. 773. ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον C. 889. ὀλοίμην πρόσθεν ἐκ θεῶν ἄπαις C. 1000. πατροκτόνον μίασμα καὶ θεῶν στύγος C. 1024. πρῶτον μὲν εὐχῇ τῇδε πρεσβεύω θεῶν τὴν πρωτόμαντιν Γαῖαν E. 1. τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεοὺς E. 20. καὶ κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα φέρειν δίκαιος E. 54. αἷς οὐ μίγνυται θεῶν τις E. 70. μισήματ' ἀνδρῶν καὶ θεῶν E. 73. νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς ἔθυον ὥραν οὐδενὸς κοινὴν θεῶν E. 109. τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοὶ E. 156. παρὰ νόμον θεῶν E. 164. ἔστ' ἀπόπτυστοι θεοῖς E. 182. ποίμνης τοιαύτης δ' οὔτις εὐφιλὴς θεῶν E. 188. δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει ἡ προστροπαίου μῆνις E. 224. θεῶν ἀτέλειαν ἐμαῖσι λιταῖς ἐπικραίνειν E. 341. ἀτίετα διόμεναι λάχη θεῶν διχοστατοῦντ' ἀνηλίῳ λάμπᾳ E. 364. τὸν μοιρόκραντον ἐκ θεῶν δοθέντα τέλεον E. 370. οὔτ' ἐν θεαῖσι πρὸς θεῶν ὁρωμέναις E. 389. ὦ παντομισῆ κνώδαλα, στύγη θεῶν E. 614. ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους καθιππάσασθε E. 749. κλῇδας οἶδα δωμάτων μόνη θεῶν ἐν ᾧ κεραυνός ἐστιν ἐσφραγισμένος E. 791. ἀπὸ γάρ με τιμᾶν δαμιᾶν θεῶν δυσπάλαμοι παρ' οὐδὲν ἦραν δόλοι E. 809. πάντα τιμώταται θεῶν E. 925. μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ Fr. Niobe 4. 1. προφερεστάτα θεῶν Fr. Inc. 13. 11. τῷ πονοῦντι δ' ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος Fr. Inc. 33. 1. ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς Fr. Inc. 79.

Θεοστύγητος. θεοστυγήτῳ δ' ἄχει βροτῶν ἀτιμωθὲν οἴχεται γένος C. 626.

Θεόσυτος. τίς ὀδμὰ προσέπτα μ' ἀφεγγής θεόσυτος; V. 115. θεόσυτόν τε νόσον ὠνόμασας V. 599. λέγουσ' ὀδύρομαι θεόσσυτον χειμῶνα V. 646.

Θεοτίμητος. θεοτίμητος δ' οἴκαδ' ἱκάνει A. 1310.

Θεότρεπτος. νῦν δ' οὐκ ἀμφιβόλως θεότρεπτα τάδ' αὖ φέρομεν πολέμοισι δμαθέντες μεγάλως πλαγαῖσι ποντίαισι P. 871.

Θεοφιλής. θεοφιλεῖς τύχας Fr. Psych. 1. 3. χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης E. 831.

Θεοφόρητος. φρενομανής εἶ θεοφόρητος A. 1111.

Θεοφόρος. πόθεν ἐπισσύτους θεοφόρους τ' ἔχεις ματαίους δύας; A. 1121. θεοφόρων ποδῶν νίπτρα Fr. Sis. 1.

Θεραποντίς. ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν Δαναὸς θεραποντίδα φέρνην S. 957.

Θερίζειν. τὸν ἀρότοις θερίζοντα βροτοὺς ἐν ἄλλοις S. 629.

Θερμαίνειν. τῷδέ τ' ἂν δολώματι πολλοὺς ἀναιρῶν, πολλὰ θερμαίνοι φρενὶ C. 998. ἡλίου κύκλος μέσον πόρον διῆκε θερμαίνων φλογὶ P. 497.

Θερμοεργός. γελᾷ δὲ δαίμων ἐπ' ἀνδρὶ θερμοεργῷ E. 530.

Θερμόνους. ἐγὼ δὲ θερμόνους τάχ' ἐν πέδῳ βαλῶ A. 1145.

Θερμός. ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ ναύτῃσι θερμοῖς T. 585. τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον θερμοῖς ἀπλήστου βέλεσι πυρπνόου ζάλης V. 371. προσφάγματι θερμῷ κοπεῖσα A. 1251. δυσχειμέρους ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξαυδώμενος C. 270. θερμὰ λουτρὰ C. 659. κάματόν θ' ἵππων θερμαῖς ὕδατος μαλακοῦ προχοαῖς ἀναπαύει Fr. Prom. Sol. 3. 7.

Θερμώδων. αἳ Θεμίσκυράν ποτε κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ' V. 727.

Θέρος. ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος P. 808. καρπίμου θέρους βέβαιον τέκμαρ V. 454. τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς ἀστέρας A. 5. ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον θέρος A. 1640.

Θέσμιον. θέσμιον γὰρ τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων A. 1545. τρίτον τόδ' ἐν θεσμίοις δίκας γέγραπται μεγιστοτίμου S. 689. νῦν καταστροφαὶ νέων θεσμίων E. 468.

Θεσμός. Κύπριδος δ' οὐκ ἀμελεῖ θεσμὸς ὅδ' εὔφρων S. 1017. ὅρος τ' ἐπ' Αἰγίπλαγκτον ἐξικνούμενον ὤτρυνε θεσμὸν μὴ χαρίζεσθαι πυρὸς A. 295. ἐμοῦ κλύων τὸν μοιρόκραντον ἐκ θεῶν θεσμὸν δοθέντα E. 369. θεσμὸν τὸν εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον E. 462. λέξω πρὸς ὑμᾶς τόνδ' Ἀθηναίας μέγαν θεσμὸν δικαίως E. 585. κλύοιτ' ἂν ἤδη θεσμὸν, Ἀττικὸς λεὼς E. 651. μαθεῖν θεσμοὺς ἐμοὺς E. 541.

Θεσπέσιος. πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ κακοῤῥήμονας; A. 1125.

Θεσπίζειν. ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη A. 1183. ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς A. 1186. ᾧ τ' ἐγὼ κατεύχομαι θεσπίσασα πρευμενῶς E. 883.

Θέσπισμα. Ζεὺς ἐγκαθίει Λοξίᾳ θεσπίσματα Fr. Sac. 1. 2.

Θεσπιῳδεῖν. νῦν δ' ἀμφὶ Κώκυτόν τε κἀχερουσίους ὄχθους ἔοικα θεσπιῳδήσειν τάχα A. 1133.

Θεσπιῳδός. πολυεπεῖς τέχναι θεσπιῳδὸν φόβον φέρουσιν μαθεῖν A. 1105.

Θεσπρωτός. ἵνα μαντεῖα θῶκός τ' ἔστι Θεσπρωτοῦ Διὸς V. 833.

Θεσσαλός. Θεσσαλῶν πόλισμ' ὑπεσπανισμένους βορᾶς ἐδέξατ' P. 481.

Θεστίας. τὰν ἁ παιδολύμας τάλαινα Θεστίας μήσατο πυρδαῆ τινα πρόνοιαν C. 597.

Θεσφατηλόγος. θεσφατηλόγος πιστὴ ξύνευνος A. 1416.

Θέσφατος. ἐς δὲ παῖδ' ἐμὸν Ζεὺς ἐπέσκηψεν τελευτὴν θεσφάτων P. 726. εἴ τι πιστεῦσαι θεῶν χρὴ θεσφάτοισιν P. 787. εἰ καρπός ἐστι θεσφάτοισι Λοξίου T. 600. καὶ θέσφατ' οὐκ ἀμβλύνεται T. 826. νῦν γὰρ ἐξ αἰνιγμάτων ἐπαργέμοισι θεσφάτοις ἀμηχανῶ A. 1084. οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος εἶναι A. 1101. ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὰ φάτις βροτοῖς στέλλεται; A. 1103. ὦ τλῆμον, οἰκτείρω σε θεσφάτου μόρου A. 1294. πρὸς τοῦ δ' ἐπείσθης, καὶ τίνος βουλεύμασιν; Τοῖς τοῦδε θεσφάτοισι E. 564.

Θεωρεῖν. ἦ θεωρήσων τύχας ἐμὰς ἀφῖξαι; V. 302.

Θεωρία. ἄλλην δ' ἄκουσον δυσχερῆ θεωρίαν V. 804.

Θεωρίς. μελάγκροκον ναύστολον θεωρίδα T. 840.

Θεωρός. πόνων ἐμῶν θεωρὸς ἵκετο V. 118. Ζεῦ, Ζεῦ, θεωρὸς τῶνδε πραγμάτων γενοῦ C. 244. βοᾷς τοιοῦδε πράγματος θεωρὸς ὢν Fr. Inc. 408.

Θῆβαι. τάς τ' ὠγυγίους Θήβας ἐφέπων Ἀριόμαρδος P. 36.

Θηγάνειν. δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει βλάβης πρὸς ἄλλαις θηγάναισι μοῖρα A. 1517.

Θηγάνη. δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει βλάβης πρὸς ἄλλαις θηγάναισι μοῖρα A. 1517. ἐν τόποισιν τοῖς ἐμοῖσι μὴ βάλῃς μήθ' αἱματηρὰς θηγάνας E. 821.

Θήγειν. θήγουσα φωτὶ φάσγανον A. 1235. τεθηγμένον τοί μ' οὐκ ἀπαμβλύνεις λόγῳ T. 697. εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους ῥίψεις V. 311.

Θήκη. θεοὶ βαρύτιμοι χθόνιοι θήκας κατέχοντες S. 25. θεῶν τε πατρῴων ἕδη, θήκας τε προγόνων P. 397. οἱ

δ' αὐτοῦ περὶ τεῖχος θῆκας Ἰλιάδος γᾶς εὔμορφοι κατέχουσιν A. 441.

Θηκτός. πικρὸς λυτὴρ νεικέων ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθεὶς θηκτὸς σίδαρος T. 925.

Θηλυγενής. δέξαιθ' ἱκέτην τὸν θηλυγενῆ στόλον S. 28.

Θηλυκρατής. ξυζύγους δ' ὁμαυλίας θηλυκρατὴς ἀπέρωτος ἔρως παρανικᾷ κνωδάλων τε καὶ βροτῶν C. 593.

Θηλυκτόνος. θηλυκτόνῳ Ἄρει δαμέντες νυκτιφρουρήτῳ θράσει V. 862.

Θηλύνους. εἰσελθέτω σε μήποθ', ὡς ἐγὼ Διὸς γνώμην φοβηθεὶς, θηλύνους γενήσομαι V. 1002.

Θῆλυς. πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται ταχύπορος A. 472. θῆλυς ἄρσενος φονεύς ἐστιν A. 1204. κόμπασον θαῤῥῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας A. 1656. θήλεια γὰρ φρὴν C. 303. οἴκτειρε θῆλυν ἄρσενός θ' ὁμοῦ γόνον C. 495. καὶ τότε δὴ πλοῦτον δωμάτων λυτήριον θῆλυν οὐριοστάταν ὁμοῦ κρεκτὸν γοήτων νόμον μεθήσομεν πόλει C. 808.

Θηλύσπορος. πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦσ' ἐλεύσεται θηλύσπορος V. 857.

Θήν. σὺ θὴν ἃ χρῄζεις ταῦτ' ἐπιγλωσσᾷ Διός V. 930.

Θήρ. θηρὸς ἐχθίστου δάκους εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος T. 540. τρόπος δὲ θηρὸς ὡς νεαιρέτου A. 1033. ἄγρευμα θηρὸς C. 992. αἷς οὐ μίγνυνται θεῶν τις, οὐδ' ἄνθρωπος, οὐδὲ θήρ ποτε E. 70. ὄναρ διώκεις θῆρα E. 126. οἴχεται δ' ὁ θὴρ E. 142. θῆρες δὲ κηραίνουσι καὶ βροτοί τί μιν S. 977. πάντων ἀγρονόμων φιλομάστοις θηρῶν ὀβρικάλοισι A. 141.

Θήρα. οὐ γὰρ ἐντελὴς θήραν πατρῴαν προσφέρειν σκηνήμασι C. 249.

Θηρᾶν. ἥμαρτον, ἢ θηρῶ τι τοξότης τίς ὥς; A. 1167. ἵμειρ' ἐμὸς παῖς τήνδε θηράσαι πόλιν P. 229. ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς πηγὴν κλοπαίαν V. 108. πρὸς ἄτης θηραθεῖσαι V. 1073.

Θηράσιμος. ἥξουσι θηρεύσοντες οὐ θηρασίμους γάμους V. 860.

Θηρεύειν. ἥξουσι θηρεύσοντες οὐ θηρασίμους γάμους V. 860. πέδαις δ' ἀχαλκεύτοις ἐθηρεύθης, πάτερ C. 486.

Θήριον. θηρίων γραφὴ C. 230. σοὶ δὲ θηρίων ὕβρις τε καὶ δίκη μέλει Fr. Inc. 5.

Θησαυρός. ἀργύρου πηγή τις αὐτοῖς ἔστι θησαυρὸς χθονὸς P. 234. τί τόδε λέγεις σεσωσμένον; Θησαυρὸν βελέεσσι P. 982.

Θησεύς. ἐξαίρετον δώρημα Θησέως τόκοις E. 380. σκηνὰς ὅτ' ἦλθον Θησέως κατὰ φθόνον στρατηλατοῦσαι E. 656.

Θησῆς. ὄμμα γὰρ πάσης χθονὸς Θησῆδος ἐξίκοιτ' ἂν E. 980.

Θιγγάνειν. πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ A. 421. θιγγάνοντες χερσὶ ταυρείου φόνου T. 44. παλινστομεῖς αὖ θιγγάνουσ' ἀγαλμάτων T. 240. ἔθιγε δ' ἐν μάχᾳ χερὸς ἐτήτυμος Διὸς κόρα C. 936. καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ πραθέντα τλῆναι καὶ ζυγῶν θιγεῖν βίᾳ A. 1011. ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον V. 851. ἐξῃτήσατο θεός τις οὐκ ἄνθρωπος, οἴακος θιγὼν A. 649. μύραινά δ', εἴτ' ἔχιδν' ἔφυ σήπειν θιγοῦσ' ἂν ἄλλον, οὐ δεδηγμένον C. 989.

Θίν. θινὸς ἐμβολὰς ἅλος Fr. Inc. 66. θῖνες νεκρῶν δὲ καὶ τριτοσπόρῳ γονῇ ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν P. 804.

Θνατός. τί δ' ἄνευ σέθεν θνατοῖσι τέλειόν ἐστι; S. 804. δολόμητιν δ' ἀπάταν θεοῦ τίς ἀνὴρ θνατὸς ἀλύξει; P. 94. τόθεν οὐκ ἔστιν ὑπὲρ θνατὸν ἀλύξαντα φυγεῖν P. 99.

Θνήσκειν. ἀλλ' οὔτε πολλὰ τρώματ' ἐν στέρνοις λαβὼν θνήσκει τις Fr. Inc. 27. 2. ἄπαιδα θνήσκειν A. 733. πάντων ἄτιμον κἄφιλον θνήσκειν χρόνῳ C. 293. ἐὰν θνήσκοντας ἢ τετρωμένους πύθησθε T. 224. εἰπόντος—θνήσκοντα γέννας ἄτερ σώζειν πόλιν T. 730. θράσος ἀκούσιον ἀνδράσι θνήσκουσι κόμιζων A. 778. ὀτοτύζεται δ' ὁ θνήσκων C. 324. θνήσκοντες μάτην C. 833. αὐτὸς ἦν θνήσκοντος ἐγγύθεν παρὼν C. 839. τίς οὐ τέθνηκε; P. 288. ἱερῶν πατρῴων δ' ὅσιος ὢν μομφῆς ἄτερ τέθνηκεν T. 1002. οὕτω γὰρ οὐ τέθνηκας, οὐδέ περ θανὼν C. 497. οἳ ἐγὼ τέθνηκας, φίλτατ', Αἰγίσθου βία C. 880. τέθνηκεν αἰσχρὸς χρημάτων ἀπαιόλη Fr. Perrh. μόνον γὰρ κέρδος ἐν τεθνηκόσι T. 666.

παροίχεται δὲ τοῖσι μὲν τεθνηκόσι τὸ μήποτ' αὖθις μηδ' ἀναστῆναι μέλειν A. 554. πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο; A. 616. εἰ δ' ἦν τεθνηκώς, ὡς ἐπλήθυνον λόγοι A. 843. τεθνηκότος δὲ νῦν τάλαινα πεύθομαι C. 752. τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω C. 873. ζῶν καὶ τεθνηκὼς τάσδε κληδόνας λιπὼν C. 1039. ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον Fr. Myrm. 5. 2. ἐφημένη τάφῳ τέκνοις ἔπῳζε τοῖς τεθνηκόσι Fr. Niobe 7. 2. τεθνᾶσιν αἰσχρῶς δυσκλεεστάτῳ μόρῳ P. 436. ἄνδρες τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων T. 787. χαίρω, τεθνᾶναι δ' οὐκ ἔτ' ἀντερῶ θεοῖς A. 525. καλῶς τεθνᾶναι κάλλιον ἂν μᾶλλον ἢ σεσῶσθαι Fr. Inc. 102. τεθνεῶτ' Ὀρέστην εἰπὲ C. 671. ἔνθα δὴ πλεῖστοι θάνον δίψει τε λίμῳ τ' P. 482. σὺ δ' ἔθανες κατακτανὼν T. 941. δορὶ δ' ἔθανες T. 943. οὐκ ἂν γ' ἑλόντες αὖθις αὖ θάνοιεν ἂν A. 331. ἐπειδὰν αὐτοὶ κτάνωσιν αὐτοδάϊκτοι θάνωσι T. 717. ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ A. 1291. τὸ γὰρ θανεῖν ἐλευθεροῦται φιλαιακτῶν κακῶν S. 783. κτανὼν θανεῖν πέλας κατεύχεται T. 618. κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς V. 752. ὅτῳ θανεῖν μέν ἐστιν οὐ πεπρωμένον V. 755. τί δ' ἂν φοβοίμην, ᾧ θανεῖν οὐ μόρσιμον; V. 935. ὡς νῦν τὸ σὸν δή, καὶ θανεῖν πολλὴ χάρις A. 536. ἀλλὰ κἀγὼ μὲν πρόκωπος οὐκ ἀναίνομαι θανεῖν A. 1637. δεχομένοις λέγεις θανεῖν σε, τὴν τύχην δ' ἐρούμεθα A. 1638. δεῖ τοί νιν, ὡς ἔθρεψεν ἔκπαγλον τέρας, θανεῖν βιαίως C. 542. οὐ γάρ τι ταυτὸν, ἄνδρα γενναῖον θανεῖν E. 595. ἱζόμεσθα σὺν κλάδοις ἀρτάναις θανοῦσαι S. 151. οὐδὲ μὴ 'ν Αΐδου θανὼν φύγῃ μάταιον αἰτίας S. 225. ὡς οὐδ' ἐν Αΐδου τὸν θανόντ' ἐλευθεροῖ S. 411. πρόπαρ θανούσας δ' Ἀΐδας ἀνάσσοι S. 772. δορυκανεῖ μόρῳ θανὼν S. 965. ἄναρχον τάξιν ἠρήμου θανὼν P. 290. Χρυσεὺς Μάταλλος μυριόνταρχος θανὼν P. 306. κεῖται θανὼν δείλαιος οὐ μάλ' εὐτυχῶς P. 317. ὦ πολύκλαυτε φίλοισι θανὼν P. 660. νῦν τέ σε ζηλῶ θανόντα P. 698. τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ P. 828. γῆν θανόντες τήνδε φυράσειν φόνῳ T. 48. εἰ γὰρ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι T. 385. θανὼν τροφεῖα πληρώσει χθονὶ T. 459. νεκροὺς κλύουσα δυσμόρους θανόντας T. 820. ἄγος δὲ καὶ θανὼν κεκτήσεται θεῶν πατρῴων T. 1007. τοίγαρ θέλουσ' ἄκοντι κοινώνει κακῷ ψυχή, θανόντι ζῶσα συγγόνῳ φρενὶ T. 1025. οὐ γάρ ποτ' ηὔχουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ θανὼν μεθέξειν φιλτάτου τάφου μέρος A. 494. εἴτ' οὖν θανόντος εἴτε καὶ ζῶντος πέρι λέγω A. 817. θανόντες ὡσπερεὶ πρὸς τῶν φίλων A. 1192. θανούσῃ μαρτυρεῖτέ μοι τόδε A. 1290. δούλης θανούσης εὐμαροῦς χειρώματος A. 1299. ἀποτίσει καὶ τοῖσι θανοῦσι θανὼν A. 1312. δυσμηχανῶ λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν A. 1334. τὸ μὴ θανὼν πατρῷον αἱμάξαι πέδον A. 1571. παιᾶνα τοῦ θανόντος ἐξαυδώμεναι C. 149. πατρὸς θανόντος ἐν πλεκταῖσι καὶ σπειράμασι δεινῆς ἐχίδνης C. 246. οὓς ἴδοιμ' ἐγώ ποτε θανόντας ἐν κηκῖδι πισσήρει φλογὸς C. 266. φρόνημα τοῦ θανόντος οὐ δαμάζει πυρὸς μαλερὰ γνάθος C. 321. φίλος φίλοισι τοῖς ἐκεῖ καλῶς θανοῦσι κατὰ χθονὸς ἐμπρέπων C. 350. τρόποισιν οὐ τυραννικοῖς θανὼν C. 472. παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι θανόντι C. 499. θανόντι δ', οὐ φρονοῦντι, δειλαία χάρις ἐπέμπετ' C. 510. ληφθῶσιν ἐν ταυτῷ βρόχῳ θανόντες C. 551. θανόντα δ' οὔτι μὴ προδῷς ποτε C. 882. τούτῳ θανοῦσα ξυγκάθευδε C. 894. μάρτυρες ὀρθαὶ τοῖσι θανοῦσιν παραγενόμεναι E. 308. ἅπαξ θανόντος οὐκέτ' ἔστ' ἀνάστασις E. 618. καὶ τοῦ θανόντος ἡ δίκη πράσσει κότον Fr. Phr. 2. 5. ἐπιξενοῦμαι ταῦτα δ' ὡς θανουμένη A. 1293. οὐ μὴν ἄτιμοί γ' ἐκ θεῶν τεθνήξομεν A. 1252.

Θνητός. μόνος ἂν θνητῶν πέρας εἴποι P. 624. πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ γίνεται θνητοῖσι P. 694. θνητὸς ὢν θεῶν κρατήσειν ᾤετ' P. 735. οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν P. 806. θνητὸς ὢν ἐς οὐρανὸν πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη T. 424. πυρὸς σέλας θνητοῖσι κλέψας ὤπασας V. 8. τὸ σὸν θνητοῖσι προὔδωκεν γέρας V. 39. τί

σοὶ οἷοί τε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων; V. 84. θνητοῖς γέρα πορὼν ἀνάγκαις ταῖσδ' ὑπέζευγμαι τάλας V. 107. θνητοὺς ἐν οἴκτῳ προθέμενος V. 239. θνητοὺς ἔπαυσα μὴ προσδέρκεσθαι μόρον V. 248. θνητοῖς ἀρήγων αὐτὸς εὑρόμην πόνους V. 267. σοῖς πήμασι συγκάμνουσι θνητοὶ V. 412. θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων V. 462. σέβῃ θνητοὺς ἄγαν V. 543. οὔποτε τὴν Διὸς ἁρμονίαν θνητῶν παρεξίασι βουλαὶ V. 552. ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανεὶς V. 616. ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας τῆς σῆς πορείας V. 734. θνητῇ θεὸς χρῄζων μιγῆναι V. 739. ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοὰς V. 802. ἐν ποικίλοισι θνητὸν ὄντα κάλλεσιν βαίνειν, ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου A. 897. τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνὴ Fr. Inc. 84. 1.

Θοάζειν. ὑπ' ἀρχᾶς δ' οὔτινος θοάζων τὸ μεῖον κρεισσόνων κρατύνει S. 590.

Θοινατήρ. ἀλάστωρ 'Ατρέως χαλεποῦ θοινατῆρος A. 1483.

Θοίνη. ἐν θοίνῃ παρὼν Fr. Psych. 1. 7.

Θολερός. θολεροὶ δὲ λόγοι παίουσ' εἰκῇ στυγνῆς πρὸς κύμασιν ἄτης V. 887.

Θοός. πτερύγων θοαῖς ἁμίλλαις προσέβα τόνδε πάγον V. 129. πόλιν διήκει θοὰ βάξις A. 463.

Θούριος. 'Ασίας θούριος ἄρχων P. 73. θούριος Ξέρξης P. 704. 740. ἄνδρες ἑπτὰ θούριοι λοχαγέται T. 42. θούριος ὄρνις A. 112. θουρίοις τόξοις ἐκηβόλοισιν E. 597.

Θοῦρος. αἰχμάεντα θοῦρον εὐνατῆρ' P. 134. Τυφῶνα θοῦρον V. 354. ἔνθ' οὐ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὤν, μέμψῃ Fr. Prom. Sol. 6. 2.

Θοῶς. θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν P. 390. τόπων μετά που χωρεῖτ' ἐκ τῶνδε θοῶς V. 1062.

Θράσος. φυλάξαι μὴ θράσος τέκῃ φόβον S. 493. ποῦ θράσος νέμεις ἐμοί; S. 500. θράσος λαβοῦσαι S. 933. παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει P. 730. θεοβλαβοῦνθ' ὑπερκόμπῳ θράσει P. 817. κρατοῦσα μὲν γὰρ οὐχ ὁμιλητὸν θράσος T. 170. ἀεί τε δὴ νηλὴς σὺ, καὶ θράσους πλέως V. 42. θηλυκτόνῳ Ἄρει δαμέντες νυκτιφρουρήτῳ θράσει V. 863. παμμάχῳ θράσει βρύων A. 163. θράσος μελαίνας ἄτας A. 747. θράσος ἀκούσιον ἀνδράσι θνήσκουσι κομίζων A. 777. οὐ τὸ πᾶν ἔχων ἐλπίδος φίλον θράσος A. 966. οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ σμικρὰ θράσους A. 1412.

Θράσσειν. σὰς δ' ὀκνῶ θράξαι φρένας V. 631.

Θρασύνειν. βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις τάλαινα παρακοπὰ πρωτοπήμων A. 215. ὡς θρασύνεσθαι πλέον A. 1161. πρὶν ὅρμῳ ναῦν θρασυνθῆναι S. 753.

Θρασύς. φθογγῇ δ' ἑπέσθω, πρῶτα μὲν τὸ μὴ θρασὺ S. 194. σὺ μὲν θρασύς τε, καὶ πικραῖς δύαισιν οὐδὲν ἐπιχαλᾷς V. 178. σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασὺς τόξοισι κλεινὸς V. 873. ὅταν δ' αὔτ' ἐπαλκὲς θρασέ', ἀπέστασεν ἄχος, πρὸς τὸ φανεῖσθαί μοι καλῶς C. 410. θρασὺς ταγοῦχος ὡς ἀνὴρ E. 286. Ἄρη ἐμφύλιόν τε καὶ πρὸς ἀλλήλους θρασὺν E. 825.

Θρασυσπλάγχνως. ὃν θρασυσπλάγχνως σε χρὴ λιποῦσαν αὐλῶν' ἐκπερᾶν Μαιωτικὸν V. 732.

Θρασυστομεῖν. θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας S. 200.

Θρασύστομος. ἄνδρες θρασύστομοι T. 594. θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος A. 1472.

Θραύειν. ζυγὸν θραύει μέσον P. 192. ἔθραυον πάντα κωπήρη στόλον P. 408. λαῖφος ὅταν λάβῃ πόνος θραυομένας κεραίας E. 527.

Θραῦμα. θραύματ' ἐμοὶ κλύειν A. 1138.

Θραῦσμα. θραύσμασίν τ' ἐρειπίων ἔπαιον P. 417.

Θρέεσθαι. θρέομαι φοβερὰ μεγάλ' ἄχη T. 78. τοιαῦτα πάθεα μέλεα θρεομένα λέγω S. 104. ἰηλέμοισιν ἐμπρεπῆ θρεομένη μέλη S. 107. δυσαλγεῖ τύχᾳ μινυρὰ θρεομένα A. 1137. τύχᾳ δ' εὐπροσωποκοίτᾳ τὸ πᾶν ἰδεῖν ἀκοῦσαι θρεομένοις μέτοικοι δόμων πεσοῦνται πάλιν C. 964.

Θρέμμα. θρέμματ' οὐκ ἀνασχετὰ T. 164.

Θρεπτήριος. πλόκαμον Ἰνάχῳ θρεπτήριον C. 7. καὶ μαστὸν ἀμφέχασκ' ἐμοὶ θρεπτήριον C. 538.

Θρήκη. Θρήκην περάσαντες μόγις πολλῷ

πύνῳ P. 501. Θρῄκης ἀμπεδιήρεις δυσχίμους τε κελεύθους P. 557.

Θρῄκιος. πάροικοι Θρῃκίων ἐπαύλων P. 851. Θρῄκιαι πνοαὶ A. 640. ἐπῳδὸν Θρῃκίων ἀημάτων A. 1392.

Θρηνεῖν. ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑστῶτες τάφου P. 672. πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους V. 618. ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην C. 913. τίς ὁ θρηνήσων; A. 1522. ἄκος γὰρ οὐδὲν τόνδε θρηνεῖσθαι V. 43.

Θρηνητήρ. ἰὰν Μαριανδυνοῦ θρηνητῆρος πέμψω P. 900.

Θρηνητής. οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν A. 1045.

Θρῆνος. θρῆνον ἀδελφοῖν ἥσειν T. 845. μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς T. 1056. μὴ γάρ σε θρῆνος οὑμὸς εἰς ἔχθραν βάλῃ V. 388. ὑμνῳδεῖ θρῆνον Ἐριννύος A. 964. ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω ἐμὸν τὸν αὐτῆς A. 1295. δίπαις τοί σ' ἐπιτυμβίδιος θρῆνος ἀναστενάζει C. 332. ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων παίων μελάθροις ἐν βασιλείοις νεοκρᾶτα φίλον κομίσειεν C. 338.

Θριγκοῦν. ἄτας τάσδε θριγκώσων φίλοις A. 1256.

Θρίζειν. αὐτόχθονον πατρῷον ἔθρισεν δόμον A. 522.

Θρίξ. στείχει δ' ἴουλος ἄρτι διὰ παρηΐδων ὥρας φυούσης ταρφὺς ἀντέλλουσα θρὶξ T. 517. τριχὸς δ' ὀρθίας πλόκαμος ἵσταται T. 546.

Θροεῖν. θρόει, φράζε τᾷ δυσπλάνῳ παρθένῳ T. 611. κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν ἐκτελέων A. 104. σὺ δὲ θαρσῶν, ὅταν ἥκῃ μέρος ἔργων, ἐπάϋσας πατρὸς ἔργῳ, θροούσᾳ πρὸς σὲ, τέκνον, πατρὸς αὐδὰν, καὶ περαίνων ἐπίμομφον ἄταν C. 816. τὸ γὰρ ἐμὸν θροῶ πάθος A. 1108. ἀμφὶ δ' αὐτᾶς θροεῖς νόμον ἄνομον A. 1112. τοῦτ' ἔπος θροούμενος E. 486.

Θρόμβος. ὥστ' ἐν γάλακτι θρόμβον αἵματος σπάσαι C. 526. θρόμβῳ δ' ἔμιξεν αἵματος φίλον γάλα C. 539. ἐμοῦσα θρόμβους οὓς ἀφείλκυσας φόνου E. 175.

Θρόνος. τὸν Αἰσχύνης θρόνον τιμῶν T. 391. ἐρημωθέντος ἄρσενος θρόνου A. 251. θάρσος εὐπιθὲς ἵζει φρενὸς φίλον θρόνον A. 956. λιποῦσα τόνδ' ἁμαξήρη θρόνον A. 1024. φονολιβὴς θρόνος E. 158. θέλοιμ' ἂν ἤδη σοι πέλας θρόνους ἔχειν S. 205. μονοσκήπτροισί τ' ἐν θρόνοις χρέος πᾶν ἐπικραίνεις S. 368. αἰσχύνῃ πάτρᾳ θρόνοισί τ' ἀρχαίοισι P. 761. πρὸς δάμαρτος ἐξανιστάναι θρόνων V. 769. ἀρὰ, ἣν ἐκπιτνῶν ἠρᾶτο δηναίων θρόνων V. 914. θρόνων ἄϊστον ἐκβαλεῖ V. 912. ἐκεῖνον ἐν θρόνοισιν εὑρήσω πατρὸς C. 565. σεμνοὶ μὲν ἦσαν, ἐν θρόνοις τόθ' ἥμενοι C. 969. ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις E. 18. μάντις εἰς θρόνους καθιζάνω E. 29. λόχος εὗδει γυναικῶν ἐν θρόνοισιν ἥμενος E. 47. μέγας γὰρ ἔμπας παρ' Διὸς θρόνοις λέγῃ E. 220. ὦ Δίκα, ὦ θρόνοι τ' Ἐριννύων E. 487. οὔπώποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις ὃ μὴ κελεύσῃ Ζεὺς E. 586.

Θρύπτειν. ἔθρυπτε A. 1577.

Θρώσκειν. πρὸς γυναικῶν δειματούμενοι λόγοι πεδάρσιοι θρώσκουσι C. 833. τίκτει δ' ὁ θρώσκων, ἡ δ' ἅπερ ξένῳ ξένη ἔσωσεν ἔρνος E. 630.

Θυάς. ἔτευξα τύμβῳ μέλος, ὡς Θυὰς T. 818.

Θυγάτηρ. Τυνδάρεω θύγατερ A. 83. ἔτλα δ' οὖν θυτὴρ γενέσθαι θυγατρὸς A. 216. Ἰφιγένεια θυγάτηρ—περὶ χεῖρε βαλοῦσα φιλήσει A. 1537.

Θύειν. δεῖ κάρτα θύειν S. 445. Ἀργείοισιν εὔχεσθαι χρεὼν θύειν τε λείβειν τ' S. 959. Σκύλλαν τινὰ οἰκοῦσαν ἐν πέτραισι, ναυτίλων βλάβην, θύουσαν A. 1208. οὐδ' ἄν τί θύων οὐδ' ἐπισπένδων ναοῖ Fr. Niobe 4. 2. νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς ἔθυον E. 109. Ἄρει δ' ἔθυον E. 659. ὅμως δ' ἔθυον A. 580. ἔθυσεν αὑτοῦ παῖδα A. 1391. δαίμοσι θέλουσα θῦσαι πέλανον P. 200. χοῖρον τόνδε τῆς αὐτῆς ὑὸς θύσας Fr. Inc. 53. 1. οἴκῳ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνὰ, πτανοῖσιν κυσὶ πατρὸς αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισιν A. 135. εἴτ' ἀπήμων, εἴτε καὶ τεθυμένος ὠμῇ ξὺν ὀργῇ S. 183. ἐπὶ τῷ τεθυμένῳ τόδε μέλος E. 316. τῆς τυθείσης νηλεῶς ὁμοσπόρου C. 240.

Θύελλα. ἄτης θύελλαι ζῶσι A. 793.

Θυέστης. Θυέστου δαῖτα παιδείων κρεῶν A. 1215. πατέρα Θυέστην

τὸν ἐμὸν ἠνδρηλάτησεν A. 1566. προστρόπαιος ἑστίας μολὼν πάλιν τλήμων Θυέστης A. 1570. μόχθοι τάλανές τε Θυέστου C. 1065.

Θυηπολεῖν. εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς A. 253.

Θυηπόλος. σὺν θυηπόλῳ χερὶ βωμῷ προσέστην P. 198.

Θυηφάγος. ἐν θεῶν ἕδραις θυηφάγον κοιμῶντες εὐώδη φλόγα A. 583.

Θυιάς. βακχᾷ πρὸς ἀλκὰν, Θυιὰς ὥς T. 480.

Θῦμα. στάσις δ' ἀκόρετος γένει κατολολυξάτω θύματος λευσίμου T. 1089. τόδ' ὄζει θυμάτων ἐφεστίων A. 1283.

Θυμαλγής. νῦν δ' ὑπὸ σκότῳ βρέμει θυμαλγής τε, καὶ οὐδὲν ἐπελπομένα ποτε κυρίως ἐκτολυπεύσειν A. 1002.

Θυμέλη. γεραροῖσι πρεσβυτοδόκοι γεμόντων θυμέλαι S. 654.

Θυμηδής. τούτων τὰ λῷστα καὶ τὰ θυμηδέστατα πάρεστι S. 940.

Θυμοβόρος. θυμοβόρος λύπη A. 103.

Θυμόμαντις. ταῦτα θυμόμαντις ὢν σοι πρευμενῶς παρῄνεσα P. 220.

Θυμοπληθής. μήτι σε θυμοπληθής δορίμαργος ἄτα φερέτω T. 668.

Θυμός. ἀλγεινὰ θυμοῦ κάρτα κινητήρια S. 443. χλωρῷ δείματι θυμὸν πάλλοντα S. 561. ἀμφὶ δὲ νόστῳ στρατιᾶς ἤδη κακόμαντις ἄγαν ὀρσολοπεῖται θυμὸς ἔσωθεν P. 11. φρένες γὰρ αὐτοῦ θυμὸν οἰακοστρόφουν P. 753. σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων ἔπνει T. 52. οὔτ' εἶδος, οὔτε θυμὸν, οὔθ' ὅπλων σχέσιν μωμητὸς T. 489. καὶ μὴ σφριγῶντα θυμὸν ἰσχναίνῃ βίᾳ V. 380. φαναῖς θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις V. 537. τοὺς ἐμοὺς λόγους θυμῷ βάλ' V. 708. μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη A. 48. τὸν δ' ἄνευ λύρας ὅμως ὑμνῳδεῖ θρῆνον Ἐριννύος αὐτοδίδακτος ἔσωθεν θυμὸς A. 963. οὕτω τὸν αὐτοῦ θυμὸν ὁρμαίνει πεσὼν A. 1361. λύκος γὰρ ὥστ' ὠμόφρων ἄσαντος ἐκ ματρός ἐστι θυμὸς C. 416. τὸ δ' ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν, ἅπαντι θυμῷ E. 708. θυμὸν ἄϊε μᾶτερ Νὺξ E. 807. θυμὸς δέ ποτ' ἐμὸς οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει Fr. Niobe 2. 1. ἔχω δὲ τούτων θυμὸν ἱππογνώμονα Fr. Sag. 2. 5.

Θυμοῦσθαι. μὴ θυμοῦσθε E. 768. ὡς ἀμφίβουλος οὖσα θυμοῦσθαι πόλει E. 703. ἐγὼ δ', ἐποικτείρω γὰρ, οὐ θυμώσομαι A. 1039. ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς Fr. Inc. 79.

Θύμωμα. ἀοίνοις ἐμμανεῖς θυμώμασι E. 822.

Θύννος. ὥστε θύννους, ἤ τιν' ἰχθύων βόλον ἔπαιον P. 416. θύννος Fr. Inc. 105.

Θύος. τόδ' ἐπέθου θύος, δημόθρους τ' ἀρὰς A. 1384. θύη πρὸ παίδων καὶ γαμηλίου τέλους E. 799.

Θυοσκινεῖν. τίνος ἀγγελίας πειθοῖ περίπεμπτα θυοσκινεῖς; A. 87.

Θύρα. παῖ, παῖ, θύρας ἄκουσον ἑρκείας κτύπον C. 642.

Θύραθεν. εἰδὼς τὰ τῶν θύραθεν ἀβλαβὴς ἔσῃ T. 68. τὰ τῶν θύραθεν δ' ὡς ἄριστ' ὀφέλλετε T. 176.

Θυραῖος. τὸν θυραῖον ὄλβον εἰσορῶν A. 811. οὔτοι θυραίαν τήνδ' ἐμοὶ σχολὴ πάρα τρίβειν A. 1025. καὶ τοῦδε τἀνδρὸς ἠψάμην θυραῖος ὢν A. 1590. μέμνησ' Ὀρέστου, κεἰ θυραῖός ἐσθ' ὅμως C. 114. θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρὼν E. 826.

Θυροκόπος. ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων A. 1168.

Θυρωρός. θυρωρῶν οὔτις ἂν φαιδρᾷ φρενὶ δέξαιτο C. 558.

Θυσία. οὔτ' ἂν ἐκ χερῶν θεοὶ θυσίαν δέχωνται T. 683. σπευδομένα θυσίαν ἑτέραν A. 147. πανσανέμου γὰρ θυσίας παρθενίου θ' αἵματος ὀργᾷ περιόργως ἐπιθυμεῖν θέμις A. 206. ἐκ θυσιῶν ἀγανὰ φαίνουσ' ἐλπὶς A. 101. ἰὼ πρόπυργοι θυσίαι πατρὸς πολυκανεῖς βοτῶν ποιονόμων A. 1141. καὶ τιμαῖς καὶ θυσίαις περίσεπται E. 990.

Θυστάς. Ἑλληνικὸν νόμισμα θυστάδος βοῆς T. 251.

Θυτήρ. ἔτλα δ' οὖν θυτὴρ γενέσθαι θυγατρὸς A. 216. ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει φιλοίκτῳ A. 231. τοῦ θυτῆρος καί σε τιμῶντος μέγα πατρὸς νεοσσοὶ C. 253.

Θῶκος. ἐλαφρῷ ποδὶ κραιπνόσυτον θῶκον προλιποῦσα V. 280. ἵνα μαντεῖα θῶκός τ' ἐστὶ Θεσπρωτοῦ Διὸς V. 833.

Θώμιγξ. τοξικῆς ἀπὸ θώμιγγος ἰοὶ P. 453. ὕφιν χρυσηλάτου θώμιγγος ἐξορμώμενον E. 173.
Θωμός. Γραίας ἐρείκης θωμὸν ἅψαντες πυρὶ A. 286.
Θώπτειν. σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεὶ V. 939. θώψεις Fr. Sis. 1.
Θωρακεῖον. πληροῦτε θωρακεῖα, κἀπὶ σέλμασιν σταθῆτε πύργων T. 33.
Θῶσθαι Fr. Ret. 2.

I.

Ἰάλλειν. τοιάνδε χάριν ἄχαριν, ἀπότροπον κακῶν μωμένα μ' ἰάλλει δύσθεος γυνὴ C. 44. ἤ τοι δίκην ἴαλλε σύμμαχον φίλοις C. 490. ἐς τε Πυθὼ, κἀπὶ Δωδώνης πυκνοὺς θεοπρόπους ἴαλλε V. 662.
Ἰαλτός. ἰαλτός ἐκ δόμων ἔβην χοᾶς προπομπὸς ὀξύχειρι σὺν κτύπῳ C. 22.
Ἴαμα. μέγιστον ἴαμα τῶν πολλῶν κακῶν Fr. Inc. 296.
Ἰαμβίς Fr. Th. 2.
Ἰάονιος. Ἰάονιοι νόμοι S. 66.
Ἰάπτειν. ἰάπτει δ' ἀπ' ἐλπίδων ὑψιπύργων πανώλεις βροτοὺς S. 90. ἰάπτει βάσιδος δι' αἴας μηλοβότου Φρυγίας διαμπὰξ S. 542. τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη A. 496. τίς δ' ἐπιτύμβιος αἶνος ἐπ' ἀνδρὶ θείῳ σὺν δάκρυσιν ἰάπτων ἀληθείᾳ φρενῶν πονήσει; A. 1528. πέποιθα τὸν Διὸς ἀντίπαλον—πρόσθε πυλᾶν κεφαλὰν ἰάψειν T. 507. ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτεσθαι βέλη T. 526.
Ἰάσιμος. σεαυτὸν οὐκ ἔχεις εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος V. 472.
Ἰατρόμαντις. ἰατρόμαντις παῖς Ἀπόλλωνος S. 260. αἵ τε νήστιδες δύαι διδάσκειν ἐξοχώταται φρενῶν ἰατρομάντεις A. 1606. ἰατρόμαντις δ' ἐστὶ καὶ τερασκόπος E. 62.
Ἰατρός. φωτὸς ἰατροῦ χάριν S. 258. κακὸς δ' ἰατρὸς ὥς τις ἐς κακὸν πεσὼν ἀθυμεῖς V. 471. ἤ περ ἐν δόμοισι βακχείας καλῆς ἰατρὸς ἐλπὶς ἦν C. 688. ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι V. 378. μόνος γὰρ εἶ σὺ τῶνδ' ἀνηκέστων κακῶν ἰατρὸς Fr. Phil. 227.
Ἰαχεῖν. ἡμᾶς δὲ δίκη πρότερον φήμης τὸν δυσκέλαδόν θ' ὕμνον Ἐρινύων ἰαχεῖν T. 850.
Ἰαχή. πέμψω πολύδακρυν ἰαχὰν P. 902.
Ἰάων. Ἰαόνων γῆν οἴχεται P. 174. δι' Ἰαόνων χέρας P. 555. Ἰαόνων γὰρ ἀπηύρα, Ἰαόνων ναύφρακτος Ἄρης ἑτεραλκὴς P. 911. Ἰαόνων ναυβατᾶν κύρσαντες οὐκ εὐτυχῶς P. 973. Ἰαόνων λαὸς οὐ φυγαίχμας P. 984.
Ἰδαῖος. φάος τοδ' οὐκ ἄπαππον Ἰδαίου πυρὸς A. 302. Ἰδαία χιὼν A. 550. ἐν Ἰδαίῳ πάγῳ Fr. Niobe 3. Σίπυλον, Ἰδαίαν ἀνὰ χθόνα Fr. Niobe 4.
Ἴδη. Ἴδης λαμπρὸν ἐκπέμπων σέλας A. 272. (ἔπεμπεν) Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας Λήμνου A. 274. Ἴδη τε μυκηθμοῖσι καὶ βρυχήμασι βρέμει Fr. Niobe 1. 4.
Ἴδιος. ἰδίᾳ γνώμῃ σέβῃ θνητοὺς ἄγαν V. 542.
Ἴδρις. μάχης ἴδρις A. 434.
Ἵδρυμα. μεσόμφαλον ἵδρυμα Λοξίου πέδον C. 1062. δαιμόνων θ' ἱδρύματα πρόῤῥιζα φύρδην ἐξανέστραπται βάθρων P. 797. εὐσεβοῦσι τοὺς πολισσούχους θεοὺς τοὺς τῆς ἁλούσης γῆς, θεῶν θ' ἱδρύματα A. 330. βωμοὶ δ' ἄϊστοι καὶ θεῶν ἱδρύματα A. 813.
Ἵδρυσθαι. ποῦ τὰς Ἀθήνας φασὶν ἵδρυσθαι χθονός; P. 227. ἐν θεῶν ἕδραισιν ὧδ' ἱδρυμένας ἐκδόντες ὑμᾶς S. 408. μηδ' ἐν τοῖς ἐμοῖς ἀστοῖσιν ἱδρύσῃς Ἄρη E. 824.
Ἰέναι. χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμὼν S. 157. εἰ μή τις ἐς ναῦν εἶσιν S. 879. ἀλλ' εἶμι, καὶ λαβοῦσα κοσμὸν ἐκ δόμων ὑπαντιάζειν παῖδ' ἐμῷ πειράσομαι P. 835. εἶσ' ἀρτικολ-

λον ἀγγέλου λόγον μαθεῖν T. 355. τούτοις πεποιθὼς εἶμι, καὶ ξυστήσομαι αὐτὸς T. 654. μελαναιγὶς δ' οὐκ εἶσι δόμον Ἐριννὺς T. 682. μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς εἶσι T. 1057. ἡμεῖς μὲν ἴμεν καὶ συνθάψομεν αἵδε πρόπομποι T. 1060. ἐγὼ μὲν εἶμι V. 325. πρὸς αὐτὸ δ' εἶμι τέρμα τῶν πλανημάτων V. 830. εἶμ' ἐς δόμων μέλαθρα, πορφύρας πατῶν A. 931. ἀλλ' εἶμι κἀν δόμοισι κωκύσουσ' ἐμὴν Ἀγαμέμνονος τε μοῖραν A. 1286. ἀλλ' εἶμι καὶ σοῖς ταῦτα πείσομαι λόγοις C. 770. ἔπειτα δ' εἶσι λαμπρὸν ἡλίου φάος Fr. Dan. 2. 1. τὸ μὴ μάταιον δ' ἐκ μετωποσωφρόνων ἴτω προσώπων ὄμματος παρ' ἡσύχου S. 196. ἴτ' ἀνὰ πολύῤῥυτον ἁλμήεντα πόρον S. 823. ὦ παῖδες Ἑλλήνων, ἴτε, ἐλευθεροῦτε πατρίδ' P. 394. βαλὴν ἀρχαῖος βαλὴν ἴθι, ἵκου P. 649. πρὸς δόμους ἴθι P. 995. θεοὶ πολισσοῦχοι χθονὸς ἴτ' ἴτε πάντες T. 104. ἴτω δάκρυα T. 946. ἴτω γόος T. 947. ἴθ', ὦ τάλαινα A. 1040. ἴτ' ἐς φθόρον πεσόντ' A. 1240. ἴτων πάλῳ λαχόντες, ὡς νομίζεται E. 32. πρὸς φῶς ἱερὸν τῶνδε προπομπῶν ἴτε E. 960. δεῦρ' ἴτε, σεμναὶ E. 993. δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι P. 241. δαίμονα μεγαυχῆ ἰόντ' αἰνέσατ' ἐκ δόμων P. 634. ἰοῦσα πράξω A. 1263. ἰόντ' ἐκ τῶνδε δόμων A. 1552. πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ βαίνοντες τὸν χαιρομυσῆ φόνον καθαίροντες ἰοῦσαν ἄτην C. 72. ἄγγελλ' ἰοῦσα, πρᾶσσε τἀντεταλμένα C. 768.

Ἱέναι. εὐτρεφέστατον πωμάτων ὅσων ἵησιν Ποσειδῶν T. 291. Βυβλίνων ὀρῶν ἄπο ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος V. 814. ἵετ' αἰανὴν πάνδυρτον δύσθροον αὐδὰν P. 903. ἵετε δάκρυ καναχὲς ὀλόμενον ὀλομένῳ δεσπότᾳ C. 150. ἱέντες τὰ παναίολ' αἰανῆ δύσθροα βάγματα P. 626. Τυφῶν' ἱέντα πυρπνόον διὰ στόμα λιγνὺν μέλαιναν T. 475. ἥσω τοι καὶ πάνδυρτον P. 906. ἄμφω δὲ φωνὴν ἥσομεν Παρνησίδα C. 556. οἶμαί σφ' ἐρατῶν ἐκ βαθυκόλπων στηθέων ἥσειν ἄλγος ἐπάξιον T. 847. εἰς ἀπέραντον Τάρταρον ἧκεν V. 154.

Ἱερεῖτιν Fr. Ix. 2.

Ἱερεύς. ἐκ θεοῦ δ' ἱερεύς τις ἄτας δόμοις προσεθρέφθη A. 717.

Ἱεροδόκος. οὔπερ ἱεροδόκα θεῶν λήμματ' ἀπ' ἀνδρὸς ἁγνοῦ S. 358.

Ἱερός. τηρὸν ἱεροῦ ῥάβδον S. 245. ἱερᾶς Μέμφιδος ἄρχων P. 36. ἱεροῦ Τμώλου πελάται P. 50. Ἑλλήσποντος ἱερὸς P. 731. μέλεσθε δ' ἱερῶν δημίων T. 160. ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον T. 250. ἱερῶν πατρῴων ὧν μομφῆς ἄτερ T. 1001. ἀπύρων ἱερῶν ὀργὰς ἀτενεῖς παραθέλξει A. 70. φῶς ἱερὸν τῶνδε προπομπῶν E. 960. ἐρυθρᾶς ἱερὸν χεῦμα θαλάσσης Fr. Prom. Sol. 3. 1. ποῦ δ' ἐστὶν Ἀργοῦς ἱερὸν αὔδασον ξύλον; Fr. Inc. 54. Βούραν ἱερὰν καὶ κεραυνίας Ῥύπας Fr. Inc. 56.

Ἵζειν. θάρσος εὐπιθὲς ἵζει φρενὸς φίλον θρόνον A. 956. ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις E. 18. νούσων δ' ἐσμὸς ἀπ' ἀστῶν ἵζοι κράτους ἀτερπὴς S. 668. ἐν ἁγνῷ δ' ἐσμὸς ὡς πελειάδων ἵζεσθε S. 221. ἵζου παλαιὸν ἀγκαθεν λαβὼν βρέτας E. 80.

Ἰή. ἰή, ἰὴ S. 106. ἰή, ἰή, ἰώ, ἰὼ P. 935. ἰὼ ἰὴ διαὶ Διὸς παναιτίου πανεργάτα A. 1464.

Ἰή, vox. κακομέλετον ἰὰν Μαριανδυνοῦ θρηνητῆρος πέμψω P. 899.

Ἰήϊος. ἰήϊον δὲ καλέω Παιᾶνα A. 144.

Ἰήκοπος. ἀνδροδαΐκτον ἀκούων ἰήκοπον οὐ πελάθεις ἐπ' ἀρωγὰν Fr. Myrm. 119. 4.

Ἰήλεμος. ἰηλέμοισιν ἐμπρεπῆ θρεομένη μέλη ζῶσα γόοις με τιμᾷ S. 107.

Ἰθαγενής. Τενάγων ἄριστος Βακτρίων ἰθαγενὴς P. 298.

Ἰθύνειν. ἐπ' ἄλλην δ' ἄλλος ἴθυνεν δόρυ P. 403. Κύρου δὲ παῖς τέταρτος ἴθυνε στρατὸν P. 759. Ἀγρεὺς δ' Ἀπόλλων ὀρθὸν ἰθύνοι βέλος Fr. Inc. 83.

Ἱκάνειν. λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους P. 155. θεοτίμητος δ' οἴκαδ' ἱκάνει A. 1310.

Ἴκαρος. Ἰκάρου θ' ἕδος P. 862.

Ἱκέσιος. βαρύς γε μέντοι Ζηνὸς ἱκεσίου κότος S. 342. 611. ἱκεσία Θέμις Διὸς Κλαρίου S. 355. ἴδετε παρθένων ἱκέσιον λόχον δουλοσύνης ὕπερ T. 105.

'Ικέτης. σὺν ἱκετῶν κλάδοισι S. 21. δέξαιϑ' ἱκέτην τὸν ϑηλυγενῆ στόλον S. 27. αἰδοῦνται δ' ἱκέτας Διὸς S. 632. σεβίζου δ' ἱκέτας σέϑεν S. 795. τάφος δ' ἱκέτας δέδεκται C. 334. πύλῃσι τὸν ἱκέτην ἀπείργεται C. 562. ποιμαίνων ἐμὸν ἱκέτην E. 92. τὸν ἱκέταν σέβων E. 146. ἐγὼ δ' ἀρήξω, τὸν ἱκέτην τε ῥύσομαι E. 223. ἱκέτης προσῆλϑες καϑαρὸς ἀβλαβὴς δόμοις E. 452. ἔστι γὰρ δόμων ἱκέτης ὅδ' ἀνὴρ E. 547.

'Ικέτις. ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον S. 345. μήτε τλῇς τὰν ἱκέτιν εἰσιδεῖν ἀπὸ βρετέων βίᾳ δίκας ἀγομέναν S. 423.

'Ικνεῖσϑαι. ἱκνεῖται Δῖον πάμβοτον ἄλσος S. 551. ἱκνεῖται λόγος διὰ στηϑέων T. 545. ἀλλὰ διπλῆς γὰρ τῆσδε μαράγνης δοῦπος ἱκνεῖται C. 370. τί φῂς ἱκνεῖσϑαι τῶνδ' ἀγωνίων ϑεῶν λευκοστεφεῖς ἔχουσα νεοδρέπτους κλάδους; S. 328. προστροπαῖς ϑεοὺς ἱκνουμένη P. 212. τὸν πολυξενώτατον Ζῆνα τῶν κεκμηκότων ἱξόμεσϑα σὺν κλάδοισιν S. 150. εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας P. 349. καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο S. 308. τάνδ' ἐς ἀκρόπτολιν, τίμιον ἕδος ἱκόμαν T. 223. οὐδ' ἵκεϑ' ὡς κατέκτανεν T. 965. ἵκετο τερμόνιον ἐπὶ πάγον V. 117. ῥίζης γὰρ οὔσης, φυλλὰς ἵκετ' ἐς δόμους A. 940. τοῦτο διαμπερὲς οὖς ἵκετ' ἅπερ τε βέλος C. 375. ἴϑι, ἵκου P. 649. πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυῤῥόϑους λόγους ἱκέσϑαι T. 268. ἵκουσ' Fr. Ætn. 1. 4.

'Ικταῖος. Ζηνὸς ἱκταίου κότος S. 380.

"Ικταρ. ὅ τ' ἐξόπιν ἀργίας φανέντες ἴκταρ μελάϑρων A. 115. ἴκταρ ἥμενοι Διὸς E. 952. Fr. Ed. 52.

'Ικτήρ. ὅμως δ' ἀνάγκη Ζηνὸς αἰδεῖσϑαι κότον ἱκτῆρος S. 474.

"Ικτωρ. ἅζονται γὰρ ὁμαίμους Ζηνὸς ἵκτορας ἁγνοῦ S. 640.

'Ιλεῖσϑαι. ἱλέομαι μὲν 'Απίαν βοῦνιν S. 110.

'Ιλιάς. 'Ιλιάδος γᾶς ϑῆκαι A. 441.

"Ιλιον. 'Ιλίου πόλις ἑάλωκεν A. 29. ἄγουσά τ' ἀντίφερνον 'Ιλίῳ φϑορὰν A. 394. ἀναχϑεὶς ἐμφανῶς ἐξ 'Ιλίου A. 612. 'Ιλίῳ δὲ κῆδος ὀρϑώνυμον τελεσσίφρων μῆνις ἤλασε A. 683. ἐλϑεῖν ἐς 'Ιλίου πόλιν A. 719. 'Ιλίου φϑορὰς A. 788. ὅσονπερ οὗτος ἦν ὑπ' 'Ιλίῳ A. 834. τὸν ὑπ' 'Ιλίῳ σέϑεν κίνδυνον A. 856. 'Ιλίου πορϑήτωρ A. 881. εὖϑ' ὑπ' "Ιλιον ὧρτο ναυβάτης στρατὸς A. 959. νεῶν ἔπαρχος 'Ιλίου τ' ἀναστάτης A. 1200. ἐπεὶ τὸ πρῶτον εἶδον 'Ιλίου πόλιν πράξασαν ὡς ἔπραξε A. 1260. χρυσηΐδων μείλιγμα τῶν ὑπ' 'Ιλίῳ A. 1414. εἰ γὰρ ὑπ' 'Ιλίῳ πρός τινος Λυκίων, πάτερ, δορίτμητος κατηναρίσϑης C. 341. ξὺν ᾧ σὺ Τροίαν ἄπολιν 'Ιλίου πόλιν ἔϑηκας E. 435.

'Ιμαῖος. ἐσϑλὸς 'Ιμαῖος P. 31.

'Ιμείρειν. οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης A. 914. ἀλλὰ μὴν ἵμειρ' ἐμὸς παῖς τήνδε ϑηράσαι πόλιν P. 229.

'Ιμέρα. 'Ιμέραν τ' ἀφικόμην Fr. Gl. Potn. 2. 2.

"Ιμερος. Διὸς ἵμερος οὐκ εὐϑήρατος ἐτύχϑη S. 81. ἱμέρου νικώμενος S. 983. ὠμοδακής σ' ἄγαν ἵμερος ἐξοτρύνει πικρόκαρπον ἀνδροκτασίαν τελεῖν αἵματος οὐ ϑεμιστοῦ T. 674. Ζεὺς γὰρ ἱμέρου βέλει πρός σου τέϑαλπται V. 652. μίαν δὲ παίδων ἵμερος ϑέλξει, τὸ μὴ οὐ κτεῖναι ξύνευνον V. 867. τῶν ἀντερώντων ἱμέρῳ πεπληγμένος A. 530. καὶ ϑεός περ ἱμέρῳ πεπληγμένος A. 1176. πολλοὶ γὰρ εἰς ἓν συμπιτνοῦσιν ἵμεροι C. 297.

'Ιμερτός. ἱμερτὸς νὺξ Fr. Hel. 59. 4.

"Ινα. ἤρϑην φόβῳ πρὸς μακάρων λιτὰς, πόλεος ἵν' ὑπερέχοιεν ἀλκὰν T. 197. σπείρας ἄρουραν ἵν' ἐτράφη T. 736. ἵν' οὔτε φωνὴν, οὔτε του μορφὴν βροτῶν ὄψει V. 21. ἵνα τραχεῖα πόντου Σαλμυδησία γνάϑος V. 727. ἵνα αἱ Φορκίδες ναίουσι δηναιαὶ κόραι V. 796.

'Ινάχειος. κλύω κόρης τῆς 'Ιναχείης V. 592. 'Ινάχειον σπέρμα V. 707.

"Ιναχος (Flumen). Νεῖλος γὰρ οὐχ ὅμοιον 'Ινάχῳ γένος τρέφει S. 492.

"Ιναχος. ἐναργὴς βάξις ἦλϑεν 'Ινάχῳ V. 666. πλόκαμον 'Ινάχῳ ϑρεπτήριον C. 7.

'Ινδοί. 'Ινδούς τ' ἀκούω νομάδας ἱπποβάμοσιν εἶναι καμήλοις ἀστραβιζούσαις S. 281.

*Ινις. ἶνίν τ' ἀνϑονομούσας προγόνου βοὸς S. 42. τοῦ Παλαίχϑονος ἶνις Πελασγὸς S. 248. ὁ Λατοῦς γὰρ ἶνίς μ' ἄτιμον τίϑησι E. 303.

'Ιξίων. ἦ καὶ πατήρ τι σφάλλεται βου-

λευμάτων πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος; E. 688.

Ἰόνιος. κατὰ κλῆρον Ἰόνιον P. 869. πόντιος μυχὸς, σαφῶς ἐπίστασ', Ἰόνιος κεκλήσεται V. 841.

Ἰός. τοξικῆς ἀπὸ θώμιγγος ἰοὶ προσπιτνόντες ὤλλυσαν P. 452. ἰὸς καρδίαν προσήμενος δύσφρων A. 808. χώρᾳ μεταῦθις ἰὸς ἐκ φρονημάτων πέδῳ πεσὼν ἄφερτος αἰανὴς νόσος E. 456. ἐμῇ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρὺν E. 700.

Ἰότης. λέχος σὸν ὑμεναιοῦν ἰότητι γάμων V. 557.

Ἰού. ἰὼ, ἰοῦ S. 831. ἰοὺ, ἰοὺ A. 25. C. 868. E. 752. ἰοὺ, ἰοὺ, ὦ ὦ κακὰ A. 1187. ἰοὺ, ἰοὺ, πόπαξ E. 138.

Ἴουλος. στείχει δ' ἴουλος ἄρτι διὰ παρηΐδων T. 516.

Ἰόφ. ἰὸφ S. 803.

Ἰποῦν. κεῖται στενωποῦ πλήσιον θαλασσίου ἰπούμενος ῥίζησιν Αἰτναίαις ὕπο V. 365.

Ἱππάκη. ἱππάκης βροτῆρες εὔνομοι Σκύθαι Fr. Pr. Sol. 13.

Ἱππαλεκτρύων Fr. Myrm. 12.

Ἵππειος. διάδετοι δὲ γενύων ἱππείων κινύρονται φόνον χαλινοὶ T. 115.

Ἱππεύς. οὔτε τις ἱππεὺς ἄστυ τὸ Σούσων ἀφικνεῖται P. 14.

Ἱππηδόν. ἀπὸ βρετέων βίᾳ δίκας ἀγομέναν ἱππηδὸν S. 426. ἱππηδὸν πλοκάμων ἄγεσθαι T. 310.

Ἱππηλάτης. πᾶς ἱππηλάτας καὶ πεδοστιβὴς λεὼς P. 124.

Ἱππιάναξ. Διαῖξίν τ' ἠδ' Ἀρσάμην ἱππιάνακτας P. 958.

Ἱππικός. σταλαγμὸς ἱππικῶν ἐκ πνευμόνων T. 61. ἱππικῶν ἀΰπνων πηδαλιῶν διαστόμια T. 188. καὶ μὴν ἀκούω γ' ἱππικῶν φρυαγμάτων T. 227. ἱππικῶν φρυαγμάτων βρόμον φοβηθεὶς T. 457.

Ἵππιος. ὅ θ' ἵππιος ποντομέδων ἄναξ T. 121.

Ἱπποβάμων. Ἰνδοὺς ἀκούω νομάδας ἱπποβάμοσιν εἶναι καμήλοις S. 281. στρατὸν Ἀριμασπὸν ἱπποβάμον' V. 807.

Ἱπποβάτας. τοξοδάμαντές τ' ἠδ' ἱπποβάται P. 26.

Ἱππογνώμων. ἔχω τε τούτων θυμὸν ἱππογνώμονα Fr. Sagitt. 1. 5.

Ἱππομέδων. Ἱππομέδοντος σχῆμα T. 470.

Ἵππος. μυρίας ἵππου βραβεὺς P. 294. ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας P. 307. ἵππου νεοσσὸς, ἀσπιδηστρόφος λεὼς A. 799. ἄστομον ἵππον Fr. Inc. 76. ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον λεύσσω ξὺν ἵπποις S. 180. οἱ μὲν ἐφ' ἵππων, οἱ δ' ἐπὶ ναῶν P. 17. ἵππων τ' ἐλατὴρ Σωσθάνης P. 32. ἵππος χαλινῶν ὡς κατασθμαίνων T. 375. ἵππους τ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας δινεῖ T. 443. ὑφ' ἅρματ' ἤγαγον φιληνίους ἵππους V. 464. ξὺν ἵπποις C. 1018. ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι Fr. Gl. Potn. 1. 2. κάματόν θ' ἵππων θερμοῦ μαλακαῖς ὕδατος προχοαῖς ἀναπαύει Fr. Prom. Sol. 3. 8.

Ἰσάργυρος. πορφύρας ἰσάργυρον κηκῖδα A. 933.

Ἴσημι. ἴσθι γὰρ S. 428. ἐκ τῶνδε τοίνυν, ἴσθι, μηχανὴ καλὴ S. 454. ἴσθι τάδ', ἤδη πόλεμον αἱρήσῃ νέον S. 928. εὖ τόδ' ἴσθι P. 169. 208. 423. 427. σάφ' ἴσθι P. 329. A. 1599. εὖ γὰρ σαφῶς τόδ' ἴσθι P. 770. ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῶ V. 288. ἴσθι τἀληθῆ κλύων A. 666. γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμὲ A. 906. ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενὸς A. 1275. ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν A. 1655. ἴστω δ' ὅστις οὐχ ὑπόπτερος φροντίσιν δαεὶς C. 594. ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὖνιν ζυγέντ' ἐν ἅρματι πημάτων C. 783. ἐν χρόνῳ μαθὼν ἴσωσον αὐτὸς S. 918.

Ἰσθμός. Κιμμερικὸν ἥξεις ἰσθμὸν V. 731.

Ἰσμήνη. Ἀντιγόνη τ' ἠδ' Ἰσμήνη T. 844.

Ἰσμηνός. πόρον δ' Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν ὁ μάντις T. 360.

Ἰσοδαίμων. μακαρίτας ἰσοδαίμων βασιλεὺς P. 625.

Ἰσόθεος. ἰσόθεος φὼς P. 80. βασιλεὺς ἰσόθεος Δαρεῖος ἦρχε χώρας P. 842.

Ἰσόμοιρος. σκότῳ φάος ἰσόμοιρον C. 317.

Ἰσόνειρος V. 548.

Ἰσόπαις. ἰσχὺν ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις A. 75.

Ἰσόπρεσβυς. νεαρὸς μυελὸς στέρνων ἔντος ἀνάσσων ἰσόπρεσβυς A. 78.

Ἰσόῤῥοπος. τάλαντα βρίσας οὐκ ἰσοῤῥόπῳ τύχῃ P. 338.

Ἴσος. τῶνδ' ἐξ ἴσου ῥεπομένων S. 400. θεῶν ἴσον ὀφθαλμοῖς φάος ὁρμᾶται P. 146. οὔτε μεῖον, οὔτ' ἴσον λελιμμένοι T. 337. ἐμοιράσαντο δ' ὀξυκάρδιοι κτῆμαθ' ὥστ' ἴσον λαχεῖν T. 890. ἴσον δὲ τῷ προστένειν A. 244. ὑπὸ δ' εὐνοίας πῶς ἴσον εἰποῦσ' ἀνύσωμαι; C. 845. ἴσον γάρ ἐστι τἀρίθμημα τῶν πάλων E. 723.

Ἰσοῦν. ἴσωσον S. 918.

Ἰσόψηφος. νικᾷ δ' Ὀρέστης, κἂν ἰσόψηφος κριθῇ E. 711. ἰσόψηφος δίκη ἐξῆλθε E. 761.

Ἰσόψυχος. κράτος τ' ἰσόψυχον ἐκ γυναικῶν καρδιόδηκτον ἐμοὶ κρατύνεις A. 1449.

Ἱστάναι. τίνα βοὴν ἵστης δόμοις; C. 872. ἔστακε δ' Ἄτας τρόπαιον ἐν πύλαις T. 937. ἕστηκε κίον' οὐρανοῦ τε καὶ χθονὸς ὤμοις ἐρείδων V. 349. ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρὸς A. 1027. ἕστηκα δ' ἔνθ' ἔπαισ' ἐπ' ἐξειργασμένοις A. 1352. ὑμεῖς δὲ θρηνεῖτ' ἐγγὺς ἑστῶτες τάφου P. 672. εἰ μὴ θεῶν τις ἐμποδὼν ἔστη δορὶ τῷ τοῦδε T. 1007. τριχὸς δ' ὀρθίας πλόκαμος ἵσταται T. 546. σταθεὶς πρὸ τειχέων διὰ μάχης ἥξω τέλους S. 470.

Ἱστορεῖν. εἴ τις ἀκτὶς ἡλίου νιν ἱστορεῖ καὶ ζῶντα καὶ βλέποντα A. 662. πατέρα δ' ἱστορεῖς καλῶς E. 433. κακῶς τὸ μέλλον ἱστορῶν P. 446. τὴν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον V. 635.

Ἱστοτριβής. πιστὴ ξύνευνος, ναυτίλων τε σελμάτων ἱστοτρίβης A. 1418.

Ἴστρος. Ἴστρος τοιαύτας παρθένους λοχεύεται Fr. Niobe 8.

Ἴσχειν. ἴσχε μὴ φόβου νικῶν πολὺ E. 1048.

Ἰσχναίνειν. ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ, καὶ μὴ σφριγῶντα θυμὸν ἰσχναίνῃ βίᾳ V. 380. ἐκ τῶνδ' ἔπινε βρύτον ἰσχναίνων χρόνῳ F. Lyc. 1. 1. καὶ ζῶντά σ' ἰσχνάνασ' ἀπάξομαι κάτω E. 257.

Ἰσχύειν. εὐελπίς εἰμι τῶνδε σ' ἐκ δεσμῶν ἔτι λυθέντα μηδὲν μεῖον ἰσχύσειν Διὸς V. 508. ὅρκος γὰρ οὔτι Ζηνὸς ἰσχύει πλέον E. 591.

Ἰσχυρός. ἄλοχος ἰσχυρὰ Διὸς S. 299. κύρισσαν ἰσχυρὰν χθόνα P. 302.

Ἰσχύς. πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς ᾤχωκε P. 12. δορικράνου λόγχης ἰσχὺς κεκράτηκεν P. 145. βασίλεια γὰρ διόλωλεν ἰσχὺς P. 582. ἔστι θεοῖς δ' ἔτ' ἰσχὺς καθυπερτέρα T. 208. μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν ὅδε Καδμείων ἤρυξε πόλιν T. 1066. οὐ πρὸς ἰσχὺν οὐδὲ πρὸς τὸ καρτερὸν, δόλῳ δε V. 212. ἰσχὺν ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις A. 74. ἰσχὺς πορευτοῦ λαμπάδος A. 278. πότε δὴ στομάτων δείξομεν ἰσχὺν ἐπ' Ὀρέστῃ; C. 710. ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη, ποίη ξυνωρὶς τῆσδε καρτερωτέρα; Fr. Inc. 40.

Ἴσως. ἴσως γὰρ ἢ κήρυξ τις ἢ πρέσβυς μόλοι S. 708. ἴσως ἂν ἔλθοι θαλερωτέρῳ πνεύματι T. 689. ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγειν τάδε V. 317. ἀπειθοίης δ' ἴσως A. 1019.

Ἴτηλον Fr. Glauc. Potn. 6.

Ἴττυγα Fr. Inc. 126.

Ἴτυς. Ἴτυν Ἴτυν στένουσ' ἀμφιθαλῆ κακοῖς ἀηδὼν A. 1115.

Ἴυγξ. ἴυγγά μοι δῆτ' ἀγαθῶν ἑτάρων ὑπομιμνήσκεις P. 949.

Ἰυγμός. δι' αἰῶνος δ' ἰυγμοῖσι βόσκεται κέαρ C. 26.

Ἰύζειν. ἴυζε δ' ὀμφὰν S. 789. ἴυζε καὶ λάκαζε, καὶ κάλει θεοὺς S. 851. ἴυζ' ἄποτμον βοὰν δυσαιανῆ Πέρσαις P. 272. ἴυζε μέλος ὁμοῦ τιθεὶς P. 999.

Ἰφιγένεια. τὴν πολύκλαυτον Ἰφιγένειαν ἀνάξια δράσας A. 1507. Ἰφιγένεια θυγάτηρ περὶ χεῖρε βαλοῦσα φιλήσει A. 1536.

Ἴχαρ. κελεύω βίᾳ μεθέσθαι ἴχαρ, φρενί τ' ἄταν S. 830.

Ἰχθυβόλος. ἰχθυβόλῳ μηχανᾷ Ποσειδῶν ἐπίλυσιν φόβων ἐπίλυσιν δίδου T. 122.

Ἰχθύς. ὥστε θύννους, ἤ τιν' ἰχθύων βόλον ἔπαιον P. 416. ἄπειρον ἀμφίβληστρον ὥσπερ ἰχθύων περιστιχίζω A. 1355.

Ἴχνος. παλαιὸν δ' εἰς ἴχνος μετέσταν ματέρος ἀνθονόμους ἐπωπὰς S. 533. ἴχνος τὸ πρόσθεν οὐ διαστρέψω φρενὸς S. 995. ἐς ταυτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος V. 847. κυναγοὶ κατ' ἴχνος πλάταν ἄφαντον κελσάντων Σι-

μόεντος ἀκτὰς ἐπ' ἀεξιφύλλους A. 678. *καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων* A. 1157.

Ἰχνοσκοπεῖν. *ἰχνοσκοποῦσά τ' ἐν στίβοισι τοῖς ἐμοῖς ἀνεπτερώθης* C. 226.

Ἰώ. bis P. 935. 965. T. 862. 952. 985. 988. 989. 993. V. 576. 696. A. 398. 1107. 1117. 1430. C. 157. Fr. Myrm. ter. S. 118. C. 48. 49. Fr. Dan. quinquies T. 86. *ἰὼ Ἰοῦς μῆνις μάστειρ' ἐκ θεῶν* S. 153. *ἰὼ γᾶ βουνῖτι* S. 757. *ἰὼ ἰοὺ* S. 831. A. 25. C. 868. E. 752. *ἰὼ πολεως ἀγοὶ* S. 881. *ἰὼ δύστηνος ἐγὼ* P. 873. *ἰὼ Περσίς αἶα δύσβατος* P. 1026. *Ἰὼ δὴ κατ' ἄστυ* P. 1027. 1030. *ἰὼ δῆτα ναὶ ναὶ* P. 1028. *ἰὼ μάκαρες εὔεδροι* T. 93. *ἰὼ παναλκεῖς θεοί, ἰὼ τέλειοι τέλειαί τε* T. 150. *ἰὼ φίλοι δαίμονες* T. 157. *ἰὼ πρόμαχ' ἐμῶν δόμων* T. 465. *ἰὼ πολύστονοι* T. 827. *ἰὼ δυσαδελφόταται πασῶν* T. 852. *ἰὼ Μοῖρα* T. 975. *ἰώ μοι μοι. ἒ ἒ ἒ ἒ* V. 744. *ἰὼ ποποῖ* A. 1071. *ἰὼ τάλαινα* A. 1078. *ἰὼ γάμοι* A. 1127. *ἰὼ Σκαμάνδρου πάτριον ποτὸν* A. 1129. *ἰὼ πόνοι* A. 1139. *ἰὼ ἰὴ* A. 1468. *ἰὼ γαῖα* C. 43.

Ἰώ. *ἰὼ Ἰοῦς μῆνις μάστειρ' ἐκ θεῶν* S. 153. *κληδοῦχον Ἥρας φασὶ δωμάτων ποτε Ἰὼ γενέσθαι* S. 289. *ἐφάπτωρ Ἰοῦς* S. 530. *ὅσπερ Ἰὼ πημονᾶς ἐλύσατ'* S. 1050. *σὸν ἔργον, Ἰοῖ, ταῖσδ' ὑπουργῆσαι χάριν* V. 639. *εἰσιδοῦσα πρᾶξιν Ἰοῦς* V. 697. *σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω* V. 790. *Ἰοῦς γάμος* V. 901.

Ἰωνία. *Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ* T. 757.

Ἰωνικός. *Ἰωνικὴν ῥῆσιν ἐκτείνας* Fr. Inc. 68.

K.

Καβαῖος. *ὁ Κισσεὺς Ἀπόλλων, ὁ Καβαῖος μάντις* Fr. Inc. 100.

Κάδμειος. *Καδμείων πόλις* T. 8. 997. 1067. *Καδμείων ἄναξ* T. 39. *ἄστυ Καδμείων* T. 46. 513. *φέρει δ' ὑπ' αὐτῇ φῶτα Καδμείων ἕνα* T. 525. *ἀλλ' ἄνδρας Ἀργείοισι Καδμείους ἅλις ἐς χεῖρας ἐλθεῖν* T. 661. *ἀναστατῆρα Καδμείων χθονὸς* T. 1006. *ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω* T. 1017.

Καδμογενής. *στρατὸν Καδμογενῆ ῥύεσθε* T. 285.

Κάδμος. *Κάδμου πολῖται* T. 1. *Κάδμου πόλις* T. 74. 114. *Κάδμου ἐπώνυμον πόλιν φύλαξον* T. 125. *Κάδμου πύργους τούσδε ῥύεσθε* T. 805.

Κάζειν. *ἐποίσειν εὖ κεκασμένον δόρυ* E. 736.

Καθαιμάσσειν. *ἔστ' ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου σφαγαὶ καθαιμάξωσι νεοθήλου βοτοῦ* E. 428.

Καθαιρεῖν. *φῶτ' ἄδικον καθαιρεῖ* A. 387. *χρόνος καθαιρεῖ πάντα* E. 276.

Καθαίρειν. *πόροι φόνον καθαίροντες* C. 70. *καθαίρομαι γῆρας* Fr. Dan. 34. *ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα* Fr. Inc. 384.

Κάθαρμα. *στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας, πάλιν* C. 96.

Καθαρμός. *εἴσω καθαρμὸς* C. 1055. *τίς ἂν καθαρμοὺς πόροι;* T. 720. *ὅταν ἀφ' ἑστίας μύσος πᾶν ἐλάσῃ καθαρμοῖσιν ἀτᾶν ἐλατηρίοις* C. 962. *ἐπίσταμαι πολλοὺς καθαρμοὺς* E. 267.

Καθαρύς. *καθαροῖσι βωμοῖς θεοὺς ἀρέσονται* S. 641. *καθαρὰς χεῖρας προσνέμων* E. 303. *ἱκέτης προσῆλθες καθαρὸς ἀβλαβὴς δόμοις* E. 452.

Καθάρσιος. *αἷμα γὰρ καθάρσιον* T. 662. *ἰατρόμαντις δ' ἐστί, καὶ τερασκόπος καὶ τοῖσιν ἄλλοις δωμάτων καθάρσιος* E. 63. *ἔστ' ἂν πρὸς ἀνδρὸς αἵματος καθάρσιοι σφαγαὶ καθαιμάξωσι νεοθήλου βοτοῦ* E. 427. *φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος* E. 548.

Καθέζεσθαι. *τὸν πατρῷον ἐς θρόνον καθέζετ'* V. 229. *Τιτανίς ἄλλη παῖς χθονὸς καθέζετο* E. 6.

Καθεύδειν. *οὐ καθεύδουσιν χερὶ* A.

1330. κωφοῖς ἀΰτῶ καὶ καθεύδουσιν μάτην ἄκραντα βάζω C. 367. εὕδοιτ' ἄν, ὠή, καὶ καθευδουσῶν τί δεῖ E. 94.

Καθήκειν. πρέπει δ' ἀκάμπτῳ μένει καθήκειν C. 448.

Καθῆσθαι. ἐμῶν κάθησθε δωμάτων ἐφέστιοι S. 360. θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις V. 918. χερῶν ἄκρας κτένας ἔθρυπτ' ἄνωθεν ἀνδρακὰς καθήμενος A. 1577. μὴ Ἄλεγχε τὸν πονοῦντ' ἔσω καθημένη C. 906. ἔσθ' ὅπου τὸ δεινὸν εὖ καὶ φρενῶν ἐπίσκοπον δειμανεῖ καθήμενον E. 494. στείχοντι καὶ καθημένῳ Fr. Inc. 5.

Καθιέναι. τὸν ἀντίτολμον δὲ φαμὶ παρβάταν τὰ πολλὰ παντόφυρτ' ἄνευ δίκης βιαίως ξὺν χρόνῳ καθήσειν E. 525.

Καθιεροῦν. ἐμοὶ τραφείς τε καὶ καθιερωμένος E. 294.

Καθιζάνειν. ἔπειτα μάντις εἰς θρόνους καθιζάνω E. 29.

Καθιππάζεσθαι. καθιππάζῃ με πρεσβῦτιν νέος E. 701. νέος δὲ γραίας δαίμονας καθιππάσω E. 145. ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους καθιππάσασθε E. 749.

Καθιστάναι. καὶ πάννυχοι δὴ διάπλοον καθίστασαν ναῶν ἄνακτες πάντα ναυτικὸν λεὼν P. 374. πᾶν δ' ἀναπτύξας πάθος λέξον καταστὰς P. 287. εὑδόντων ὕπερ ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι E. 676.

Καθορᾶν. τί δὲ μέλλω φρένα Δῖαν καθορᾶν S. 1044.

Καθορμίζειν. τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας V. 967.

Καθυπέρτερος. ἔστι θεοῖς δ' ἔτ' ἰσχὺς καθυπερτέρα T. 209.

Καί. μὴ καὶ λόγος τις Ζῆνα μιχθῆναι βροτῷ; S. 291. ἄλλως τε καὶ μολόντες ἀλίμενον χθόνα S. 749. καὶ δὴ πέπεμπτ' οὐ κόμπον ἐν χεροῖν ἔχων T. 454.

Καίειν. τράγος γένειαν καίει τὸν ἀψάμενον Fr. Prom. Ign. 3. φάος δὲ τηλέπομπον οὐκ ἀναίνετο φρουρά, πλέον καίουσα τῶν εἰρημένων A. 292. ἤ τοι κέαντες, ἢ τεμόντες εὐφρόνως πειρασόμεσθα πῆμ' ἀποστρέψαι κακοῦ A. 823.

Κάϊκος. ἰὼ Κάϊκε, Μύσιαί τ' ἐπιῤῥοαὶ Fr. Myrm. 7. ποταμὲ Κάϊκε χαῖρε Fr. Mys. 1. 1.

Καίνειν. τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω C. 873. ἐκτίνει δ' ὁ καίνων A. 1542. δορὶ δ' ἔκανες T. 942. κάνες γ' ὃν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε C. 917. πύργων δ' ἔκτοθεν βαλὼν Ζεύς σφε κάνοι κεραυνῷ T. 612. πρὸς δ' ἀνδρὸς ἀνὴρ ὑπὸ δορὶ καίνεται T. 329.

Καινίζειν. μέμνησο δ' ἀμφίβληστρον, ᾧ σ' ἐκαίνισαν C. 485. τόνδ' ἐρημώσασ' ὄχον εἴκουσ' ἀνάγκῃ τῇδε καίνισον ζυγὸν A. 1041.

Καινοπηγής. καινοπηγὲς εὔθετον σάκος T. 624.

Καινοπήμων. καινοπήμονες νέαι δμωΐδες T. 345.

Καινός. ὅπως καινά τε κλύῃς νέα τ' ἄχη P. 654. πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθε V. 945. φέρω καινοὺς λόγους C. 648.

Καίπερ. πείθου γυναιξὶν, καίπερ οὐ στέργων ὅμως T. 694. ἦ μὴν ἔτ' ἐμοῦ, καίπερ κραταιαῖς ἐν γυιοπέδαις αἰκιζομένου, ἕξει χρείαν V. 167. καίπερ κεραυνῷ Ζηνὸς ἠνθρακωμένος V. 372. ἦ μὴν ἔτι Ζεὺς, καίπερ αὐθάδης φρενῶν, ἔσται ταπεινὸς V. 909.

Καίριος. γλῶσσα τοξεύσασα μὴ τὰ καίρια S. 441. χρὴ λέγειν τὰ καίρια T. 1. φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια T. 601. οὐδὲν ἐπελπομένα ποτε καίριον ἐκτολυπεύσειν A. 1003. ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν A. 1265. πέπληγμαι καιρίαν πλήγην ἔσω A. 1316. σιγᾶν ὅπου δεῖ καὶ λέγειν τὰ καίρια C. 575. Fr. Pr. Inc. 1. καί σ' ἐποπτεύων πρόφρων θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς C. 1060.

Καιρίως. τίς πληγὴν ἀΰτεῖ καιρίως οὐτασμένος; A. 1317. πολλῶν πάροιθεν καιρίως εἰρημένων A. 1345.

Καιρός. τίνα καιρόν με διδάσκεις; S. 1045. καὶ τῶνδε καιρὸν ὅστις ὤκιστος λάβε T. 65. ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ V. 379. μὴ νῦν βροτοῖσιν ὠφέλει καιροῦ πέρα V. 505. τόνδε δ' οὐδαμῶς καιρὸς γεγωνεῖν V. 521. πρὸ καιροῦ A. 356. μήθ' ὑπεράρας μήθ' ὑποκάμψας καιρὸν χάριτος A. 761. ἔρξαντα καιρὸν χρῆν

τάδ' ὡς ἐπράξαμεν A. 1643. ἀλλ' ἔσθ' ὁ καιρὸς ἡμερεύοντας ξένους μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα C. 699.

Καίτοι. καίτοι τί φημί; V. 101. καίτοι γέμην σὺ κάρτ' ἐμοῦ σοφωτέρα E. 811.

Κακάγγελος. εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ γλώσσῃ μιαίνειν A. 622.

Κάκαλα Fr. Niobe 9.

Κάκη. διεῤῥόθησατ' ἄψυχον κάκην T. 174. προσβαλεῖν πύλαις οὐχ ὡς ἄθυμος, οὐδὲ λήματος κάκῃ T. 598.

Κάκκας S. 808.

Κακκυνηγέτις. δίκας μέτειμι τόνδε φῶτα κακκυνηγέτις E. 222.

Κακόμαντις. κακόμαντις θυμὸς P. 10. κακόμαντιν πατρὸς εὐκταίαν Ἐρινὺν T. 704.

Κακομέλετος. κακομέλετον ἰὰν Μαριανδυνοῦ θρηνητῆρος πέμψω P. 899.

Κακόποτμος. ἰὼ ταλαίνας κακόποτμοι τύχαι A. 1107.

Κακοῤῥήμων. πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ κακοῤῥήμονας; A. 1126.

Κακός. φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν P. 244. φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων P. 346. εἰ μόρον φευξοίαθ' Ἕλληνες κακὸν P. 361. αἲ ἐγὼ τάλαινα ξυμφορᾶς κακῆς P. 436. ταῦτα τοῖς κακοῖς ὁμιλῶν ἀνδράσιν διδάσκεται P. 739. τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν P. 743. ὥς με πόλλ' ἐσέρχεται κακὰ ἄλγη P. 831. δόσιν κακὰν κακῶν κακοῖς P. 998. θεοὶ θεαί τ' ὀρόμενον κακὸν ἀλεύσατε T. 86. αἰσχρῶν γὰρ ἀργὸς, μὴ κακὸς δ' εἶναι θέλει T. 393. ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς κάκιον οὐδὲν T. 581. κακοῦ δ' ἔκβαλ' ἔρωτος ἀρχὰν T. 669. κακὸς οὐ κεκλήσῃ, βιὸν εὖ κυρήσας T. 680. νίκην γε μέντοι καὶ κακὴν τιμᾷ θεὸς T. 698. κακόν με καρδίαν τι περιπιτνεῖ κρύος T. 816. πικρὸς δὲ χρημάτων κακὸς δατητὰς Ἄρης T. 926. κακαῖσι ποιναῖς ταῖσδέ μ' ἐξημείψατο V. 223. κακὸς δ' ἰατρὸς ὥς τις, ἐς νόσον πεσὼν ἀθυμεῖς V. 471. κακοῦ χαλκοῦ τρόπον A. 379. ποιμένος κακοῦ στρόβῳ A. 643. ἦ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν A. 1034. δίκην ἄτης λαθραίου τεύξεται κακῇ τύχῃ A. 1203. περιστιχίζω πλοῦτον εἵματος κακὸν A. 1356. φεῦ κακὸν αἶνον ἀτηρᾶς τύχας ἀκορέστου A. 1462. τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς οὐκ αὐτὸς ἠνάριζες; A. 1627. φῶτα προσσαίνειν κακὸν A. 1650. τῆς κακῆς ἀρᾶς κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀρὰν C. 143. κακός γε μάντις ἂν γνοίη τάδε C. 766. κρατεῖταί πως τὸ θεῖον παρὰ τὸ μὴ ὑπουργεῖν κακοῖς C. 953. κακαῖς ἐπιῤῥοαῖσι βορβόρῳ θ' ὕδωρ λαμπρὸν μιαίνων E. 664. ὁποῖα νίκης μὴ κακῆς ἐπίσκοπα E. 863. κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοὶ Fr. Inc. 20. μὴ γένῃ ὀργὴν ὁμοῖος τῷ κάκιστ' αὐδωμένῳ T. 660. τὸ βέλτερον κακοῦ καὶ τὸ δίμοιρον αἰνῶ S. 1055. ἦρξεν μὲν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων ποθεν P. 345. εὖ νῦν τόδ' ἴσθι μηδέπω μεσοῦν κακὸν P. 427. οὐ κακὸν τοσόνδε προσέβαλον πόλει P. 767. γᾷ τε πατρῴᾳ κακὸν ἐγενόμαν P. 897. ἔθεσθ' ἄελπτον κακὸν διαπρέπον P. 967. πέπλον δ' ἐπέῤῥηξ' ἐπὶ συμφορᾷ κακοῦ P. 987. οἴκῳ καὶ πόλει πλέον κακὸν T. 172. εἴπερ κακὸν φέρει τις αἰσχύνης ἄτερ T. 665. κοινώνει κακῷ T. 1024. τῷδε πρὸς κακῷ πταίσας V. 927. ἦσθαι δόμοις ἔρημον, ἔκπαγλον κακὸν A. 836. τοῦδ' ἐπεισφέρειν κακοῦ κάκιον ἄλλο πῆμα A. 838. μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακὸν A. 1073. κακῷ δέ τῳ προσεικάζω τάδε A. 1102. τί κακὸν, ὦ γύναι, χθονοτρεφὲς ἐδανὸν ἢ ποτὸν πασαμένα; A. 1380. ἔοικεν ἀνὴρ ὁ ξένος τεύχειν κακὸν C. 719. ἐνταῦθα γὰρ δὴ τοῦδ' ἀφικόμην κακοῦ C. 878. ἐχθρὸν, ὡς φαίνει, κακὸν C. 987. ἐπάθομεν πάθος δυσαχὲς, ὦ πόποι, ἄφερτον κακὸν E. 141. κακοῦ τε χλοῦνις E. 179. τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς Fr. Inc. 2. καὶ τὸ καλὸν πλέον ἢ κακὸν ἐκ σέθεν Fr. Inc. 23. 3. αἰόλ' ἀνθρώπων κακὰ S. 323. θέλω δ' ἄϊδρις μᾶλλον ἢ σοφὸς κακῶν εἶναι S. 448. οὐδαμοῦ λιμὴν κακῶν S. 466. τὸ γὰρ θανεῖν ἐλευθεροῦται φιλαιακτῶν κακῶν S. 784. πολλὰ δὴ Μήδους κακὰ ἔρξας P. 232. κακὸν μὲν πρῶτον ἀγγέλλειν κακὰ P. 249. ἄνια κακὰ P. 252. οἵ' ἐπορσύνθη κακὰ P. 259. σιγῶ πάλαι δύστηνος

ἐκπεπληγμένη κακοῖς P. 283. εἰ στένεις κακοῖς P. 287. πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακὰ P. 322. κακῶν ὕψιστα δὴ κλύω P. 323. πλῆθος κακῶν P. 421. κακῶν δὴ πέλαγος ἔῤῥωγεν μέγα Πέρσαις P. 425. τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ ἐλθεῖν κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα P. 432. κακῶν ὁρῶν βάθος P. 457. πολλὰ δ' ἐκλείπω λέγων κακῶν P. 506. μή καί τι πρὸς κακοῖσι προσθῆται κακὸν P. 523. κακῶν ἔμπειρος P. 590. κλύδων κακῶν P. 592. τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας P. 598. πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ γίνεται θνητοῖσιν P. 693. θανόντα, πρὶν κακῶν ἰδεῖν βάθος P. 698. κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι φίλοις P. 729. οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν P. 793. οὐδέπω κακῶν κρηπίς ὕπεστιν P. 800. κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι στημοῤῥαγοῦσιν P. 821. χαίρετ', ἐν κακοῖς ὅμως P. 826. οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν P. 837. Πέρσαις ἀγανοῖς κακὰ πρόκακα λέγεις P. 948. μήτ' ἐν κακοῖσι, μήτ' ἐν εὐεστοῖ φίλῃ ξύνοικος εἴην τῷ γυναικείῳ γένει T. 168. πολλάκι δ' ἐν κακοῖσι τὸν ἀμήχανον ὀρθοῖ T. 209. ὃς οὐκ ἐάσει γλῶσσαν ἐργμάτων ἄτερ ἔσω πυλῶν ῥέουσαν ἀλδαίνειν κακὰ T. 539. κακοῖσι, βάζει πολλὰ Τυδέως βίαν T. 553. μέγιστον Ἄργει τῶν κακῶν διδάσκαλον T. 555. κακῶν Ἀδράστῳ τῶνδε βουλευτήριον T. 557. δορίπονα κάκ' ἐκτρέποντες γᾶς πρὸς ἐπιμόλους T. 610. κακῶν δὲ καἰσχρῶν οὔ τιν' εὔκλειαν ἐρεῖς T. 667. θεῶν διδόντων, οὐκ ἂν ἐκφύγοι κακὰ T. 701. πόνοι δόμων νέοι παλαιοῖσι συμμιγεῖς κακοῖς T. 723. κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει T. 740. δίδυμα κάκ' ἐτέλεσεν T. 763. μάντις εἰμὶ τῶν κακῶν T. 790. διδυμάνορα κάκ' αὐτόφονα T. 832. κακῶν ἀτρύμονες T. 857. ἰὼ ἰώ, κακὰ T. 985. ἰὼ ἰώ, δυστόνων κακῶν T. 989. τραχύς γε μέντοι δῆμος ἐκφυγὼν κακὰ T. 1035. παθὼν κακῶς κακοῖσιν ἀντημείβετο T. 1040. ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ τρύσει σε V. 26. τίς οὐ ξανασχαλᾷ κακοῖς τεοῖσι V. 161. οὐδαμῆ χαλᾷ κακῶν V. 256. θεωρήσων τύχας ἐμὰς ἀφῖξαι καὶ συνασχαλῶν κακοῖς V. 303. σὺ δ' οὐδέπω ταπεινὸς οὐδ' εἴκεις κακοῖς V. 320. ὅταν τὰ λοιπὰ πυνθάνῃ κακὰ V. 746. ἦ 'μὸς παῖς σ' ἀπαλλάξει κακῶν; V. 775. οἷός σε χειμὼν καὶ κακῶν τρικυμία ἔπεισ' ἄφυκτος V. 1017. τί τῶνδ' ἄνευ κακῶν; A. 204. εἰ πρόσπαια μὴ τύχῃ κακὰ A. 338. πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω; A. 634. ἐν νυκτὶ δυσκύμαντα δ' ὠρώρει κακὰ A. 639. φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεάζουσαν ἐν κακοῖς βροτῶν ὕβριν A. 743. πολλὰ γὰρ τὰ πρὶν κακὰ ἠνειχόμεσθα A. 878. χρήσειν ἔοικεν ἀμφὶ τῶν αὐτῆς κακῶν A. 1053. πολλὰ συνίστορα αὐτόφονα κακὰ A. 1062. κακῶν γὰρ διαὶ πολυεπεῖς τέχναι θεσπιῳδὸν φόβον φέρουσιν μαθεῖν A. 1104. στένουσ' ἀμφιθαλῆ κακοῖς ἀηδὼν βίον A. 1114. ἴχνος κακῶν A. 1157. ἰοὺ ἰού, ὢ ὤ, κακὰ A. 1187. τοσῶνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε πλήσας A. 1370. ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω A. 1594. μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν, ἄλλα δράσωμεν κακὰ A. 1639. χάριν ἄχαριν, ἀπότροπον κακῶν C. 42. δόσιν κακῶν ἐπαξίαν C. 93. ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς C. 121. κακῶν κεδνῶν τ' ἀπότροπον ἄγος C. 151. ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾷν θέλεις C. 220. ἔχοντα πολλὰ δυστερπῆ κακὰ C. 275. δαιμονᾷ δόμος κακοῖς C. 559. κακῶν δὲ πρεσβεύεται τὸ Λήμνιον λόγῳ C. 622. τὰ μὲν γὰρ ἄλλα τλημόνως ἤντλουν κακὰ C. 737. τροπαίαν Ζεὺς κακῶν θήσει C. 764. ἀναίτιοι κακῶν C. 860. ἀναφυγαὶ κακῶν C. 931. τῶνδ' ἐπήκοοι κακῶν C. 974. ἐπορσύνθη κακὰ C. 1037. ἐκτὸς αἰτίας κακῶν C. 1027. κακῶν δ' ἕκατι κἀγένοντ' ἐπεὶ κακὸν σκότον νέμονται E. 71. τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά; E. 122. διδαχθεὶς ἐν κακοῖς E. 266. κακῶν τε μνήμονες σεμναὶ E. 361. προφωνῶν τὰ τῶν πέλας κακὰ E. 480. τὰν δ' ἄπληστον κακῶν στάσιν μήποτ' ἐν πόλει τᾷδ' ἐπεύχομαι βρέμειν E. 933. μόνος γὰρ εἶ συ τῶν ἀνηκέστων κακῶν ἰατρὸς Fr. Phil. 1. 2. μέγιστον ἴαμα τῶν πολλῶν κακῶν Fr. Inc. 28. 2. κακῶν ἐπόπτης Fr. Inc. 32. 1. πολλά γ' ἐν δόμοισιν εἴργασται κακὰ Fr. Inc. 53. 2. ἐν τοῖς κακοῖσι

μὴ τεθυμῶσθαι θεοῖς Fr. Inc. 79. 2.

Κάκοσμος. *κάκοσμος οὐράνη* Fr. Inc. 77.

Κακόσπλαγχνος. *ὡς πολίτας μὴ κακοσπλάγχνους τιθῇς* T. 219.

Κακόστρωτος. *σπαρνὰς παρήξεις καὶ κακοστρώτους* A. 542.

Κακότης. *πῶς με κελεύεις κακότητ' ἀσκεῖν;* V. 1068.

Κακοῦν. *ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσε στρατὸν* P. 714. *κακῶσαι δῶμα παμπήδην* Fr. Inc. 28.

Κακουχία. *οὔτ' ἐν πατρῴας μὲν χθονὸς κακουχίᾳ οἶμαι νιν αὐτῷ νῦν παραστατεῖν πέλας* T. 650.

Κακόφατις. *κακοφάτιδα βοὰν* P. 899.

Κακοφρονεῖν. *καὶ τίς σε κακοφρονῶν τίθησι δαίμων ὑπερβαρὴς ἐμπιτνῶν* A. 1147.

Κακόφρων. *ἢ νῦν τότε μὲν κακόφρων τελέθει* A. 100.

Κακῶς. *κακῶς δὲ πράξας οὐχ ὑπεύθυνος πόλει* P. 209. *κακῶς τὸ μέλλον ἱστορῶν* P. 446. *κακῶς δράσαντες οὐκ ἐλάσσονα πάσχουσι* P. 799. *μή μοι θεοὺς καλοῦσα βουλεύου κακῶς* T. 204. *παθὼν κακῶς κακοῖσιν ἀντημείβετο* T. 1040. *κακῶς πράσσοντας* V. 264. Fr. Inc. 19. Fr. Inc. 101. *τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς* V. 753. *ἐκ Διὸς πάσχω κακῶς* V. 760. *πάσχειν δὲ κακῶς ἐχθρὸν ὑπ' ἐχθρῶν οὐδὲν ἀεικὲς* V. 1044. *στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου* A. 656. *τὸ μὴ κακῶς φρονεῖν θεοῦ μέγιστον δῶρον* A. 901. *κακῶς ταριχευθέντα παμφθάρτῳ μόρῳ* C. 294. *ἄμομφον ὄντα τοὺς πέλας κακῶς λέγειν* E. 391. *φρονεῖν δὲ κἀμοὶ Ζεὺς ἔδωκεν οὐ κακῶς* E. 812. *οὐδ' ἐγκαλύπτει νὺξ κακῶς εἰργασμένα* Fr. Inc. 4. 4.

Καλάϊνος. *καλάϊνον χρῶμα* Fr. Inc. 137.

Καλεῖν. *καλοῦμεν αὐγὰς ἡλίου σωτηρίους* S. 210. *οἶστρον καλοῦσιν αὐτὸν οἱ Νείλου πέλας* S. 304. *εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς* P. 171. *κενὸς κενὸν καλεῖ* T. 335. *δίς τ' ἐν τελευτῇ τοὔνομ' ἐνδατούμενος καλεῖ* T. 561. *θεοὺς γενεθλίους καλεῖ πατρῴας γῆς ἐποπτῆρας λιτῶν τῶν ὧν γενέσθαι* T. 621. *ψευδωνύμως σε δαίμονες Προμηθέα καλοῦσιν* V. 85. *καὶ τὸν πανόπτην κύκλον ἡλίου καλῶ* V. 91. *ἰήϊον δὲ καλέω Παιᾶνα* A. 144. *ἡ δ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ* A. 1048. *τρίτον τόδ' ἐκπέραμα δωμάτων καλῶ* C. 644. *ὄναρ γὰρ ὑμᾶς νῦν Κλυταιμνήστρα καλῶ* E. 116. *ἀφ' ἁγνοῦ στόματος εὐφήμως καλῶ χώρας ἄνασσαν τῆσδ' Ἀθηναίαν* E. 277. *καλεῖ δ' ἀκούοντας οὐδὲν ἐν μέσᾳ δυσπαλεῖ τε δίνᾳ* E. 528. *ἴυζε καὶ λάκαζε, καὶ κάλει θεοὺς* S. 851. *Αἴγισθον ἡ κρατοῦσα τοὺς ξένους καλεῖν ὅπως τάχιστ' ἄνωγεν* C. 723. *ὅθεν καλεῖν Κουρῆτα λαὸν ἤνεσαν* Fr. Inc. 107. *τί νιν καλοῦσα δυσφιλὲς δάκος τύχοιμ' ἄν;* A. 1205. *λέγω, καλοῦσα πατέρ' ἐποίκτειρόν τ' ἐμὲ, φίλον τ' Ὀρέστην* C. 127. *Ποσειδῶνος κράτος καλοῦσα* E. 27. *τάδε μὲν Περσῶν τῶν οἰχομένων Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται* P. 2. *ὑψόθεν δ' εὖ κλύοι καλούμενος* S. 166. *καλουμένη δὲ φοιτὰς* A. 1246. *καὶ τίνα συνοισθά μοι καλουμένη βροτῶν;* C. 214. *αὐτῆς δὲ χώρας Ἀπίας πέδον τόδε πάλαι κέκληται φωτὸς ἰατροῦ χάριν* S. 258. *οὔτινος δοῦλοι κέκληνται φωτὸς, οὐδ' ὑπήκοοι* P. 238. *ὁπόσαι τεκνογόνοι κέκληνται* T. 911. *χάριτες δ' ὁμοίως κέκληνται* C. 318. *ἀραὶ δ' ἐν οἴκοις γῆς ὕπαι κεκλήμεθα* E. 395. *εἰ τόδ' αὐτῷ φίλον κεκλημένῳ* A. 156. *πυρός τε φέγγος ἄφθιτον κεκλημένον* C. 1033. *οὐκ ἔστι μήτηρ ἡ κεκλημένου τέκνου τοκεὺς* E. 628. *κακὸς οὐ κεκλήσῃ* T. 680. *Βόσπορος δ' ἐπώνυμος κεκλήσεται* V. 736. *πόντιος μυχὸς, σαφῶς ἐπίστασ', Ἰόνιος κεκλήσεται* V. 841. *οἰκτρῶς καλεῖσθέ μ'* P. 674. *εἰδότας μὲν τοὺς θεοὺς καλούμεθα* C. 199. *ὑμεῖς δὲ μαρτύριά τε καὶ τεκμήρια καλεῖσθε* E. 464.

Καλλίκαρπος. *τῆς καλλικάρπου Σικελίας λευρὰς γύας* V. 369.

Καλλίπαις. *οἴκων γὰρ εὐθυδίκων καλλίπαις πότμος αἰεὶ* A. 740.

Καλλίπρωρος. *μητρὸς ἐξ ὀρεσκόου βλάστημα καλλίπρωρον* T. 515. *στόματος καλλιπρώρου φυλακὰν κατασχεῖν φθόγγον ἀραῖον οἴκοις* A. 227.

Καλλίρροος. *χεροῖν καλλιρρόου ἔψαυσα πηγῆς* P. 197.

Κάλλος. *κάλλει τ' ἀμώμῳ* P. 181. *ἐν ποικίλοισι θνητὸν ὄντα κάλλεσιν βαίνειν* A. 897.

Καλός. ἐκ τῶνδε μηχανὴ καλὴ S. 454. οὕτω γένοιτ' ἂν οὐδ' ἂν ἔκβασις στρατῷ καλὴ S. 753. ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατὸν P. 240. οὐ γὰρ σφάγια γίνεται καλὰ T. 361. ἐκτίνων καλὰς τροφὰς Ἄργει T. 330. καλόν τ' ἀκοῦσαι καὶ λέγειν μεθυστέροις T. 563. τέθνηκεν, οὗπερ τοῖς νέοις θνήσκειν καλὸν T. 1002. εὔφρων ἁ καλὰ A. 138. οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ A. 606. οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοὶ ἰδόντα τοῦτον τῆς δίκης ἐν ἕρκεσιν A. 1592. ἐν δόμοισι βακχείας καλῆς ἰατρὸς ἐλπὶς ἦν C. 687. κόμπασον γέρας καλὸν E. 200. καλὰ λουτρὰ Fr. Gl. Potn. 2. 1. τί γὰρ καλὸν ζῆν βίοτον ὃς λύπας φέρει; Fr. Arm. Jud. 3. καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφὰ Fr. Inc. 17. καὶ τὸ καλὸν πλέον ἢ κακὸν ἐκ σέθεν Fr. Inc 23. 4. σοφιστὴς καλὰ παραπαίων χέλυν Fr. Inc. 50. μᾶλλον κάλλιον Fr. Inc. 102.

Κάλυμμα. καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων ἔσται δεδορκὼς A. 1151. αἰσχρῶς τε βουλευτοῖσιν ἐν καλύμμασι C. 487.

Κάλυξ. Διὸς νότῳ γανᾷ σπορητὸς κάλυκος ἐν λοχεύμασιν A. 1365.

Καλύπτειν. Ταρτάρου μελαμβαθὴς κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον V. 220. βροτοστυγεῖς δνόφοι καλύπτουσιν δόμους C. 51. τάφον γὰρ αὐτὴ τῷδε μηχανήσομαι καὐτὴ καλύψω T. 1031. οἷον οὔπω Περσίς αἶ' ἐκάλυψεν P. 638. πυρὶ φλέξον ἢ χθονὶ κάλυψον V. 584.

Καλύπτρα. πολλάκι δ' ἐμπιτνῶ ξὺν λακίδι, λίνοισιν ἢ Σιδονίᾳ καλύπτρᾳ S. 118. ἐλευθερίως νιν λαμπρῶς τ' ἰδεῖν φιλίοις ὄμμασι δνοφερᾶς καλύπτρας C. 798. πολλαὶ δ' ἁπαλαῖς χερσὶ καλύπτρας κατερεικόμεναι διὰ μυδαλέοις δάκρυσι κόλπους τέγγουσι P. 529.

Κάλχας. τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξε μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις A. 151. τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι A. 240.

Καλῶς. πελομένων καλῶς S. 116. αὐτοῖσι θ' ἡμῖν ἐκτελευτήσῃ καλῶς S. 406. ἄγαν καλῶς κλύουσα S. 699. καλῶς γ' ἂν ἡμῖν ξυμφέροι ταῦτ' S. 734. ὥστε μὴ φρονεῖν καλῶς P. 711. καλῶς τὰ πλείω πολεμὸς ἐκ θεῶν κυρεῖ T. 24. καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασι T. 781. εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς V. 981. αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς αὐτὴ καθ' αὑτὴν οὐδένος μεῖζον σθένει V. 1014. ἐν φοναῖς καλῶς πεσόντ' A. 435. τὸ μὲν καλῶς ἔχον ὅπως χρονίζον εὖ μένοι βουλευτέον A. 820. οὔποτ' ἐλπίσαντες ἤμησαν καλῶς A. 1014. ἐγὼ καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων καλῶς A. 1658. εὔχου τὰ λοιπὰ τυγχάνειν καλῶς C. 211. καλῶς θανὼν C. 350. πρὸς τὸ φανεῖσθαί μοι καλῶς C. 411. φύλασσε τἂν οἴκῳ καλῶς C. 572. διαπεπραγμένοις καλῶς ἔργοις C. 728. καλῶς κταμένον C. 794. κρίνω σὲ νικᾶν, καὶ παραινεῖς μοι καλῶς C. 890. βροτοὶ τυχόντες καλῶς C. 939. πατέρα δ' ἱστορεῖς καλῶς E. 433. ἔφθιθ' οὗτος οὐ καλῶς E. 435. μὴ πράσσειν καλῶς E. 795. οἴκοι μένειν δεῖ τὸν καλῶς εὐδαίμονα Fr. Inc. 19. καλῶς ἠφευμένος ὁ χοῖρος Fr. Inc. 52. καλῶς τεθνᾶναι κάλλιον ἂν μᾶλλον ἢ σεσῶσθαι Fr. Inc. 102.

Κάμαξ. διακναιομένης ἐν προτελείοις κάμακος A. 66. κάμακος γλώσσημα διπλάσιον Fr. Ner. 2. 1. κάμακες πεύκης οἱ πυρίφλεκτοι Fr. Xantr. 3. 1.

Κάματος. βέμβικας ἔχων τόρνου κάματον Fr. Ed. 1. κάματόν θ' ἵππων θερμαῖς ὕδατος μαλακοῦ προχοαῖς ἀναπαύει Fr. Prom. Sol. 3. 7.

Κάμηλος. Ἰνδοὺς ἀκούω νομάδας ἱπποβάμοσιν εἶναι καμήλοις S. 282.

Κάμινος. καὶ μὴ καμίνου σχῶσι μάκιστον σέλας Fr. Orith. 1.

Κάμνειν. τῶν πρὸ μάρπτις κάμνοις S. 807. μὴ κάμνειν χρόνῳ E. 867. φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεὸς Fr Inc 16. τὸν πολυξενώτατον Ζῆνα τῶν κεκμηκότων ἱξόμεσθα S. 149. ἔπειτ' ἀλλαγᾷ λόγου καμεῖν A. 469. κἀκεῖ δικάζει τἀμπλακήμαθ', ὡς λόγος, Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας S. 228. νεὼς καμούσης ποντίῳ πρὸς κύματι T. 192. στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου A. 656. οὔτοι καμοῦμαί σοι λέγουσα τἀγαθὰ E. 841.

Καμπή. Εὐβοΐδα καμπὴν ἀμφὶ Κηναίου Διὸς ἀκτὴν Fr. Glauc. Mar. 3. 1.

Κάμπτειν. ἄσμενος δὲ τὰν σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ V. 396. δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας

κάμψαι διαύλου θάτερον κῶλον πάλιν A. 335. *τοιαῖσδε πημοναῖσι κάμπτομαι* V. 237. *οἵαις ὑπ' αὐτοῦ πημοναῖσι κάμπτομαι* V. 306. *μυρίαισι πημοναῖς δύαις τε καμφθεὶς* V. 511. *ἐκάμπτετο ξίφος* Fr. Th. 3.

Καμπύλος. *ξὺν ἵπποις καμπύλοις τ' ὀχήμασι* S. 180.

Καμψίπους. *νῦν δὲ τρέω μὴ τελέσῃ καμψίπους Ἐριννὺς* T. 773.

Καναχής. *ἴετε δάκρυ καναχὲς ὀλόμενον ὀλομένῳ δεσπότᾳ* C. 150.

Κανδύλας Fr. Sal. 3.

Κάνωβος. *καὶ μὴν Κάνωβον, κἀπὶ Μέμφιν ἵκετο* S. 307. *ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονὸς* V. 848.

Καπανεύς. *Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις* T. 405. *Καπανεὺς δ' ἀπειλεῖ δρᾷν παρεσκευασμένος* T. 422. *Καπανεύς μοι καταλείπεται* Fr. Arg. 1.

Καπηλεύειν. *ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην* T. 527.

Κάπηλος. *κάπηλα προσφέρων τεχνήματα* Fr. Inc. 71.

Καπνός. *μέλας γενοίμαν καπνὸς νέφεσσι γειτονῶν Διὸς* S. 760. *καπνῷ χραίνεται πόλισμ' ἅπαν* T. 324. *σημανεῖ καπνῷ πυρὸς* A. 483. *καπνῷ δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις* A. 792. *καὶ πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιὰ* Fr. Inc. 13. 2.

Κάρα. *χηλαῖς κάρα τίλλονθ'* P. 204. *ἐμοὶ φίλον κάρα* A. 879. *οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα δημοῤῥιφεῖς, σάφ' ἴσθι, λευσίμους ἀρὰς* A. 1598. *τρίχα σαυτῆς ἀδελφοῦ σύμμετρον τῷ σῷ κάρᾳ* C. 225. *κτύπῳ δ' ἐπιῤῥοθεῖ κροτητὸν ἀμὸν καὶ πανάθλιον κάρα* C. 422. *ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα;* C. 489. *δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα* C. 1043. *περὶ κάρα πάρεστι γᾶς ὀμφαλὸν προσδρακεῖν* E. 159. *ποτιτρόπαιος δ' ὢν ἕτερον ἐν κάρᾳ μιάστορ' ἐκείνου πάσεται* E. 168. *ἐκ ποδῶν ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα* Fr. Xant. 1. 2.

Κάρανον. *φεῦ, φεῦ, κάρανα δαΐξας πιστὰ γένοιτο χώρᾳ* C. 390. *λεπαίοις δὲ καράνοις ἀραρῶς ἐνηλύσιος ἀπέλιπε* Fr. Arg. 1. ex emend. Both.

Καρανηστήρ. *οὗ καρανηστῆρες ὀφθαλμώρυχοι δίκαι* E. 177.

Καρανοῦν. *πρὸς δυσσεβείας ἦν ἐμοὶ τόδ' ἐν φρεσὶν τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις* C. 694. *καὶ πῆ τελευτᾷ καὶ καρανοῦται λόγος;* C. 521.

Κάρβανος. *καρβάνα δ' αὐδὰν εὐακοεῖς* S. 111. *κάρβανος ὢν δ' Ἕλλησιν ἐγχλίεις ἄγαν* S. 892. *σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερὶ* A. 1031.

Καρδία. *ἀπειρόδακρυς καρδία* S. 68. *κλῦθί μου πρόφρονι καρδίᾳ* S. 344. *ἤκουσα μακιστῆρα καρδίας λόγον* S. 461. *μελαινόχρως δὲ πάλλεταί μου καρδία* S. 766. *πρὶν δαΐκτορος βίᾳ καρδίας γάμου κυρῆσαι* S. 780. *καί με καρδίαν ἀμύσσει φρόντις* P. 157. *κακόν τι καρδίαν με περιπιτνεῖ κρύος* T. 816. *ἐντὸς δὲ καρδία στένει* T. 951. *φλογὸς παραγγέλμασι νέοις πυρωθέντα καρδίαν* A. 468. *ἰὸς καρδίαν προσήμενος δύσφρων* A. 808. *τίπτε μοι τόδ' ἐμπέδως δεῖγμα προστατήριον καρδίας τερασκόπου ποτᾶται;* A. 951. *προφθάσασα καρδία γλῶσσαν ἂν τάδ' ἐξέχει* A. 999. *ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς σταγὼν* A. 1092. *ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας λέγω* A. 1375. *μὴ κεύθετ' ἔνδον καρδίας* C. 100. *ὀρχεῖται δὲ καρδία φόβῳ* C. 165. *κἀμοὶ προσέστη καρδίᾳ κλυδώνιον χολῆς* C. 181. *πάροιθεν δὲ πρώρας δριμὺς ἦται καρδίας θυμὸς* C. 385. *Περσέως τ' ἐν φρεσὶν καρδίαν σχέθων* C. 819. *πρὸς δὲ καρδίᾳ φόβος ᾄδειν ἕτοιμος ἠδ' ὑπορχεῖσθαι κότῳ* C. 1020. *ὅρα δὲ πληγὰς τάσδε καρδίας σέθεν* E. 103. *ἄλγη προφωνῶν ἀντίκεντρα καρδίᾳ* E. 444. *μηδὲν ἐν φάει καρδίας ἀνατρέφων* E. 497. *ἐν δὲ καρδίᾳ ψῆφον φέροντες, ὅρκον αἰδεῖσθε, ξένοι* E. 649. *ἐξελοῦσ' ὡς καρδίαν ἀλεκτόρων* E. 823.

Καρδιόδηκτος. *κράτος τ' ἰσόψυχον ἐκ γυναικῶν καρδιόδηκτον ἐμοὶ κρατύνεις* A. 1450.

Καριόμαρδος. *Καριόμαρδός τ' ἀγαθὸς* P. 929.

Κάρπιμος. *καρπίμου θέρους τέκμαρ βέβαιον* V. 453.

Καρπός. *βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν* S. 742. *ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα* P. 609. *παντοδαπὸς δὲ καρπὸς χαμαδὶς πεσὼν ἀλγύνει κυρήσας* T. 339. *ὁμιλίας κακῆς κάκιον οὐδὲν, καρπὸς οὐ κομιστέος* T. 582.

εἰ καρπός ἐστι θεσφάτοισι Λοξίου T. 600. γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα καρπὸν E. 795. καρπόν τε γαίας καὶ βοτῶν E. 867.

Καρποτελής. καρποτελεῖ δέ τοι Ζεὺς ἐπικραινέτω φέρματι γᾶν πανώρῳ S. 671.

Καρποῦν. Ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν Ἄτης P. 807. γένος Πελασγῶν τήνδε καρποῦται χθόνα S. 250. αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν A. 488. οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον A. 607. Λιβύη μέγιστον τῆσδε γῆς καρπουμένη S. 313. βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος T. 575. ὃς καρπώσεται ὅσην πλατύῤῥους Νεῖλος ἀρδεύει χθόνα V. 853.

Κάρπωμα. καρπώματα στάζοντα κηρύσσει Κύπρις S. 979.

Κάρτα. τὸ τῇδε κάρτ' ἐπίφθονον γένος S. 198. Ἀμαζόνας, εἰ τοξοτευχεῖς ἦτε, κάρτ' ἂν ᾔκασα ὑμᾶς S. 285. ἀλγεινὰ θυμοῦ κάρτα κινητήρια S. 443. δεῖ κάρτα θύειν S. 445. ἦ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι S. 447. τοσαῦτ' ἔλεξε κάρθ' ὑπ' εὐθύμου φρενὸς P. 364. δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ T. 397. ἐπωνύμῳ δὲ κάρτα Πολυνείκῃ λέγω T. 640. κάρτ' ἀληθῆ T. 868. κάρτα δ' εἴσ' ὅμαιμοι T. 922. παιδὸς νέας ὡς κάρτ' ἐμωμήσω φρένας A. 268. ἦ κάρτα πρὸς γυναικὸς αἴρεσθαι κέαρ A. 578. κάρτ' ἀπομούσως ἦσθα γεγραμμένος A. 775. δοκοῦντες εἶναι κάρτα πρευμενεῖς ἐμοὶ A. 814. ἀλλ' ἦν παλαιστὴς κάρτ' ἐμοὶ πνέων χάριν A. 1179. ἦ κάρτ' ἄρ' ἂν παρεσκόπεις χρησμῶν ἐμῶν A. 1225. αὐτοῖσιν ἡμῖν κάρτα προσφερὴς ἰδεῖν C. 174. δόμον δοκοῦντα κάρτα νῦν πεπτωκέναι C. 261. ἦ κάρτα μάντις ὀὺξ ὀνειράτων φόβος C. 916. μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεὼς E. 15. κάρτα δ' ὢν ἐπώνυμος πομπαῖος ἴσθι E. 90. τὰ μὲν γὰρ οἶδα κάρτα σ' ἐνθυμουμένην E. 213. κάρτα πολλὴ μηχανὴ λυτήριος E. 616. κάρτα δ' εἰμὶ τοῦ πατρὸς E. 708. καίτοι γέμην σὺ κάρτ' ἐμοῦ σοφωτέρα E. 811. δέδοικα μῶρον κάρτα πυραύστου μόρον Fr. Inc. 30.

Καρτερός. ἐὰν δὲ προστιθῇ τὸ καρτερὸν S. 607. αἱμύλας τε μηχανὰς ἀτιμάσαντες καρτεροῖς φρονήμασιν V. 207. οὐ κατ' ἰσχὺν, οὐδὲ πρὸς τὸ καρτερὸν, δόλῳ δὲ V. 212. βροντῆς ὑπερβάλλοντα καρτερὸν κτύπον V. 925. Ζεύς τε Τυφῶ καρτερώτερος μάχῃ T. 500. ποίη ξυνωρὶς τῆσδε καρτερωτέρα; Fr. Inc. 40.

Κάρφος. κάρφει παλαιῷ κἀπιβωμίῳ ψόλῳ Fr. Bass. 2.

Κασάνδρα. εἴσω κομίζου καὶ σὺ, Κασάνδραν λέγω A. 1005.

Κασιγνήτη. κασιγνήτα γένους ταὐτοῦ P. 181. ταῖσδ' ὑπουργῆσαι χρεὼν, ἄλλως τε πάντως καὶ κασιγνήταις πατρὸς C. 639.

Κασίγνητος. λέξω τὸν αὐτοῦ σοῦ κασίγνητον T. 614. ἄρχοντί τ' ἄρχων, καὶ κασιγνήτῳ κάσις, ἐχθρὸς ξὺν ἐχθρῷ στήσομαι T. 656. ἐπεί με καὶ κασιγνήτου τύχαι τείρουσ' Ἄτλαντος V. 647. ἀμφὶ σώμασιν πεπτωκότες ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων A. 318.

Κάσις. λιγνὺν μέλαιναν αἰόλην πυρὸς κάσιν T. 476. ἄρχοντί τ' ἄρχων, καὶ κασιγνήτῳ κάσις, ἐχθρὸς ξὺν ἐχθρῷ στήσομαι T. 656. μαρτυρεῖ δέ μοι κάσις πηλοῦ ξύνουρος διψία κόνις τάδε A. 480.

Κασώλαβα Fr. Sac. 2.

Κατά. κατ' ἀρχῆς γὰρ φιλαίτιος λεὼς S. 480. οἱ κατὰ χθονὸς θεοὶ λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι P. 675. ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται T. 180. αὐτὸς καθ' αὑτοῦ τὴν ὕβριν μαντεύσεται T. 388. τοῦ κατὰ χθονὸς Αἵδου νεκρῶν σωτῆρος εὐκταίαν χάριν A. 1359. αὐτὸς καθ' αὑτοῦ γ' ἄρα μηχανοῤῥαφῶ C. 219. τῶν μὲν ἀρωγοὶ κατὰ γῆς ἤδη C. 371. θεῶν τῶν κατὰ γῆς ὅδ' ὕμνος C. 468. ὦ κατὰ χθονὸς θεαὶ E. 115. δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος αὐδᾶται πολύστονος φάτις E. 357. κατὰ νόμους ἀφικτόρων S. 238. πότερα κατ' ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις; S. 331. λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε S. 503. δυσπαλάμως ὄλοιο δι' ἀλίῤῥυτον ἄλσος S. 848. ἑκούσας μὲν κατ' εὔνοιαν φρενῶν ἄγοις ἂν S. 919. κατὰ πρεσβείαν οὓς αὐτὸς ἄναξ Ξέρξης

βασιλεὺς εἵλετο P. 4. ὅνπερ φῇς ἰδεῖν κατ' εὐφρόνην P. 217. φθιμένων πομποὺς εὔφρονας εἶναι κατὰ γαῖαν P. 619. ψυχῇ διδόντες ἡδονὴν καθ' ἡμέραν P. 827. αἱ κατὰ χέρσον ἐληλαμέναι (νῆσοι) P. 852. νᾶσοί θ' αἳ κατὰ πρῶν' ἅλιον περίκλυστοι P. 856. τὰς εὐκτεάνους κατὰ κλῆρον Ἰόνιον P. 866. κατὰ πτόλιν ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυῤῥόθοις T. 6. μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν ἅδε πανήγυρις T. 201. μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν T. 232. ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ T. 407. ἴτω κατ' οὖρον T. 672. πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι T. 801. ὀρθῶς κατ' ἐπωνυμίαν καὶ πολυνεικεῖς ὤλοντο T. 811. γόων, ὦ φίλαι, κατ' οὖρον ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν πίτυλον T. 836. οὐ κατ' ἰσχὺν, οὐδὲ πρὸς τὸ καρτερὸν V. 212. αἰτίαν καθ' ἥντινα αἰκίζεταί με V. 226. οὔτ' ἐμοὶ λέγειν καθ' ἡδονὴν, σοί τ' ἄλγος V. 261. πυκνοῖς ὄσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους V. 682. αὕτη κατ' Ἄργος βασιλικὸν τέξει γένος V. 871. ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν ἀριστεύει μακρῷ V. 892. αὐτὴ καθ' αὑτὴν οὐδένος μεῖζον σθένει V. 1015. πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους ἔμελψεν A. 236. κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις A. 342. τὰ κατ' οἴκους ἐφ' ἑστίας ἄχη A. 415. θεοῖς λάφυρα ταῦτα τοῖς καθ' Ἑλλάδα ἐπασσάλευσαν A. 564. ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν ἔλασκον A. 581. λευκὸν κατ' ἦμαρ A. 654. κυναγοὶ κατ' ἴχνος A. 679. λέγω κατ' ἄνδρα μὴ θεὸν σέβειν ἐμέ A. 899. ἦ καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα ἐρεῖ, σάφ' ἴσθι, καὶ κατ' ὀφθαλμοὺς βαλεῖ C. 567. καθ' ἡμέραν δ' οὐδὲν ἐμφανέστερος C. 805. λέξαι τε λάχη τὰ κατ' ἀνθρώπους ὡς ἐπινωμᾷ στάσις ἅμα E. 300. τακόμεναι κατὰ γᾶν μινύθουσιν ἄτιμοι E. 352. σκηνὰς ὅτ' ἦλθον Θησέως κατὰ φθόνον στρατηλατοῦσαι E. 656. τό θ' ἦμαρ καὶ κατ' εὐφρόνην ὁμῶς E. 662. ἐμὲ παλαιόφρονα κατὰ γᾶν οἰκεῖν E. 802. τοίγαρ κατὰ χθόν' οὐσ' ἐπικτήσῃ φίλους E. 861. πάντα γὰρ αὗται τὰ κατ' ἀνθρώπους ἔλαχον διέπειν E. 890. πάντες οἱ κατὰ πτόλιν E. 969. καθ' ὁδὸν δ' ὀλολύξατε νῦν ἐπὶ μολπαῖς E. 994. κατ' αὐτὸν τύμβον ἀθλίου Λίχα Fr. Glauc. Mar. 3. 2.

Καταβαθμός. ἕως ἂν ἐξίκῃ καταβαθμὸν V. 813.

Κατάγειν. κατάξω τόνδε T. 629. εἴ νιν κατάξει χρυσότευκτα γράμματα T. 642. τραφέντα δ' αὖθις ἡ Δίκη κατήγαγεν A. 1589.

Καταγελᾶν. ἐπόπτευσας δέ με ξὺν τοῖσδε κόσμοις καταγελωμένην μέγα φίλων ὑπ' A. 1244.

Κατάγελως. τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε; A. 1237.

Καταγινώσκειν. ὅπως ἂν εὖ κατεγνωσθῇ δίκη E. 543.

Καταθάπτειν. κάππεσε, κάτθανε, καὶ καταθάψομεν οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκου A. 1532.

Καταθνήσκειν. κάππεσε, κάτθανε, καὶ καταθάψομεν οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκου A. 1532. τλήσομαι τὸ κατθανεῖν A. 1263. ἀλλ' εὐκλεῶς τοι κατθανεῖν χάρις βροτῷ A. 1276. ἀλλ' οὐκ ἀνεκτὸν, ἀλλὰ κατθανεῖν κρατεῖ A. 1337. οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοὶ A. 1592. φίλων ἀλίδονα σώματα πολυβαφῆ κατθανόντα λέγεις φέρεσθαι P. 268. ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει V. 570. ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι A. 847.

Καταιβάτης. καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα V. 359.

Καταιγίζειν. ἵν' εὐλαβοῦ βρόμον καταιγίζοντα Fr. Prom. Sol. 5. 3. πρὶν καταιγίσαι πνοὰς Ἄρεος T. 63.

Καταιθαλοῦν. δόμους Ἀμφίονος καταιθαλώσω Fr. Niobe 6. 2.

Καταίθειν. σύ τοί μ' ἔφυσας, σύ με καταίθειν μοι δοκεῖς Fr. Inc. 20. καταίθουσα παιδὸς δαφοινὸν δαλὸν ἥλικα C. 599.

Καταινεῖν. πρὸς δυσσεβείας ἦν ἐμοὶ τόδ' ἐν φρεσὶν τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις, καταινέσαντα καὶ κατεξενωμένον C. 695.

Καταίσιος. ἐπιγνοὺς ἔργον οὐ καταίσιον A. 1580.

Καταισχυντήρ. ἦ καὶ βίον κτείνοντες ὧδ' ὑπείξομεν δόμων καταισχυντῆρσι τοῖσδ' ἡγουμένοις; A. 1336.

Καταισχύνειν. μακρᾶς κελεύθου δ' οὐ καταισχυνεῖν πόρον (ἔοικεν) T. 528.

Κατακαλύπτειν. εἴθ' ὄφελεν, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν τῶν οἰχομένων θανάτου κατὰ μοῖρα καλύψαι P. 881.

Κατακάρφεσθαι. τὸ θ' ὑπέργηρων φυλλάδος ἤδη κατακαρφομένης τρίποδας μὲν ὁδοὺς στείχει A. 80.

Κατακλύζειν. ἀλλοδαπῶν κύματι φωτῶν κατακλυσθῆναι T. 1070.

Κατακρατεῖν. θεόθεν γὰρ κατὰ μοῖρ' ἐκράτησε τὸ παλαιὸν P. 101.

Κατακρύπτειν. ἄστυ τὸ Σούσων ἠδ' Ἐκβατάνων πένθει δνοφερῷ κατέκρυψας P. 528.

Κατακτείνειν. σύ τοι σεαυτὴν, οὐκ ἐγὼ, κατακτενεῖς C. 910. τὸν Ἑρμῆς παῖδα Γῆς κατέκτανε S. 301. οὐδ' ἵκεθ' ὡς κατέκτανεν T. 965. εἰπεῖν γε μέντοι δεῖ σ', ὅπως κατέκτανες E. 561. ἀνδροκτονοῦσα πατέρ' ἐμὸν κατέκτανεν E. 572. οὐκ ἦν ὅμαιμος φωτὸς, ὃν κατέκτανεν E. 575. εἴ σφε σὺν δίκῃ κατέκτανον E. 580. σὺ δ' ἄνδρα τόνδ' ἔφης ἑκὼν κατακτανεῖν A. 1596. σὺ δ' ἔθανες κατακτανὼν T. 941. ἀλλά νιν κελαινόφρων ἐμὴ μήτηρ κατέκτα E. 438. τίνος κατέκτας ἕνεκα παῖδ' ἐμὸν βλάβης; Fr. Pal. 1. Ζεὺς ὃς κατέκτα τοῦτον Fr. Sem. 4. πρόκεισαι κατακτὰς T. 949. τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας E. 557.

Καταλέγειν. Καπανεύς μοι καταλέγεται Fr. Arg. 1.

Καταλήγειν. ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει μετακοιμισθὲν μένος ἄτης; C. 1071. πρὶν καταλῆξαι τὸ παλαιὸν ἄχος A. 1458.

Καταλλαγή. τέλειαι γὰρ παλαίφατοι ἀραὶ βαρειαὶ καταλλαγαὶ T. 749.

Καταμηνύειν. οὔποτ' ἀπειλὰς πτήξας, τόδ' ἐγὼ καταμηνύσω V. 175.

Κατάμομφος. δεξιὰ μὲν, κατάμομφα δὲ φάσματα στρουθῶν A. 143.

Κατανάειν. μεγάλας καὶ δυσαρέστους δαίμονας αὐτοῦ καταναςσαμένη E. 889.

Κατανθρακοῦν. στέγην πυρώσω καὶ κατανθρακώσομαι Fr. Orith. 1. 4.

Καταξαίνειν. παλιμμηκῆ χρόνον τιθεῖσαι τρίβῳ κατέξαινον ἄνθος Ἀχαιῶν A. 190.

Καταξενοῦν. πρὸς δυσσεβείας ἦν ἐμοὶ τόδ' ἐν φρεσὶν τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις καταινέσαντα καὶ κατεξενωμένον C. 695.

Καταξιοῦν. καὶ πολλὰ χαίρειν ξυμφοραῖς καταξιῶ A. 558. οὔτε νιν Δίκη προσεῖπε καὶ κατηξιώσατο T. 649.

Καταπαύειν. τίς γὰρ ἂν κατέπαυσεν Ἥρας νόσους ἐπιβούλους; S. 581.

Καταπίνειν. τὸν ἐλάσσονα ταχέως ὁ μέγας καταπίνει Fr. Ix. 3. 2.

Καταπίπτειν. κάππεσε, κάτθανε, καὶ καταθάψομεν οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκου A. 1532.

Καταπνεῖν. ἔτι γὰρ θεόθεν καταπνείει πειθὼ μολπὰν A. 106.

Καταπτήσειν. ὅδ' ἐνθάδ' ἐστί που καταπτακὼν E. 243.

Κατάπτερος. ἀδελφαὶ τῶνδε τρεῖς κατάπτεροι V. 800.

Κατάπτυστος. κατάπτυστοι κόραι E. 68.

Κατάρα. τελέσαι τὰς περιθύμους κατάρας βλαψίφρονος Οἰδιπόδα T. 707.

Καταῤῥάπτειν. λαγὼ δίκην Πενθεῖ καταρράψας μόρον E. 26.

Καταῤῥινᾶν. πολλοὺς δέ γ' εὑρήσουσιν ἐν μεσημβρίᾳ θάλπει βραχίον' εὖ κατεῤῥινημένους S. 728.

Καταῤῥίπτειν. εἴ τε δημόθρους ἀναρχία βουλὴν καταῤῥίψειεν A. 858.

Καταρτύειν. ἄλλως τε καὶ σὺ μὲν κατηρτυκὼς ὅμως ἱκέτης προσῆλθες καθαρὸς ἀβλαβὴς δόμοις E. 451.

Κατασβεννύναι. κλαυμάτων ἐπίσσυτοι πηγαὶ κατεσβήκασι A. 862. μητρός τε πηγὴν τίς κατασβέσει δίκη; T. 567. ἔστιν θάλασσα—τίς δέ νιν κατασβέσει; A. 932.

Κατασθμαίνειν. ἵππος χαλινῶν ὡς κατασθμαίνων μένει T. 375.

Κατασκάπτειν. Τροίαν κατασκάψαντα A. 511.

Κατασκαφή. Ἐτεοκλέα θάπτειν ἔδοξε γῆς φίλαις κατασκαφαῖς T. 999. τάφον γὰρ αὐτῷ καὶ κατασκαφὰς ἐγὼ γυνή περ οὖσα μηχανήσομαι T. 1027. ἰὼ κατασκαφαὶ δόμων C. 49.

Κατασκέλλεσθαι. φαρμάκων χρείᾳ κατεσκέλλοντο V. 479.

Κατασκήνωμα. νεκροῦ ποδένδυτον δροίτης κατασκήνωμα C. 993.

Κατασκήπτειν. τίς κατέσκηψεν τύχη; S. 322.

Κατάσκιος. πέφρικα λεύσσων τάσδ' ἕδρας κατασκίους S. 341. ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον νέον θ' ὅμιλον S. 349. τρεῖς κατασκίους λόφους σείει T. 366. κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον κλάδοις ἐλαίας A. 479.

Κατασποδεῖν. οὐδ' ἀμφιλέκτως μὴν κατεσποδημένοι T. 791.

Κατάστασις. φάος πιφαύσκων καὶ χορῶν κατάστασιν πολλῶν ἐν Ἄργει A. 23.

Καταστρέφειν. ποῖ καταστρέφεις λόγων τελευτήν; P. 773. ἐπεὶ δ' ἀκούειν σοῦ κατέστραμμαι τάδε A. 930.

Καταστροφή. ἄνευ δὲ λύπης οὐδαμοῦ καταστροφὴ S. 437. νῦν καταστροφαὶ νέων θεσμίων E. 468.

Κατασφάττειν. οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται κατασφαγείσης πρὸς χερῶν μητροκτόνων E. 102.

Κατασφραγίζειν. ταῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα, οὐδ' ἐν πτύχαις βίβλων κατεσφραγισμένα S. 926.

Κατασχέθειν. ὅσπερ Ἰὼ πημονᾶς ἐλύσατ' εὖ χειρὶ παιωνίᾳ κατασχέθων S. 1052.

Καταυχεῖν. πλήθει καταυχήσας νεῶν P. 344.

Καταφαγὰς Fr. Inc. 119.

Καταφέρειν. μάλα γὰρ οὖν ἁλομένα ἀνέκαθεν βαρυπεσῆ καταφέρω ποδὸς ἀκμὰν E. 348.

Καταφθατεῖν. πρόσωθεν ἐξήκουσα κληδόνος βοήν, ἀπὸ Σκαμάνδρου γῆν καταφθατουμένη E. 376.

Καταφθείρειν. δαίμων τις κατέφθειρε στρατὸν P. 376. λαὸς πᾶς κατέφθαρται δορὶ P. 715. ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς ὄλβος P. 247.

Καταφθίνειν. σύ τοι παλαιὰς δαίμονας καταφθίσας οἴνῳ παρηπάτησας ἀρχαίας θεὰς E. 697. σκληρᾶς μέτοικος γῆς ἐκεῖ κατέφθιτο P. 310. ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο καὶ νὺξ ἐπῄει P. 369.

Καταφθορά. πάρεστι δ' ὠδὶς καὶ φρενῶν καταφθορὰ C. 209.

Καταψεκάζειν. ἐξ οὐρανοῦ γὰρ κἀπὸ γῆς λειμώνιαι δρόσοι κατεψέκαζον A. 547.

Κατειδεῖν. παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει P. 730. ἄστρων κάτοιδα νυκτερῶν ὁμήγυριν A. 4.

Κατείδειν. κατεῖδον δὲ πῆμ' ἄελπτον P. 985. μήτ' οὖν αὐτὸς ἁλοὺς ὑπ' ἄλλων βίον κατίδοιμι A. 461. δαυλοὶ γὰρ πραπίδων δάσκιοί τε τείνουσιν πόροι κατιδεῖν ἄφραστοι S. 89. τὰς ὠγυγίους στυγνὰς κατιδόντες Ἀθάνας P. 936.

Κατεναρίζειν. εἰ γὰρ ὑπ' Ἰλίῳ πρός τινος Λυκίων, πάτερ, δορίτμητος κατηναρίσθης C. 343.

Κατεργάζεσθαι. μακέλλῃ τῇ κατέργασται πέδον A. 512.

Κατεργάθεσθαι. κήρυσσε, κῆρυξ, καὶ στρατὸν κατεργάθου E. 536.

Κατερείκεσθαι. πολλαὶ δ' ἀπαλαῖς χερσὶ καλύπτρας κατερεικόμεναι διὰ μυδαλέοις δάκρυσι κόλπους τέγγουσιν P. 530.

Κατέρχεσθαι. ἥκω γὰρ εἰς γῆν τήνδε καὶ κατέρχομαι C. 4. κατῆλθες ἐς πόλιν T. 980. κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ A. 1631. κἀγὼ κατελθὼν τὸν πρὸ τοῦ φεύγων χρόνον ἔκτεινα τὴν τεκοῦσαν E. 440.

Κάτευγμα. ἐπέζεσεν γὰρ Οἰδίπου κατεύγματα T. 691. καὶ πρὸς τί δῆτα τυγχάνω κατευγμάτων; C. 216. αἰνῶ δὲ μύθους τῶνδε τῶν κατευγμάτων E. 975.

Κατεύχεσθαι. οἵας γ' ἀρᾶται καὶ κατεύχεται τύχας T. 615. σὺ μὲν κατεύχῃ, τοῖς δ' ἀποκτείνειν μέλει A. 1223. ἐλθεῖν δ' Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ κατεύχομαι C. 137. ᾧ τ' ἐγὼ κατεύχομαι θεσπίσασα πρευμενῶς E. 882. πῶς κατεύξωμαι πατρί; C. 86.

Κατευχή. κλύοντες μακάρες χθόνιοι τῆσδε κατευχῆς, πέμπετ' ἀρωγὴν C. 470.

Κατέχειν. οἵ τ' ἐπίπαν ἠπειρογενὲς κατέχουσιν ἔθνος P. 43. οἱ δ' αὐτοῦ περὶ τεῖχος θήκας Ἰλιάδος γᾶς εὔμορφοι κατέχουσιν A. 442. χθόνα ναίειν διαπήλας ὁπόσαν καὶ φθιμένοισι κατέχειν T. 714. ὕπατοί τε θεοὶ καὶ βαρύτιμοι χθόνιοι θήκας κατέχοντες S. 25. πρὶν τόνδ' ἐπιδεῖν ἀργυροτοίχου δροίτας κατέχοντα χαμεύναν A. 1521. παῖς δ' ἐμὸς μαθὼν κατεῖχε, κἀπράϋνεν P. 186. οἰμωγὴ δ' ὁμοῦ

κωκύμασιν κατεῖχε πελαγίαν ἅλα P. 418. λευκόπωλος ἡμέρα πᾶσαν κατέσχε γαῖαν P. 379. δάκρυ μὴ κατασχεῖν A. 197. στόματός τε καλλιπρώρου φυλακὰν κατασχεῖν A. 227.

Κατηγορεῖν. εὖ γὰρ φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ A. 262.

Κατήγορος. τῶν τοι ματαίων ἀνδράσι φρονημάτων ἡ γλῶσσ' ἀληθὴς γίνεται κατήγορος T. 421.

Κατηρεφής. τίθησιν ὀρθὸν ἢ κατηρεφῆ πόδα E. 284.

Κατιέναι. φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος κάτεισιν A. 1256.

Κατισχαίνειν. αἱματηρὸν πνεῦμ' ἐπουρίσασά τῳ ἀτμῷ κατισχαίνουσα E. 133. οὐ μήν τι ποιναῖς ᾠόμην τοιαῖσδέ με κατισχανεῖσθαι πρὸς πέτραις πεδαρσίοις V. 269.

Κατοικίζειν. αἱ Θεμίσκυράν ποτε κατοικιοῦσιν ἀμφὶ Θερμώδονθ' V. 727. τυφλὰς ἐν αὐτοῖς ἐλπίδας κατῴκισα V. 250. γῆς πατρῴας ἐστερημένον σύ τοι κατῴκισάς με E. 726.

Κάτοικος. τί δῆτ' ἐγὼ κάτοικος ὧδ' ἀναστένω; A. 1259.

Κατοικτίζεσθαι. τί μέλλεις καὶ κατοικτίζῃ μάτην; V. 36. οὐ κατοικτίζῃ πάθος E. 119. καὶ ψάλλ' ἔθειραν, καὶ κατοίκτισαι στρατὸν P. 1019.

Κατοκνεῖν. σὺ δ' αὖ κατοκνεῖς, τῶν Διός τ' ἐχθρῶν ὕπερ στένεις; V. 67.

Κατολλύναι. νεολαία γὰρ ἤδη κατὰ πᾶσ' ὄλωλε P. 657.

Κατολολύζειν. στάσις δ' ἀκόρετος γένει κατολολυξάτω θύματος λευσίμου A. 1089.

Κατοπτήρ. σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ ἔπεμψα T. 36.

Κατόπτης. αὐτὸς κατόπτης δ' εἴμ' ἐγὼ τῶν πραγμάτων T. 41. ὅ τοι κατόπτης, ὡς ἐμοὶ δοκεῖ, στρατοῦ πευθώ τιν' ἡμῖν, ὦ φίλαι, νέαν φέρει T. 350.

Κάτοπτος. Σαρωνικοῦ πορθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλειν A. 298.

Κάτοπτρον. ὁμιλίας κάτοπτρον A. 813. κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ Fr. Inc. 12.

Κατορθοῦν. ἐπειδὴ δρᾷν κατορθῶσαι φρενὶ C. 505.

Κάτοχος. τἄμπαλιν δὲ τῶνδε γαίᾳ κάτοχ' ἀμαυροῦσθαι σκότῳ P. 219.

Κάτω. οὗ τινος ἄνωθεν ἡμένου σέβει κάτω S. 592. ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω P. 825. χώρει κάτω, σκέλη δὲ κίρκωσον βίᾳ V. 74. τὴν κάτω γὰρ οὐ λέγω χθονὸς A. 844. κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω C. 163. καὶ ζῶντά σ' ἰσχάνασ' ἀπάξομαι κάτω E. 257. τὰ δ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω στρέφων τίθησιν E. 620. εἰς τοὺς ἔνερθε καὶ κάτω χθονὸς τόπους E. 976. παρθένοις ἁγναῖς κάτω Fr. Sag. 1. 1. τρέπουσα τύρβ' ἄνω κάτω Fr. Inc. 53. 3.

Κάτωθεν. κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος P. 683. κάτωθεν ἀμπέμπων ὑστερόποινον ἄταν C. 376.

Κατῶρυξ. κατώρυχες δ' ἔναιον V. 450.

Καύκασος. οἳ πόλισμα Καυκάσου πέλας νέμονται V. 420. πρὶν ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς V. 721.

Καχλάζει. κῦμα γὰρ περὶ πτόλιν δοχμολόφων ἀνδρῶν καχλάζει πνοαῖς Ἄρεος ὀρόμενον T. 109. ὃ καὶ περὶ πρύμναν πόλεως καχλάζει T. 743.

Κέαρ. ἄφυκτον δ' οὐκ ἔτ' ἂν πέλοι κέαρ S. 765. πρὶν ἂν κορέσῃ κέαρ V. 165. ἀκίχητα γὰρ ἤθεα καὶ κέαρ ἀπαράμυθον ἔχει Κρόνου παῖς V. 184. εἰσιδοῦσα τ' ἠλγύνθην κέαρ V. 245. ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ V. 379. τούτου φυλάσσου μήποτ' ἀχθεσθῇ κέαρ V. 390. συννοίᾳ δὲ δάπτομαι κέαρ V. 435. ἡ Διὸς θάλπει κέαρ ἔρωτι V. 592. ἦ κάρτα πρὸς γυναικὸς αἴρεσθαι κέαρ A. 578. σπλάγχνα δ' οὔτι ματάζει πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις δίναις κυκλούμενον κέαρ A. 968. δι' αἰῶνος δ' ἰυγμοῖσι βόσκεται κέαρ C. 26. πέπαλται δ' αὖτέ μοι φίλον κέαρ C. 404.

Κέγχρεια. Κεγχρείας ῥέος V. 680.

Κεδνός. φυλάξομαι δὲ τάσδε μεμνῆσθαι σέθεν κεδνὰς ἐφετμὰς S. 203. φροντίδα κεδνὴν καὶ βαθύβουλον P. 138. πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα P. 168. ὦ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατῷ P. 717. αἲ αἲ κεδνᾶς ἀλκᾶς P. 892. νηὸς κεδνὸς οἰακοστρόφος T. 62. κεδνὸς Ἀστακοῦ τόκος T. 389. κεδνὸς Οἴνοπος τόκος T. 486. ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα T. 575. κεδνὸς στρατόμαντις A. 121. πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω; A.

634. πῶς δῆτ' ἂν εἰπὼν κεδνὰ τἀληθῆ τύχοις; A. 608. κακῶν κεδνῶν τ' ἀπότροπον ἄγος C. 162. κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον γνωστὸς γενέσθαι C. 690.

Κεῖνος. κείνου θέλοντος εὖ τελευτήσει τάδε S. 208. κεῖνα δ' ἐκμαθεῖν θέλω P. 226. αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει P. 778. κεῖνος δ' ὁ τάλας ἄγοος εἶσι T. 1055. ὅταν κείνῳ δοκῇ V. 258. κείνοις λέγουσα τήνδ' ἀρὰν C. 144. ἐπ' ἔργοις διαπεπραγμένοις καλῶς κείνῃ C. 729. ἔχω μεγίστην αἰτίαν κείνων ὕπο E. 99.

Κείρειν. μηδ' Ἀφροδίτας εὐνάτωρ βροτόλοιγος Ἄρης κέρσειεν ἄωτον S. 652. ἀλλ' οὐδὲ μήν νιν ἡ κτανοῦσ' ἐκείρατο C. 187. οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν C. 170. Ἰαόνων γὰρ ἀπηύρα, Ἰαόνων ναύφρακτος Ἄρης ἑτεραλκὴς νυχίαν πλάκα κερσάμενος P. 913.

Κεῖσθαι. κεῖνται παρ' ὑμῖν πρὸς θεοῖς ἀγωνίοις S. 239. κεῖται θανὼν δείλαιος οὐ μάλ' εὐτυχῶς P. 317. ἀχρεῖον καὶ παρήορον δέμας κεῖται στενωποῦ πλησίον θαλασσίου V. 363. κεῖται γυναικὸς τῆσδε λυμαντήριος A. 1413. κεῖται φιλήτωρ τοῦδε A. 1421. χθὼν—ἡ νῦν ἐπὶ ναυάρχῳ σώματι κεῖσαι τῷ βασιλείῳ C. 713. κεῖτ' ἀμπλάκημα τῷ περῶντι τὴν Θέμιν Fr. Inc. 3. πρὸς Νότου κεῖται πνοὰς Fr. Inc. 87. ἄξειν νιν ὑπτίασμα κειμένου πατρὸς A. 1258. ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐριννύων τὸν ἄνδρα τόνδε κείμενον A. 1563. ὡς πόλλ' ἐπωπᾷς κἀκποδῶν εὖ κείμενα C. 682. οὐ κειμένῳ πω τόνδε κομπάζεις λόγον E. 560. πολὺν ἄγαν χρόνον χαμαιπετεῖς ἐκεῖσθ' ἀεὶ C. 958. φιλεῖς τὸν ἄνδρα; τοίγαρ ἐν ταυτῷ τάφῳ κείσῃ C. 882.

Κέκλεσθαι. τίν' ἂν θεῶν ἐνδικωτέροισι κεκλοίμαν εὐλόγως ἐπ' ἔργοις; S. 586.

Κεκμῆτι Fr. Laius. 2.

Κελάδειν. ἐπεὶ μολὼν ματρόθεν κελάδησε C. 601.

Κέλαδος. πρῶτον μὲν ἠχῇ κέλαδος Ἑλλήνων πάρα μολπηδὸν εὐφήμησεν P. 380. βοᾷ δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος P. 597. ἀλλ' ἔτ' ἂν ἐκ τῶνδε θεὸς χρῄζων θείη κελάδους εὐφθογγοτέρους C. 337.

Κελαινόβρωτος. κελαινόβρωτον ἧπαρ ἐκθοινήσεται V. 1027.

Κελαινός. κελαινὸν εἴτι κεῦθός ἐστί που S. 759. κελαινῆς νυκτὸς ὄμμα P. 419. κελαινὸς δ' ἄϊδος ὑποβρέμει μυχὸς V. 431. ἥξεις κελαινὸν φῦλον V. 810. τέξεις κελαινὸν Ἔπαφον V. 853. ἔς τε κελαινὸν Τάρταρον ἄρδην ῥίψειε δέμας V. 1052. οἰωνῶν βασιλεὺς ὁ κελαινὸς A. 114. Ἐριννύες κελαιναὶ A. 450. κελαινοῦ κύματος πικρὸν μένος E 796.

Κελαινοῦσθαι. σπλάγχνα δέ μου κελαινοῦται πρὸς ἔπος κλυούσῃ C. 407.

Κελαινόφρων. ἀλλά νιν κελαινόφρων ἐμὴ μήτηρ κατέκτα E. 437.

Κέλεσθαι. ποίαν Ἐριννὺν τήνδε δωμάτων κέλῃ ἐπορθιάζειν; A. 1090.

Κελεύειν. κελεύω βίᾳ μεθέσθαι ἴχαρ, φρενί τ' ἄταν S. 829. βαίνειν κελεύω βᾶριν εἰς ἀντίστροφον S. 859. πῶς με κελεύεις κακότητ' ἀσκεῖν; V. 1068. λέξω, κελεύεις γάρ, τὸν ἐκ φρενὸς λόγον C. 105. πῶς οὖν κελεύει νιν μολεῖν ἐσταλμένον; C. 755. ἄγειν κελεύει δορυφόρους ὀπάονας C. 758. ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος χωρεῖτε E. 170. κελεύω τούσδ' ἀπὸ γνώμης φέρειν ψῆφον δικαίαν E. 644. χρησμὸς, κελεύων τόνδε κίνδυνον περᾶν C. 268. ἦ μὴν κελεύσω, κἀπιθωΰξω γε πρὸς V. 73. χρησμοὺς τοὺς ἐμούς τε καὶ Διὸς ταρβεῖν κελεύω E. 684.

Κελευθοποιός. κελευθοποιοὶ παῖδες Ἡφαίστου E. 13.

Κέλευθος. κέλευθον τόνδ' ἔστειλα P. 599. πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ P. 734. τήνδ' ἐβούλευσεν κέλευθον P. 744. μακρᾶς κελεύθου δ' οὐ καταισχυνεῖν πόρον ἔοικε T. 528. ἥκω δολιχῆς τέρμα κελεύθου διαμειψάμενος πρός σε V. 284. ἐς μεσημβρινὴν βῆναι κέλευθον V. 725. τὴν παρακτίαν κέλευθον ἦξας V. 839. κέλευθον ἥνπερ ἦλθες, ἐγκόνει πάλιν V. 964. χρονῷ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος A. 126. αἷς ἐπέσταλται τέλος πέδον κελεύθου στρωννύναι πετάσμασιν A. 883. ἀλλ' ἔσθ' ὁ καιρὸς ἡμερεύοντας ξένους μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσ-

φορα C. 700. ἐπῆμεν τῆς ὁδοῦ τροχήλατον σχιστῆς κελεύθου τρίοδον, ἔνθα συμβολὰς τριῶν κελεύθων Ποτνιάδων ἠμείβομεν Fr. Œd. 1. 1. διὰ χερῶν βέβακεν ὄψις οὐ μεθύστερον πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις A. 414.

Κέλευσμα. κώπης ῥοθιάδος ξυνεμβολῇ ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύσματος P. 389. ὀρθίων κελευσμάτων C. 740. Λοξίου κελεύσμασιν ἥκω E. 226.

Κέλλειν. κέλσαι δ' Ἄργους γαῖαν S. 15. τίς ηὔχει τήνδ' ἀνέλπιστον φυγὴν κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς τὸ πρίν; S. 326. πᾶ ποτε πόνων χρή σε τέρμα κέλσαντ' ἐσιδεῖν; V. 184. κυναγοὶ κατ' ἴχνος πλάταν ἄφαντον κελσάντων Σιμόεντος ἀκτὰς ἐπ' ἀεξιφύλλους A. 680. κέλσας ἐπ' ἀκτὰς ναυπόρους τὰς Παλλάδος E. 9.

Κεναγγής. ἀπλοίᾳ κεναγγεῖ βαρύνοντ' Ἀχαϊκὸς λεὼς A. 181.

Κενανδρία. Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει P. 716.

Κένανδρος. κένανδρον μέγ' ἄστυ Σουσίδος P. 118.

Κενός. ὑπ' ἄσθματος κενοὶ P. 476. κεναῖσιν ἐλπίσιν πεπεισμένος P. 790. καὶ κενὸς κενὸν καλεῖ T. 335.

Κενοῦν. μήποτε λοιμὸς ἀνδρῶν τήνδε πόλιν κενώσαι S. 646. κενώσας πᾶσαν ἠπείρου πλάκα P. 704.

Κενόφρων. κενοφρόνων βουλευμάτων V. 764.

Κέντημα. κέντημα γλώσσης σκορπίου βέλος λέγω Fr. Xantr. 1. 3.

Κεντροδήλητος. ὀδύναις κεντροδηλήτοις θείας Ἥρας μαινομένα S. 559.

Κέντρον. κέντρον ἔχων ἄφυκτον S. 102. δείματ' ἀμφηκεῖ κέντρῳ ψύχειν ψυχὰν ἐμὰν V. 694. ἔτυψεν δίκαν διφρηλάτου μεσολαβεῖ κέντρῳ ὑπὸ φρένας E. 152. ποῦ γὰρ τοσοῦτο κέντρον ὡς μητροκτονεῖν; E. 405. πρὸς κέντρα κῶλον ἐκτενεῖς V. 323. νόσον ἃ μαραίνει με κέντροισι φοιταλέοισι V. 601. πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς A. 1607.

Κεραία. λαῖφος ὅταν λάβῃ πόνος, θραυομένης κεραίας E. 527.

Κεραννύναι. τίς ὀδμὰ προσέπτα μ' ἀφεγγής, θεόσυτος, ἢ βρότειος, ἢ κεκραμένη; V. 116.

Κέρας. τὸ δεξιὸν μὲν πρῶτον εὔτακτον κέρας ἡγεῖτο κόσμῳ P. 391. ἀργυρηλάτοις κέρασι χρυσᾶ στόμια προσβεβλημένοις Fr. Perrh.

Κεράστις. κεράστις, ὡς ὁρᾶτ' ὀξυστόμῳ μυῶπι χρισθεῖσ', ἐμμανεῖ σκιρτήματι ἥσσον V. 677.

Κεραύνιος. ἀστραπάς τε καὶ κεραυνίας βολὰς μεσημβρινοῖσι θάλπεσιν προσείκασε T. 412. φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ πατὴρ σπαράξει τήνδε V. 1019. Βοῦραν ἱερὰν καὶ κεραυνίας Ῥύπας Fr. Inc. 56.

Κεραυνός. πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον ἥξειν κεραυνὸν T. 427. κεραυνοῦ δέ μιν βέλος ἐπισχέθοι T. 435. πύργων δ' ἔκτοθεν βαλὼν Ζεύς σφε κάνοι κεραυνῷ T. 612. καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα V. 359. κεραυνῷ Ζηνὸς ἠνθρακωμένος V. 372. πυρωπὸν ἐκ Διὸς μολεῖν κεραυνὸν V. 671. ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα V. 924. βάλλεται γὰρ ὄσσοις Διόθεν κεραυνὸς A. 456. ἐν ᾧ κεραυνός ἐστιν ἐσφραγισμένος E. 792.

Κερδαίνειν. σύ τ' οὐδὲν ἐκμαθοῦσα κερδανεῖς V. 878. ἥκει τόδ' ἦμαρ σμικρὰ κερδανῶ φυγῇ A. 1273.

Κέρδιστος. κέρδιστον, εὖ φρονοῦντα μὴ δοκεῖν φρονεῖν V. 385.

Κέρδος. καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται T. 419. μόνον γὰρ κέρδος ἐν τεθνηκόσιν T. 666. ἀρὰ, λέγουσα κέρδος πρότερον ὑστέρου μόρου T. 679. τί δῆτ' ἐμοὶ ζῆν κέρδος; V. 749. μή μοι προτείνων κέρδος, εἶτ' ἀποστέρει V. 779. κέρδεσιν νικώμενοι A. 333. ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείου στρατοῦ νικᾷ τὸ κέρδος A. 560. ἐμὸν κέρδος ἀέξεται τόδε C. 812. μηδέ νιν κέρδος ἰδὼν ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς E. 513. κερδῶν ἄθικτον τοῦτο βουλευτήριον E. 674. ἐκ τῶν φοβερῶν τῶνδε προσώπων μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις E. 945.

Κεροτυπεῖσθαι. κεροτυπούμεναι βίᾳ χειμῶνι τυφῷ σὺν ζάλῃ τ' ὀμβροκτύπῳ ᾤχοντ' ἄφαντοι (νῆες) A. 641.

Κερτομεῖν. ἐκερτόμησας δῆθεν ὡς παῖδ' ὄντα με V. 988.

Κεύθειν. ὃν οὐδὲ κατθανόντα γαῖα κεύθει V. 570. μὴ κεύθετ' ἔνδον καρδίας, φόβῳ τινὸς C. 100. ἐντὸς ὀμμάτων γέλων κεύθουσ' ἐπ' ἔργοις διαπεπραγμένοις καλῶς A. 728. φίλα γὰρ

κέκευθεν ἤθη P. 640. νῦν γὰρ λέβητος χαλκέου πλευρώματα σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου C. 676.

Κευθμών. ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαθὴς κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον V. 220. ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονὸς ἕξειν E. 772.

Κεῦθος. κελαινὸν εἴ τι κεῦθός ἐστί που S. 758. γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοισι E. 989.

Κευθόφρων. τί γὰρ κευθόφρονος θεῖον ἔμπας ποτᾶται C. 383.

Κεφαλή. πέποιθα δὴ τὸν Διὸς ἀντίπαλον πρόσθε πυλᾶν κεφαλὰν ἰάψειν T. 507.

Κήδειος. τύμβῳ χέουσα τάσδε κηδείους χοὰς C. 85. κουρὰν ἰδοῦσα τήνδε κηδείου τριχὸς C. 224. πέμπει τ' ἔπειτα τάσδε κηδείους χοὰς C. 531.

Κηδεμονικός Fr. Thr.

Κηδεμών. εἴτις ἐστὶ κηδεμὼν S. 72.

Κήδεσθαι. πόλιν φύλαξον, κήδεσαί τ' ἐναργῶς T. 127.

Κηδεύειν. ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν ἀριστεύει μακρῷ V. 892.

Κῆδος. κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς τὸ πρὶν S. 326. Ἰλίῳ δὲ κῆδος ὀρθώνυμον τελεσσίφρων μῆνις ἤλασε A. 683. δύστονα κήδε' ὁμώνυμα T. 971.

Κηκίς. τρέφουσα πολλῆς πορφύρας ἰσάργυρον κηκῖδα παγκαίνιστον A. 934. οὓς ἴδοιμ' ἐγὼ ποτε θανόντας ἐν κηκῖδι πισσήρει φλογὸς C. 266. φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται C. 1007.

Κηλίς. ἐκ δὲ τοῦ, λιχὴν ἄφυλλος, ἄτεκνος, ὦ δίκα, πέδον ἐπισύμενος βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ E. 756.

Κημός. καὶ τούσδε κημοὺς στόματος Fr. Lyc. 2.

Κηναῖος. βωμὸν ἀμφὶ Κηναίου Διὸς Fr. Glauc. M. 1.

Κήρ. ἀναρπαξάνδραν κῆρ' ἀφελόντα χώρας T. 759. βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι A. 199. ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς κῆρες Ἐριννύες T. 1047.

Κηραίνειν. θῆρες δὲ κηραίνουσι καὶ βροτοί τί μιν S. 977.

Κηρόπλαστος. ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ ἀχέτας ὑπνοδόταν νόμον V. 574.

Κηρυκεύειν. ἐλευθέροις νῦν ἐσθλὰ κηρυκευέτω S. 218.

Κηρύκευμα. ὡς οὔποτ' ἀνδρὶ τῷδε κηρυκευμάτων μέμψῃ T. 633.

Κῆρυξ. ἴσως γὰρ ἢ κῆρυξ τις ἢ πρέσβυς μόλοι S. 708. καὶ γὰρ πρέπει κήρυκ' ἀπαγγέλλειν τορῶς ἕκαστα S. 909. κήρυκ' ἀπ' ἀκτῆς τόνδ' ὁρῶ κατάσκιον κλάδοις ἐλαίας A. 478. Ἑρμῆν φίλον κήρυκα, κηρύκων σέβας A. 501. κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ A. 524. σὺ δ' εἰπὲ, κῆρυξ A. 603. κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω C. 163. κήρυσσε, κῆρυξ, καὶ στρατὸν κατεργάθου E. 536. τοσαῦτα, κῆρυξ, ἐξ ἐμοῦ διάρτασον Fr. Inc. 64.

Κηρύσσειν. καρπώματα στάζοντα κηρύσσει Κύπρις S. 979. τύμβου δ' ἐπ' ὄχθῳ τάδε γε κηρύσσω πατρὶ κλύειν C. 4. ἕως ἔτ' ἔμφρων εἰμὶ κηρύσσω φίλοις, κτανεῖν τέ φημι μητέρ' οὐκ ἄνευ δίκης C. 1022. κηρύσσε, κῆρυξ, καὶ στρατὸν κατεργάθου E. 536. αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοὶ T. 1034. ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω, πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοὴν A. 1322. κηρύξας ἐμοὶ τοὺς γῆς ἔνερθε δαίμονας, κλύειν ἐμὰς εὐχὰς C. 122.

Κιγδαγάτας. Κιγδαγάτας καὶ Λυθίμνας P. 959.

Κίειν. λεῖφ' ἕδρανα, κἴ' ἐς δόρυ S. 831. αἰακτὸς ἐς δόμους κίε P. 1025. τούτῳ μὲν εἶπας, καὶ τεταγμένος κίοι S. 499.

Κιθαιρών. πρὸς Κιθαιρῶνος λέπας A. 289.

Κιθαρίζειν. τί σοι δ' Ἀπόλλων κεκιθάρικε; Fr. Aj. Locr.

Κικλήσκειν. τίν' οὖν κικλήσκω τῶνδε δαιμόνων ἔτι; S. 214. καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε S. 209. μηδέ τις κικλησκέτω ξυμφορᾷ τετυμμένος E. 484. κικλήσκουσα Πάριν τὸν αἰνόλεκτρον A. 694. τὸν τριπάχυιον δαίμονα γέννας τῆσδε κικλήσκων A. 1456. ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται Pr. Sol. 12.

Κιλίκιος. Κιλικίων οἰκήτορα ἄντρων V. 351.

Κίλιξ. δι' ὀρῶν Κιλίκων S. 546. Κιλίκων ἄπαρχος P. 319.

Κίλισσα. ποῖ δὴ πατεῖς, Κίλισσα, δωμάτων πύλας; C. 721.

Κιμμερικός. Κιμμερικὸν ἥξεις ἰσθμὸν V. 732.

Κινάθισμα. τί ποτ᾽ αὖ κινάθισμα κλύω πέλας οἰωνῶν; V. 124.

Κίνδυνος. ἐγώ σφε θάψω, κἂν ὰ κίνδυνον βαλῶ T. 1019. πρὶν χώραν τήνδε κινδύνῳ βαλεῖν T. 1039. ἀμφίλεκτα πήματα ἐμοὶ προφωνῶν, τόν θ᾽ ὑπ᾽ Ἰλίῳ σέθεν κίνδυνον A. 857. κελεύων τόνδε κίνδυνον περᾶν C. 268.

Κινεῖν. καὶ λυσσὰ, καὶ μάταιος ἐκ νυκτῶν φόβος κινεῖ, ταράσσει C. 287.

Κινητήριον. βοηλάτην μυῶπα, κινητήριον S. 303. ἀλγεινὰ θυμοῦ κάρτα κινητήρια S. 443.

Κίνυγμα. νῦν δ᾽ αἰθέριον κίνυγμ᾽ ὁ τάλας ἐχθροῖς ἐπίχαρτα πέπονθα V. 157.

Κινύρεσθαι. διάδετοι δὲ γενύων ἱππείων κινύρονται φόνον χαλινοὶ T. 116.

Κινύσσεσθαι. εἶθ᾽ εἶχε φωνὴν εὔφρον᾽, ἀγγέλου δίκην, ὅπως δίφροντις οὖσα μὴ κινυσσόμην C. 194.

Κιρκήλατος. ἀκούων ὄπα τὰς Τηρείας μήτιδος οἰκτρᾶς ἀλόχου κιρκηλάτου τ᾽ ἀηδόνος S. 60.

Κίρκος. κίρκον εἰσορῶ δρόμῳ πτεροῖς ἐφορμαίνοντα P. 203. διαπάλλει πτερὸν κίρκον λεπάργον Fr. Inc. 32. 5. ἑσμὸς ὡς πελείαδων ἵζεσθε, κίρκων τῶν ὁμοπτέρων φόβῳ S. 221. κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι V. 859.

Κιρκοῦν. χώρει κάτω, σκέλη δὲ κίρκωσον βίᾳ V. 74.

Κισθήνη. πρὸς Γοργόνεια πεδία Κισθήνης V. 795.

Κισσεύς. ὁ Κισσεὺς Ἀπόλλων Fr. Inc. 100.

Κισσία. ἔκοψε κομμὸν Ἄρειον, εἴτε Κισσίας νόμοισι πολεμιστρίας C. 417.

Κίσσινος. τὸ παλαιὸν Κίσσινον ἕρκος P. 17. τὸ Κίσσινον πόλισμα P. 119.

Κιχάνειν. κιχάνει δέ μιν Ἑρμῆς C. 613.

Κίων. ἕστηκε κίον᾽ οὐρανοῦ τε καὶ χθονὸς ὤμοις ἐρείδων V. 349.

Κλαγγαίνειν. κλαγγαίνεις τ᾽ ἅπερ κύων E. 126.

Κλάγγειν. κλάγξω, κλάγξω δ᾽ αὖ γόον ἀρίδακρυν P. 909. ὅτε τε σύριγγες ἔκλαγξαν ἑλίτροχοι T. 187. πικροῦ χείματος ἄλλο μῆχαρ βριθύτερον πρόμοισι μάντις ἔκλαγξε A. 194.

Κλαγγή. τὰ δ᾽ ἐπίφοβα δυσφάτῳ κλαγγᾷ μελοτυπεῖς A. 1123. μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων βοᾷ T. 363.

Κλάδος. ἐλαίας ὑψιγέννητον κλάδον E. 43. σὺν τοῖσδ᾽ ἱκετῶν ἐγχειριδίοις ἐριοστέπτοισι κλάδοισι S. 22. τὸν πολυξενώτατον Ζῆνα τῶν κεκμηκότων ἱξόμεσθα σὺν κλάδοισι S. 150. κλάδοι γε μὲν δὴ κατὰ νόμους ἀφικτόρων κεῖνται παρ᾽ ὑμῖν πρὸς θεοῖς ἐγχωρίοις S. 238. λευκοστιφεῖς ἔχουσα νεοδρέπτους κλάδους S. 329. ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον νέον θ᾽ ὅμιλον S. 349. κλάδους τε τούτους αἶψ᾽ ἐν ἀγκάλαις λαβὼν βωμοὺς ἐπ᾽ ἄλλους δαιμόνων ἐγχωρίων θὲς S. 476. κλάδους μὲν αὐτοῦ λεῖπε σημεῖον πόνου S. 501. κήρυκ᾽ ἀπ᾽ ἀκτῆς τόνδ᾽ ὁρῶ κατάσκιον κλάδοισι A. 480.

Κλάζειν. ὑπ᾽ ἀσπίδος δὲ τῷ χαλκήλατοι κλάζουσι κώδωνες φόβον T. 368. μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη A. 48. Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων, τεύξεται φρενῶν τὸ πᾶν A. 167.

Κλαίειν. κλαίω, στένομαι, καὶ δόλος οὐδεὶς μὴ ᾽κ φρενὸς ὀρθῶς με λιγαίνειν T. 854. κλαίω τότ᾽ οἴκου τοῦδε συμφορὰν στένων A. 18. ἀλλ᾽ οὔτε κλαίειν, οὔτ᾽ ὀδύρεσθαι πρέπει T. 638. πῶς τολμήσω μήτε σε κλαίειν μήτε προπέμπειν ἐπὶ τύμβον; T. 1050. δράτω πόλις καὶ μὴ δράτω τοὺς κλαίοντας Πολυνείκην T. 1058. τὰς ἀμφί σοι κλαίουσα λαμπτηρουχίας ἀτημελήτους αἰὲν A. 864. οὐρανός τε γῆ κλαίεσκον Fr. Inc. 26. 3. ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας ἀτέκνους κλαύσω πολεμάρχους; T. 810. κλάοις ἂν, εἰ ψαύσειας, οὐ μάλ᾽ ἐς μακρὰν S. 903. γόος ἐκ φρενὸς κλαιομένας μου T. 903. κλαιόμενα τάδε βρέφη σφαγὰς A. 1067. ἐγὼ δ᾽ ἐπιφθέγγομαι κεκλαυμένα C. 450. λέβητος χαλκέου πλευρώματα σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου C. 676. τροφὸν δ᾽ Ὀρέστου τήνδ᾽ ὁρῶ κεκλαυμένην C. 721.

Κλάριος. Ζεὺς Κλάριος S. 355.

Κλαυθμός. καταθάψομεν οὐκ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκου A. 1533.

Κλαῦμα. κλαυμάτων λήξασα τῶνδε καὶ γόων σαφές τί μοι λέξον P. 691. ἔμοιγε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι

πηγαὶ κατεσβήκασι A. 861. γλυκὺν αἰῶνα κλαυμάτων ἄτερ A. 1119. καὶ ταῦτα τάπη κλαυμάτων ἀρχηγενῆ A. 1611.

Κλείειν. καὶ τόδ' ἐξέπραξεν, ὥστε Βόσπορον κλεῖσαι μέγαν P. 709. στείχετ' εὐερκῆ πόλιν πύργων βαθείᾳ μηχανῇ κεκλειμένην S. 934.

Κλεῖθρον. τίς Προίτου πυλῶν, κλείθρων λυθέντων προστατεῖν φερέγγυος; T. 378.

Κλεινός. πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν κλεινῶν Ἀθηνῶν εὗρε P. 466. ἡ Διὸς κλεινὴ δάμαρ μέλλουσ' ἔσεσθαι V. 836. τόξοισι κλεινὸς V. 874.

Κλεῖς. ἀλλ' ἔστι κἀμοὶ κλεῖς ἐπὶ γλώσσῃ φύλαξ Fr. Inc. 34. κλῇδας οἶδα δωμάτων E. 791.

Κλέος. ἀλλὰ ταχύμορον γυναικοκήρυκτον ὄλλυται κλέος A. 474. ἦμεν κλέος σοῦ μαντικὸν πεπυσμένοι A. 1069. οἱ δὲ τῆς μελλοῦς κλέος πέδον πατοῦντες, οὐ καθεύδουσιν χερὶ A. 1329. τῷ πονοῦντι δ' ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος Fr. Inc. 33.

Κλέπτειν. οὔτοι φρένα κλέψειαν ὠμματωμένην C. 841.

Κλέπτης. τὸν πυρὸς κλέπτην λέγω V. 948.

Κληδοῦχος. κληδοῦχον Ἥρας φασὶ δωμάτων Ἰὼ γενέσθαι τῇδ' ἐν Ἀργείᾳ χθονὶ S. 288.

Κληδών. χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων κληδὼν ἀϋτεῖ A. 901. ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθὼν C. 840. πρόσωθεν ἐξήκουσα κληδόνος βοὴν E. 375. κληδόνας τε δυσκρίτους ἐγνώρισ' αὐτοῖς V. 484. λιτὰς δε καὶ κληδόνας πατρῴους παρ' οὐδὲν αἰῶνα παρθένειόν τ' ἔθεντο φιλόμαχοι βραβῆς A. 220. πολλὰς κλύουσα κληδόνας παλιγκότους A. 837. τοιῶνδ' ἕκατι κληδόνων παλιγκότων πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης ἔλυσαν ἄλλοι A. 848. παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι θανόντι C. 497. ζῶν καὶ τεθνηκὼς τάσδε κληδόνας λιπὼν C. 1039. γένος μὲν οἶδα, κληδόνας τ' ἐπωνύμους E. 396.

Κλήζειν. πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος φάτις πρὸς ἄλλων ναυτίλων ἐκλήζετο; A. 617.

Κλῆρος. Ἑλλάδα κλήρῳ λαχοῦσα γαῖαν P. 183. τὰς εὐκτεάνους Ἰόνιον κατὰ κλῆρον (νήσους) P. 866. Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον Fr. Inc. 323. ξένος δὲ κλήρους ἐπινωμᾷ χάλυβος Σκυθῶν ἄποικος T. 709.

Κληροῦν. κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον T. 56. πολὺς δὲ πόντος οὖν ἐκληρώθη δορὶ S. 985.

Κλητήρ. λεὼς ἔκραν' ἄνευ κλητῆρος ὡς εἶναι τάδε S. 617. Ἐριννύος κλητῆρα, πρόσπολον φόνου T. 556.

Κλίμαξ. ἀνὴρ δ' ὁπλίτης κλίμακος προσαμβάσεις στείχει, πρὸς ἐχθρῶν πύργον T. 448.

Κλίνειν. Ἀσία δὲ χθὼν, βασιλεῦ γαίας, αἰνῶς αἰνῶς ἐπὶ γόνυ κέκλιται P. 894.

Κλισία. εἴσω κλισίας Fr. Myrm. 114. 6.

Κλόνος. ἱππιοχάρμας τε κλόνους διέπειν P. 107. λιποῦσ' ἀστοῖσιν ἀσπίστορας κλόνους λογχίμους τε καὶ ναυβάτας ὁπλισμοὺς A. 392.

Κλοπαῖος. ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς πηγὴν κλοπαίαν V. 110.

Κλοπή. ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην τοῦ ῥυσίου θ' ἥμαρτε A. 520. ᾔσχυνε ξενίαν τράπεζαν κλοπαῖσι γυναικὸς A. 391.

Κλύδων. ὅταν κλύδων βροτοῖς κακῶν ἐπέλθῃ P. 591. βοᾷ δὲ πόντιος κλύδων ξυμπιτνῶν V. 429.

Κλυδώνιον. κλυδωνίου πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο T. 777. κἀμοὶ προσέστη καρδίας κλυδώνιον χολῆς C. 181.

Κλύειν. οἱ δ' ἐνθάδ' οὐδὲν, ὡς ἐγὼ σέθεν κλύω S. 901. κακῶν ὕψιστα δὴ κλύω τάδε P. 323. τὸ πᾶν δὴ κλύουσιν ἄλγος P. 575. νέρθεν ἆρα κλύει μου; P. 631. ὄττοβον ἁρμάτων ἀμφὶ πόλιν κλύω T. 136. τί ποτ' αὖ κινάθισμα κλύω πέλας οἰωνῶν; V. 124. κλύεις φθέγμα τῆς βούκερω παρθένου; V. 590. πῶς δ' οὐ κλύω τῆς οἰστροδινήτου κόρης; V. 591. κλύεις τὰ πραχθέντ' V. 686. κλύω σ' ἐγὼ μεμηνότ' οὐ μικρὰν νόσον V. 974. ἦ μαίνεταί γε καὶ κακῶν κλύει φρενῶν A. 1034. κλύεις πατρῴους θύας ἀτίμους C. 437. κλύει δὲ καὶ πρόσωθεν ὢν θεὸς E. 286. ἀλλὰ θεοὶ γενέται, κλύετ' εὖ τὸ δίκαιον ἰδόντες S. 73. κλῦθί μου πρόφρονι

καρδίᾳ S. 343. κλύετε παρθένων κλύετε πανδίκους χειροτόνους λιτὰς T. 155. κλῦθί μου, πάτερ C. 137. κλύε δέ μοι κλύε, σέβας ὦ δέσποτ' C. 154. κλῦθί νυν, ὦ πάτερ C. 329. κλῦτε δὴ τὰ χθονίων τετιμέναι C. 393. ὦ μᾶτερ Νὺξ, κλῦθι E. 313. ὑψόθεν δ' εὖ κλύοι καλούμενος S. 166. νῦν δ' ὅτε καὶ θεοὶ Διογενεῖς κλύοιτ' εὐκταῖα γένει χεούσας S. 625. τάχ' ἂν σου καὶ μακρὰν ἀγωτέρω θακῶν κλύοι Ζεὺς V. 313. κλύοιμ' ἂν εὔφρων A. 254. τοιαῦτά τοι γυναικὸς ἐξ ἐμοῦ κλύοις A. 340. κλύοιτ' ἂν ἤδη θεσμὸν, Ἀττικὸς λεὼς E. 651. ὅπως καινά τε κλύῃς νέα τ' ἄχη P. 653. ὡς ἀδειμάντως κλύῃ C. 759. ἄπιστα μυθεῖσθ', ὦ ξέναι κλύειν ἐμοὶ S. 274. καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν P. 246. ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν P. 276. παρῆν ὁμοῦ κλύειν πολλὴν βοὴν P. 393. βουλήσεται κλύειν ἄναλκις μᾶλλον ἢ μιαίφονος V. 870. πεύσῃ δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν A. 257. τὸ δ' ὑπερκότως κλύειν εὖ, βαρὺ A. 455. πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ δυσαλγεῖ τύχᾳ μινυρὰ θρεομένας, θραύματα κλύειν ἐμοὶ A. 1138. τύμβου δ' ἐπ' ὄχθῳ τάδε γε κηρύσσω πατρὶ κλύειν ἀκοῦσαι C. 4. κηρύξας ἐμοὶ τοὺς γῆς ἔνερθε δαίμονας κλύειν ἐμὰς εὐχὰς C. 123. κλύειν δικαίως μᾶλλον ἢ πρᾶξαι θέλεις E. 408. ἄγαν καλῶς κλύουσα S. 699. τόδ' ἄχος κλύοντες P. 253. παρών γε, κοὐ λόγους ἄλλων κλύων P. 258. τοιάδ' ἐξ ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν P. 742. μόνης γὰρ, οἶδα, σοῦ κλύων ἀνέξεται P. 824. ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι ἐσθημάτων κλύουσαν P. 834. ποταίνιον κλύουσα πάταγον T. 221. μεγάλα μεγαληγόρων κλύων ἀνοσίων ἀνδρῶν T. 547. κλύοντες θεοὶ δικαίας λιτὰς T. 608. νεκροὺς κλύουσα δυσμόρως θανόντας T. 819. τὰ λοιπά μου κλύουσα θαυμάσῃ πλέον V. 474. οἴσεσθαι δάκρυ πρὸς τῶν κλυόντων V. 642. ὅπως ἂν εἰδῇ μὴ μάτην κλύουσά μου V. 825. τοιαῦτα χρὴ κλύοντας εὐλογεῖν πόλιν A. 566. τοιαῦτ' ἀκούσας ἴσθι τἀληθῆ κλύων A. 666. δίκας οὐκ ἀπὸ γλώσσης θεοὶ κλύοντες A. 788. μέμνημαι κλύων A. 804. πολλὰς κλύουσα κληδόνας παλιγκότους A. 837. κλύοντ' ἀληθῶς οὐδὲν ἐξῃκασμένα A. 1217. πέπαλται δ' αὖτε μοι φίλον κέαρ, κλύουσαν τόνδ' οἶκτον C. 405. σπλάγχνα δέ μου κελαινοῦται πρὸς ἔπος κλυούσῃ C. 408. δρόμος μ' ὑφέρπει κλύουσαν εὐγμάτων C. 456. κλύοντες τῆσδε κατευχῆς C. 470. ἢ δὴ κλύων ἐκεῖνος εὐφρανεῖ νόον C. 731. ἐμοῦ κλύων θεσμὸν E. 369.

Κλύζειν. ὥστε κύματος δίκην κλύζειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ μεῖζον A. 1155.

Κλυταιμνήστρα. Τυνδάρεω θύγατερ, βασίλεια Κλυταιμνήστρα A. 83. ἥκω σεβίζων σὸν, Κλυταιμνήστρα, κράτος A. 249. δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν εἰκὸς μάλιστα A. 571. ποῖ Κλυταιμνήστρα; C. 869. ὄναρ γὰρ ὑμᾶς νῦν Κλυταιμνήστρα καλῶ E. 116.

Κλυτός. κλυτὴ βυσσόφρων Ἐριννὺς C. 641.

Κλωστήρ. τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνον C. 500.

Κνεφάζειν. οἷον μήτις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας στρατωθὲν A. 130.

Κνεφαῖος. κνεφαῖά τ' ἀμφὶ Ταρτάρου βάθη V. 1031.

Κνέφας. εἰ μελαίνης νυκτὸς ἴξεται κνέφας P. 349. κνέφας τε τέμενος αἰθέρος λάβῃ P. 357. τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσος πεπόταται E. 356. ὑπὸ χθονὸς τάξιν ἔχουσα καὶ δυσήλιον κνέφας E. 374.

Κνημίς. φέρ' ὡς τάχος κνημῖδας T. 658.

Κνίδος. Ῥόδον, ἠδὲ Κνίδον P. 863.

Κνίσση. κνίσσῃ δὲ κῶλα συγκαλυπτὰ V. 494.

Κνισσωτός. παρ' εὐδείπνοις ἔσῃ ἄτιμος ἐν πυροῖσι κνισσωτοῖς χθονὸς C. 478.

Κνοῦς Fr. Sphinx 3.

Κνώδαλον. χθόνα τήνδ' ἐκκαθαίρει κνωδάλων βροτοφθόρων S. 261. ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων ἔχοντες ὀργὰς S. 743. κνώδαλα πτεροῦντα καὶ πεδοστιβῆ S. 978. ἔζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα V. 460. πόντιαι δ' ἀγκάλαι κνωδάλων ἀνταίων βροτοῖσι πλάθουσι C. 580. ξυζύγους δ' ὁμαυλίας θηλυκρατὴς ἀπέρωτος ἔρως παρανικᾷ κνωδάλων τε καὶ βροτῶν C.

593. ὦ παντομισῆ κνώδαλα, στύγη θεῶν E. 614.

Κόγχοι Fr. Glauc. Mar. 1.

Κοιλογάστωρ. κοιλογάστορος κύκλου T. 477. κοιλογάστορες λύκοι T. 1026.

Κοῖλος. ἔνθα Κωρυκὶς πέτρα κοιλὴ E. 23.

Κοιμᾶν. κοίμα κελαινοῦ κύματος πικρὸν μένος E. 796. βλέφαρα μὴ κοιμῶν ὕπνῳ T. 3. ἐν θεῶν ἕδραις θυηφάγον κοιμῶντες εὐώδη φλόγα A. 583. εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα A. 1220. κοιμώμενος στέγαις Ἀτρειδῶν ἄγκαθεν, κυνὸς δίκην, ἄστρων κάτοιδα νυκτερῶν ὁμήγυριν A. 2.

Κοινῇ. τῶνδε κοινῇ Λοξίας ἐπαίτιος E. 443.

Κοινοβωμία. πάντων δ' ἀνάκτων τῶνδε κοινοβωμίαν σέβεσθε S. 219.

Κοινόλεκτρος. αἰχμάλωτος ἥδε καὶ τερασκόπος καὶ κοινόλεκτρος τοῦδε A. 1416.

Κοινός. τὸ κοινὸν εἰ μιαίνεται πόλις S. 361. λαοὺς συγκαλῶν ἐγχωρίους πείσω τὸ κοινὸν S. 513. Δαρείου τε κἀμοῦ κοινὸν εὐναστήριον P. 156. ἀμφοτέρας ἅλιον πρῶνα κοινὸν αἴας P. 129. οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα T. 794. δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν T. 1022. κοινὸν τόδ' ἄχος T. 1062. ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανεὶς V. 616. κοινὸν ὄμμ' ἐκτημέναι V. 797. τὰ λοιπὰ δ' ὑμῖν, τῇδέ τ' ἐς κοινὸν φράσω V. 846. ὦ πάντων αἰθὴρ κοινὸν φάος εἱλίσσων V. 1094. ἐμοί μεν φῶς ἐν εὐφρόνῃ φέρων καὶ τοῖσδ' ἅπασι κοινὸν A. 509. χεῖμα, κοινὸν ἄχθος A. 613. κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει A. 819. κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν C. 99. φεύγων τόδ' αἷμα κοινὸν C. 1034. αὐτάδελφον αἷμα καὶ κοινοῦ πατρὸς E. 89. καὶ νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς ἔθυον ὥραν οὐδένος κοινὴν θεῶν E. 109. πᾶσι δ' ἐς κοινὸν λέγω E. 386. κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων Fr. Inc. 6.

Κοινοῦν. ἀνδρῶν τόδ' ἐστὶν ἔργον, οἷς κοινώσομεν C. 662. ἡμεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων κοινώσομεν C. 706. ἀστοῖσι πᾶσι τῶνδε κηρύξας πέρι S 364. ἀλλὰ κοινωσώμεθ' ὡς ἂν ἀσφαλῆ βουλεύματα A. 1320.

Κοινοφελής. κοινοφελεῖ διανοίᾳ E. 940.

Κοινωνεῖν. τοίγαρ θέλουσ' ἄκοντι κοινώνει κακῷ ψυχὴ T. 1024. δοκεῖτε δή μοι τῆσδε κοινωνεῖν χθονὸς τἀρχαῖον S. 320. νέου δὲ μύθου τοῦδε κοινωνήσατε C. 164.

Κοινωνός. ἀπ' ἀρχῆς πράγματος κοινωνὸς ἦν S. 338. κοινωνὸν εἶναι χερνίβων A. 1007. κἀγὼ τοιούτου γνώματος κοινωνὸς ὢν ψηφίζομαί τι δρᾶν A. 1325.

Κοιρανεῖν. σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονὸς P. 210. ἅπαντ' ἐπράχθη πλὴν θεοῖσι κοιρανεῖν V. 49. πεσόντα τὸν νῦν κοιρανοῦντ' ἐσόψομαι αἴσχιστα καὶ τάχιστα V. 960.

Κοίρανος. καὶ πῶς ἀπόντων κοιράνων ἔτρεις τινας; A. 535.

Κοίτη. ὦ μοί μοι κοίταν τάνδ' ἀνελεύθερον A. 1473. εὖτε πόντος ἐν μεσημβριναῖς κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσὼν A. 552.

Κοκκίζειν. ὀξυγλυκίαν τ' ἆρα κοκκιεῖς ῥοὰν Fr. 61.

Κολαστής. Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν φρονημάτων ἔπεστιν P. 713.

Κολλᾶν. κεκώλληται γένος προσάψαι A. 1547.

Κολοσσός. εὐμόρφων δὲ κολοσσῶν ἔχθεται χαρὶς ἀνδρὶ A. 406.

Κολούειν. καὶ σθένος γ' ἐκολούσθη P. 992.

Κόλπιος. πέπλον δ' ἔρεικε κολπίαν ἀκμῇ χερῶν P. 1017.

Κόλπος. Δωρίδ' αἶαν, Μηλιᾶ τε κόλπον P. 478. κόλπῳ φέρουσα βυσσίνου πεπλώματος T. 1030. ἦξας πρὸς μέγαν κόλπον Ῥέας V. 849. πτερῶν ἄτερ ῥοιβδοῦσα κόλπον αἰγίδος E. 382. μυδαλέοις δάκρυσι κόλπους τέγγουσα P. 531.

Κολυμβητήρ. δίκην κολυμβητῆρος, ἐς βυθὸν μολεῖν δεδορκὸς ὄμμα S. 403.

Κολχίς. Κολχίδος τε γᾶς ἔνοικοι παρθένοι V. 413.

Κόμη. ἕλξειν ἔοικ' ὑμᾶς ἀποσπάσας κόμης S. 883.

Κομίζειν. κόμιζ', ἀπὸ σμικροῦ δ' ἂν ἄρειας μέγαν δόμον C. 260. εἶτ' οὖν κομίζειν δόξα νικήσει φίλων C. 672. θράσος ἀκούσιον ἀνδράσι θνήσκουσι κομίζων A. 778. ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα C. 686. ἀντὶ δὲ

θρήνων ἐπιτυμβιδίων παίων μελάθροις ἐν βασιλείοις νεοκρᾶτα φίλον κομίσειεν C. 340. κομίζου δ' ὡς τάχιστ' ἐξ ὀμμάτων S. 927. στέλλου, κομίζου, σῶζε τὸν παρόντα νοῦν V. 392. εἴσω κομίζου καὶ σὺ A. 1005.

Κομιστέος. ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς κάκιον οὐδὲν, καρπὸς οὐ κομιστέος T. 582.

Κομίστρον. ψυχῆς κομίστρα τῆσδε μηχανωμένη A. 939.

Κομμός. ἔκοψε κομμὸν Ἄρειον, εἴτε Κισσίας νόμοισι πολεμιστρίας C. 417.

Κομπάζειν. ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον A. 1373. οὐ κειμένῳ πω τόνδε κομπάζεις λόγον E. 560. κόμπαζ' ἐπ' ἄλλῳ, μηδέ μοι φθόνει λέγων T. 462. τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ; T. 418. οὐ κομπάσαιμ' ἂν θεσφάτων γνώμων ἄκρος εἶναι A. 1101. κόμπασον θαῤῥῶν ἀλέκτωρ ὥστε θηλείας πέλας A. 1656. τίς ἥδε τιμή; κόμπασον γέρας καλὸν E. 200. ὡς κομπάσαι τῷδ' εἰκὸς ἡλίου φάει A. 561. φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται T. 482.

Κόμπασμα. πανώλεις παγκάκως τ' ὀλοίατο αὐτοῖς ἐκείνοις ἀνοσίοις κομπάσμασιν T. 533. πέπτωκεν ἀνδρῶν ὀμβρίμων κομπάσματα T. 776. ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων κομπασμάτων V. 361.

Κομπεῖν. οὕστινας κομπεῖς γάμους V. 949.

Κόμπος. ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ T. 407. οὐ κόμπον ἐν χεροῖν ἔχων T. 455. ὡς ὅδ' οὐ πεπλασμένος ὁ κόμπος V. 1033. τοιόσδ' ὁ κόμπος τῆς ἀληθείας γέμων οὐκ αἰσχρὸς ὡς γυναικὶ γενναίᾳ λακεῖν A. 599.

Κόναβος. κόναβος ἐν πύλαις χαλκοδέτων σακέων T. 145.

Κονίειν. ἐγγὺς γὰρ ἤδη πάνοπλος Ἀργείων στρατὸς χωρεῖ, κονίει T. 60.

Κονίζειν. μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀντρέψῃ ποδὶ P. 159.

Κονία. γόνατος κονίαισιν ἐρειδομένου A. 64.

Κόνις. ὁρῶ κόνιν, ἄναυδον ἄγγελον στρατοῦ S. 177. ἀμπτᾶσα δ' ὡσεὶ κόνις ἄτερθε πτερύγων ὀλοίμαν S. 764. αἰθερία κόνις με πείθει φανεῖσ', ἄναυδος σαφὴς ἔτυμος ἄγγελος T. 81. χθονία κόνις πίῃ μελαμπαγὲς αἷμα φοίνιον T. 718. στρόμβοι δὲ κόνιν εἱλίσσουσι V. 1086. μαρτυρεῖ δέ μοι κάσις πηλοῦ ξύνουρος διψία κόνις τάδε A. 481. ἐπειδὰν αἷμ' ἀνασπάσῃ κόνις E. 613. πιοῦσα κόνις μέλαν αἷμα πολιτῶν E. 935.

Κοννῶ. κοννῶ δ' ἄταν γαμετᾶς οὐρανόνικον S. 155.

Κόπανον. μιανθεῖσαι πεῖραι κοπάνων ἀνδροδαΐκτων C. 847.

Κόπτειν. ἔκοψε κομμὸν Ἄρειον C. 417. ἐν δ' ἀτέρμονι κόψεν πεδήσασ' ἄνδρα δαιδάλῳ πέπλῳ E. 635. κέκοπται, καὶ χαράσσεται πέδον P. 669. τίς ὧδε παιδνὸς ἢ φρενῶν κεκομμένος; A. 466. θερμῷ κοπεῖσα φοινίῳ προσφάγματι A. 1251.

Κόραξ. δίκαν κόρακος ἐχθροῦ—ὕμνον ὑμνεῖν ἐπεύχεται A. 1452. κόρακες ὥστε, βωμῶν ἀλέγοντες οὐδὲν S. 732.

Κορεῖν. οὐδὲ λήξει, πρὶν ἂν ἢ κορέσῃ κέαρ ἢ παλάμῃ τινι τὴν δυσάλωτον ἕλῃ τις ἀρχὴν V. 165.

Κόρη. θέλουσα δ' αὖ θέλουσαν ἁγνά μ' ἐπιδέτω Διὸς κόρα S. 137. κλύω τῆς οἰστροδινήτου κόρης τῆς Ἰναχείας V. 592. ὦ μέγ' εὐδαίμων κόρη V. 650. πικροῦ δ' ἔκυρσας, ὦ κόρη, τῶν σῶν γάμων μνηστῆρος V. 741. τίνος ποτ' ἀνδρὸς, ἢ βαθυζώνου κόρης; C. 167. ἔθιγε δ' ἐν μάχᾳ χερὸς ἐτήτυμος Διὸς κόρα C. 937. πεύσῃ τὰ πάντα συντόμως, Διὸς κόρη E. 393. ἀστερωπὸν ὄμμα Λητῴας κόρης Fr. Xantr. 4. ὦ κόραι S. 185. ἵνα αἱ Φορκίδες ναίουσι δηναιαὶ κόραι V. 796. κατάπτυστοι κόραι ὕπνῳ πεσοῦσαι E. 68. ἰὼ μεγάλατοι κόραι δυστυχεῖς Νυκτὸς E. 759. σὺν κόροις τε καὶ κόραις Fr. Dan. 13. 5.

Κορκορυγή. κορκορυγαὶ δ' ἀν' ἄστυ T. 327.

Κόρος. οὐ γάρ ἐστιν ἔπαλξις Πλούτου πρὸς κόρον ἀνδρὶ λακτίσαντι μέγαν Δίκας βωμὸν εἰς ἀφάνειαν A. 372.

Κόρσα. λευκὰς δὲ κόρσας τῇδ' ἐπαντέλλειν νόσῳ C. 280.

Κόρυμβον. ἔλθ' ἐπ' ἄκρον κόρυμβον ὄχθον P. 650. ἀποθραύει πάντα Φοινίσσης νεὼς κόρυμβα P. 403.

Κορυφή. κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον S. 86. κορυφαῖς ἐν ἄκραις ἥμενος μυδροκτυπεῖ Ἥφαιστος V. 366. ἀστρογείτονας κορυφὰς ὑπερβάλλουσαν, ἐς μεσημβρινὴν βῆναι κέλευθον V. 724.

Κοσμεῖν. λαφύροις δῶμα κοσμήσει πατρὸς Τ. 461. νέοις πίναξι βρέτεα κοσμῆσαι τάδε S. 458.

Κόσμος. εἴρηκας ἀμφὶ κόσμον ἀψευδῆ λόγον S. 243. τὸ δεξιὸν κέρας ἡγεῖτο κόσμῳ P. 392. κόσμον, ὅστις εὐπρεπὴς, λαβοῦσα P. 819. λαβοῦσα κόσμον ἐκ δόμων P. 835. ὀτοτοὶ βασιλεῦ στρατιᾶς ἀγαθῆς, κόσμου τ' ἀνδρῶν P. 884. κόσμον μὲν ἄνδρος οὔτιν' ἂν τρέσαιμι Τ. 379. δέξασθε κόσμῳ βασιλέα A. 507. κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα φέρειν δίκαιος E. 55. μεγάλων κόσμων κτεάτειρα A. 547. κἂν τοῖσδε κόσμοις καταγελωμένη μέγα A. 1244.

Κοταίνειν. τώς νιν Ζεὺς νεμέτωρ ἐπίδοι κοταίνων Τ. 467.

Κότος. ὤλετο πρὸς χειρὸς ἔθεν δυσμάτορος κότου τυχὼν S. 65. Ζηνὸς ἱκεσίου κότος S. 342. 380. 473. 611. γνῶθι δ' ὕβριν ἀνέρων καὶ φύλαξαι κότον S. 422. ἔπλευσαν ὧδ' ἐπιτυχεῖ κότῳ S. 724. πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ ἐλθεῖν, τελευτῆσαί τε δαιμόνων κότῳ; A. 621. φάους κότον δαίμονά τε τὸν ἄμαχον A. 745. πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότῳ; A. 1184. κἀμοῦ μισθὸν ἐνθήσειν κότῳ ἐπεύχεται A. 1234. μηδ' εἰς Ἑλένην κότον ἐκτρέψῃς A. 1443. ἐξ ὕπνου κότον πνέων C. 33. ἀνεμοέντων αἰγίδων φράξαι κότον C. 585. ὀλέθριον πνέουσ' ἐν ἐχθροῖς κότον C. 940. πρὸς δὲ καρδίᾳ φόβος ᾄδειν ἕτοιμος ἠδ' ὑπορχεῖσθαι κότῳ C. 1021. ἐποπτεύειν κότῳ E. 211. ἄλλης ἀνάγκης οὔτινος τρέων κότον E. 404. οὔτε γὰρ βροτοσκόπων μαινάδων τῶνδ' ἐφέρψει κότος τις ἐργμάτων E. 477. ὑμεῖς δὲ τῇ γῇ τῇδε μὴ βαρὺν κότον σκέψησθε E. 767. πνέω τοι μένος ἅπαντα τε κότον E. 804. οὔτ' ἂν δικαίως τῇδ' ἐπιρρέποις πόλει μῆνίν τιν' ἢ κότον τιν' E. 849. θέλξειν μ' ἔοικας, καὶ μεθίσταμαι κότου E. 860. καὶ τοῦ θανόντος ἡ Δίκη πράσσει κότον Fr. Phr. 2. 5.

Κότταβος. Κοτταβεῖν. ἦν μὲν γὰρ αὐτῷ κοτταβοῦντ' ἀεὶ σκοπὸς τοῦ γ' ἀγκυλήτου κοττάβου τοὐμὸν κάρα Fr. Oss. 1. 3.

Κοτύλη. ὁ δὲ χαλκοδέτοις κοτύλαις ὀτοβεῖ Fr. Ed. 1. 5.

Κότυς. σεμνὰ κότυς ἐν τοῖς Ἠδωνοῖς Fr. Ed. 1. 1.

Κοῦρα. σύ τ', ὦ Λητογένεια κοῦρα, τόξον εὖ πυκάζου Τ. 133.

Κουρά. ἰδοῦσα κουρὰν τήνδε κηδείου τριχὸς C. 224.

Κουρής. ὅθεν καλεῖν Κουρῆτα λαὸν ἤνεσαν Fr. Inc. 107. 2.

Κούριμος. ἔπεμψε χαίτην, κουρίμην χάριν πατρὸς C. 178.

Κουροβόρος. ὅποι καὶ προβαίνων πάχνᾳ κουροβόρῳ παρέξει A. 1493.

Κουφόνους. μόχθον περισσὸν, κουφόνουν τ' εὐηθίαν V. 383.

Κοῦφος. πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο P. 297. αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος Τ. 242.

Κούφως. τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα κούφως V. 703. καὶ ταῦτα κούφως ἐκ μέσων ἀρκυστάτων ὤρουσε E. 112.

Κραδαίνειν. χθόνα τ' ἐκ πυθμένων αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι V. 1049.

Κραδία. μαινομένᾳ κραδίᾳ δίδυμα κάκ' ἐτέλεσε Τ. 763. κραδία δὲ φόβῳ φρένα λακτίζει V. 883. ἀντιπαθῆ μεθεῖσα κραδίας σταλαγμὸν χθονὶ ἄφορον E. 753.

Κράζειν. σὺ δ' αὖ κέκραγας κἀναμυχθίζῃ V. 745. ἡ δ' ἐξ ὕπνου κέκραγεν ἐπτοημένη C. 528. νῦν δ' οὐ κέκραγά πω τὸ γενναῖον μέλος Fr. Orith. 1. 5.

Κραίνειν. ἰὼ θεοὶ, κραίνετ' ἐνδίκως δίκας C. 455. ἐγὼ δ' ἂν οὐ κραίνοιμ' ὑπόσχεσιν πάρος S. 363. ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεὸς A. 1398. πανδημίᾳ γὰρ χερσὶ δεξιωνύμοις ἔφριξεν αἰθὴρ, τόνδε κραινόντων λόγον S. 603. Οἰδίπου γένει κραίνων παλαιᾶς Λαΐου δυσβουλίας Τ. 784. τοῦ πάντα κραίνοντος τρίτου σωτῆρος E. 729. ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει μετακοιμισθὲν μένος ἄτας; C. 1071. τοιαῦτ' ἀκούων χερσὶν Ἀργεῖος λεὼς ἔκραν' ἄνευ κλητῆρος ὡς εἶναι τάδε S. 617. ἔπραξεν ὡς ἔκρανεν A. 360. οὐ ταῦτα ταύτῃ μοῖρά πω τελέσφορος κρᾶναι πέπρωται V. 510. τέρπνα τούτων αἰτεῖ ξύμβολα κρᾶναι A. 142. πύργοις δ' ἀπειλεῖ δείν', ἃ μὴ κράνοι τύχη Τ. 408. πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κράνοι θεὸς Τ. 531. ὧνπερ ἥδε κραίνεται ψῆφος S. 942. τοιάδε δημόπρακτος ἐκ πόλεως μία ψῆφος κέ-

κρανται S. 921. πῶς ἔχει; πῶς κέκρανται δόμοις C. 858. γιγνομέναισι λάχη τάδ' ἐφ' ἁμὶν ἐκράνθη E. 329. κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον S. 86. πατρὸς δ' ἄρα Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται V. 913.

Κραιπνός. τίς ὁ κραιπνῷ ποδὶ πηδήματος εὐπετέος ἀνάσσων; P. 95.

Κραιπνόσυτος. ἐλαφρῷ ποδὶ κραιπνόσυτον θῶκον προλιποῦσα V. 289.

Κραιπνοφόρος. κραιπνοφόροι δέ μ' ἔπεμψαν αὖραι V. 132.

Κραναὰ Fr. Inc. 112.

Κράνος. πάλος ἐξ ὑπτίου πήδησεν εὐχάλκου κράνους T. 441. τρεῖς κατασκίους λόφους σείει κράνους χαίτωμα T. 367.

Κρᾶσις. ἐγὼ σφίσιν ἔδειξα κράσεις ἠπίων ἀκεσμάτων V. 480. τὴν δευτέραν δὲ κρᾶσιν ἥρωσιν νέμω Fr. Epig. 1. 2.

Κρατά. πολυαίμων φόνιος ἀποκοπὰ κρατὸς S. 821. πᾶσιν στέρεσθαι κρατὸς ἦν προκείμενον P. 363. ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν πίτυλον T. 837. ἀπ' ἐχθροῦ κρατὸς ἦν τετμημένος C. 196.

Κραταίλεως. ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα A. 652.

Κραταιός. ὑπείροχον σθένος κραταιὸν οὐράνιόν τε πόλον νώτοις ὑποστενάζει V. 427.

Κρατεῖν. πᾶσαν αἶαν, ἧς δι' Ἄλγος ἔρχεται, κρατῶ S. 252. τῶνδ' ἔτ' ἐπὶ τάδε κρατῶ S. 252. ὡς μάλιστα καὶ φάτις πολλὴ κρατεῖ S. 290. εἴ τοι κρατοῦσι παῖδες Αἰγύπτου σέθεν S. 382. βύβλου δὲ καρπὸς οὐ κρατεῖ στάχυν S. 742. λόγος κρατεῖ σαφηνὴς, τοῦτό γ' οὐκ ἔνι στάσις P. 724. νεοὶ γὰρ οἰακονόμοι κρατοῦσ' Ὀλύμπου V. 149. ὁρῶν ὅτι τραχὺς μόναρχος, οὐδ' ὑπεύθυνος κρατεῖ V. 324. νέον νέοι κρατεῖτε V. 957. ὧδε γὰρ κρατεῖ γυναικὸς ἀνδρόβουλον ἐλπίζον κέαρ A. 10. ἀλλ' οὐκ ἄνεκτον, ἀλλὰ κατθανεῖν κρατεῖ A. 1337. δράτω, κρατείτω τόνδε τὸν βραχὺν χρόνον ὅπως θέλει V. 941. ἄναξ Ἄπολλον, ὧν ἔχεις αὐτὸς κράτει E. 544. τὸ δ' εὖ κρατοίη, μὴ διχορρόπως ἰδεῖν A. 340. ἅπας δὲ τραχὺς, ὅστις ἂν νέον κρατῇ V. 35. ὡς οὐ κατ' ἰσχὺν, οὐδὲ πρὸς τὸ καρτέρον χρείη, δόλῳ δὲ τοὺς ὑπερέχοντας κρατεῖν V. 213. τί γὰρ πέπρωται Ζηνὶ πλὴν ἀεὶ κρατεῖν; V. 517. οὐκ ἄνευ δήμου τάδε πράξαιμ' ἂν, οὐδέπερ κρατῶν S. 394. δήμου κρατοῦσα χεὶρ ὅποι πληθύεται S. 599. κρατοῦσα μὲν γὰρ οὐχ' ὁμιλητὸν θράσος T. 170. πρὸς τῶν κρατούντων δ' ἐσμὲν, οἱ δ' ἡσσωμένων T. 499. σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεὶ V. 939. κρατούντων τῶν ἐπὶ ζυγῷ δορὸς A. 1601. τὸν κρατοῦντα A. 1649. ἐγὼ καὶ σὺ θήσομεν κρατοῦντε, τῶνδε δωμάτων πέρι A. 1658. πικρὸν φρενῶν στύγος κρατούσῃ C. 79. πάντ' ἀπαγγείλῃ τάδε πρὸς τοὺς κρατοῦντας C. 265. τῶν δὲ κρατούντων χέρες οὐχ ὅσιαι στυγερῶν τούτων C. 370. ἡμεῖς δὲ ταῦτα τοῖς κρατοῦσι δωμάτων κοινώσομεν C. 705. Αἴγισθον ἡ κρατοῦσα τοὺς ξένους καλεῖν ὅπως τάχιστ' ἄνωγεν C. 723. τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοὶ κρατοῦντες τὸ πᾶν δίκης πλέον E. 157. εἰ κρατήσει δίκα τε καὶ βλάβα τοῦδε μητροκτόνου E. 469. θεῶν κρατήσειν ᾤετ' P. 736. ἀλλ' ἐκράτησε Ζεὺς ἀγοραῖος E. 930. πλήθους μὲν οὖν σάφ' ἴσθ' ἕκατι βαρβάρους νεῶν κρατῆσαι P. 330. δυοῖν κρατήσας ἔληξε δαίμων T. 939. καὶ τῶν ἀλόντων καὶ κρατησάντων δίχα φθογγὰς ἀκούειν ἐστὶ συμφορᾶς διπλῆς A. 315. δορικράνου λόγχης ἰσχὺς κεκράτηκε P. 145. κρατεῖταί πως τὸ θεῖον παρὰ τὸ μὴ ὑπουργεῖν κακοῖς C. 952. κρατηθεὶς ἐκ φίλων ἀβουλίας T. 731. κρατηθεὶς δ' ἡμερώτερος φανεῖ A. 1615. εἴπερ κρατηθείς γ' ἀντινικῆσαι θέλεις C. 492. ὕπνῳ κρατηθεῖσ' ἄγραν ὤλεσα E. 143.

Κρατερός. κρατεραῖς ἐν γυιοπέδαις αἰκιζομένου V. 167. ἐπὶ τὸν, ὦ, διόμεναι, κρατερὸν ὄντ' E. 338.

Κρατήρ. τοσῶνδε κρατῆρ' ἐν δόμοις κακῶν ὅδε πλήσας ἀραίων, αὐτὸς ἐκπίνει μολὼν A. 1370. τοιούτοις οὔτε κρατῆρος μέρος εἶναι μετασχεῖν C. 289.

Κράτιστος. κράτιστα δή μοι τῶν παρεστώτων τότε ἐφαίνετ' εἶναι κ. τ. λ. V. 216.

Κράτος. μὴ νῦν σχόλαζε· μηχανῆς δ' ἔστω κράτος S. 204. ὦ πᾶν κράτος ἔχων χθονὸς S. 420. μακάρων μα-

κάρτατε, καὶ τελέων τελειότατον κράτος S. 521. νούσων δ' ἑσμὸς ἀπ' ἀστῶν ἵζοι κράτους ἀτερπὴς S. 668. ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων ἔχοντες ὀργὰς χρὴ φυλάσσεσθαι κράτος S. 744. κράτος νέμοι γυναιξὶν S. 1054. ὦ Διογενὲς, φιλόμαχον κράτος T. 119. μηδάμ' ὁ πάντα νέμων θεῖτ' ἐμᾷ γνώμᾳ κράτος ἀντίπαλον Ζεὺς V. 525. πρὸς ὧν ἐκεῖνος ἐκπίπτει κράτους V. 950. κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν ἐκτελέων A. 104. Ἀχαιῶν δίθρονον κράτος A. 109. ἥκω σεβίζων σὸν, Κλυταιμνήστρα, κράτος A. 249. ἥξει σὺν ὑμῖν τῆσδε γῆς φίλον κράτος A. 605. κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοὶ A. 917. κράτος τ' ἰσόψυχον ἐκ γυναικῶν καρδιόδηκτον ἐμοὶ κρατύνεις A. 1449. ἀμφίλεκτος ὢν κράτει A. 1567. αἰτουμένῳ μοι δὸς κράτος τῶν σῶν δόμων C. 473. ὦ Περσέφασσα, δὸς δέ γ' εὔμορφον κράτος C. 483. Ποσειδῶνος κράτος καλοῦσα E. 27. παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασεν E. 503. Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος Fr. Inc. 5. 1. μήτι ποτ' οὖν γενοίμαν ὑποχείριος κράτεσιν ἀρσένων S. 388. τάδε φράσαι δίκαια Διόθεν κράτη S. 432. εἴη δὲ νίκη καὶ κράτη τοῖς ἄρσεσιν S. 929. οἱ κράτη τάδ' ἔσχομεν P. 771. Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη C. 1.

Κράτος. Κράτος Βία τε, σφῷν μὲν ἐντολὴ Διὸς ἔχει τέλος δὴ V. 12.

Κρατύνειν. κρατύνεις βωμὸν ἑστίαν χθονὸς S. 367. ὑπ' ἀρχὰς δ' οὔτινος θοάζων τὸ μεῖον κρεισσόνων κρατύνει S. 591. φυλάσσοι τ' ἀτιμίας τιμὰς τὸ δήμιον, τὸ πτόλιν κρατύνει S. 680. νεοχμοῖς δὲ δὴ νόμοις Ζεὺς ἀθέτως κρατύνει V. 150. κράτος τ' ἰσόψυχον ἐκ γυναικῶν καρδιόδηκτον ἐμοὶ κρατύνεις A. 1450. Ζεύς δ' ἰδίοις νόμοις κρατύνων, ὑπερήφανον θεοῖς τοῖς πάρος ἐνδείκνυσιν αἰχμὰν V. 402. τὰς ἀγχιάλους ἐκράτυνε μεσάκτους P. 861. πολυάνδρους Ἑλλάνων ἐκράτυνε σφετέραις φρεσὶ (νήσους) P. 868.

Κρέας. κρεῶν πλήθοντες οἰκείας βορᾶς χεῖρας A. 1193. τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν ξυνῆκα A. 1215. παρέσχε δαῖτα παιδείων κρεῶν A. 1575.

Κρεισσότεκνος. κρεισσοτέκνων ἀπ' ὀμμάτων ἐπλάγχθη T. 766.

Κρείσσων. κρεῖσσον δὲ πύργου βωμὸς S. 187. ὑπ' ἀρχὰς δ' οὔ τινος θοάζων τὸ μεῖον κρεισσόνων κρατύνει S. 591. ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν εἶναι S. 741. εὔχου τὰ κρείσσω T. 248. κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν, ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς V. 753. οὐ δέδια μηδὲ κρεισσόνων θεῶν ἔρως ἄφυκτον ὄμμα προσδέρκοιτό με V. 904. ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα V. 924. κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον V. 970. ὁ κρείσσων Ζεὺς A 60. ὕψος κρεῖσσον ἐκπηδήματος A. 1349. ταῦτα μὲν, ὦ παῖ, κρείσσονα χρυσοῦ C. 366. καὶ ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρὸς C. 893. τὸ μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι κρεῖσσον κακῶς πράσσοντα Fr. Inc. 101. 2.

Κρείττονας Fr. Ætn. 2.

Κρεκτός. θῆλυν οὐριοστάταν ὁμοῦ κρεκτὸν γοήτων νόμον μεθήσομεν πόλει C. 809.

Κρεόβροτος. τὰς ἀνάνδρους κρεοβρότους τ' Ἀμαζόνας S. 284.

Κρεοκοπεῖν. κρεοκοποῦσι δυστήνων μέλη P. 455.

Κρεουργός. κρεουργὸν ἦμαρ A. 1573.

Κρέων. Μεγαρεὺς, Κρέοντος σπέρμα T. 456.

Κρέων. Ζεὺς αἰῶνος κρέων ἀπαύστου S. 569.

Κρήμναμαι. ὕπερθ' ὀμμάτων κρημναμενᾶν νεφελᾶν T. 212.

Κρηναῖος. ἀμφὶ κρηναῖον γάνος δίψει πονοῦντες P. 475.

Κρηπίς. οὐδέπω κακῶν κρηπὶς ὕπεστιν P. 801.

Κρής. ἐγὼ γένος μέν εἰμι Κρὴς Fr. Pen.

Κρητικός. Κρητικοῖς χρυσεοδμήτοισιν ὅρμοις πιθήσασα δώροισι Μίνω C. 607.

Κρίβανος. τόνδε χοῖρον ἐν γναθοῦντι κριβάνῳ θήσω Fr. Inc. 51. 1.

Κριθᾶν. κριθῶντα πῶλον A. 1625.

Κριθή. οὐ πίνοντες ἐκ κριθῶν μέθυ S. 931.

Κρῖμα. οὐκ εὔκριτον τὸ κρῖμα S 392.

Κρίνειν. εὖ δὲ πανταχῇ τελεῖν σοι

τῶνδε κρίνομεν πέρι P. 221. κρίνω δ' ἄφθονον ὄλβον A. 458. κρίνω δέ τοί νιν ὥστε συγκόλλως ἔχειν C. 535. κρίνω σὲ νικᾶν C. 890. ξύμμαχον δ' ἑλόμενος δίκαν κρῖνε σέβας τὸ πρὸς θεῶν S. 391. ἀλλ' ἐξέλεγχε, κρῖνε δ' εὐθεῖαν δίκην E. 411. πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ E. 652. ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ T. 396. ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε P. 512. ἔκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ ὕπαρ γενέσθαι V. 483. κρῖνον δίκην E. 446. εἰ δικαίως, εἴτε μή, τῇ σῇ φρενὶ δοκεῖ τόδ' αἷμα, κρῖνον, ὡς τούτοις φράσω E. 583. δύσμαχα δ' ἐστὶ κρῖναι A. 1542. ἐμὸν τόδ' ἔργον, λοισθίαν κρῖναι δίκην E. 704. κρίνασα δ' ἀστῶν τῶν ἐμῶν τὰ βέλτατα ἥκω E. 465. νικᾷ δ' Ὀρέστης, κἂν ἰσόψηφος κριθῇ E. 711. μένω δ' ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται E. 647. ὦ Φοῖβ' Ἄπολλον, πῶς ἀγὼν κριθήσεται; E. 714.

Κρίσις. οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει A. 1262.

Κριτής. μή μ' αἱροῦ κριτὴν S. 392. ὁ τῶνδ' ἐνυπνίων κριτὴς P. 222. κριταὶ δὲ τῶνδ' ὀνειράτων θεόθεν ἔλακον ὑπέγγυοι C. 37.

Κροκοβαφής. ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς σταγὼν A. 1092.

Κρόκος. κρόκου βαφὰς ἐς πέδον χέουσα A. 230.

Κρόνιος. ὦ Κρόνιε παῖ V. 578.

Κρόνος. Κρόνου παῖς V. 185. θέλοντες ἐκβαλεῖν ἕδρης Κρόνον V. 201. Ταρτάρου μελαμβαθὴς κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον V. 220. ἀρὰ Κρόνου V. 914. ἔδησε πατέρα πρεσβύτην Κρόνον E. 611.

Κρόταφος. ἔνθα ποταμὸς ἐκφυσᾷ μένος κροτάφων ἀπ' αὐτῶν V. 722.

Κροτησμός. πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν T. 543.

Κροτητός. κτύπῳ δ' ἐπιῤῥοθεῖ κροτητὸν ἀμὸν καὶ πανάθλιον κάρα C. 422.

Κρύβδα. μῶν οὖν Ὀρέστου κρύβδα δῶρον ᾖ τόδε; C. 175.

Κρύος. κακόν με καρδίαν τι περιπιτνεῖ κρύος T. 816. βαρὺ, τὸ περίβαρυ κρύος ἔχειν E. 155.

Κρυπτάδιος. ἔμολε δ' ᾧ μέλει κρυπταδίου μάχας δολιόφρων ποινὰ C. 934.

Κρύπτειν. αἰνῶ δὲ κρύπτειν τάσδε συνθήκας ἐμὰς C. 548. κρύψει δέμας τὸ σὸν V. 1020. ἐχθρὰ δ' ἔχοντας ἔκρυψεν A. 443. μήτοι με κρύψῃς τοῦθ' ὅπερ μέλλω παθεῖν V. 628. ἀλλά νιν κελαινόφρων ἐμὴ μήτηρ κατέκτα ποικίλοις ἀγρεύμασιν κρύψασα E. 438. ἔνερθέ τε χθονὸς κεκρυμμέν' ἀνθρώποισιν ὠφελήματα V. 499. χαίρουσα πολύδακρυν γόον κεκρυμμένα C. 442. οὐκ ἐκρύφθη, πρέπει δὲ, φῶς αἰνολαμπὲς, σίνος A. 377.

Κρυπτός. καὶ κρυπτά γ' Ἥρας ταῦτα τῶν παλλαγμάτων S. 293. ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος C. 762. πολλὰ δ' ἄλλα φανεῖ χρῄζων κρυπτὰ C. 803.

Κρυσταλλοπήξ. περᾷ κρυσταλλοπῆγα διὰ πόρον P. 494.

Κρυφαῖος. ἄλλος ἄλλοσε δρασμῷ κρυφαίῳ βίοτον ἐκσωζοίατο P. 352. Ἑλλήνων στρατὸς κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο P. 377. κρυφαίοις πένθεσιν παχνουμένη C. 81.

Κρυφαίως. ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινα P. 362.

Κρωσσός. μήτε κρωσσοὺς μήτ' οἰνηροὺς μήτ' ὑδατηροὺς λιπεῖν ἀφνεοῖσι δομοῖσι Fr. Inc. 60.

Κτᾶσθαι. κόραι τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ' ἐκτημέναι V. 797. ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη A. 1021. κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων Fr. Inc. 6. ἄγος δὲ καὶ θανὼν κεκτήσεται θεῶν πατρῴων T. 1008. κτήσεται δ' ἄνευ δορὸς αὐτόν τε καὶ γῆν καὶ τὸν Ἀργεῖον λεὼν E. 279. μέγαν τέκνοις πλοῦτον ἐκτήσω ξὺν αἰχμῇ P. 741. Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο P. 756. τοιοῦτον ἂν κτήσαιτο φιλήτης ἀνὴρ ξένων ἀπαιόλημα C. 995.

Κτέανον. κτεάνων χρηματοδαίτας πικρὸς T. 711. μενεῖ κτεανά τ' ἐπιγόνοις T. 885. κτεάνων τε μέρος βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι A. 1555. ἀναφύγας κακῶν καὶ κτεάνων τριβὰς C. 931.

Κτεάτειρα. μεγάλων κόσμων κτεάτειρα A. 347.

Κτείνειν. ἐνδρακοντωθεὶς δ' ἐγὼ κτείνω νιν C. 543. κτείνουσα λιμῷ τοὺς ὑπερπόλλους ἄγαν P. 780. ἦ καὶ βίον κτείνοντες ὧδ' ὑπείξομεν δόμων καταισχυντῆρσι τοῖσδ' ἡγουμένοις; A.

1335. *εἰ τοῖσιν οὖν κτείνουσιν ἀλλήλους χαλᾷς* E. 211. *τόνδε σὺν δόλῳ Ἀρταφρένης ἔκτεινε* P. 762. *ἀλλά νιν γυνή, χώρας μίασμα καὶ θεῶν ἐγχωρίων, ἔκτεινε* A. 1630. *κτενεῖ με τὴν τάλαιναν* A. 1233. *κτενεῖν ἔοικας ὦ τέκνον. τὴν μητέρα* C. 969. *δόλοις ὀλούμεθ', ὥσπερ οὖν ἐκτείναμεν* C. 875. *ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι* E. 441. *ἔκτεινα· τούτου δ' οὔτις ἄρνησις πέλει* E. 558. *μίαν δὲ παίδων ἵμερος θέλξει, τὸ μὴ οὐ κτεῖναι σύνευνον* V. 868. *μόρον κτεῖναι μωμένα ἄφερτον αἰῶνι σῷ* C. 435. *κτείνασ' ἄνδρα τὸν αὑτῆς* A. 1523. *δόλῳ κτείναντες ἄνδρα* C. 549. *καὶ φίλον ἔκτανες* T. 955. *ἀπητιμασμένη ἄλλοισιν ἐν νεκροῖσιν, ὡς μὲν ἔκτανον, ὄνειδος ἐν φθιτοῖσιν οὐκ ἐκλείπεται* E. 96. *ἐπειδὰν αὐτοὶ κτάνωσιν, αὐτοδάϊκτοι θάνωσι* T. 716. *Πυλάδη, τί δράσω; μητέρ' αἰδεσθῶ κτανεῖν* C. 886. *κτανεῖν τέ φημι μητέρ' οὐκ ἄνευ δίκης* C. 1022. *καὶ γὰρ κτανεῖν σ' ἔπεισα μητρῷον δέμας* E 84. *κτανὼν θανεῖν πέλας (ἐπεύχεται)* T. 618. *τοῖς κτανοῦσιν ἐγκοτεῖν* C. 41. *λέγω κτανόντας ἀντικατακτανεῖν δίκην* C. 142. *ἀλλ' οὐδὲ μήν νιν ἡ κτανοῦσ' ἐκείρατο* C. 187. *οἱ κτανόντες νιν* C. 362. *καὶ τῷ κτανόντι ποῦ τὸ τέρμα τῆς φυγῆς;* E. 400. *νεκροῖσι νῦν πέπεισθι μητέρα κτανὼν* E. 596. *ἄνδρα κτανούσης δωμάτων ἐπίσκοπον* E. 710. *αὐτός ἐστιν ὁ κτανὼν τὸν παῖδα τὸν ἐμὸν* Fr. Psych. 1. 8. *γᾶ δ' αἰάζει τὰν ἐγγαίαν ἥβαν Ξέρξᾳ κταμέναν* P. 887. *τόδε καλῶς κταμένον* C. 795.

Κτείς. *τὰ μὲν ποδήρη, καὶ χερῶν ἄκρας κτένας ἔθρυπτ' ἄνωθεν ἀνδρακὰς καθήμενος* A. 1576.

Κτῆμα. *σιδαρονόμῳ διὰ χερὶ λαχεῖν κτήματα* T. 772. *διέλαχον σφυρηλάτῳ Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν* T. 799. *ἐμοιράσαντο δ' ὀξυκάρδιοι κτήμαθ' ὥστ' ἴσον λαχεῖν* T. 890.

Κτῆνος. *πάντα δὲ πύργων κτήνη πρόσθε τὰ δημιοπληθῆ μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον* A. 127.

Κτήσιος. *γένοιτ' ἂν ἄλλα κτησίου Διὸς χάριν* S. 440. *πρὸ χρημάτων κτησίων* A. 981. *σταθεῖσα κτησίου βωμοῦ πέλας* A. 1008.

Κτίζειν. *ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει* C. 1056. *τὸν αὐτός ποτ' ἔκτισεν γόνῳ* S. 163. *ὡς πολλὰς Περσίδων μάταν ἔκτισαν εὔνιδας ἠδ' ἀνάνδρους* P. 281. *ὁπότερ' ἂν κτίσῃς* S. 429. *τελευτὰς δ' ἐν χρόνῳ πατὴρ ὁ παντόπτας πρευμενεῖς κτίσειεν* S. 132. *τὰν ἄχορον βοὰν κτίσαι μάχλον Ἄρη* S. 628. *οὗ δὴ τὴν μακρὰν ἀποικίαν, Ἰοῖ, πέπρωται σοί τε καὶ τέκνοις κτίσαι* V. 816. *ἐγὼ δὲ χρησμοὺς τοὺς ἐμοὺς τε καὶ Διὸς ταρβεῖν κελεύω, μηδ' ἀκαρπώτους κτίσαι* E. 684. *εὐμενεῖ βίᾳ κτίσας* S. 1053. *τέκνων τε κελεύθοις ἐπίστρεπτον αἰῶνα κτίσσας* C. 345. *Ζεύς νιν ἔνθεον κτίσας φρένα τέχνης* E. 17.

Κτύπος. *ἀκούετ' ἢ οὐκ ἀκούετ' ἀσπίδων κτύπον;* T. 96. *κτύπον δέδορκα, πάταγός τ' οὐχ ἑνὸς δορὸς* T. 99. *κτύπου γὰρ ἀχὼ χάλυβος διῆξεν ἄντρων μυχὸν* V. 133. *βροντῆς ὑπερβάλλοντα καρτερὸν κτύπον* V. 925. *δέδορκα δ' ὄμβρου κτύπον δομοσφαλῆ τὸν αἱματηρὸν* A. 1515. *ὀξύχειρι ξὺν κτύπῳ* C. 23. *κτύπῳ δ' ἐπιρροθεῖ κροτητὸν ἀμὸν καὶ πανάθλιον κάρα* C. 421. *παῖ, παῖ, θύρας ἄκουσον ἑρκείας κτύπον* C. 642. *θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις πιστὸς* V. 918.

Κυάνεος. *κυάνεον ὄμμασι λεύσσων, φονίου δέργμα δράκοντος, πολύχειρ, καὶ πολυναύτης* P. 81.

Κυανῶπις. *δορυπαγεῖς κυανώπιδας νῆας* S. 724. *ὁμόπτεροι κυανώπιδες νᾶες* P. 551.

Κυβερνήτης. *ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ φιλεῖ* S. 751.

Κύβος. *ἔργον δ' ἐν κύβοις Ἄρης κρινεῖ* T. 396. *βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα* Fr. Myrm. 10.

Κυδάζεσθαι. *οὔτοι γυναιξὶ κυδάζεσθαι* Fr. Iph. 1.

Κύδιστος. *κύδιστ' Ἀχαιῶν* Fr. Iph. 2. *κύδιστ' ἀχέων ἐπέκρανεν* S. 13.

Κῦδος. *θεὸς ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης* P. 447. *ἄροισθε κῦδος τοῖσδε πολίταις* T. 299.

Κυθέρειος. *μηδ' ὑπ' ἀνάγκας γάμος ἔλθοι Κυθέρειος* S. 1014.

Κυκᾶν. *βροντήμασι χθονίοις κυκάτω πάντα* V. 996.

Κύκλος. *κύκλῳ πέριξ ἔθεινον* P. 410. *λαμπρὸς ἡλίου κύκλος* P. 497. P. 93.

ἀσπίδος κύκλον λέγω T. 471. ὀφέων δὲ πλεκτάναισι περίδρομον κύτος προσηδάφισται κοιλογάστορος κύκλου T. 497. σῆμα δ' οὐκ ἐπῆν κύκλῳ T. 573. κύκλῳ παραστάδον στέγαστρον ἀνδρὸς δείξατ' C. 977. πυρὸς σέλας κύκλῳ παρίσταται Fr. Inc. 108.

Κυκλοῦν. στένει πόλισμα—ὡς κυκλούμενον T. 229. σπλάγχνα δ' οὔτι ματάζει πρὸς ἐνδίκοις φρεσὶ τελεσφόροις δίναις κυκλούμενον κέαρ A. 969. Ἀργεῖοι γὰρ πόλισμα Κάδμου κυκλοῦνται T. 114. ἀμφὶ δὲ κυκλοῦντο πᾶσαν νῆσον P. 450.

Κυκλωτός. κυκλωτῷ σώματος προβλήματι T. 522.

Κυκνόμορφος. κόραι τρεῖς κυκνόμορφοι V. 797.

Κύκνος. κύκνου δίκην, τὸν ὕστατον μέλψασα θανάσιμον γοὸν κεῖται φιλήτωρ τοῦδ' A. 1419.

Κυλινδεῖν. γαῖαν κυλίνδων ῥεύμασιν Fr. Inc. 31.

Κῦμα. διὰ κῦμ' ἅλιον φεύγειν S. 14. ποῖ τόδε κῦμ' ἀπάξει; S. 120. ὀχυροῖς ἕρκεσιν εἴργειν ἄμαχον κῦμα θαλάσσης P. 90. βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ T. 64. κῦμα γὰρ περὶ πτόλιν δοχμολόφων ἀνδρῶν καχλάζει T. 109. νεὼς καμούσης ποντίῳ πρὸς κύματι T. 192. ἴτω κατ' οὖρον κῦμα Κωκυτοῦ λαχὸν Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος T. 672. κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει T. 740. ἀλλοδαπῶν κύματι φωτῶν κατακλυσθῆναι T. 1069. ὀχλεῖς μάτην με, κῦμ' ὅπως, παρηγορῶν V. 1003. κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ συγχώσειεν V. 1050. ὡς μήτ' ἐν ὅρμῳ κύματος ζάλην ἔχειν A. 651. κύματος δίκην κλύζειν A. 1154. αὖθις τῶνδε κῦμα λαμβάνει C. 126. οὐκ ἔστι μήτηρ ἡ κεκλημένου τέκνου τοκεὺς, τροφὸς δὲ κύματος νεοσπόρου E. 629. ποντίων τε κυμάτων ἀνήριθμον γέλασμα V. 89. θολεροὶ δὲ λόγοι παίουσ' εἰκῇ στυγνῆς πρὸς κύμασιν ἄτης V. 888. ψυχὰς ἔχοντες κυμάτων ἐν ἀγκάλαις Fr. Inc. 43.

Κυμαίνειν. γεγωνὰ κυμαίνοντ' ἔπη T. 425.

Κυματίας. πόρον κυματίαν ὁρίζει S. 541.

Κυναγός. κυναγοὶ κατ' ἴχνος A. 678.

Κυνηγετεῖν. ἀλλά με τὰν τάλαιναν ἐξ ἐνέρων περῶν κυνηγετεῖ V. 572.

Κυνοθρασής. περίφρονες ἄγαν ἀνιέρῳ μένει μεμαργώμενοι κυνοθρασεῖς S. 739.

Κυνοκέφαλοι Fr. Prom. Sol. 188.

Κυνόφρων. Νίσον τριχὸς νοσφίσασ' ἁ κυνόφρων ὕπνῳ C. 612.

Κυντερώτερα Fr. Inc. 147.

Κύπρις. καρπώματα στάζοντα κηρύσσει Κύπρις S. 979. Κύπριδος δ' οὐκ ἀμελεῖ θεσμὸς ὅδ' εὔφρων S. 1016. Κύπρις γένους προμάτωρ T. 127. συναιρέσθαι Κύπριν θέλει V. 654. τοιάδ' ἐπ' ἐχθροὺς τοὺς ἐμοὺς ἔλθοι Κύπρις V. 866. Κύπρις δ' ἄτιμος τῷδ' ἀπέρριπται λόγῳ E. 206.

Κύπριος. Κύπριος χαρακτὴρ S. 279. Κύπριαί τε πόλεις, Πάφος, Σαλαμίς τε P. 863.

Κύπρος. ἔχουσα Κύπρου πάντα κλῆρον Fr. Inc. 55.

Κύραξ (nomen canis) Fr. Act. 2.

Κύρειν. πάλου δ' ἔκυρσα τοὔπερ ἤθελον P. 765. Ἰαόνων ναυβατᾶν κύρσαντες οὐκ εὐτυχῶς P. 974. πικροῦ δ' ἔκυρσας, ὦ κόρη, τῶν σῶν γάμων μνηστῆρος V. 741. ἔκυρσας, ὥστε τοξότης ἄκρος, σκοποῦ A. 614. μὴ κύρσας βαρέων τούτων E. 891.

Κυρεῖν. εἰ δὲ κυρεῖ τις πέλας S. 56. ὅστις ἔμπειρος κυρεῖ κακῶν P. 590. καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ T. 23. ἐκτὸς αἰτίας κυρεῖς V. 330. τί νῦν ἕκατι δαιμόνων κυρῶ; C. 212. ἐπὶ δέ μοι γέρας παλαιὸν, οὐδ' ἀτιμίας κυρῶ E. 372. νύκτ' ἣν ἐπ' ἀσπίδος λέγεις κυρεῖν T. 383. ἀλλόθρουν πόλιν κυρεῖν λέγουσαν A. 1174. τρανῶς Ἀτρείδην εἰδέναι κυροῦνθ' ὅπως A. 1344. θυμὸς δέ ποτ' ἐμὸς οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει Fr. Niobe 2. στρατὸς κυρήσει νοστίμου σωτηρίας P. 783. οὔτοι κυρήσεις μεῖον ἀξίως σέθεν C. 696. καὶ τόδ' ἂν γένος λέγων ἐξ Ἐπάφου, κυρήσαις S. 584. πρὶν δαΐκτορος βίᾳ καρδίας γάμου κυρῆσαι S. 780. μοίρας τῆσδε κυρήσας P. 874. παντοδαπὸς δὲ καρπὸς χαμάδις πεσὼν ἀλγύνει κυρήσας T. 341. κακὸς οὐ κεκλήσῃ, βίον εὖ κυρήσας T. 681.

Κύριος. χρόνῳ, κυρίῳ τ' ἐν ἡμέρᾳ S. 713. κύριός εἰμι θροεῖν ὅδιον κράτος

αἴσιον ἀνδρῶν ἐκτελέων A. 104. ὅταν τὸ κύριον μόλῃ A. 744. ἐμῶν τε καὶ σῶν κύριος πιστευμάτων, ὡς χρῆν, Ὀρέστης A. 852. ἄγγελλε τοῖσι κυρίοισι δωμάτων C. 647. εἰ δὲ τυγχάνω τοῖς κυρίοισι καὶ πρυσήκουσιν λέγων C. 678. ὕπνος πόνος τε κύριοι συνωμόται δεινῆς δρακαίνης ἐξεκήραναν μένος E. 123. ματρῷον ἅγνισμα κύριον φόνου E. 315. κύριον μένει τέλος E. 515. κύρι' ἔχοντες E. 918. τί τῶνδε κυριωτέρους μένεις; S. 943.

Κυρίσσειν. ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα νικώμενοι κύρισσον ἰσχυρὰν χθόνα P. 302.

Κυρίως. τῷ πάθει μάθος θέντα κυρίως ἔχειν A. 171. τυχεῖν δός μοι κυρίως τὰ σώφροσιν εὖ μαιομένοις ἰδεῖν C. 774.

Κῦρος. τρίτος δ' ἀπ' αὐτοῦ, Κῦρος P. 754. Κύρου δὲ παῖς τέταρτος ἴθυνε στρατὸν P. 759.

Κῦρος. οὐκ ἔχουσι κῦρος οὐδὲν ἀμφὶ σοῦ S. 386.

Κυροῦν. τήνδε κυρώσων δίκην E. 550. τῆδ' ἐκύρωσεν φάτις ὑμῶν P. 513. τήνδ' ἐκύρωσας φάτιν P. 223. ὅσπερ τέτακται τήνδε κυρῶσαι δίκην E. 609. ἓν εἰπὲ δ' ἡμῖν, ποῖ κεκύρωται τέλος; S. 598. μάχης γὰρ δὴ κεκύρωται τέλος C. 861.

Κύτος. ὀφέων δὲ πλεκτάναισι περίδρομον κύτος προσηδάφισται κοιλογάστορος κύκλου T. 477. ὄξος τ' ἄλειφά τ' ἐγχέας ταυτῷ κύτει A. 313. τῷ δ' ἐναντίῳ κύτει ἐλπὶς προσῄει χειρὸς οὐ πληρουμένῃ A. 790.

Κύχρειος. ἀκτὰς ἀμφὶ Κυχρείας P. 562.

Κυών. Διὸς πτηνὸς κυὼν δαφοινὸς αἰετὸς V. 1024. κυνὸς δίκην A. 3. C. 440. δωμάτων κύνα ἐσθλὴν ἐκείνῳ πολεμίαν τοῖς δύσφροσιν A. 593. τῶν σταθμῶν κύνα, σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης στύλον A. 870. σκιὰν ὑπερτείνασα Σειρίου κυνὸς A. 941. ἔοικεν εὖρις ἡ ξένη κυνὸς δίκην εἶναι A. 1064. οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς λέξασα— A. 1201. κλαγγαίνεις ἅπερ κυὼν μέριμναν οὔποτ' ἐκλιπὼν πόνου E. 127. τετραυματισμένον γὰρ ὡς κυὼν νεβρὸν, πρὸς αἷμα καὶ σταλαγμὸν ἐκμαστεύομεν E. 237. Σφίγγα δυσαμερίαν πρύτανιν κύνα πέμπει Fr. Sph. 215. ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν εἶναι S. 741. κυσὶν δ' ἔπειθ' ἕλωρα κἀπιχωρίοις ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν S. 781. ἔξω βαλεῖν ἄθαπτον, ἁρπαγὴν κυσὶν T. 1005. ὀξυστόμους γὰρ Ζηνὸς ἀκραγεῖς κύνας γρύπας φύλαξαι V. 805. οἴκῳ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνὰ πτανοῖσι κυσὶ πατρὸς A. 134. ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας C. 911. σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες C. 1050.

Κώδων. λόφος τε, κώδων τ', οὐ δάκνουσ' ἄνευ δορὸς T. 381. ὑπ' ἀσπίδος δὲ τῷ χαλκήλατοι κλάζουσι κώδωνες φόβον T. 368.

Κωκύειν. εἶμι κωκύσουσ' ἐμὴν μοῖραν A. 1286.

Κώκυμα. αἴσχη τε Πέρσαις, καὶ λιγέα κωκύματα P. 324. οἰμωγὴ δ' ὁμοῦ κωκύμασιν κατεῖχε πελαγίαν ἅλα P. 419.

Κωκυτός. μὴ νῦν, ἐὰν θνήσκοντας ἢ τετρωμένους πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε T. 225. ὑμᾶς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος C. 148.

Κωκυτός. κῦμα Κωκυτοῦ T. 672. ἀμφὶ Κωκυτόν τε κἀχερουσίους ὄχθους A. 1132.

Κωλύειν. κἄλωρα κωλύουσαν ὡς μένειν ἐρῶ S. 980.

Κῶλον. πρὸς κέντρα κῶλον ἐκτενεῖς V. 323. δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας κάμψαι διαύλου θατέρου κῶλον πάλιν A. 335. κώλοισιν ἀμφίβληστρ' ἔχει V. 81. κνίσσῃ δὲ κῶλα συγκαλυπτὰ V. 494. ἐν δυοῖν οἰμωγμάτοιν μεθῆκεν αὐτοῦ κῶλα A. 1358. σφαλερὰ τανυδρόμοις κῶλα E. 350.

Κῶμος. βρότειον αἷμα κῶμος ἐν δόμοις μένει A. 1162. Ἑκάτης κῶμον ἐδέξω Fr. Inc. 167.

Κώνωψ. ἐν δ' ὀνείρασιν λεπταῖς ὑπαὶ κώνωπος ἐξεγειρόμην ῥιπαῖσι θωΰσσοντος A. 866.

Κώπη. τρωποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον P. 368. πᾶς ἀνὴρ κώπης ἄναξ P. 370. κώπης ῥοθιάδος ξυνεμβολῇ ἔπαισαν ἅλμην βρύχιον ἐκ κελεύσματος P. 388. σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος κώπῃ A. 1601. ἀγαῖσι κωπῶν, θραύσμασίν τ' ἐρειπίων ἔπαιον P. 417.

Κωπήρης. ἔθραυον πάντα κωπήρη στόλον P. 408.
Κωρυκίς. ἔνθα Κωρυκὶς πέτρα κοίλη E. 22.
Κωφός. ἤκουσας, ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω; T. 184. κωφοῖς ἀΰτῶ, καὶ καθεύδουσιν μάτην ἄκραντα βάζω C. 867.

Λ.

Λαβή. τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῇ ἔλυσε S. 913.
Λάβρος. θαλάσσης πολιαινομένης πνεύματι λάβρῳ ἐσορᾶν πόντιον ἄλσος P. 110.
Λαβροστομεῖν. σὺ δ' ἡσύχαζε, μηδ' ἄγαν λαβροστόμει V. 327.
Λαβρόσυτος. σκιρτήματων δὲ νήστισιν αἰκίαις λαβρόσυτος ἦλθον V. 603.
Λάγινος. βοσκόμενοι λαγίναν ἐρικύμονα φέρματι γένναν A. 118.
Λαγοδαίτης. ἐδάη λαγοδαίτας πομπούς τ' ἀρχὰς A. 122.
Λαγχάνειν. ὡς ἐν πύλαις ἕκαστος εἴληχεν πάλον T. 358. Καπανεὺς δ' ἐπ' Ἠλέκτραισιν εἴληχεν πύλαις T. 405. λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα T. 433. ἔλαχε δ' ἐς τὸ πᾶν ὁ πυθοχρήστας φυγὰς C. 927. πάντα γὰρ αὗται τὰ κατ' ἀνθρώπους ἔλαχον διέπειν E. 891. ἐμοιράσαντο δ' ὀξυκάρδιοι κτήμαθ', ὥστ' ἴσον λαχεῖν T. 890. ἔμπας τις αὐτὴν ἄλλος ὤφελεν λαχεῖν V. 48. ἡ μὲν Ἑλλάδα κλήρῳ λαχοῦσα γαῖαν, ἡ δὲ βάρβαρον P. 183. ὡς πάλῳ λαχὼν ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον T. 55. πύλαις ἑβδόμαις προσίστανται πάλῳ λαχόντες T. 119. καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις λέξω T. 438. ἴτω κατ' οὖρον κῦμα Κωκυτοῦ λαχὸν Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος T. 672. ἔχουσι μοῖραν λαχόντες, ὦ μέλεοι, διοσδότων ἄχεων T. 928. ἔστω δ' ἀπήμαντον ὥστε κἀπαρκεῖν εὖ πραπίδων λαχόντα A. 370. τί δ' οὐ στένοντες, οὐ λαχόντες, ἤματος μέρος A. 543. ἴτων πάλῳ λαχόντες, ὡς νομίζεται E. 32. ἀλλ' αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις E. 685.
Λαγώς. λαγὼ δίκην Πενθεῖ καταῤῥάψας μόρον E. 26.
Λαθραῖος. δίκην ἄτης λαθραίου A. 1213.
Λαθραίως. οὐκ ἐξαίφνης οὐδὲ λαθραίως εἰς ἀπέραντον δίκτυον ἄτης ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας V. 1079.
Λαίλαψ. ἔνθα δὲ λαίλαπι χειμωνοτύπῳ—ὄλοιντο S. 33.
Λάϊος. πᾶν τὸ Λαΐου γένος T. 673. Ἀπόλλωνος εὖτε Λάϊος βίᾳ—ἐγείνατο μόρον αὑτῷ T. 727. Οἰδίπου γένει κραίνων παλαιὰς Λαΐου δυσβουλίας T. 784. βουλαὶ δ' ἄπιστοι Λαΐου κατήρκεσαν T. 824.
Λάϊς. βοᾷ δ' ἐκκενουμένα πόλις λάϊδος ὀλλυμένας μιξοθρόου T. 313.
Λαῖφος. εὔσημον γὰρ οὔ με λανθάνει, στολμοί τε λαίφους καὶ παραῤῥύσεις νεὼς S. 696. αὐτὴ δ' ἡγεμὼν ὑπὸ χθόνα στείλασα λαῖφος παγκρότως ἐρέσσεται S. 704. λαῖφος ὅταν λάβῃ πόνος θραυομένας κεραίας E. 526.
Λακάζειν. ἴυζε, καὶ λάκαζε, καὶ κάλει θεοὺς S. 851. ἦ ταῦτ' ἄριστα, καὶ πόλει σωτήρια—αὔειν, λακάζειν; T. 167.
Λακεῖν. οὐκ αἰσχρὸς, ὡς γυναικὶ γενναίᾳ λακεῖν κόμπος A. 600. ἔλακον ἀξόνων βριθομένων χνόαι T. 138. μεγαλόμητις εἶ, περιφρόνα δ' ἔλακες A. 1401. ἀωρόνυκτον ἀμβόαμα μυχόθεν ἔλακε C. 35. κριταί τε τῶνδ' ὀνειράτων θεόθεν ἔλακον ὑπέγγυοι C. 37. διὰ δίκας πᾶν ἔπος ἔλακον C. 777. πρόπασα δ' ἤδη στονόεν λέλακε χώρα V. 405.
Λακίς. πολλάκι δ' ἐμπιτνῶ ξὺν λακίδι, λίνοισιν, ἢ Σιδονίᾳ καλύπτρα S. 113. 124. εἰ μή τις ἐς ναῦν εἶσιν, αἰνέσας τάδε, λακὶς χιτῶνος ἔργον οὐ κατοικτιεῖ S. 880. βυσσίνοις δ' ἐν πέπλοις πέσῃ λακὶς P. 124. πάντα γὰρ κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι στημορραγοῦσι ποικίλων ἐσθημάτων P. 821. λινοφθόροι δ' ὑφασμάτων λακίδες ἔφλαδον ὑπ' ἄλγεσιν C. 28.

Λακτίζειν. κραδία δὲ φόβῳ φρένα λακτίζει V. 883. πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς A. 1607. σύγγονον βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον A. 859. οὐ γάρ ἐστιν ἔπαλξις— ἀνδρὶ λακτίσαντι μέγαν δίκας βωμὸν A. 373.

Λάκτισμα. λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ A. 1583.

Λαμβάνειν. ἣ τὰ πάντα τίκτεται, θρέψασά τ', αὖθις τῶνδε κῦμα λαμβάνει C. 126. ἔρως δὲ γαῖαν λαμβάνει γάμου τυχεῖν Dan. 2. 2. καὶ τῶνδε καιρὸν, ὅστις ὤκιστος, λάβε T. 65. λάβε, λάβε, λάβε, λάβε, φράζου E. 125. τὸ πᾶν τ' ἐκ δαιμόνων λάβοιεν S. 674. οἶκος δ' αὐτὸς, εἰ φθογγὴν λάβοι, σαφέσταt' ἂν λέξειεν A. 38. οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενὸς A. 266. εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ P. 357. λαῖφος ὅταν λάβῃ πόνος θραυομένας κεραίας E. 526. πολλῶν τάδ' ἡμῖν ἐστιν ἠξιωμένα αἰδοῖον εὖ ῥέοντα πρόξενον λαβεῖν S. 486. φυγάδα μάταισι πολυθρόοις βίαια δίζηνται λαβεῖν S. 801. οἱ κατὰ χθονὸς θεοὶ λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι P. 676. οὕτω πετεινῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν T. 1012. παντὶ θυμῷ προνωπῆ λαβεῖν ἀέρδην A. 226. ἤτοι δίκην ἴαλλε σύμμαχον φίλοις, ἢ τὰς ὁμοίας ἀντίδος βλάβας λαβεῖν C. 491. τἀπὶ χέρσου νῦν προμήθειαν λαβεῖν αἰνῶ φυλάξαι S. 175. κλάδους τε τούτους αἶψ' ἐν ἀγκάλαις λαβὼν S. 476. λαβοῦσα δ' ἕρμα Δῖον ἀψευδεῖ λόγῳ, γείνατο παῖδ' ἀμεμφῆ S. 575. ἐγὼ δ' ἀρωγοὺς ξυνδίκους θ' ἥξω λαβὼν S. 707. σὺν φίλοις ὀπάοσι, θράσος λαβοῦσαι στείχετ' S. 933. γῇ τε καὶ φθιτοῖς δωρήματα ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν P. 516. λαβοῦσα κόσμον ἐκ δόμων ὑπαντιάζειν παῖδ' ἐμῷ πειράσομαι P 835. λαβών νιν, ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει ῥαιστῆρι θεῖνε V. 55. ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται; V. 194. τὸν ταῦρον ἐν πέπλοισι μελάγκερων λαβοῦσα μηχανήματι τύπτει A. 1098. ἄσημα δ' αὐτῶν αὐτίκ' ἀγνοίᾳ λαβὼν ἔσθει βορὰν ἄσωτον, ὡς ὁρᾷς, γένει A. 1578. ἴζον παλαιὸν ἄγκαθεν λαβὼν βρέτας E. 80. μὴ καὶ λαβοῦσα πτηνὸν ἀργηστὴν ὄφιν ἀνῇς ὑπ' ἄλγους μέλαν' ἀπ' ἀνθρώπων ἀφρὸν E. 173. οὐ γὰρ δράκων ἐνῆκεν, ἀλλ' ἐνῴκισε δεινήν γε στόματος ἔκφυσιν ποδὸς λαβὼν Philoct. 7. 2. πολλὰ τραύματ' ἐν στέρνοις λαβὼν θνήσκει Fragm. 27. λαβὼν γὰρ αὐτόθηκτον Εὐβοϊκὸν ξίφος Fragm. 81. τῶνδ' ἀκούσας οὔτι μὴ ληφθῶ δόλῳ T. 38.

Λαμπαδηφόρος. τοιοίδ' ἕτοιμοι λαμπαδηφόρων νόμοι A. 302.

Λαμπάς. φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη T. 415. καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον A. 8. δόμοις ὀλολυγμὸν εὐφημοῦντα τῇδε λαμπάδι ἐπορθιάζειν A. 28. ἄλλη δ' ἄλλοθεν οὐρανομήκης λαμπὰς ἀνίσχει A. 93. ἰσχὺς πορευτοῦ λαμπάδος πρὸς ἡδονὴν πεύκη A. 278. σθένουσα λαμπὰς οὐδέπω μαυρουμένη ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρὸς A. 287. δεῦρ' ἴτε, σεμναὶ, πυριδάπτῳ λαμπάδι τερπόμεναι E. 993. τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγὰς A. 475. βλαστοῦσι καὶ πεδαίχμιοι λαμπάδες πεδάμεροι πτηνά τε καὶ πεδοβάμονα C. 583. πέμψω δὲ φέγγη λαμπάδων σελασφόρων ἐς τοὺς ἔνερθε καὶ κατὰ χθονὸς τόπους E. 976. λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σθένει Fragm. 92.

Λάμπειν. ἅ τε χάρις λάμπει περὶ σὰν πτέρυγα χρύσεον Fragm. 23. 5. δίκα δὲ λάμπει μὲν ἐν δυσκάπνοις δώμασιν A. 749. μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα P. 163.

Λάμπη. ἄτιμ' ἀτίετα διόμεναι λάχη θεῶν διχοστατοῦντ' ἀνηλίῳ λάμπᾳ E. 365.

Λαμποῦρις Fragm. 148.

Λαμπρός. λαμπρὸς ἡλίου κύκλος P. 496. λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει, πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμὸς, πρέπει T. 371. λαμπρὸν ἔκκρουστον δέμας T. 524. φέροντας χεῖμα καὶ θέρος βροτοῖς λαμπροὺς δυνάστας, ἐμπρέποντας αἰθέρι A. 6. Ἥφαιστος Ἴδης λαμπρὸν ἐκπέμπων σέλας A. 272. ἐπεὶ δ' ἀνῆλθε λαμπρὸν ἡλίου φάος A. 644. λαμπρὸς δ'

ἔοικεν ἡλίου πρὸς ἀντολὰς πνέων ἐσήξειν (χρησμὸς) A. 1152. ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὀφρὺν C. 283. κακαῖς ἐπιῤῥόαισι βορβόρῳ θ' ὕδωρ λαμπρὸν μιαίνων E. 665. ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν E. 764. ἔπειτα δ' εἰσι λαμπρὸν ἡλίου φάος Dan. 1. 1. λαμπρὸν φάος ἄγαγες ἐν σκότῳ Fragm. 23. λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σθένει Fragm. 92.

Λαμπρύνεσθαι. εὕδουσα γὰρ φρὴν ὄμμασιν λαμπρύνεται E. 104.

Λαμπρῶς. δός νιν ἐλευθερίως λαμπρῶς τ' ἰδεῖν φιλίοις ὄμμασι δνοφερὰς καλύπτρας C. 797.

Λαμπτήρ. ὦ χαῖρε λαμπτὴρ νυκτὸς A. 22. πολλοὶ δ' ἀνῆλθον, ἐκτυφλωθέντες σκότῳ λαμπτῆρες ἐν δόμοισι δεσποίνης χάριν C. 530.

Λαμπτηρουχία. τὰς ἀμφί σοι κλαίουσα λαμπτηρουχίας ἀτημελήτους αἰὲν A. 864.

Λανθάνειν. εὔσημον γὰρ οὔ με λανθάνει—τὸ πλοῖον S. 695. μήτ' ἀέλπτως δορυκανεῖ μόρῳ θανὼν λάθοιμι S. 966. τεθνεῶτ' Ὀρέστην εἰπὲ, μηδαμῶς λάθῃ C. 671. λεύσσετον πάντα μὴ λάθῃ φύγδα βὰς ὁ ματροφόνος ἀτίτας E. 246. νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων ὀφθαλμὸς Sagittif. 1. 3. οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς A. 770. ὅμως ἄμεινον, εἰ βραδύνοιμεν βοῇ, ἀλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτὲ S. 712. λέληθεν οὐδὲν τῶνδέ μ' ὧν σὺ νουθετεῖς Laius 1.

Λάξ. λὰξ πέδον πατούμενον C. 633. καὶ πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα E. 110. μηδέ νιν κέρδος ἰδὼν ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς E. 514.

Λαοδάμας. μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας μιαίνων εὐσέβειαν Ἄρης T. 325.

Λαοπαθής. λαοπαθῆ σεβίζων ἀλίτυπα βάρη P. 907.

Λαόπορος. πίσυνοι λεπτοδόμοις πείσμασι λαοπόροις τε μηχαναῖς P. 113.

Λαός. τὸ κοινὸν δ' εἰ μιαίνεται πόλις, ξυνῇ μελέσθω λαὸς ἐκπονεῖν ἄκη S. 364. ἀπρόσοιστος γὰρ ὁ Περσῶν στρατὸς, ἀλκίφρων τε λαὸς P. 92. λέλυται γὰρ λαὸς ἐλεύθερα βάζειν P. 585. ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορί; P. 715. Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο P. 756. Ἰάνων λαὸς οὐ φυγαίχμας; P. 984. μετ' ἄλλων δορικμῆτι λαῷ παρὰ Σκαμάνδρου πόρον τέθαψαι C. 361. ὅθεν καλεῖν Κουρῆτα λαὸν ᾔνεσαν Fragm. 107. ἐγὼ δὲ λαοὺς συγκαλῶν ἐγχωρίους πείσω τὸ κοινὸν S. 512. ξὺν τ' εὐκλείᾳ καὶ ἀμηνίτῳ βάξει λαῶν ἐν χώρῳ τάσσεσθε S. 954.

Λαπάζειν. λαπάξειν ἄστυ Καδμείων βίᾳ ὡρκωμότησαν T. 47. λαπάξειν ἄστυ Καδμείων βίᾳ Διὸς πεποιθὼς T. 513.

Λασθένης. ἐπ' αὐτῷ φῶτα, Λασθένους βίαν, ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν T. 602.

Λάσκειν. ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν ἔλασκον A. 581. τὸν μὲν ἥκειν, τὸν δ' ἐπεισφέρειν κακοῦ κάκιον ἄλλο πῆμα λάσκοντας δόμοις A. 839.

Λατρεία. τῆς σῆς λατρείας τὴν ἐμὴν δυσπραξίαν, σαφῶς ἐπίστασ', οὐκ ἂν ἀλλάξαιμ' ἐγὼ V. 968.

Λατρεύειν. κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον V. 970.

Λατρός. οἴκησις δὲ καὶ διπλῆ πάρα, τὴν μὲν Πελασγὸς, τὴν δὲ καὶ πόλις διδοῖ οἰκεῖν λατρῶν ἄτερθεν S. 989.

Λατώ. ὁ Λατοῦς γὰρ ἶνίς μ' ἄτιμον τίθησιν E. 313.

Λάφυρον. ἐπεύχομαι λάφυρα δαΐων δουρίπληχθ' ἁγνοῖς δόμοις θήσειν T. 260. δύ' ἄνδρε, καὶ πόλισμ' ἐπ' ἀσπίδος ἑλὼν λαφύροις δῶμα κοσμήσει πατρὸς T. 461. θεοῖς λάφυρα ταῦτα τοῖς καθ' Ἑλλάδα δόμοις ἐπασσάλευσαν ἀρχαῖον γάνος A. 565.

Λαχή. τάφων πατρῴων λαχαὶ T. 898.

Λάχος. βασιλεὺς γὰρ ἦς, ὄφρ' ἔζης, μόριμον λάχος πιμπλάντων χεροῖν C. 356. τοῦτο γὰρ λάχος διανταία μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν E. 321. τῶν αἰχμαλώτων χρημάτων λάχος μέγα ἔνειμαν E. 378. μοῦσαν στυγερὰν ἀποφαίνεσθαι δεδόκηκεν λέξαι τε λάχη τὰ κατ' ἀνθρώπους E. 300. γιγνομέναισι λάχη τάδ' ἐφ' ἁμὶν ἐκράνθη E. 329. ἄτιμ' ἀτίετα διόμεναι λάχη

θεῶν διχοστατοῦντ' ἀνηλίῳ λάμπᾳ E. 364.

Λέαινα. αὕτη δίπους λέαινα συγκοιμωμένη λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ A. 1231. βρυαζούσης λεαίνης Atham. 4. λέαινα ἠριγένεια Fragm. 125.

Λέβης. δολοφόνου λέβητος τύχαν σοὶ λέγω A. 1100. νῦν γὰρ λέβητος χαλκέου πλευρώματα σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου C. 675. τὸν μὲν τρίπους ἐδέξατ' οἰκεῖος λέβης ἀεὶ φυλάσσων τὴν ὑπὲρ πυρὸς στάσιν Atham. 1. ἀντήνορος σποδοῦ γεμίζων λέβητας A. 432.

Λέγειν. τοιαῦτα πάθεα μέλεα θρεόμενα λέγω S. 104. ἐγὼ δὲ πρός σε πότερον ὡς ἔτην λέγω, ἢ τηρὸν ἱεροῦ ῥάβδον, ἢ πόλεως ἀγόν; S. 244. ποῖον πανόπτην οἰοβουκόλον λέγεις; S. 300. τίν' οὖν ἔτ' ἄλλον τῆσδε βλάστημον λέγεις; S. 313. πότερα κατ' ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις; S. 331. στείχοιτ' ἄν, ἄνδρες, εὖ γὰρ ὁ ξένος λέγει S. 495. ἐξώλές ἐστι μαργὸν Αἰγύπτου γένος, μάχης τ' ἄπληστον, καὶ λέγω πρὸς εἰδότας S. 723. καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω P. 196. δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι P. 241. φίλων ἀλίδονα σώματα πολυβαφῆ κατθανόντα λέγεις φέρεσθαι P. 268. λέγουσι δ' ὡς σὺ μὲν τέκνοις μέγαν πλοῦτον ἐκτήσω σὺν αἰχμῇ P. 741. Περσαῖς ἀγανοῖς κακὰ πρόκακα λέγεις P. 948. τί τόδε λέγεις σεσωσμένον; P. 980. λέγει μεγίστην προσβολὴν Ἀχαΐδα νυκτηγορεῖσθαι T. 28. ἤκουσας, ἢ οὐκ ἤκουσας, ἢ κωφῇ λέγω; T. 184. οὐδ' ἀπ' Ἰσμηνοῦ λέγω T. 255. νύκτα ταύτην, ἣν λέγεις ἐπ' ἀσπίδος ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν T. 382. ἅλω δὲ πολλήν, ἀσπίδος κύκλον λέγω, ἔφριξα δινήσαντος T. 471. οὕτως γένοιτο· τὸν δὲ πέμπτον αὖ λέγω T. 507. ἔστιν δὲ καὶ τῷδ', ὃν λέγεις τὸν Ἀρκάδα, ἀνὴρ ἄκομπος T. 535. λέγει δὲ τοῦτ' ἔπος διὰ στόμα T. 561. υἱὸν Οἰκλέους λέγω T. 592. Δίκη δ' ἄρ' εἶναί φησιν, ὡς τὰ γράμματα λέγει T. 629. ἐπωνύμῳ δὲ κάρτα, Πολυνείκη λέγω, τάχ' εἰσόμεσθα τἀπίσημ' ὅπη τελεῖ T. 640. παλαιγενῆ γὰρ λέγω παραιβασίαν ὠκύποινον T. 724. διανταίαν λέγεις πλαγὰν T. 876. ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω—ἐγώ σφε θάψω T. 1017. τοιοῦτο μέν σοι τοῦτο φρούριον λέγω V. 803. ἅπερ τελεῖται, πρὸς δ' ἃ βούλομαι, λέγω V. 931. σὲ τὸν σοφιστήν—τὸν πυρὸς κλέπτην λέγω V. 948. χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ ἐχθροὺς ἴδοιμι, καὶ σὲ δ' ἐν τούτοις λέγω V. 975. ἢ τορῶς λέγω; A. 260. τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης, λέγω A. 271. τέκμαρ τοιοῦτον ξύμβολόν τε σοὶ λέγω A. 306. κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις A. 342. ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις A. 531. οὐ ψευδῆ λέγω A. 611. πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ ἐλθεῖν, τελευτῆσαί τε δαιμόνων κότῳ; A. 620. ἐκείνων εἴ τις ἐστιν ἐμπνέων, λέγουσιν ἡμᾶς ὡς ὀλωλότας A. 657. εἴτ' οὖν θανόντος, εἴτε καὶ ζῶντος πέρι λέγω A. 818. τὴν κάτω γὰρ οὐ λέγω χθονὸς A. 845. εἴσω κομίζου καὶ σύ· Κασάνδραν λέγω A. 1005. ἔπου τὰ λῷστα τῶν παρεστώτων λέγει A. 1023. εἰ σὺ μὴ τόδ' ἐννοεῖς, ἐγὼ λέγω σοι A. 1059. δολοφόνου λέβητος τύχαν σοὶ λέγω A. 1100. οὐ γὰρ εὖ λέγει A. 1160. οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις A. 1285. ἐγὼ μὲν ὑμῖν τὴν ἐμὴν γνώμην λέγω A. 1321. ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας λέγω A. 1375. λέγω δέ σοι, τοιαῦτ' ἀπειλεῖν ὡς παρεσκευασμένη ἐκ τῶν ὁμοίων, χειρὶ νικήσαντ' ἐμοῦ ἄρχειν A. 1395. δεχομένοις λέγεις θανεῖν σε, τὴν τύχην δ' ἐρούμεθα A. 1638. πότερα δικαστήν, ἢ δικηφόρον λέγεις; C. 118. τοῖς δ' ἐναντίοις λέγω φανῆναί σου, πάτερ, τιμάορον C. 141. οὐκ ἧσσον ἐνδάκρυτά μοι λέγεις τάδε C. 179. τήνδε τ', Ἠλέκτραν λέγω, ἰδεῖν πάρεστί σοι C. 250. λέγεις πατρῷον μόρον C. 438. σέ τοι λέγω, ξυγγενοῦ, πάτερ, φίλοις C. 449. τεκεῖν δράκοντ' ἔδοξεν, ὡς αὐτὴ λέγει C. 520. τὰ δ' ἄλλα τούτῳ δεῦρ' ἐποπτεῦσαι λέγω C. 576. εἴτ' αὐτὸς ἦν θνήσκοντος ἐγγύθεν παρών, εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθὼν C. 840. Ζεῦ, Ζεῦ, τί λέγω; πόθεν ἄρξωμαι C. 842. τὸν ζῶντα καίνειν τοὺς τεθνηκότας λέγω C. 873. τὰ δ' ἐν χρόνῳ μοι πάντας Ἀργείους λέγω καὶ μαρτυρεῖν μοι C. 1036. οὔτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω E. 48. τίνες ποτ'

ἔστε; πᾶσι δ' ἐς κοινὸν λέγω E. 386. ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾶν λέγω E. 410. ταύτην μὲν οὕτω φροντίδ' ἐκποδῶν λέγω E. 431. ξύμμετρον δ' ἔπος λέγω E. 505. ἐς τὸ πᾶν δέ τοι λέγω βωμὸν αἰδέσαι δίκας E. 510. εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες. Λέγω· ξιφουλκῷ χειρὶ πρὸς δέρην τεμὼν E. 562. Ζεύς, ὡς λέγεις σύ, τόνδε χρησμὸν ὤπασε E. 592. πῶς ταῦτα τούτοις οὐκ ἐναντίως λέγεις; E. 613. λέγεις· ἐγὼ δὲ μὴ τυχοῦσα τῆς δίκης βαρεῖα χώρᾳ τῇδ' ὁμιλήσω πάλιν E. 689. ἐνοικίου δ' ὄρνιθος οὐ λέγω μάχην E. 828. δενδροπήμων δὲ μὴ πνέοι βλάβη, τὰν ἐμὰν χάριν λέγω E. 899. κέντημα γλώσσης σκορπίου βέλος λέγω Xanth. 1. ἀλλ' Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος, τῆς σῆς λέγω τοι μητρός, ἥ σ' ἐγείνατο Arm. Jud. 1. ὡς λέγει γέρον γράμμα Fragm. 48. πρὸς ταῦτ' ἀμείβου καὶ λέγ' εὐθαρσῶς ἐμοὶ S. 246. λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα T. 433. λέγ' ἥντιν' αἰτῇ· πάντα γὰρ πύθοιό μου V. 620. λέγ' ἐκδίδασκε, τοῖς νοσοῦσι γὰρ γλυκὺ τὸ λοιπὸν ἄλγος προὐξεπίστασθαι τορῶς V. 700. εἰ μέν τι τῇδε λοιπόν, ἢ παρειμένον ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης, λέγ' V. 823. λέγ' αὖθις ὡς μάθω σαφέστερον C. 756. τί τοῦδε σοὶ μέτεστι πράγματος; λέγε E. 545. γένος τ' ἂν ἐξεύχοιο καὶ λέγοις πρόσω S. 269. ἤκουσα, καὶ λέγοις ἄν, οὔ με φεύξεται S. 451. λέγοις ἂν ἐλθὼν παισὶν Αἰγύπτου τάδε S. 906. λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ' εἴσομαι T. 243. λέγοιμ' ἄν, εἰδὼς εὖ, τὰ τῶν ἐναντίων T. 357. ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστερον T. 550. λέγοιμ' ἂν ὧν ἀνῇ τις, οὐ δὲ χρὴ μακρὰν T. 695. ἀλλ' αὐτὰ σιγῶ· καὶ γὰρ εἰδυίαισιν ἂν ὑμῖν λέγοιμι V. 440. λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι διηνεκῶς θέλοιμ' ἄν, ὡς λέγοις πάλιν A. 310. μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας σπαρνὰς παρήξεις καὶ κακοστρώτους— A. 541. χειμῶνα δ' εἰ λέγοι τις οἰωνοκτόνον A. 549. παραυτὰ δ' ἐλθεῖν ἐς Ἰλίου πόλιν λέγοιμ' ἂν A. 720. εἰδὼς λέγοιμ' ἄν, εὖ γὰρ ἐξεπίσταμαι A. 812. λέγοιμ' ἂν ἄνδρα τόνδε τῶν σταθμῶν κύνα, σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης στῦλον ποδήρη A. 870. λέγοις ἄν, εἴ τι τῶνδ' ἔχεις ὑπέρτερον C. 103. λέγοις ἄν, ὥσπερ ᾐδέσω τάφον πατρὸς C. 106. λέγοις ἄν, ὀρχεῖται δὲ καρδία φόβῳ C. 165. ἀλλ' ὑπέρτολμον ἀνδρὸς φρόνημα τίς λέγοι; C. 587. ξένοι, λέγοιτ' ἄν, εἴ τι δεῖ C. 657. μάθοιμ' ἄν, εἰ λέγοι τις ἐμφανῆ λόγον E. 398. καὶ σὸν διδάξω πατέρα τοῖα χρὴ λέγειν S. 514. τί σοι λέγειν χρὴ τοὔνομα; S. 916. χρὴ λέγειν τὰ καίρια, ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως T. 1. γένεσθε δ' ἀλκή, ξυνὰ δ' ἐλπίζω λέγειν, πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει T. 76. ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλές, καλόν τ' ἀκοῦσαι, καὶ λέγειν μεθυστέροις; T. 563. φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια T. 601. διπλᾶ λέγειν. Διπλᾶ δ' ὁρᾶν T. 956. ὀλοὰ λέγειν. Ὀλοὰ δ' ὁρᾶν T. 973. οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν T. 1003. ἀλγεινὰ μέν μοι καὶ λέγειν ἐστὶν τάδε V. 197. ὡς δ' ἥμαρτες, οὔτ' ἐμοὶ λέγειν καθ' ἡδονήν, σοί τ' ἄλγος V. 260. ἀρχαῖ' ἴσως τοι φαίνομαι λέγειν τάδε V. 317. ἐπεὶ προθυμῇ, χρὴ λέγειν; ἄκουε δὴ V. 633. ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται λέγειν V. 1039. τί τοὺς ἀναλωθέντας ἐν ψήφῳ λέγειν, τὸν ζῶντα δ' ἀλγεῖν χρὴ τύχης παλιγκότου; A. 556. καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν; A. 584. τοιῶνδε μέντοι πημάτων σεσαγμένον πρέπει λέγειν παιᾶνα τόνδ' Ἐριννύων A. 631. ἀνὴρ ὅδ', ὡς πρὸς οἶκον ὠχετεύετο φάτις, τέτρωται δικτύου πλέω λέγειν A. 842. προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε A. 1177. οὔ σε προσήκει τὸ μέλημα λέγειν τοῦτο A. 1530. ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσῃ τάχα A. 1633. ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν σιγᾶν θ' ὅπου δεῖ, καὶ λέγειν τὰ καίρια C. 575. νέαν φάτιν δὲ πεύθομαι λέγειν τινὰς ξένους μολόντας οὐδαμῶς ἐφίμερον C. 826. διδαχθεὶς ἐν κακοῖς ἐπίσταμαι σιγᾶν θ' ὁμοίως, καὶ λέγειν ὅπου δίκη E. 267. λέγειν δ' ἄμομφον ὄντα τοὺς πέλας κακῶς, πρόσω δικαίων, ἥδ' ἀποστατεῖ θέμις E. 391. καὶ τί δεῖ λέγειν; E. 790. ἔξεστι γάρ μοι μὴ λέγειν ἃ μὴ τελῶ E. 859. τορῶς λέγουσαι τάσδ' ἀναιμάκτους φυγὰς S. 193. σὺ καὶ λέγων

εὔφραινε, καὶ πράσσων φρενὶ S. 510. καὶ τόδ' ἂν γένος λέγων ἐξ Ἐπάφου κυρήσαις S. 583. τοιάνδ' ἔπεισε ῥῆσιν ἀμφ' ἡμῶν λέγων ἄναξ Πελασγῶν S. 610. ξενικὸν ἀστικόν θ' ἅμα λέγων διπλοῦν μίασμα πρὸ πόλεως φανὲν S. 614. πολλὰ δ' ἐκλείπω λέγων κακῶν P. 505. μήτε μακιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγων, εἰπὲ P. 684. δέομαι δ' ἄντια φάσθαι δύσλεκτα φίλοισι λέγοντα P. 689. ἄλαστα στυγνὰ πρόκακα λέγων P. 951. κόμπαζ' ἐπ' ἄλλῳ, μηδέ μοι φθόνει λέγων T. 462. πατρὸς τέλει' ἀρὰ ξηροῖς ἀκλαύστοις ὄμμασιν προσιζάνει λέγουσα κέρδος πρότερον ὑστέρου μόρου T. 679. τὸν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας V. 636. καίτοι καὶ λέγουσ' ὀδύρομαι θεόσσυτον χειμῶνα V. 645. ὡς μάθῃ τί χρὴ δρῶντ' ἢ λέγοντα, δαίμοσιν πράσσειν φίλα V. 662. λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν V. 1009. στένουσι δ' εὖ λέγοντες ἄνδρα τὸν μὲν, ὡς μάχης ἴδρις A. 433. ἀλλ' ἦ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων— A. 484. πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω, λέγων χειμῶν' Ἀχαιῶν οὐκ ἀμήνιτον θεοῖς; A. 634. σοί τοι λέγουσα παύεται σαφῆ λόγον A. 1017. ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ A. 1022. θαυμάζω δέ σου πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν κυρεῖν λέγουσαν, ὥσπερ εἰ παρεστάτεις A. 1174. πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν γυναικὸς ἀνδρὶ τῆς ἐμῆς μητρὸς πάρα; C. 87. ταῦτ' ἐν μέσῳ τίθημι, τῆς κακῆς ἀρᾶς κείνοις λέγουσα τήνδε τὴν κακὴν ἀρὰν C. 144. τρόπον τὸν αὐτὸν ἀνταποκτεῖναι λέγων C. 272. τοὺς δ' ἕν τι ποιεῖν, τοὺς δὲ μήτι δρᾶν, λέγων C. 546. εἰ δὲ τυγχάνω τοῖς κυρίοισι καὶ προσήκουσιν λέγων C. 678. ἄσκοπον δ' ἔπος λέγων νύκτα πρό τ' ὀμμάτων σκότον φέρει C. 803. ὁ γὰρ διώκων πρότερος ἐξ ἀρχῆς λέγων, γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος E. 553. οὔτοι καμοῦμαί σοι λέγουσα τἀγαθὰ E. 841. σιγῶν θ' ὅπου δεῖ καὶ λέγων τὰ καίρια Prom. Ignif. 1. 1. τὸν ἕβδομον δὲ τόνδ' ἐφ' ἑβδόμαις πύλαις λέξω T. 614. λέξω δέ σοι P. 176. καὶ μὴν τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις λέξω T. 440. λέξω δὲ, μέμψιν οὔτιν' ἀνθρώποις ἔχων V. 443. λέξω τορῶς σοι πᾶν, ὅ τι χρήζεις μαθεῖν V. 614. οὐκ ἄλλων πάρα μαθοῦσ', ἐμαυτῆς δύσφορον λέξω βίον A. 833. λέξω, κελεύεις γὰρ, τὸν ἐκ φρενὸς λόγον C. 105. τεκμήριον δὲ τῶνδέ σοι λέξω μέγα E. 425. πολλαὶ μέν ἐσμεν, λέξομεν δὲ συντόμως E. 555. λέξω πρὸς ὑμᾶς τόνδ' Ἀθηναίας μέγαν θεσμὸν δικαίως E. 584. καὶ τοῦτο λέξω, καὶ μάθ' ὡς ὀρθῶς ἐρῶ E. 627. καὶ ταῦτ' ἔλεξας πάντα συγκόλλως ἐμοὶ S. 306. μίασμ' ἔλεξας οὐκ ὑπερτοξεύσιμον S. 468. ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε P. 348. τοσαῦτ' ἔλεξε κάρτ' ὑπ' ἐκθύμου φρενὸς P. 364. πῶς τοῦτ' ἔλεξας; τίνι τρόπῳ δὲ συμμαχεῖ; P. 779. τὸ πᾶν ἀτίμως ἔλεξας, οἴμοι C. 428. ἀκούσαθ' ὡς ἔλεξα τῆς ἐμῆς πέρι ψυχῆς E. 114. λέξον τίν' αὐδὴν τήνδε γηρυθεῖσ' ἔσῃ; S. 455. πᾶν δ' ἀναπτύξας πάθος λέξον καταστὰς P. 287. λέξον, τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ ἐλθεῖν κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα; P. 431. κλαυμάτων λήξασα τῶνδε καὶ γόων σαφές τι μοι λέξον P. 692. οἶκος δ' αὐτὸς, εἰ φθογγὴν λάβοι, σαφέστατ' ἂν λέξειεν A. 38. τὰ μέν τις ἂν λέξειεν εὐπετῶς ἔχειν, τὰ δ' αὖτε κἀπίμομφα A. 538. οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον A. 606. ἄγε δὴ, λέξωμεν ἐπ' Ἀργείοις εὐχὰς ἀγαθὰς, ἀγαθῶν ποινὰς S. 620. ὑπερβάλλει γὰρ ἥδε συμφορὰ, τὸ μήτε λέξαι, μήτ' ἐρωτῆσαι πάθη P. 284. σέβομαι μὲν προσιδέσθαι σέβομαι δ' ἀντία λέξαι P. 681. οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους λέξαι πρὸς ὑμᾶς A. 831. ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου E. 34. ἐπεὶ μοῦσαν στυγερὰν ἀποφαίνεσθαι δεδόκηκεν, λέξαι τε λάχη τὰ κατ' ἀνθρώπους E. 300. τούτων λέξασ' ὅ τι καὶ δυνατὸν, καὶ θέμις αἰνεῖν, παίων τε γενοῦ τῆσδε μερίμνης A. 97. οἷα γλῶσσα μισητῆς κυνὸς λέξασα, κἀκτείνασα φαιδρόνους, δίκην ἄτης λαθραίου, τεύξεται κακῇ τύχῃ A. 1202. λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς τὰς σὰς, ἔπειτα τόνδ' ἀμυνάθου ψόγον E. 415. μέγας γὰρ ἔμπας πὰρ Διὸς θρόνοις λέγῃ E. 220. γίγας

ὅδ' ἄλλος, τοῦ πάρος λελεγμένου μείζων T. 406. Ἄκτωρ ἀδελφὸς τοῦ πάρος λελεγμένου T. 537. τί φής; ἔχεις τι τῶν λελεγμένων δίχα; C. 767. ἤδη κελεύω τούσδ' ἀπὸ γνώμης φέρειν ψῆφον δίκαιον, ὡς ἅλις λελεγμένων E. 645. αἰδὼς γὰρ ἐν λεχθεῖσιν οὐκ ἐπαργέμους λόγους τίθησιν C. 654.

Λείβειν. ἐκ δ' ὀμμάτων λείβουσι δυσφιλῆ βίαν E. 54. Ἀργείοισιν εὔχεσθαι χρεὼν, θύειν τε, λείβειν θ', ὡς θεοῖς Ὀλυμπίοις S. 959. δάκρυ λείβοντες, οἶκτος δ' οὔτις ἦν διὰ στόμα T. 51. ῥαδινὸν λειβομένα ῥέος παρειὰν νοτίοις ἔτεγξα παγαῖς V. 399.

Λειμών. λειμῶνα βούχιλον, ἔνθεν Ἰὼ οἴστρῳ ἐρεσσομένα φεύγει S. 535. ἱκνεῖται—λειμῶνα, χιονόβοσκον ὄντ' ἐπέρχεται ὕδωρ τὸ Νείλου S. 554. ἔξελθε πρὸς Λέρνης βαθὺν λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρὸς V. 656.

Λειμώνιος. ἐξ οὐρανοῦ γὰρ, κἀπὸ γῆς λειμωνίαι δρόσοι κατεψέκαζον A. 546. οὕνεκ' ἐκεῖ ἄνθεα λειμώνια Fragm. 42.

Λεῖος. ὄψεις ἔννυχοι πολεύμεναι ἐς παρθενῶνας τὰς ἐμὰς παρηγόρουν λείοισι μύθοις V. 650.

Λειότης. σπλάγχνων τε λειότητα καὶ χροιὰν τίνα ἔχοντ' ἂν εἴη δαίμοσι πρὸς ἡδονὴν—ὤδωσα θνητοὺς V. 491.

Λείπειν. καὶ δή σφε λείπω, χειρὶ καὶ λόγοις σέθεν S. 502. πλῆθος ἔκκριτον στρατοῦ λείπει κεναῖσιν ελπίσιν πεπεισμένος P. 790. τὸν ἄνδρ' ἐκεῖνον οὔ τι μὴ λείπω ποτὲ E. 216. κλάδους μὲν αὐτοῦ λεῖπε, σημεῖον πόνου S. 501. λεῖφ' ἕδρανα, κἰ' ἐς δόρυ S. 832. ποῦ τάσδ' ἔλειπες; P. 471. κληρουμένους δ' ἔλειπον, ὡς πάλῳ λαχὼν ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον T. 54. γυναῖκα πιστὴν δ' ἐν δόμοις εὕροι μολὼν οἵαν περ οὖν ἔλειπε A. 593. Πάρθον τε, μέγαν τ' Οἰβάρην ἔλιπες, ἔλιπες; P. 947. μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν ἅδε πανήγυρις T. 201. ἀλλὰ πῶς πατρῷα δώματα λιπεῖν ἔτλητε S. 322. πέπρωται γάρ σε καὶ βέλη λιπεῖν ἐνταῦθα Prom. Sol. 6. 3. μήτε κρωσσοὺς, μήτ' οἰνηροὺς μήτ' ὑδατηροὺς λιπεῖν ἀφνεοῖσι δόμοις Fragm. 60. ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους P. 155. μεθεῖται στράτος στρατόπεδον λιπὼν T. 80. πῶς ἐτόλμησας, λιπὼν ἐπώνυμόν τε ῥεῦμα καὶ πετρηρεφῆ αὐτόκτιτ' ἄντρα, τὴν σιδηρομήτορα ἐλθεῖν ἐς αἶαν; V. 299. ὃν θρασυσπλάγχνως σὲ χρὴ λιποῦσαν αὐλῶν' ἐκπερᾶν Μαιωτικὸν V. 732. λιποῦσα δ' Εὐρώπης πέδον ἤπειρον ἥξεις Ἀσιάδα V. 736. λιποῦσ' ἀστοῖσιν ἀσπίστορας κλόνους λογχίμους τε καὶ ναυβάτας ὁπλισμοὺς A. 392. λιποῦσα μὲν πόλιν νεαίρετον ἥκει A. 1034. τὰ χρυσόπαστα δ' ἐσθλὰ σὺν πίνῳ χερῶν παλιντρόποισιν ὄμμασιν λιποῦσ', ὅσια προσέβα A. 754. πείθου λιποῦσα τόνδ' ἀμαξήρη θρόνον A. 1024. λιπὼν εὔκλειαν ἐν δόμοισι C. 344. ζῶν καὶ τεθνηκὼς τάσδε κληδόνας λιπὼν C. 1039. λιπών τε λίμνην Δηλίαν τε χοιράδα—ἐς τήνδε γαῖαν ἦλθε E. 9. θοῦρον εὐνατῆρ' ἀποπεμψαμένα λείπεται μονόζυξ P. 135. ναῶν γε ταγοὶ τῶν λελειμμένων σύδην κατ' οὖρον οὐκ εὔκοσμον αἴρονται φυγὴν P. 472. κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι V. 858. στρατὸν δέχεσθαι τὸν λελειμμένον δορὸς θεοὺς προσαυδῶ A. 503. ἄγων γὰρ ἄνδρας οὐ μενεῖ λελειμμένους Glauc. Potn. 4. μή σοι δοκοῦμεν τῇδε λειφθῆναι μάχῃ P. 336. τοὶ δ' ἄρα πρωτόμοροι, φεῦ, λειφθέντες πρὸς ἀνάγκαν, ἠὲ, ἀκτὰς ἀμφὶ Κυχρείας, ὀὰ, ἔῤῥανται P. 561.

Λείχειν. ἦ πολλὰ μὲν δὴ τῶν ἐμῶν ἐλείξατε, χοάς τ' ἀοίνους, νηφάλια μειλίγματα, καὶ νυκτίσεμνα δεῖπνα E. 105. ὑπερθόρων δὲ πύργον ὠμηστὴς λέων ἄδην ἔλειξεν αἵματος τυραννικοῦ A. 802.

Λεκτός. ἀλλ' εὐσταλῆ καὶ λεκτὸν ἀροῦμεν στόλον P. 781.

Λέκτρον. πρίν ποτε λέκτρων, ὧν θέμις εἴργει σφετεριξάμενον πατραδελφείαν τήνδ' ἀεκόντων, ἐπιβῆναι S. 38. λέκτρα δ' ἀνδρῶν πόθῳ πίμπλαται δακρύμασιν P. 130. λέκτρων τ' εὐνὰς ἁβροχίτωνας χλιδανῆς ἥβης τέρψιν, ἀφεῖσαι, πενθοῦσι γόοις ἀκορεστοτάτοις P. 535. τῶν ἐμῶν λέκτρων γεραιὰ ξύννομ', εὐγενὲς γύναι P. 690. ἁγναῖς παρθένοις γαμηλίων λέκτρων ἀγεύστοις, βλεμμάτων ῥέπει βολὴ Fragm. Sag. 1. 1.

Λελημμένος. πολλὰς ἄνωθεν ἀρτάνας

ἐμῆς δέρης ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης A. 850.

Λελιμμένος. οὔτε μεῖον, οὔτ' ἴσον λελιμμένοι T. 337. Τυδεὺς δὲ μαργῶν καὶ μάχης λελιμμένος μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων βοᾷ T. 362.

Λεόντειος. καὶ τῆς σισύρνης τῆς λεοντείας δορᾶς Præcon. 2.

Λεοντοβάμων. καὶ νίπτρα δὴ χρὴ θεοφόρων ποδῶν φέρειν· λεοντοβάμων ποῦ σκάφη χαλκήλατος Sisyph. 1. 2.

Λεοντοχόρτης. λεοντοχόρταν βούβαλιν νεαίτερον Fragm. 67.

Λέπαδνον. ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον A. 211. τὸν οὔποτ' αὐχοῦντ' ἰδὼν ἀμηχάνοις δύαις λέπαδνον, οὐδ' ὑπερθέοντ' ἄκραν E. 531. ἅρμασιν δ' ὕπο ζεύγνυσιν αὐτὼ, καὶ λέπαδν' ἐπ' αὐχένων τίθησι P. 188.

Λέπαιος. λεπαίοις δὲ καράνοις ἀραρὼς ἐνηλύσιος ἀπέλιπε Arg. 1. (ex emend. Both.)

Λέπαργος. ὃς ἦρι μὲν φαίνοντι διαπάλλει πτερὸν κίρκου λεπάργου Fragm. 32. 4.

Λέπας. ὑπερθοροῦσα πεδίον Ἀσωποῦ, δίκην φαιδρὰς σελήνης, πρὸς Κιθαιρῶνος λέπας ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρὸς A. 289.

Λεπτοβαθής. ἀπὸ προστομίων λεπτοβαθῶν Νείλου S. 3.

Λεπτόδετος. πίσυνοι λεπτοδέτοις πείσμασι, λαοπόροις τε μηχαναῖς P. 112.

Λεπτός. δρόσοισι λεπτοῖς μαλερῶν λεόντων A. 139. ἐν δ' ὀνείρασιν λεπταῖς ὑπαὶ κώνωπος ἐξεγειρόμην ῥιπαῖσι θωΰσσοντος A. 866.

Λέρνη. ἔξελθε πρὸς Λέρνης βαθὺν λειμῶνα V. 655. ἐμμανεῖ σκιρτήματι ᾖσσον πρὸς εὔποτόν τε Κεγχρείας ῥέος Λέρνης ἄκρην τε V. 680.

Λέσβιος. Λέσβιον φατνώματι κῦμα τριγώνοις ἐκπεραίνεται ῥυθμοῖς Fragm. Thal. 2.

Λέσβος. νᾶσοί θ' αἱ κατὰ πρῶν' ἅλιον περίκλυπτοι τᾷδε γᾷ προσήμεναι, οἷα Λέσβος, ἐλαιόφυτός τε Σάμος P. 858.

Λέσχη. Ζεὺς γὰρ αἱματοσταγὲς ἀξιόμισον ἔθνος τόδε λέσχας ἃς ἐπηξιώσατο E. 344.

Λεύκασπις. βοᾷ ὑπὲρ τειχέων ὁ λεύκασπις ὄρνυται λαὸς εὐπρεπὴς T. 87.

Λευκήρης. καί μοι γενείου πέρθε λευκήρη τρίχα P. 1013.

Λευκόπτερος. λευκοπτέρῳ δὲ νιφάδι, καὶ βροντήμασιν χθονίοις κυκάτω πάντα, καὶ ταραττέτω V. 995.

Λευκόπωλος. ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα πᾶσαν κατέσχε γαῖαν εὐφεγγὴς ἰδεῖν P. 378.

Λευκός. ὢν πόλις, ὢν γῆ, καὶ λευκὸν ὕδωρ S. 24. ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα, καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου P. 293. βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα P. 603. λευκὸν κατ' ἦμαρ, οὐ πεποιθότες τύχῃ ἐβουκολοῦμεν φροντίσιν νέον πάθος A. 654. λευκὸς δὲ κόρσας τῷδ' ἐπαντέλλειν νόσῳ C. 280. λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις καὶ μιλτοπρέπτοις βρίθεται ταυτοῦ χρόνου Cress. 1. 2. λευκός; τί δ' οὐχί; καὶ καλῶς ἠφευμένος ὁ χοῖρος Fragm. I. 52. 1.

Λευκοστεφής. λευκοστεφεῖς ἱκετηρίας, ἀγάλματ' αἰδοίου Διὸς, σεμνῶς ἔχουσαι διὰ χερῶν S. 188. λευκοστεφεῖς ἔχουσα νεοδρέπτους κλάδους S. 329.

Λευκόστικτος. ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον λευκόστικτον ὡς δάμαλιν ἀμπέτραις ἠλιβάτοισιν S. 346.

Λευρός. λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε S. 503. ἔνθεν ἐκραγήσονταί ποτε ποταμοὶ πυρὸς δάπτοντες ἀγρίαις γνάθοις τῆς καλλικάρπου Σικελίας λευρὰς γύας V. 369. λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς τετρασκελὴς οἰωνὸς V. 394.

Λεύσιμος. στάσις δ' ἀκόρετος γένει κατολολυξάτω θύματος λευσίμου A. 1089. οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα δημοῤῥιφεῖς, σάφ' ἴσθι; λευσίμους ἀρὰς A. 1599.

Λευσμός. λευσμόν τε καὶ μύζουσιν οἰκτισμὸν πολὺν E. 180.

Λεύσσειν. ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον λεύσσω S. 180. ἐσίδεσθ' ἐμὲ—Λεύσσω, Προμηθεῦ V. 144. τί χρῆμα λεύσσω; C. 10. τάδε μὲν

λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ; δοριλυμάντους Δαναῶν μόχθους Myrm. 1. 1. λεύσσετον πάντα μὴ λάθῃ φύγδα βὰς ὁ ματροφόνος ἀτίτας E. 246. τίνα φῶ λεύσσειν τόνδε χαλινοῖς ἐν πετρίνοισιν χειμαζόμενον; V. 560. πέφρικα λεύσσων τάσδ' ἕδρας κατασκίους S. 341. κυάνεον ὄμμασι λεύσσων φονίου δέργμα δράκοντος P. 81. λεύσσων δ' ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας ταρβῶ, χοὰς δὲ πρευμενεῖς ἐδεξάμην P. 670. ὡς ἕως ἔλευσσες αὐγὰς ἡλίου, ζηλωτὸς ὢν βίοτον εὐαίωνα Περσαῖς, ὡς θεὸς, διήγαγες P. 696.

Λευστήρ. ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται, λευστῆρα δήμου δ' οὔτι μὴ φύγῃ μόρον T. 188.

Λέχος. μέλος ἀμφὶ λοετρὰ καὶ λέχος σὸν V. 556. σὺ δ', ὦ παῖ, μὴ 'πολακτίσῃς λέχος τὸ Ζηνὸς V. 654. ἰὼ λέχος καὶ στίβοι φιλάνορες A. 399. ἐκ τῶνδε ποινάς φῆμι βουλεύειν τινὰ λέοντ' ἄναλκιν ἐν λέχει στρωφώμενον οἰκουρὸν, οἴμοι, τῷ μολόντι δεσπότῃ ἐμῷ A. 1197. δράκοντα δ' ὥς τις τέκνων ὑπερδέδοικε λεχέων δυσευνήτειρα πάντροφος πελειὰς T. 275. ὦ Μοῖραι, λεχέων Διὸς εὐνάτειραν ἴδοισθε πέλουσαν V. 897. οἵ τ' ἐκπατίοις ἄλγεσι παίδων, ὕπατοι λεχέων στροφοδινοῦνται A. 50.

Λέων. ἔθρεψεν δὲ λέοντα σίνιν δόμοις A. 699. ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λέων ἄδην ἔλειξεν αἵματος τυραννικοῦ A. 801. αὐτὴ δίπους λέαινα συγκοιμωμένη λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ, κτενεῖ με A. 1233. ἔμολε δ' ἐς δόμον τὸν Ἀγαμέμνονος διπλοῦς λέων, διπλοῦς Ἄρης C. 926. λέοντος ἄντρον αἱματορρόφου οἰκεῖν τοιαύτας εἰκὸς E. 184. πυρσοκόρσου λέοντος Præc 2. σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων ἔπνει, λεόντων ὡς Ἄρην δεδορκότων T. 53. ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινὰ λέοντ' ἄναλκιν ἐν δόμοις στρωφώμενον οἰκουρὸν, οἴμοι, τῷ μολόντι δεσπότῃ ἐμῷ A. 1197. δρόσοι λεπτοὶ μαλερῶν λεόντων A. 139.

Λεωργός. ἐπιστολὰς, ἄς σοι πατὴρ ἐφεῖτο τόνδε πρὸς πέτραις ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι V. 5. σὺ δ' ἔργ' ἐπ' ἀνθρώπων ὁρᾷς λεωργά τε κἀθέμιτα Fragm. Inc. 5.

Λεώς. κατ' ἀρχῆς γὰρ φιλαίτιος λεὼς S. 480. τοιαῦτ' ἀκούων χερσὶν Ἀργεῖος λεὼς ἔκραν' ἄνευ κλητῆρος ὡς εἶναι τάδε E. 616. πᾶς γὰρ ἱππηλάτας καὶ πεδοστιβὴς λεὼς σμῆνος ὡς ἐκλέλοιπε μελισσῶν P. 125. διάπλοον καθίστασαν ναῶν ἄνακτες πάντα ναυτικὸν λεὼν P. 375. πῶς ἂν ἐκ τούτων ἔτι πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς; P. 775. ῥεῖ πολὺς ὅδε λεὼς πρόδρομος ἱππότας T. 81. γείτονες δὲ καρδίας μέριμναι ζωπυροῦσι τάρβος τὸν ἀμφιτειχῆ λεὼν T. 272. Ἀχαϊκὸς λεὼς A. 182. ἵππου νεοσσὸς, ἀσπιδηστρόφος λεὼς A. 799. μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεὼς E. 15. κτήσεται δ' ἄνευ δορὸς αὐτόν τε, καὶ γῆν, καὶ τὸν Ἀργεῖον λεὼν πιστὸν δικαίως ἐς τὸ πᾶν τε σύμμαχον E. 280. ὡς δηχθῇ λεὼς E. 608. κλύοιτ' ἂν ἤδη θεσμὸν, Ἀττικὸς λεὼς E. 651. καὶ χαῖρε καὶ σὺ, καὶ πολισσοῦχος λεὼς E. 745. χαίρετε, χαίρετ' ἐν αἰσιμίαις πλούτου, χαίρετ' ἀστικὸς λεὼς E. 951. πεζικὸς ὥρμηται λεὼς Fragm. 104.

Λήγειν. ψεκὰς δὲ λήγει A. 1516. οὐδὲ λήξει πρὶν ἂν ἢ κορέσῃ κέαρ, ἢ παλάμῃ τινὶ τὴν δυσάλωτον ἕλῃ τις ἀρχὴν V. 165. τὰ μέν σ' ἐπαινῶ, κοὐδαμῆ λήξω ποτὲ V. 340. δυοῖν κρατήσας ἔληξε δαίμων T. 939. εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ P. 357. πινύσκετ' εὐλόγοισι νουθετήμασι, λῆξαι θεοβλαβοῦνθ' ὑπερκόμπῳ θράσει P. 817. κλαυμάτων λήξασα τῶνδε καὶ γόων σαφές τι μοι λέξον P. 691.

Λήδα. Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ A. 888.

Λήθεσθαι. ὡς ἑκὼν ἐγὼ μαθοῦσιν αὐδῶ, κοὐ μαθοῦσι λήθομαι A. 39.

Λῆμα. πάμμικτον ὄχλον πέμπει σύρδην, ναῶν τ' ἐπόχους καὶ τοξουλκῷ λήματι πιστοὺς P. 55. ἀνὴρ δ' ἐπ' αὐτῷ, καὶ στόμαργός ἐστ' ἄγαν, αἴθων τέτακται λῆμα T. 430. δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις οὐκ ὡς ἄθυμος, οὐδὲ λήματος κακῇ T. 598. ἐπεὶ δαίμων λήματος ἐν τροπαίᾳ χρονίᾳ μεταλλακτὸς T. 688. ἀρείφατον λῆμα Fragm. Juv. 2. κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασι δισσοὺς Ἀτρεΐδας

μαχίμους, ἐδάη λαγοδαίτας πομπούς τ' ἀρχὰς A. 121.

Λῆμμα. οὗπερ ἱεροδόκα θεῶν λήμματ' ἀπ' ἀνδρὸς ἁγνοῦ S. 358.

Λήμνιος. κακῶν δὲ πρεσβεύεται τὸ Λήμνιον λόγῳ C. 623. εἴκασεν δέ τις τὸ δεινὸν αὖ Λημνίοισι πήμασι C. 625.

Λῆμνος. Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας ἔπεμπε Λήμνου A. 275. τὰς ἀγχιάλους ἐκράτυνε μεσάκτους, Λῆμνον, Ἰκάρου θ' ἕδος P. 862.

Λῆνος. λήνει μεγίστῳ σωφρόνως ἐστεμμένος E. 43.

Λῆξις. προφωνῶν τὰ τῶν πέλας κακὰ, λῆξιν ὑπόδοσίν τε μόχθων, ἄχεά τ' οὐ βέβαια E. 481.

Λητογένεια. σύ τ', ὦ Λητογένεια κοῦρα, τόξον εὖ πυκάζου T. 133.

Λητῷος. ἀστέρωπον ὄμμα Λητῴας κόρης Xanth. 4.

Λίαν. δι' ἀπεχθείας ἐλθόντα θεοῖς διὰ τὴν λίαν φιλότητα βροτῶν V. 123. ὡς ὅδ' οὐ πεπλασμένος ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος V. 1033.

Λιβάς. λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα P. 605.

Λίβος. ἑτοιμότερα γέλωτος ἀνέφερον λίβη C. 441.

Λιβύη. Λιβύη μέγιστον τῆσδε γῆς καρπουμένη S. 312.

Λιβυρνικός. Λιβυρνικῆς μίμημα μανδύης χιτὼν Fragm. 88.

Λιβυστικός. ὡς δ' ἐστὶ μύθων καὶ Λιβυστικῶν λόγος Myrm. 2. 1. Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι γυναιξὶν ἔστε S. 277. χώρας ἐν τόποις Λιβυστικοῖς E. 282.

Λιγαίνειν. κλαίω, στένομαι, καὶ δόλος οὐδεὶς μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν T. 855.

Λιγύς. ἥξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατὸν Prom. Sol. 6. 1. οἷς ἔπειτα συμβαλὼν δηώσεις ῥᾳδίως Λιγὺν στρατὸν Prom. Sol. 6. 9.

Λιγύς. τοιαῦτα πάθεα μέλεα θρεόμενα λέγω λιγέα βαρέα δακρυοπετῆ S. 105. κακῶν ὕψιστα δὴ κλύω τάδε, αἴσχη τε Πέρσαις καὶ λιγέα κωκύματα P. 324. ῥήξας δὲ πέπλους, κἀνακωκύσας λιγὺ ἧξ' ἀκόσμῳ ξὺν φυγῇ P. 460. ἰὼ, ἰὼ, λιγείας μόρον ἀηδόνος A. 1117.

Λιθάς. ἀκροβόλων δ' ἐπαλξέων λιθὰς ἔρχεται T. 143.

Λίθος. ἑλέσθαι δ' οὔτιν' ἐκ γαίας λίθον ἕξεις, ἐπεὶ πᾶς χῶρός ἐστι μαλθακὸς Prom. Sol. 6. 4.

Λίλαιος P. 300. Λίλαιος εὐπάτωρ P. 931.

Λιμήν. Ξιφήρους λιμὴν Glauc. Potn. 5. ἄτης δ' ἄβυσσον πέλαγος οὐ μάλ' εὔπορον τόδ' ἐσβέβηκε, κοὐδαμοῦ λιμὴν κακῶν S. 465. ὦ Περσὶς αἶα, καὶ πολὺς πλούτου λιμὴν P. 246.

Λίμνη. λίμνᾳ δ' ἔμβαλε πορφυροειδεῖ τὰν μελανόζυγ' ἄταν S. 524. οἳ γᾶς ἔσχατον τόπον ἀμφὶ Μαιῶτιν ἔχουσι λίμνην V. 417. ἰσθμὸν δ' ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις Κιμμερικὸν ἥξεις V. 731. λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος A. 293. λιπὼν δὲ λίμνην, Δηλίαν τε χοιράδα ἐς τήνδε γαῖαν ἦλθον E. 9. χαλκοκέραυνός τε παρ' Ὠκεανῷ λίμνα παντοτρόφων Αἰθιόπων Prom. Sol. 3. 4. Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν Psych. 2. 2. λίμναι P. 852.

Λιμόθνης. καλουμένη δὲ φοιτὰς ὡς ἀγύρτρια πτωχὸς, τάλαινα, λιμόθνης ἠνεσχόμην A. 1247.

Λιμός. ἔνθα δὴ πλεῖστοι θάνον δίψει λιμῷ τ', ἀμφότερα γὰρ ἦν τάδε P. 483. αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει, κτείνουσα λιμῷ τοὺς ὑπερπολλοὺς ἄγαν P. 780. ἀλλ' ὁ δυσφιλὴς σκότῳ λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται A. 1626. τοὺς δ' ἀπωρφανισμένους νήστις πιέζει λιμὸς C. 248. οὐ γάρ τι φωνεῖ παῖς ἔτ' ὢν ἐν σπαργάνοις, ἢ λιμὸς, ἢ δίψη τις, ἢ λειψουρία ἔχει C. 745.

Λίνας. λίναδες καὶ πίσσα κωμολίνου μακροὶ τόνοι Prom. Ignif. 2.

Λινόδεσμος. λινοδέσμῳ σχεδίᾳ πορθμὸν ἀμείψας Ἀθαμαντίδος Ἕλλης P. 68.

Λίνον. φελλοὶ δ' ὡς ἄγουσι δίκτυον τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνον C. 500. πολλάκι δ' ἐμπιτνῶ ξὺν λακίδι, λίνοισιν, ἢ Σιδονίᾳ καλύπτρᾳ S. 125.

Λινόπτερος. θαλασσόπλαγκτα δ' οὔτις ἄλλος ἀντ' ἐμοῦ λινόπτερ' εὗρε ναυτίλων ὀχήματα V. 466.

Λινορράφής. πλάτα μὲν οὖν λινορράφὴς τε δόμος ἅλα στέγων δορὸς ἀχείμαστόν μ' ἔπεμπε σὺν πνοαῖς S. 127.

Λινοφθόρος. λινοφθόροι δ' ὑφασμάτων λακίδες ἔφλαδον ὑπ' ἄλγεσιν C. 27.

Λιπαρεῖν. τοῦτ' οὐκ ἂν οὖν πύθοιο, μηδὲ λιπάρει V. 517. καὶ λιπαρήσω τὸν

μέγα στυγούμενον λῦσαί με δεσμῶν τῶνδε V. 1006.

Λιπαρόθρονος. ἕδρας λιπαροθρόνοισιν ἡμένας ἐπ' ἐσχάραις ἕξειν E. 773.

Λιπαρός. ποταμοὶ λιπαροῖς χεύμασι γαίας τόδε μειλίσσοντες οὖδας S. 1008.

Λιπόναυς. πῶς λιπόναυς γένωμαι ξυμμαχίας ἁμαρτών; A. 205.

Λίπος. λίπος ἐπ' ὀμμάτων αἵματος εὐπρέπειαν τίετον A. 1403.

Λισσάς. λισσὰς αἰγίλιψ ἀπρόσδεικτος οἰόφρων ἐρημὰς γυπίας πέτρα βαθὺ πτῶμα μαρτυροῦσά μοι S. 775.

Λίσσεσθαι. μόνην δὲ μὴ πρόλειπε, λίσσομαι, πάτερ S. 730.

Λίτανος. ἴυζε δ' ὀμφὰν, οὐράνια μέλη λίτανά θεοῖσιν S. 790.

Λιτή. πότ', εἰ μὴ νῦν, ἀμφὶ λιτὰν ἕξομεν; T. 98. ἔχων παλίντροπον ὄψιν ἐν λιταῖσιν S. 165. τούτων ἄκη τομαῖα καὶ λυτήρια πράξας ἀμέμπτως Ἆπις Ἀργείᾳ χθονὶ μνήμην ποτ' ἀντίμισθον εὗρετ' ἐν λιταῖς S. 267. οὐδ' αὖ τόδ' εὖφρον τάσδ' ἀτιμάσαι λιτὰς S. 373. θεοὺς ἐγχωρίους λιταῖς παραιτοῦ τῶν σ' ἔρως ἔχει τυχεῖν S. 516. εὔχετο λιταῖσι, γαῖαν οὐρανόν τε προσκυνῶν P. 491. λιταῖσί σε θεοκλύτοις ἀπύουσαι πελαζόμεσθα T. 129. κλύετε πανδίκους χειροτόνους λιτὰς T. 156. δὴ τότ' ἤρθην φόβῳ πρὸς μακάρων λιτὰς T. 196. πόλεως ῥυτῆρες εὔεδροί τε στάθητ' ὀξυγόοις λιταῖσιν T. 302. κλύοντες θεοὶ δικαίας λιτὰς ἡμετέρας, τελεῖθ' ὡς πόλις εὐτυχῇ T. 608. θεοὺς γενεθλίους καλεῖ πατρῴας γῆς, ἐποπτῆρας λιτῶν τῶν ὧν γενέσθαι T. 622. τέγγῃ γὰρ οὐδὲν, οὐδὲ μαλθάσσῃ λιταῖς ἐμαῖσιν V. 1010. λιτὰς δὲ καὶ κληδόνας πατρῴους παρ' οὐδὲν αἰῶνά τ' ἔθεντο παρθένειον φιλόμαχοι βραβῆς A. 220. λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν A. 385. σπεῦδομαι δ' ἀφελεῖν τινα τάσδε μερίμνας, θεῶν δ' ἀτέλειαν ἐμαῖσι λιταῖς ἐπικραίνειν E. 342.

Λίχας. κατ' αὐτὸν τύμβον ἀθλίου Λίχα Glauc. Mar. 3. 2.

Λιχήν. ἐκ δὲ τοῦ λιχὴν ἄφυλλος ἄτεκνος, ὦ δίκα, πέδον ἐπισύμενος βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ E. 754. νόσους σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις λιχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν C. 279.

Λίψ. τρίτην Διὸς σωτῆρος εὐκταίαν λίβα νέμω Epig. 1. 3. ἀφθονεστέραν λίβα Heliad. 1. τοῖς τοιούτοις οὔτε κρατῆρος μέρος εἶναι μετασχεῖν, οὐ φιλοσπόνδου λίβος C. 290.

Λιψουρία. οὐ γάρ τι φωνεῖ παῖς ἔτ' ὢν ἐν σπαργάνοις, ἢ λιμὸς, ἢ δίψη τις, ἢ λιψουρία ἔχει C. 745.

Λοβός. λοβοῦ τε ποικίλην εὐμορφίαν ὥδωσα θνητοὺς V. 493. ἐμοὶ δ' ὄνειδος ἐξ ὀνειράτων μολὸν ἔτυψεν δίκαν διφρηλάτου μεσολαβεῖ κέντρῳ ὑπὸ φρένας, ὑπὸ λοβὸν E. 153.

Λογγάζειν Fragm. Præc. 4.

Λογγάσια Fragm. 149.

Λόγος. καὶ μὴ πρόλεσχος, μηδ' ἐφολκὸς ἐν λόγῳ γένῃ S. 198. ἐκεῖ δικάζει τἀμπλακήμαθ', ὡς λόγος, Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας S. 227. εἴρηκας ἀμφὶ κόσμον ἀψευδῆ λόγον S. 243. καὶ ταῦτ' ἀληθῆ πάντα πιφαύσκω λόγῳ S. 273. μὴ καὶ λόγος τις Ζῆνα μιχθῆναι βροτῷ; S. 292. καὶ τοῦδ' ἄνοιγε τοὔνομ' ἀφθόνῳ λόγῳ S. 318. ἤκουσα μακιστῆρα καρδίας λόγον S. 461. ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ πάντες πολῖται, μηδ' ἀποῤῥιφθῇ λόγος ἐμοῦ S. 479. λαβοῦσα δ' ἕρμα Δῖον ἀψευδεῖ λόγῳ γείνατο παῖδ' ἀμεμφῆ S. 575. πανδημίᾳ γὰρ χερσὶ δεξιωνύμοις ἔφριξεν αἰθὴρ, τόνδε κραινόντων λόγον S. 603. σύμβουλοι λόγου τοῦδέ μοι γενέσθε, Πέρσαι P. 166. ἀλλ' ἐμοὶ δοκεῖν, τάχ' εἴσῃ πάντα νημερτῆ λόγον P. 243. ἑκατὸν δὶς ἦσαν, ἑπτά θ', ὧδ' ἔχει λόγος P. 335. πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον P. 355. πάντα γὰρ, Δαρεῖ, ἀκούσῃ μῦθον ἐν βραχεῖ λόγῳ P. 699. ναί· λόγος κρατεῖ σαφηνὴς, τοῦτό γ' οὐκ ἔνι στάσις P. 724. σαφηνείᾳ λόγου εἰδὼς τὰ τῶν θύραθεν, ἀβλαβὴς ἔσῃ T. 67. ἀλλ' οὖν θεοὺς τοὺς τῆς ἁλούσης πόλεος ἐκλείπειν λόγος T. 200. πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας μήτηρ, γυνὴ, σωτῆρος, ὧδ' ἔχει λόγος T. 207. τίν' ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα; T. 338. ἄναξ εἰσ' ἀρτίκολλον ἀγγέλου λόγον μαθεῖν T. 355. Ὑπερβίῳ τε πρὸς λόγον τοῦ σήματος, σωτὴρ γένοιτο Ζεὺς ἐπ' ἀσπίδος τυχὼν T. 501. ἱκνεῖται λόγος διὰ στηθέων T. 545. τεθηγμένον τοί μ' οὐκ ἀπαμβλύνεις λόγῳ T. 697. τίνες; τί δ' εἶπας; παραφρονῶ

φόβῳ λόγον T. 787. ἦλθε δ' αἰακτὰ πήματ' οὐ λόγῳ T. 829. τάδ' αὐτόδηλα, προὖπτος ἀγγέλου λόγος T. 830. πόνων γὰρ, ὡς ἁπλῷ λόγῳ, τῶν νῦν παρόντων οὐδὲν αἰτία τέχνη V. 46. πάντ' ἐκκάλυψον καὶ γέγων' ἡμῖν λόγον V. 193. βροτῶν δὲ τῶν ταλαιπώρων λόγον οὐκ ἔσχεν οὐδέν' V. 231. πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς ἢ σαυτὸν, ἔργῳ κοὐ λόγῳ τεκμαίρομαι V. 337. ὁρμωμένῳ μοι τόνδ' ἐθώϋξας λόγον V. 393. ἄλλου λόγου μέμνησθε, τόνδε δ' οὐδαμῶς καιρὸς γεγωνεῖν V. 521. λέξω τορῶς σοι πᾶν, ὅτι χρῄζεις μαθεῖν, οὐκ ἐμπλέκων αἰνίγματ', ἀλλ' ἁπλῷ λόγῳ V. 613. ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας τῆς σῆς πορείας V. 734. μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς V. 872. ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεοὺς V. 977. ἀλλαγᾷ λόγου καμεῖν A. 469. τὸν ἀντίον δὲ τοῖσδ' ἀποστέργω λόγον A. 485. πῶς δὴ διδαχθεὶς τοῦδε δεσπόσω λόγου; A. 529. πάντ' ἔχεις λόγον A. 569. τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν; ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον A. 585. αὐτὴ μὲν οὕτως εἶπε μανθάνοντί σοι τοροῖσιν ἑρμηνεῦσιν εὐπρεπῶς λόγον A. 602. παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος τέτυκται A. 730. σοί τοι λέγουσα παύεται σαφῆ λόγον A. 1017. ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ A. 1022. εἰ δ' ἀξυνήμων οὖσα μὴ δέχῃ λόγον, σὺ δ' ἀντὶ φωνῆς φράζε, καρβάνῳ χερὶ A. 1030. ποίαν Ἐριννὺν τήνδε δώμασιν κέλῃ ἐπορθιάζειν; οὔ με φαιδρύνει λόγος A. 1091. ἐκμαρτύρησον προὐμόσας τὸ μ' εἰδέναι λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων A. 1170. ἀλλ' οὔτε Παιὼν τῷδ' ἐπιστατεῖ λόγῳ A. 1221. θαυμάζομέν σου γλῶσσαν, ὡς θρασύστομος, ἥτις τοιόνδ' ἐπ' ἀνδρὶ κομπάζεις λόγον A. 1373. ὧδ' ἔχει λόγος γυναικὸς, εἴ τις ἀξιοῖ μαθεῖν A. 1646. λέξω, κελεύεις γὰρ τὸν ἐκ φρενὸς λόγον C. 105. αὐτὸς δὲ σώζῃ τόνδε τιμήσας λόγον C. 502. ἀμόμφητον δ' ἔτεινα τὸν λόγον C. 503. πόθεν χοὰς ἔπεμψεν; ἐκ τίνος λόγου μεθύστερον τιμῶσ' ἀνήκεστον πάθος C. 508. καὶ πῆ τελευτᾷ, καὶ καρανοῦται λόγος; C. 522. πεύθομαι γὰρ ἐν λόγῳ C. 668. ἐν ἀγγέλῳ γὰρ κρυπτὸς ὀρθοῦται λόγος C. 762. ἡ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο μαντεῖον, ὡς λόγος τις E. 3. πῶς δή; τοσοῦτο μῆκος ἔκτεινον λόγου E. 192. Κύπρις δ' ἄτιμος τῷδ' ἀπέῤῥιπται λόγῳ E. 206. τιμὰς σὺ μὴ σύντεμνε τὰς ἐμὰς λόγῳ E. 218. πολὺς δέ μοι γένοιτ' ἂν ἐξ ἀρχῆς λόγος E. 274 μάθοιμ' ἂν εἰ λέγοι τις ἐμφανῆ λόγον E 398. δυοῖν παρόντοιν ἥμισυς λόγου πάρα E. 406. οὐ κειμένῳ πω τόνδε κομπάζεις λόγον E. 560. πατρὸς προτιμᾷ Ζεὺς μόρον, τῷ σῷ λόγῳ E. 610. τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου E. 632. αἰδουμένοις τὸν ὅρκον εἴρηται λόγος E. 680. πολλῆς δὲ χώρας τῆσδ' ἔτ' ἀκροθίνια ἔχουσ' ἐς αἰεὶ τόνδ' ἐπαινέσεις λόγον E. 800. ὡς δ' ἔστι μύθων καὶ Λιβυστικῶν λόγος Fr. Myrm. 2. 1. δυοῖν λόγοιν σε θατέρῳ δωρήσομαι V. 780. γνώσεται δὲ λόγους τις ἐν μάκει S. 55. καὶ τότ' οὐ δικαίοις Ζεὺς ἐνέξεται λόγοις S. 166. πολλῶν ἄκουσον τέρματ' αἰδοίων λόγων S. 450. καὶ δή σφε λείπω, χειρὶ καὶ λόγοις σέθεν S. 502. ὑμεῖς δὲ μὴ τρέσητ' ἀκούσασαι πατρὸς ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους S. 693. ἐπεὶ οὐκ ἀκούεις ὀξὺ τῶν ἐμῶν λόγων S. 884. οὔ σε βουλόμεσθα, μῆτερ, οὔτ' ἄγαν φοβεῖν λόγοις, οὔτε θαρσύνειν P. 211. καὶ μὴν παρὼν γε, κοὐ λόγους ἄλλων κλύων, Πέρσαι, φράσαιμ' ἂν, οἷ' ἐπορσύνθη κακὰ P. 258. ποῖ καταστρέφεις λόγων τελευτήν; P. 774. πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυῤῥόθους λόγους ἱκέσθαι T. 268. τὸν Αἰσχύνης θρόνον τιμῶντα, καὶ στυγοῦνθ' ὑπέρφρονας λόγους T. 392. ἐξωριάζειν γὰρ πατρὸς λόγους βαρὺ V. 17. ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων οἷόν τε πῶς V. 40. δίδαξον ἡμᾶς, εἴ τι μὴ βλάψῃ λόγῳ V. 196. τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν V. 213. εἰ δ' ὧδε τραχεῖς καὶ τεθηγμένους λόγους ῥίψεις V. 311. ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι V. 379. μηδ' ἀλίτοιμι λόγοις V. 531. οὔπωποτ' ηὔχουν ξένους μολεῖσθαι λόγους εἰς ἀκοὴν ἐμὰν V. 691. σὺ δ', Ἰνάχειον σπέρμα, τοὺς ἐμοὺς λόγους θυμῷ βάλ' V. 707. οὓς γὰρ νῦν ἀκήκοας λόγους, εἶναι δοκεῖ σοὶ μηδέπω 'ν προοιμίοις V. 742. τήνδ' ἐμοὶ χάριν θέσθαι θέλησον, μηδ'

ἀτιμάσῃς λόγους V. 785. ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων V. 829. τὰ λοιπὰ δ' ὑμῖν τῇδέ τ' ἐς κοινὸν φράσω, ἐς ταὐτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος V. 847. θολεροὶ δὲ λόγοι παίουσ' εἰκῇ στυγνῆς πρὸς κύμασιν ἄτης V. 887. ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις V. 1016. λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι διηνεκῶς θέλοιμ' ἄν, ὡς λέγοις πάλιν A. 309. νικώμενος λόγοισιν οὐκ ἀναίνομαι A. 569. λόγοις τοιούτοις πλαγκτὸς οὖσ' ἐφαινόμην A. 579. εἰ δ' ἦν τεθνηκὼς, ὡς ἐπλήθυνον λόγοι A. 843. δυσμηχανῶ λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν A. 1334. πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους C. 648. αἰδὼς γὰρ ἐν λεχθεῖσιν οὐκ ἐπαργέμους λόγους τίθησιν C. 655. θέλων δὲ τῶνδε πεύσεται λόγων C. 754. ἀλλ' εἶμι, καὶ σοῖς ταῦτα πείσομαι λόγοις C. 770. ἦ πρὸς γυναικῶν δειματούμενοι λόγοι πεδάρσιοι θρώσκουσι, θνήσκοντες μάτην; C. 832. Παλλὰς προναία δ' ἐν λόγοις πρέσβεύεται E. 21. οὐδ' ἀντιφωνεῖς, ἀλλ' ἀποπτύεις λόγους E. 293.

Λόγχη. λόγχης ἄκμονες καὶ ἀκοντισταὶ Μυσοὶ P. 51. πότερον τόξου ῥῦμα τὸ νικῶν, ἢ δορικράνου λόγχης ἰσχὺς κεκράτηκεν; P. 145. τόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο P. 803.

Λόγχιμος. λιποῦσα δ' ἀστοῖσιν ἀσπίστορας κλόνους λογχίμους τε καὶ ναυβάτας ὁπλίσμους A. 393.

Λοετρόν. ἀμφὶ λοετρὰ καὶ λέχος σὸν V. 555.

Λοιβή. λοιβὰς, Διὸς μὲν πρῶτον ὡραίου γάμου, τὴν δευτέραν δὲ κρᾶσιν Ἥρωσιν νέμω Epig. 1. 2.

Λοιγός. μηδέ τις ἀνδροκμὴς λοιγὸς ἐπελθέτω S. 663. βοᾷ γὰρ λοιγὸν Ἐριννὺς παρὰ τῶν προτέρων φθιμένων ἄτην ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ C. 396.

Λοιδορεῖν. καὶ τὰς προπομποὺς δῆτα τάσδε λοιδορεῖς; E. 193.

Λοιμός. μήποτε λοιμὸς ἀνδρῶν τῶνδε πόλιν κενῶσαι C. 645.

Λοιπός. ὅσοι δὲ λοιποὶ, κἄτυχον σωτηρίας P. 500. ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς; P. 977. κἀγὼ τὰ λοιπὰ πιστὸν ἡμεροσκόπον ὀφθαλμὸν ἔξω T. 66. τὰ λοιπά μου κλύουσα θαυμάσῃ πλέον V. 475. τὰ λοιπὰ δ' ἄθλων σου διδαχθήτω πάρα V. 647. εἰ δ' ἔχεις εἰπεῖν ὅ τι λοιπὸν πόνων, σήμαινε V. 687. ἐπίσχες, ἔς τ' ἂν καὶ τὰ λοιπὰ προσμάθῃς V. 699. τοῖς νοσοῦσί τοι γλυκὺ τὸ λοιπὸν ἄλγος προὐξεπίστασθαι τορῶς V. 701. τὰ λοιπὰ νῦν ἀκούσαθ', οἷα χρὴ πάθη τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα V. 705. ὅταν τὰ λοιπὰ πυνθάνῃ κακὰ V. 746. ἦ γάρ τι λοιπὸν τῇδε πημάτων ἐρεῖς; V. 747. ἑλοῦ γὰρ ἢ πόνων τὰ λοιπά σοι φράσω σαφηνῶς, ἢ τὸν ἐκλύσοντ' ἐμὲ V. 782. καὶ τῇδε μὲν γέγωνε τὴν λοιπὴν πλάνην, ἐμοὶ δὲ τὸν λύσοντα V. 786. εἰ μέν τι τῇδε λοιπὸν ἢ παρειμένον ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης V. 821. τὰ λοιπὰ δ' ὑμῖν τῇδέ τ' ἐς κοινὸν φράσω V. 846. ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείων στρατοῦ νικᾷ τὸ κέρδος A. 559. ὁ δὲ λοιπὸν, ἰόντ' ἐκ τῶνδε δόμων, ἄλλην γενεὰν τρίβειν θανάτοις αὐθένταισι A. 1553. εὔχου τὰ λοιπὰ, τοῖς θεοῖς τελεσφόρους εὐχὰς ἐπαγγέλλουσα, τυγχάνειν καλῶς C. 210. ἴδεσθ' Ἀτρειδᾶν τὰ λοίπ' ἀμηχάνως ἔχοντα C. 401. ποῦ δὴ τὰ λοιπὰ Λοξίου μαντεύματα τὰ πυθόχρηστα; C. 887. Καπανεύς μοι καταλέγεται λοιποῖς Arg. 16. ἀλλ' ἐς τὸ λοιπὸν, εἴ τι δὴ λοιπὸν πέλοι P. 518. ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγείῳ στρατῷ ἀεὶ δικαστῶν τοῦτο βουλευτήριον E. 653. ταυτὴν μὲν ἐξέτειν' ἐμοῖς παραίνεσιν ἀστοῖσιν ἐς τὸ λοιπὸν E. 678. τὸ λοιπὸν εἰς ἅπαντα πλειστήρη χρόνον ὁρκωμοτήσας, νῦν ἄπειμι πρὸς δόμους E. 733. ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ E. 985.

Λοίσθιος. βλαβέντα λοισθίων δρόμων A. 119. καὶ τῆσδ' ἄκουσον λοισθίου βοῆς, πάτερ C. 493. ἐμὸν τόδ' ἔργον λοισθίαν κρῖναι δίκην E. 704.

Λοξίας. εἰ καρπὸς ἔσται θεσφάτοισι Λοξίου T. 600. τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν ἐξήλασέν με, κἀπέκλεισε δωμάτων ἄκουσαν ἄκων V. 672. τί ταῦτ' ἀνωτότυξας ἀμφὶ Λοξίου; A. 1044. ξυναινέσασα Λοξίαν ἐψευσάμην A. 1181. πῶς δῆτ' ἄνατος ἦσθα Λοξίου κότῳ; A. 1184. οὔτοι

προδώσει Λοξίου μεγασθενὴς χρησμὸς, κελεύων τόνδε κίνδυνον πέρᾶν C. 267. ἦ καὶ Λοξίας ἐφήμισεν C. 551. ποῦ δὴ τὰ λοιπὰ Λοξίου μαντεύματα τὰ πυθόχρηστα; C. 887. ὁ Λοξίας ὁ Παρνάσσιος, μέγαν ἔχων μυχὸν χθονὸς C. 941. φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι τὸν πυθόμαντιν Λοξίαν C. 1026. μεσόμφαλόν θ' ἵδρυμα, Λοξίου πέδον C. 1032. Λοξίου δὲ προσθιγὼν ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει C. 1056. Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρὸς E. 19. ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθάλμοις δρακεῖν πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου E. 35. τἀντεῦθεν ἤδη τῶνδε δεσπότῃ δόμων αὐτῷ μελέσθω Λοξίᾳ μεγασθενεῖ E. 61. ἄνασσ' Ἀθάνα, Λοξίου κελεύσμασιν ἥκω E. 226. σώζων ἐφετμὰς Λοξίου χρηστηρίους E. 232. καὶ τῶνδε κοινῇ Λοξίας ἐπαίτιος E. 443. Παλλάδος καὶ Λοξίου ἕκατι E. 728. ταῦτα γὰρ πατὴρ Ζεὺς ἐγκαθίει Λοξίᾳ θεσπίσματα Fragm. Th. 1. 2.

Λούειν. τίς ἂν καθαρμοὺς πόροι; τίς ἄν σφε λούσειε; T. 721. λοῦταί γε μὲν δὴ λουτρὸν αὐτὸ δεύτερον Fragm. I. 63. ex emend. Pauw.

Λουτήριον. ἀλλ' ἐκ μεγίστων εὐμαρῶς λουτηρίων λοῦται Fragm. I. 63.

Λουτροδάϊκτος. λουτροδάϊκτος δ' ὤλετ' Ἀχαιῶν πολέμαρχος ἀνὴρ C. 1067.

Λουτρόν. τὸν ὁμοδέμνιον πόσιν λουτροῖσι φαιδρύνουσα A. 1180. μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης, πάτερ C. 484. πάρεστι γὰρ καὶ θερμὰ λουτρὰ, καὶ πόνων θελκτήρια C. 659. περῶντι λουτρὰ, κἀπὶ τέρματι φᾶρος παρεσκήνωσε E. 603. καλοῖσι λουτροῖς ἐκλέλουμαι μὲν δέμας Glauc. Potn. 2. λοῦταί γὲ μὲν δὴ λουτρὸν αὐτὸ δεύτερον ex emend. Pauw. Fragm. I. 63.

Λουτρών. λουτρὼν ἐξεμαρτύρει φόνον E. 439.

Λόφος. τρεῖς κατασκίους λόφους σείει κράνους χαίτωμα T. 366. λόφοι δὲ κώδων τ' οὐ δάκνουσ' ἄνευ δορὸς T. 381.

Λοχαγέτης. ἄνδρες γὰρ ἑπτὰ θούριοι λοχαγέται—ὡρκωμότησαν—T. 42.

Λοχεύεσθαι. Ἴστρος τοιαύτας παρθένους λοχεύεται Niobe 8.

Λόχευμα. Διὸς νότῳ γανᾷ σπορητὸς κάλυκος ἐν λοχεύμασιν A. 1365.

Λοχίτης. εἶα δὴ, φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε A. 1634. εἰ ξὺν λοχίταις εἴτε καὶ μονοστιβῆ; C. 757.

Λόχος. ὡς πάλῳ λαχὼν ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον T. 56. ἴδετε παρθένων ἱκέσιον λόχον δουλοσύνης ὕπερ T. 107. τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος ἐξ ὑπτίου πήδησεν εὐχάλκου κράνους πύλαισι Νηΐτῃσι προσβαλεῖν λόχον T. 442. πρόσθεν δὲ τἀνδρὸς τοῦδε θαυμαστὸς λόχος εὕδει γυναικῶν ἐν θρόνοισιν ἥμενος E. 46. λόχος παίδων, γυναικῶν, καὶ στόλος πρεσβυτίδων E. 980. πρὸ λόχου A. 135. Λόχος (partus). εὐχόμεθ' Ἄρτεμιν ἑκάταν γυναικῶν λόχους ἐφορεύειν S. 662.

Λυγρός. καὶ γὰρ Ἤλεκτραν δοκῶ στείχειν ἀδελφὴν τὴν ἐμὴν πένθει λυγρῷ πρέπουσαν C. 17. τί γὰρ λυγρὸν πεσόντος αἵματος πέδῳ; C. 47. ἐξ ὀσφυαλγοῦς κωδυνοσπάδους λυγροῦ γέροντος Fragm. I. 85.

Λύδιος. Λύδιά τε γύαλα, περᾷ τε Τεύθραντος ἄστυ Μυσῶν S. 545.

Λυδός. ἁβροδιαίτων δ' ἕπεται Λυδῶν ὄχλος P. 41. Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο P. 756.

Λῦειν. ὑπαί τις ἀρβύλας λύοι τάχος πρόδουλον ἔμβασιν ποδὸς A. 919. ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον, θάρσος φίλοις, λύουσα πολέμιον φόβον T. 252. τίς οὖν ὁ λύσων σ' ἐστὶν ἄκοντος Διός; V. 773. καὶ τῇδε μὲν γέγωνε τὴν λοιπὴν πλάνην, ἐμοὶ δὲ τὸν λύσοντα V. 787. τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῇ ἔλυσεν S. 914. πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης A. 850. ὄμβρος δ' ἀπ' εὐνάεντος οὐρανοῦ πεσὼν ἔλυσε γαῖαν Dan. 2. 4. πέδας μὲν ἂν λύσειεν E. 615. καὶ λιπαρήσω τὸν μέγα στυγούμενον λῦσαι με δεσμῶν τῶνδε V. 1008. λέλυται γὰρ λαὸς ἐλεύθερα βάζειν P. 584. λέλυται γὰρ ἐμῶν γυίων ῥώμη P. 877. ὡς ἐλύθη ζυγὸν ἀλκᾶς P. 586. πρὶν ἔγωγ' ἂν ἐκ δεσμῶν λυθῶ V. 772. τίς Προίτου πυλῶν, κλείθρων λυθέντων, προστατεῖν φερέγγυος; T. 378. εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι λυθέντα, μηδὲν μεῖον

ἰσχύσειν Διὸς V. 508. ὅσπερ Ἰὼ πημονᾶς ἐλύσατ' εὖ χειρὶ παιωνίᾳ κατασχέθων S. 1051. τῶν πάλαι πεπραγμένων λύσασθ' αἷμα προσφάτοις δίκαις C. 793.

Λυθίμνας. Κιγδαγάτας καὶ Λυθίμνας P. 959.

Λύκειος. εὐμενὴς δ' ὁ Λύκειος ἔστω πάσᾳ νεολαίᾳ S. 669. καὶ σὺ, Λύκει' ἄναξ, Λύκειος γενοῦ στρατῷ δαΐῳ T. 131. ὀτοτοῖ, Λύκει' Ἄπολλον A. 1230.

Λυκηδόν. εἷλκον ἄνω λυκηδὸν, ὥστε διπλόοι λύκοι νέβρον φέρουσι Fragm. 45.

Λύκιος. εἰ γὰρ ὑπ' Ἰλίῳ πρός τινος Λυκίων, πάτερ, δορίτμητος κατηναρίσθης C. 342.

Λυκίτας. Κύραξ, Ἀρπύια, Χάρων, Λυκίτας (nomina canum Actæonis) Fragm. Act. 2.

Λύκος. ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν εἶναι S. 741. δίπους λέαινα συγκοιμωμένη λύκῳ, λέοντος εὐγενοῦς ἀπουσίᾳ A. 1232. λύκος γὰρ ὥστ' ὠμόφρων, ἄσαντος ἐκ ματρός ἐστι θυμὸς C. 416. τούτου δὲ σάρκας οὐδὲ κοιλογάστορες λύκοι πάσονται T. 1027. εἷλκον ἄνω λυκηδὸν, ὥστε διπλόοι λύκοι νέβρον φέρουσι Fragm. 45.

Λῦμα. οὐδ' ὧδε δυσθέατα καὶ δύσοιστα πήματα, λύματα, δείματ' ἀμφήκει κέντρῳ ψύχειν ψυχὰν ἐμὰν ἠύχουν V. 693.

Λυμαίνειν. μάταιος ἐκ νυκτῶν φόβος κινεῖ, ταράσσει, καὶ διώκεται πόλεως χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας C. 288.

Λυμαντήριος. πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια V. 993. ἀσπὶς οὐ μικρὰ θράσους κεῖται γυναικὸς τῆσδε λυμαντήριος A. 1413. στείχω δ' ἐπ' ἄνδρα τῶνδε λυμαντήριον οἴκων C. 753.

Λύμασις. λύμασις ἡ πρὸ γᾶς ὑλάσκει S. 855.

Λύμη. μελέους θανάτους εὕροντο δόμων ἐπὶ λύμῃ T. 861. πιστὸν δ' οὐκ οἶδεν τόδ' ἐπ' ἄφρονι λύμᾳ E. 355. σὸν δέμας ἐσιδούσῃ πέτραις προσαυαινόμενον ταῖς ἀδαμαντοδέτοισι λύμαις V. 148. δαμέντ' ἀδαμαντοδέτοις Τιτᾶνα λύμαις εἰσιδόμην V. 424.

Λυπεῖν. οἷς μήτε χαίρειν, μήτε λυπεῖσθαι πάρα Phryg. 2. 3. ἕψου, μηδὲ λυπηθῇς, πυρὶ Fragm. 52. 2.

Λύπη. ἄνευ δὲ λύπης οὐδαμοῦ καταστροφὴ S. 437. δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται A. 765. λύπη δ' ἄμισθός ἐστί σοι ξυνέμπορος C. 722. τί γὰρ καλὸν ζῆν βίοτον ὃς λύπας φέρει; Arm. Jud. 3.

Λυπρός. λυπρὰ, χάρματα δ' ἐχθροῖς P. 991. τοῖς τ' ἄνωθεν προπράσσων χάριτας ὀργὰς λυπρὰς C. 822. κἀμοί τε λυπρὸς, καὶ τὸν οὐκ ἐκλύσεται, ὑπό τε γᾶν φυγὼν οὔ ποτ' ἐλευθεροῦται E. 166.

Λύρα. τόνδ' ἄνευ λύρας ὅμως ὑμνῳδεῖ θρῆνον Ἐριννύος αὐτοδίδακτος ἔσωθεν θυμὸς A. 963.

Λυρναῖος. Θάρυβίς τε πεντήκοντα πεντάκις νεῶν ταγὸς, γένος Λυρναῖος, P. 316.

Λυρνήσιος. Ἀνδραίμονος γένεθλα τοῦ Λυρνησίου Phryg. 4.

Λύσιμος. τέλεα δέ μοι πῶς, πελόμενά μοι λύσιμα; S. 792.

Λύσσα. ἔξω δὲ δρόμου φέρομαι, λύσσης πνεύματι μάργῳ, γλώσσης ἀκρατὴς V. 885. καὶ λύσσα, καὶ μάταιος ἐκ νυκτῶν φόβος κινεῖ με, καὶ ταράσσει C. 286.

Λυτήρ. πικρὸς λυτὴρ νεικέων ὁ πόντιος ξεῖνος συθεὶς θηκτὸς σίδαρος T. 923.

Λυτήριος. τούτων ἄκη τομαῖα καὶ λυτήρια πράξας ἀμέμπτως Ἆπις Ἀργείων χθονὶ S. 265. τίν' ἀμφ' αὐτᾶς ἔτι πόρον τέμνω γάμου καὶ λυτήρια S. 788. ξὺν εὐχαῖς ἐμαῖς λυτηρίοις μηχαναῖς θεοῦ πάρα S. 1058. ἰὼ φίλοι δαίμονες, λυτήριοι ἀμφιβάντες πόλιν T. 158. πλοῦτον δωμάτων λυτήριον C. 806. κλύει δὲ καὶ πρόσωθεν ὢν θεός—ὅπως γένοιτο τῶνδ' ἐμοὶ λυτήριος E. 288. ἔστι τοῦδ' ἄκος, καὶ καρτὰ πολλὴ μηχανὴ λυτήριος E. 616.

Λῴων. ἀλλ' ἐς τὸ λοιπὸν εἴ τι δὴ λῷον πέλοι P. 518.

Λῷστος. τούτων τὰ λῷστα καὶ τὰ θυμηδέστατα πάρεστι, λωτίσασθε S. 940. πᾶς δέ τις ἐπειπεῖν ἀλλοθρόοις ψόγον εὔτυκος, εἴη δὲ τὰ λῷστα S. 952. ἐνταῦθ' ἐγὼ τὰ λῷστα βουλεύων, πιθεῖν οὐκ ἠδυνήθην V. 204. παραινέσαι γέ σοι θέλω τὰ λῷστα, καίπερ

ὄντι ποικίλῳ V. 308. ἕπου· τὰ λῷστα τῶν παρεστώτων λέγει A. 1023. ἀλλ' Ἄρης φιλεῖ γ' ἀεὶ τὰ λῷστα πάντ' ἀμᾶν στρατοῦ Eur. 1.

Λωτίζεσθαι. τούτων τὰ λῷστα καὶ τὰ θυμηδέστατα πάρεστι, λωτίσασθε S. 942.

Λωφᾶν. ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν κακοῦ τρύσει σ'· ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω V. 27. εὖτ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου V. 376. ὡς ἂν τὸ Δῖον ὄμμα λωφήσῃ πόθου V. 657.

M.

Μαγνητικός. Μαγνητικήν τε γαῖαν, ἔς τε Μακεδόνων χώραν ἀφικόμεσθα P. 484.

Μᾶγος. καὶ Μᾶγος Ἄραβος, Ἀρτάμης τε Βάκτριος P. 310.

Μαζός. αὐτὴ προσέσχε μάζὸν ἐν τὠνείρατι C. 524.

Μάθος. τῷ πάθει μάθος θέντα κυρίως ἔχειν τὸν φρονεῖν βροτοὺς ὁδώσαντα A. 170.

Μαῖα. ξυλλάβοι δ' ἐνδίκως παῖς ὁ Μαίας ἐπιφορώτατος πρᾶξιν οὐρίαν θέλων C. 800.

Μαίεσθαι. νῦν παραιτουμένῃ μοι, πάτερ Ζεῦ θεῶν Ὀλυμπίων δὸς τύχας, τυχεῖν δέ μοι κυρίως τὰ σώφροσιν εὖ μαιομένοις ἰδεῖν C. 775.

Μαιμᾶν. μαιμᾷ πέλας δίπους ὄφις, ἔχιδνα δ' ὥς με τί ποτ' ἐνδακοῦσα; S. 872.

Μαινάς. οὔτε γὰρ βροτοσκόπων μαινάδων τῶνδ' ἐφέρψει κότος τις ἐργμάτων E. 476. πάτερ Θέοινε, Μαινάδων ζευκτήριε Fragm. I. 75.

Μαίνεσθαι. μαίνεται γόοισι φρὴν T. 950. μαινομένα πόνοις ἀτίμοις S. 557. μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας μιαίνων εὐσέβειαν Ἄρης T. 325. ὑπέραυχα βάζουσιν ἐπὶ πόλει μαινομένᾳ φρενὶ T. 466. ἐπ' ἄλγει δυσφορῶν μαινομένᾳ κραδίᾳ δίδυμα κάκ' ἐτέλεσε T. 763. ἐτελεύτασαν—διατομαῖς οὐ φίλαις ἔριδι μαινομένᾳ νείκεος ἐν τελευτᾷ T. 918. μεμηνότ' οὐ μικρὰν νόσον V. 979.

Μαινόλις. διάνοιαν μαινόλιν κέντρον ἔχων ἄφυκτον S. 101.

Μαιωτικός. ὃν θρασυσπλάγχνως σὲ χρὴ λιποῦσαν αὐλῶν' ἐκπερᾶν Μαιωτικὸν V. 733.

Μαιῶτις. οἳ γᾶς ἔσχατον τόπον ἀμφὶ Μαιῶτιν ἔχουσι λίμναν V. 417.

Μάκαρ. μάκαρας θεοὺς γανάεντες S. 997. ἐν μάχαισί τε μάκαιρ' ἄνασσ' Ὄγκα πρὸ πόλεως ἑπτάπυλον ἕδος ἐπιῤῥύου T. 147. ἄναξ ἀνάκτων, μακάρων μακάρτατε S. 519. δή τότ' ἤρθην φόβῳ πρὸς μακάρων λιτὰς T. 196. μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν ὅδε Καδμείων ἤρυξε πόλιν T. 1066. τοιόνδ' ὁ νέος ταγὸς μακάρων ἐξεῦρ' ἐπ' ἐμοὶ δεσμὸν ἀεικῆ V. 96. ἦ μὴν ἔτ' ἐμοῦ χρείαν ἕξει μακάρων πρύτανις V. 169. καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν μάκαρες Πριάμου A. 1309 ἀλλὰ κλύοντες, μάκαρες χθόνιοι, τῆσδε κατευχῆς, πέμπετ' ἀρωγὴν C. 469. καὶ τὸ τεᾷ πλάστιγγι δοθὲν μακαριστότατον τελέθει Fragm. 23. 7.

Μακαρίτης. μακαρίτας ἰσοδαίμων βασιλεὺς P. 625.

Μακέδων. ἔς τε Μακεδόνων χώραν ἀφικόμεσθα P. 484.

Μακέλλη. Τροίαν κατασκάψαντα τοῦ δικηφόρου Διὸς μακέλλῃ A. 512.

Μακιστήρ. ἤκουσα μακιστῆρα καρδίας λόγου S. 461. μήτι μακιστῆρα μῦθον ἀλλὰ σύντομον λέγων εἰπὲ P. 684.

Μάκιστος. σέλας παραγγείλασα Μακίστου σκοπαῖς πεύκη A. 280.

Μάκιστος. καὶ μὴ καμίνου σχῶσι μάκιστον σέλας Orith. 1. 1.

Μᾶκος. γνώσεται δὲ λόγους τίς ἐν μάκει S. 55.

Μακραίων. εὐπαιδίας νόσων ἀπείρους καὶ μακραίωνος βίου εἰπὼν Psych. 1. 2.

Μακρηγορεῖν. ἐγὼ δὲ θάψω τόνδε, μὴ μακρηγόρει T. 1043.

Μακροβίοτος. ἢ μακροβίοτος ὅδε γέ τις αἰὼν ἐφάνθη γεραιοῖς P. 256.

Μακρός. μακρὰν γε μὲν δὴ ῥῆσιν οὐ στέργει πόλις S. 270. τοίγαρ νιν ἐκ γῆς ἤλασεν μακρῷ δρόμῳ S. 311. κλάοις ἂν, εἰ ψαύσειας, οὐ μάλ' ἐς μακρὰν S. 903. τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς P. 372. διὰ μακροῦ χρόνου τάδ' ηὔχουν ἐκτελευτῆσαι θεοὺς P. 727. μακρᾶς κελεύθου δ' οὐ καταισχύνειν πόρον ἔοικε T. 528. τὴν μακρὰν πόλιν μολεῖν T. 595. λέγοιτ' ἂν ὧν ἀνῇ τις, οὐ δὲ χρὴ μακρὰν T. 695. καὶ δὴ πέπρακται τοὖργον οὐ μακρῷ πόνῳ V. 75. τὸν μακρὸν χρόνον ἔφυρον εἰκῇ πάντα V. 447. μακρὰν ὀσφὺν πυρώσας V. 494. τέχνη δ' ἀνάγκης ἀσθενεστέρα μακρῷ V. 512. ἡδύ τι θαρσαλέαις τὸν μακρὸν τείνειν βίον ἐλπίσι V. 535. οὗ δὴ τὴν μακρὰν ἀποικίαν, Ἰώ, πέπρωται σοί τε καὶ τέκνοις κτίσαι V. 816. μακροῦ λόγου δεῖ ταῦτ' ἐπεξελθεῖν τορῶς V. 872. ταῦτα δεῖ μακροῦ χρόνου εἰπεῖν V. 877. ὡς τὸ κηδεῦσαι καθ' ἑαυτὸν ἀριστεύει μακρῷ V. 892. μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου ἄψορρον ἥξεις ἐς φάος V. 1022. μακρὸν δὲ πῆμα ξυντόμως ἐφημίσω A. 615. ἀλλ' ἔσθ' ὁ καιρὸς ἡμερεύοντας ξένους μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα C. 700. καὶ νῦν τυχεῖν με τῶν πρὶν εἰσόδων μακρῷ ἄριστα δοῖεν E. 30. ἐλῶσι γάρ σε καὶ δι' ἠπείρου μακρᾶς E. 75. ὠμολίνου μακροὶ τόνοι Prom. Ignif. 1. τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω θακῶν κλύοι Ζεὺς V. 312. κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι V. 859. μακρὰν γὰρ ἐξέτεινας A. 890. ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' αὖ σοφὴ γύναι, μακρὰν ἔτεινας A. 1269.

Μακροσκελής. μακροσκελὴς μὲν γὰρ μακροχλουνής τις εἶ Edon. 8.

Μακροχλούνης. μακροσκελὴς μὲν γὰρ μακροχλουνής τις εἶ Edon. 8. ex emend. Schütz.

Μάλα. κλάοις ἂν εἰ ψαύσειας, οὐ μάλ' ἐς μακρὰν S. 903. κεῖται θανὼν δείλαιος οὐ μάλ' εὐτυχῶς P. 317. καὶ μάλ' Ἑλλήνων στρατὸς κρυφαῖον ἔκπλουν οὐδαμῇ καθίστατο P. 376. δόμων μάλ' ἀχὼ ἐπ' αὐτοὺς προπέμπει δαΐκτὴρ γόος T. 898. αὗται σ' ὁδηγήσουσι καὶ μάλ' ἀσμένως V. 730. μάλα γάρ τοι τᾶς πολλᾶς ὑγιείας ἀκόρεστον τέρμα A. 973. ᾤμοι μάλ' αὖθις, δεύτερον πεπληγμένος A. 1318. τίς ἔνδον; ὦ παῖ, παῖ μάλ' αὖθις, ἐν δόμοις; C. 643. ἐὰ ἐὰ μάλα C. 857. οἴμοι μάλ' αὖθις ἐν τρίτοις προσφθέγμασιν C. 863. καὶ μάλ' ἡβῶντος δὲ δεῖ C. 866. τί νιν προσείπω, κἂν τύχω μάλ' εὐστομῶν; C. 991. ὅρα, ὅρα μάλ' αὖ E. 245. μάλα γὰρ οὖν ἁλομένα ἀνέκαθεν βαρυπεσῆ καταφέρω ποδὸς ἀκμὰν E. 346. δόξαι τ' ἀνδρῶν καὶ μάλ' ὑπ' αἰθέρι σεμναὶ E. 351. τίνα γοῦν χώραν εὔφρονα μᾶλλον τῆσδ' ἀφικοίμεθα; S. 19. Λιβυστικαῖς γὰρ μᾶλλον ἐμφερέστεραι γυναιξίν ἐστε S. 282. θέλω δ' ἄϊδρις μᾶλλον ἢ σοφὸς κακῶν εἶναι S. 456. οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον T. 263. ὄμνυσι δ' αἰχμὴν ἣν ἔχει μᾶλλον θεοῦ σέβειν πεποιθὼς T. 511. τίς ἄλλος μᾶλλον ἐνδικώτερος; T. 655. ἄρασσε μᾶλλον, σφίγγε, μηδαμῇ χάλα V. 78. βουλήσεται κλύειν ἄναλκις μᾶλλον ἢ μιαίφονος V. 870. οὐκ ἔστι νόσος τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον V. 1072. ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων A. 484. οὐδ' οἶδα τέρψιν, οὐδ' ἐπίψογον φάτιν ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφὰς A. 598. καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολὺ A. 1303. προθύμως μᾶλλον ἢ φίλως A. 1573. ὅδ' εἰμί· μὴ μάτευ' ἐμοῦ μᾶλλον φίλον C. 217. τῶν δὲ κρατούντων χέρες οὐχ ὅσιαι στυγερῶν τούτων, παισὶ δὴ μᾶλλον γεγένηται C. 373. κλύειν δικαίως μᾶλλον ἢ πρᾶξαι θέλεις E. 408. ἀποίμωξόν με τοῦ τεθνηκότος τὸν ζῶντα μᾶλλον Myrm. 5. τὸ γὰρ βρότειον σπέρμ' ἐφήμερα φρονεῖ καὶ πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιὰ Fragm. 19. οὐδ' ἐν στέγῃ τις ἥμενος πὰρ ἑστίᾳ φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον Fragm. 28. καλῶς τεθνάναι κάλλιον μᾶλλον ἢ σεσῶσθαι Fragm. 102. ὡς μάλιστα καὶ φάτις πολλὴ κρατεῖ S. 290. μάλιστα δ' ἥδε συμφορὰ δάκνει P. 832. οἳ μάλιστα καὶ τόδ' ἀλγῶ P. 1002. ἄπριγδ' ἄπριγδα μάλιστα γόεδνα P. 1014. 1020. συγκαλυπτέος ὅσον μάλιστα

μῦθος V. 522. δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν εἰκὸς μάλιστα A. 572. Μενέλεων γὰρ οὖν πρῶτόν τε καὶ μάλιστα προσδόκα μολεῖν A. 661. μάλιστ' ἐκείνου βοστρύχοις προσείδεται C. 176.

Μαλακίειν. κεκμῆτι μαλακίων ποδὶ Laius 105.

Μαλακογνώμων. ἀλλ' ἔμπας, οἴω, μαλακογνώμων ἔσται ποθ', ὅταν ταύτῃ ῥαισθῇ V. 188.

Μαλακός. φαρμασσομένη χρίσματος ἁγνοῦ μαλακαῖς ἀδόλοισι παρηγορίαις A. 95. κάματόν θ' ἵππων θερμαῖς ὕδατος μαλακοῦ προχοαῖς ἀναπαύει Prom. Sol. 3. 9.

Μαλδαάγει S. 863.

Μαλερός. οὓς περὶ πᾶσα χθὼν 'Ασιῆτις θρέψασα, πόθῳ στένεται μαλερῷ P. 62. μαλεροὶ λέοντες A. 137. φρόνημα τοῦ θανόντος οὐ δαμάζει πυρὸς μαλερὰ γνάθος C. 322.

Μαλθακίζεσθαι. σὺ μαλθακίζου, τὴν δ' ἐμὴν αὐθαδίαν ὀργῆς τε τραχύτητα μὴ 'πίπλησσέ μοι V. 79. Ζεὺς τοῖς τοιούτοις οὐχὶ μαλθακίζεται V. 954.

Μαλθακός. μαλθακὸν ὀμμάτων βέλος A. 722. ἀλλ' ὁ δυσφιλὴς σκότῳ λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται A. 1626. ὅμως δὲ φεῦγε, μηδὲ μαλθακὸς γένῃ E. 74. ἑλέσθαι δ' οὔτιν' ἐκ γαίας λιθὸν ἕξεις, ἐπεὶ πᾶς χῶρός ἐστι μαλθακὸς Prom. Sol. 6. 5.

Μαλθακῶς. τὸν κρατοῦντα μαλθακῶς θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται A. 925.

Μαλθάσσειν. ἐάν τις ἐν καιρῷ γε μαλθάσσει κέαρ V. 378. τέγγῃ γὰρ οὐδὲν, οὐδὲ μαλθάσσῃ λιταῖς ἐμαῖς V. 1010. ἀνίστω, μή σε νικάτω πόνος, μηδ' ἀγνοήσῃς πῆμα μαλθαχθεῖσ' ὕπνῳ E. 129.

Μαλλός. σωφρόνως ἐστεμμένος ἀργῆτι μαλλῷ E. 45.

Μανδύη. Λιβυρνικῆς μίμημα μανδύης χιτὼν Fragm. 88.

Μανθάνειν. κύδιστ' 'Αχαίων, 'Ατρέως πολυκοίρανε μάνθανέ μοι παῖ Iphig. 2. 2. καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφὰ Fragm. 17. αὐτὴ μὲν οὕτως εἶπε μανθάνοντί σοι τοροῖσιν ἑρμηνεῦσιν εὐπρεπῶς λόγον A. 602. αὐτή συ ταῦτα μανθάνουσ' ἤδη φράσαι C. 111. ἔμαθον τάδε, σὰς προσιδοῦσ' ὀλοὰς τύχας V. 552. τοὺς προδότας γὰρ μισεῖν ἔμαθον V. 1070. ἔμαθον δ' εὐρυπόροιο θαλάσσης πολιαινομένης πνεύματι λάβρῳ ἐσορᾶν πόντιον ἄλσος P. 108. σὺ δὲ παρ' ὀψιγόνου μάθε γεραφρονῶν ποτιτρόπαιον αἰδόμενος S. 357. βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε V. 502. ἐπεὶ δ' ἐπίστᾳ, καὶ τὸ μὴ 'μελεῖν μάθε E. 86. καὶ τοῦτο λέξω, καὶ μάθ' ὡς ὀρθῶς ἐρῶ E. 627. νεογνὸς ἀνθρώπων μάθοι A. 1135. μάθοιμ' ἂν, εἰ λέγοι τις ἐμφανῆ λόγον E. 398. ἵνα μάθῃ σοφιστὴς ὢν Διὸς νωθέστερος V. 62. ὡς μάθητε διὰ τέλους τὸ πᾶν V. 273. ὡς μάθῃ, τί χρὴ δρῶντ' ἢ λέγοντα δαίμοσιν πράττειν φίλα V. 662. ὡς ἂν σαφῶς μάθω γυναικῶν ἥτις ἥδε προστροπὴ C. 21. πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω; C. 169. λέγ' αὖθις, ὡς μάθω σαφέστερον C. 756. τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν P. 243. ἄναξ εἶσ' ἀρτίκολλον ἀγγέλου λόγον μαθεῖν T. 355. οὐδ' ἔχω μαθεῖν, ὅπῃ πημονὰς ἀλύξω V. 588. λέξω τορῶς σοι πᾶν ὅ τι χρῄζεις μαθεῖν V. 612. τὸ μὴ μαθεῖν σοι κρεῖσσον ἢ μαθεῖν τάδε V. 627. μαθεῖν γὰρ τῆσδε πρῶτ' ἐχρῄζετε τὸν ἀμφ' ἑαυτῆς ἆθλον ἐξηγουμένης V. 703. ὡς τοίνυν ὄντων τῶνδέ σοι μαθεῖν πάρα V. 762. δίκα δὲ τοῖς μὲν παθοῦσι μαθεῖν ἐπιρρέπει τὸ μέλλον A. 242. ἀεὶ γὰρ ἡβᾷ τοῖς γέρουσιν εὖ μαθεῖν A. 570. κακῶν γὰρ διαὶ πολυεπεῖς τέχναι θεσπιῳδὸν φόβον φέρουσιν μαθεῖν A. 1106. ὧδ' ἔχει λόγος γυναικὸς, εἴ τις ἀξιοῖ μαθεῖν A. 1646. ποίαις ἐθείραις; τοῦτο γὰρ θέλω μαθεῖν C. 173. τὰ δ' αὐτὸς ὀργᾷ μαθεῖν C. 447. πληρουμένου γὰρ τοῦδε βουλευτηρίου σιγᾶν ἀρήγει καὶ μαθεῖν θεσμοὺς ἐμοὺς E. 541. τὸ μὲν δίκαιον τοῦθ', ὅσον σθένει, μαθεῖν, βουλῇ πιφαύσκω δ' ὕμμ' ἐπισπέσθαι πατρὸς E. 589. ἐν χρόνῳ μαθὼν ἴσωσον αὐτὸς S. 916. παῖς δ' ἐμὸς μαθὼν κατεῖχε, κἀπράϋνεν P. 185. σὺ τοίνυν οἶσθα διαπερῶν. Σὺ δ' οὐδὲν ὕστερον μαθὼν T. 979. ὡς ἑκὼν ἐγὼ μαθοῦσιν αὐδῶ κοὐ μαθοῦσι λήθομαι A. 39. οὐκ ἄλλων παρὰ μαθοῦσ' ἐμαυτῆς δύσφορον λέξω βίον A. 833.

εἴτ' αὐτὸς ἦν θνήσκοντος ἐγγύθεν παρών, εἴτ' ἐξ ἀμαυρᾶς κληδόνος λέγει μαθὼν C. 840. τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν E. 291. γένος μὲν αἰνεῖν καὶ μαθὼν ἐπίσταμαι Αἰθιοπίδος γῆς Fragm. 31. 1. πταίσας δὲ τῷδε τῷ κακῷ μαθήσεται ὅσον τό τ' ἄρχειν καὶ τὸ δουλεύειν δίχα V. 928.

Μανία. μέλος μανίας ἐπάγωγον Ed. 1. 6. ἀσαλὴς μανία Fragm. 368. ὑπό μ' αὖ σφακελὸς, καὶ φρενοπληγεῖς μανίαι θάλπουσι V. 881. εἰ δ' εὐτυχῇ, τί χαλᾷ μανιῶν; V. 1059. κτεάνων τε μέρος βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι ἀλληλοφόνους μανίας μελάθρων ἀφελούσῃ A. 1558.

Μανόστημος. ἐν μανοστήμοις πέπλοις Fragm. 109.

Μαντεῖον ἣ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο μαντεῖον E. 4. ἵνα μαντεῖα θῶκός τ' ἐστὶ Θεσπρωτοῦ Διὸς V. 833. μαντεῖα δ' οὐκ ἔθ' ἁγνὰ μαντεύσῃ μένων E. 686.

Μαντεῖος. τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε, καὶ σκῆπτρα, καὶ μαντεῖα περὶ δέρῃ στέφη; A. 1238.

Μαντεύεσθαι. μαντεύομαι γὰρ ὡς ἂν ἡγῆται θεὸς E. 33. αὐτὸς καθ' αὑτοῦ τὴν ὕβριν μαντεύσεται T. 388. ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος; A. 1340. μαντεῖα δ' οὐκ ἔθ' ἁγνὰ μαντεύσῃ μένων E. 686.

Μάντευμα. τοιῶνδε δεσπότης μαντευμάτων T. 27. τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν ἐξήλασέν με κἀπέκλεισε δωμάτων V. 672. τούτων ἄϊδρίς εἰμι τῶν μαντευμάτων A. 1076. ποῦ δὴ τὰ λοιπὰ Λοξίου μαντεύματα τὰ πυθόχρηστα; C. 887.

Μαντική. τρόπους δὲ πολλοὺς μαντικῆς ἐστοίχισα V. 482.

Μαντικός. ἦμεν κλέος σου μαντικὸν πεπυσμένοι A. 1069. ἀπαλλάσσεσθε μαντικῶν μυχῶν E. 172. οὐπώποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις ὃ μὴ κελεύσῃ Ζεὺς E. 586. τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα ἤλπιζον εἶναι μαντικῇ βρύον τέχνῃ Psych. 1. 6.

Μαντιπολύς. μαντιπολεῖ δ' ἀκέλευστος ἄμισθος ἀοιδά A. 952.

Μάντις. ὡς ὁ μάντις φησὶν, οἰωνῶν βοτὴρ, ἐν ὠσὶ νωμῶν καὶ φρεσὶν, πυρὸς δίχα, χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ T. 24. πόρον δ' Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν ὁ μάντις T. 361. θένει δ' ὀνείδει μάντιν Ὀϊκλείδην σοφὸν T. 364. τάχ' ἂν γένοιτο μάντις ἡ 'νοία τινὶ T. 384. ἐκτὸν λέγοιμ' ἂν ἄνδρα σωφρονέστατον ἀλκήν τ' ἄριστον μάντιν Ἀμφιάρεω βίαν T. 551. ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα μάντις κεκευθὼς πολεμίας ὑπὸ χθονὸς T. 570. τοιαῦθ' ὁ μάντις, ἀσπίδ' εὔκυκλον νέμων πάγχαλκον, ηὔδα T. 573. οὗτος δ' ὁ μάντις, υἱὸν Ὀϊκλέους λέγω,—Διὸς θέλοντος ξυγκαθελκυσθήσεται T. 592. οἵ ἐγὼ τάλαινα, μάντις εἰμὶ τῶν κακῶν T. 790. μάντιν οὔτινα ψέγων A. 179. πικροῦ χείματος ἄλλο μῆχαρ βριθύτερον πρόμοισι μάντις ἔκλαγξεν A. 194. μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει A. 1175. καὶ νῦν ὁ μάντις μάντιν ἐκπράξας ἐμὲ ἀπήγαγ' ἐς τοιάσδε θανασίμους τύχας A. 1248. ἄναξ Ἀπόλλων μάντις ἀψευδὴς τὸ πρὶν C. 551. κακός γε μάντις ἂν γνοίη τάδε C. 766. ἦ κάρτα μάντις ὀὺξ ὀνειράτων φόβος C. 916. ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις E. 18. ἔπειτα μάντις εἰς θρόνους καθιζάνω E. 29. ἐφεστίῳ δὲ, μάντις ὢν, μιάσματι μυχὸν ἔκρανας αὐτόσσυτος E. 162. ὁ μάντις ἐξηγεῖτό σοι μητροκτονεῖν; E. 565. λέξω πρὸς ὑμᾶς τόνδ' Ἀθηναίας μέγαν θεσμὸν δικαίως, μάντις ὢν οὐ ψεύσομαι E. 585.

Μαράγνη. ἀλλὰ διπλῆς γὰρ τῆσδε μαράγνης δοῦπος ἱκνεῖται C. 369.

Μαραθών. οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσεν P. 467.

Μαραίνειν. νόσος, ἃ μαραίνει με χρίουσα κέντροισι φοιταλέοισι V. 600. ἕπου· μάραινε δευτέροις διώγμασιν E. 134. βρίζει γὰρ αἷμα, καὶ μαραίνεται χερὸς E. 270.

Μάραφις. ἐκτὸς δὲ Μάραφις P. 764.

Μαργᾶν. Τυδεὺς δὲ μαργῶν, καὶ μάχης λελιμμένος μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων βοᾷ T. 362. ψευδόδειπνα πολλὰ μαργώσης γνάθου Phin. 1. 1. ἀνιέρῳ μένει μεμαργωμένοι, θεῶν οὐδὲν ἐπαΐοντες S. 739.

Μάργος. μάργων ἱππικῶν φρυαγμάτων βρόμον φοβηθεὶς T. 457. ἐξώλές ἐστι μάργον Αἰγύπτου γένος S. 722. ἔξω δὲ δρόμου φέρομαι λύσσης πνεύματι

μάργῳ V. 886. *καὶ νῦν ἀλούσας τάσδε τὰς μάργους ὁρᾷς* E. 67.

Μάρδος P. 51. *πέμπτος δὲ Μάρδος ἦρξε* P. 760. *καὶ μὴν ἄλλον γε ποθοῦμεν Μάρδων ἀνδρῶν μυριόνταρχον* P. 955.

Μαριανδυνός. *κακομέλετον ἰὰν Μαριανδυνοῦ θρηνητῆρος πέμψω* P. 900.

Μαρμαίρειν. *νύκτα ταύτην, ἣν λέγεις ἐπ' ἀσπίδι ἄστροισι μαρμαίρουσαν οὐρανοῦ κυρεῖν* T. 383.

Μάρπτειν. *ἀλλ' εἴ σε μάρψει ψῆφος, ἀλλ' ἐρεῖς τάχα* E. 567.

Μάρπτις. *ὅδε μάρπτις νάϊος, γάϊος, τῶν πρὸ μάρπτι κάμνοις* S. 806.

Μαρτυρεῖν. *μαρτυρεῖ δέ μοι κάσις πηλοῦ ξύνουρος διψία κόνις τάδε* A. 480. *καὶ μαρτυρεῖτε ξυνδρόμως ἴχνος κακῶν ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων* A. 1157. *μαρτυρεῖ δέ μοι φᾶρος τόδ', ὡς ἔβαψεν Αἰγίσθου ξίφος* C. 1005. *μαρτυρεῖ δέ μοι* E. 564. *θανούσῃ μαρτυρεῖτέ μοι τόδε* A. 1290. *τὰ δ' ἐν χρόνῳ μοι πάντας Ἀργείους λέγω καὶ μαρτυρεῖν μοι* C. 1037. *πέτρα βαθὺ πτῶμα μαρτυροῦσά μοι* S. 778. *αὐτός θ' ὁ χρήσας, αὐτὸς ἦν ὁ μαρτυρῶν* E. 765. *ὡς μὲν ἀναίτιος εἶ τοῦδε φόνου, τίς ὁ μαρτυρήσων;* A. 1487. *καὶ μαρτυρήσων ἦλθον* E. 546. *ἤδη σὺ μαρτύρησον* E. 589.

Μαρτύρεσθαι. *ὑμᾶς δ' ἀκούειν ταῦτ' ἐγὼ μαρτύρομαι* E. 613.

Μαρτύριον. *ἐκ Διὸς γὰρ λαμπρὰ μαρτύρια παρῆν* E. 764.

Μάρτυς. *ὡς ἂν παρῇ μοι μάρτυς ἐν δίκῃ ποτὲ* C. 981. *πέλας μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διὸς* E. 634.

Μασθός. *καὶ μασθὸν ἀμφέχασκ' ἐμὸν θρεπτήριον* C. 538.

Μασίστρης. *Ἀρτεμβάρης θ' ἱππιοχάρμης, καὶ Μασίστρης* P. 30. *Μέμφις, Θάρυβις, καὶ Μασίστρας* P. 932.

Μάσσων. *τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ ἐλθεῖν κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα;* P. 432. *ὁ μάσσων βίοτος ἦν ταθῇ πρόσω* P. 694. *μή μου προκήδου μᾶσσον ὡς ἐμοὶ γλυκὺ* V. 632. *καὶ νῦν τὰ μάσσω μὲν τί δεῖ σ' ἐμοὶ λέγειν;* A. 584.

Μαστεύειν. *προφήτας δ' οὔτινας μαστεύομεν* A. 1070.

Μαστήρ. *Ἰοῦς ἰὼ μῆνις μάστειρ' ἐκ θεῶν* S. 154.

Μαστήριος. *Ἑρμῆς μέγιστος πρόξενος μαστήριος* S. 898.

Μαστίκτορος. *πάρεστι μαστίκτορος δαΐου δαμίου* E. 153.

Μάστιξ. *πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ δάμη* T. 590. *οἰστρόπληξ δ' ἐγὼ μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι* V. 685. *ἐξαγισθέντες δόμων ἄνδρες διπλῇ μάστιγι τὴν Ἄρης φιλεῖ* A. 628.

Μαστός. *ἐπίσχες, ὦ παῖ, τόνδε δ' αἰδέσαι, τέκνον, μαστὸν* C. 884.

Μασχαλίζειν. *ἐμασχαλίσθη δ' ἔθ', ὡς τόδ' εἰδῇς* C. 433.

Μασχαλιστήρ. *ἀλλ' ἀμφὶ πλεύραις μασχαλιστῆρας βάλε* V. 71.

Ματάζειν. *σπλάγχνα δ' οὔτι ματάζει πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις δίναις κυκλούμενον κέαρ* A. 967.

Μάταιος. *τὸ μὴ μάταιον δ' ἐκ μετωποσωφρόνων ἴτω προσώπων ὄμματος παρ' ἡσύχου* S. 196. *οὐδὲ μὴ 'ν Αἴδου θανὼν φύγῃ μάταιον αἰτίας, πράξας τάδε* S. 226. *ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων ἔχοντες ὀργὰς, χρὴ φυλάσσεσθαι κράτος* S. 743. *ἐν ματαίοις κἀγρίοις ποιφύγμασιν* T. 262. *τῶν τοι ματαίων ἄνδρασιν φρονημάτων ἡ γλῶσσ' ἀληθὴς φαίνεται κατήγορος* T. 420. *χαρᾷ ματαίᾳ θνητὸς ὢν ἐς οὐρανὸν πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη* T. 424. *γλώσσῃ ματαίᾳ ζημία προστρίβεται* V. 329. *τόλμησον, ὦ μάταιε, τόλμησόν ποτε πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν* V. 1001. *ὀνειρόφαντοι δὲ πενθήμονες πάρεισιν δόξαι φέρουσαι χάριν ματαίαν* A. 410. *πόθεν ἐπισσύτους θεοφόρους τ' ἔχεις ματαίους δύας;* A. 1122. *ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι* A. 1647. *μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων* C. 1657. *δακρύω δ' ὑφ' εἱμάτων ματαίοισι δεσποτῶν τύχαις* C. 81. *καὶ λύσσα, καὶ μάταιος ἐκ νυκτῶν φόβος* C. 286. *οὔτοι μάταιον ἀνδρὸς ὄψανον πέλει* C. 527. *θνατῶν τοῖσιν αὐτουργίαι ξυμπέσωσι μάταιοι* E. 322. *σὺ δ' εὐπειθὴς ἐμοὶ γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα καρπὸν* E. 794. *ὀργῆς ματαίας εἰσὶν αἴτιοι λόγοι* Fragm. 13.

Μάταλλος. Χρυσεὺς Μάταλλος μυριόνταρχος P. 306.

Ματᾶν. *τοὺς πέποιθα μὴ ματᾶν ὁδῷ*

Τ. 37. περαίνεται δὲ κοὐ ματᾷ τοὔργον τόδε V. 57. ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ E. 137.

Ματεύειν. πατέρων τε καὶ τεκόντων γόος ἔνδικος ματεύει τὸ πᾶν C. 327. σὲ καὶ ματεύω· τῷδε δ' ἀρκούντως ἔχει C. 879. ὅδ' εἰμὶ· μὴ μάτευ'· ἐμοῦ μᾶλλον φίλον C. 217. ἔοικεν εὖρις ἡ ξένη κυνὸς δίκην εἶναι, ματεύειν δ' ὧν ἀνευρήσει φόνον A. 1065.

Μάτη. ἀλλ' εἴφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας C. 905. μάταισι δίζηνται λαβεῖν S. 800.

Μάτην. μάταν τὰ πολλὰ βέλεα παμμιγῆ γᾶς ἀπ' Ἀσίδος ἦλθ' ἐπ' αἶαν δίαν Ἑλλάδα χώραν P. 260. ὡς πολλὰς Περσίδων μάταν ἔκτισαν εὔνιδας ἠδ' ἀνάνδρους P. 280. εἶεν· τί μέλλεις καὶ κατοικτίζῃ μάτην; V. 36. σὺ δὲ τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην V. 44. οὐδὲ μάτην χαριτογλωσσεῖν ἔνι μοι V. 293. ἀτὰρ μηδὲν πόνει, μάτην γὰρ, οὐδὲν ὠφελῶν ἐμοὶ, πονήσεις V. 342. βλέποντες ἔβλεπον μάτην, κλύοντες οὐκ ἤκουον V. 445. ὅπως δ' ἂν εἴδῃ μὴ μάτην κλύουσά μου, ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκεν, φράσω V. 826. ὀχλεῖς μάτην με, κῦμ' ὅπως, παρηγορῶν V. 1003. λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν V. 1009. εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος χρὴ βαλεῖν ἐτητύμως A. 160. μάταν γὰρ, ὅταν ἐσθλά τις δοκῶν ὁρᾶν, παραλλάξασα διὰ χερῶν βέβακεν ὄψις A. 411. ἐπόπτευσας δέ με κἀν τοῖσδε κόσμοις καταγελωμένην μέγα, φίλων ὕπ', ἐχθρῶν οὐ διχοῤῥόπως μάτην A. 1245. τὰ πάντα γάρ τις ἐγχέας ἀνθ' αἵματος ἑνὸς, μάτην ὁ μόχθος C. 514. πρὸς γυναικῶν δειματούμενοι λόγοι πεδάρσιοι θρώσκουσι, θνήσκοντες μάτην C. 833. κωφοῖς ἀΰτῶ καὶ καθεύδουσιν μάτην ἄκραντα βάζω C. 868. ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην C. 913. ἡ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγὼ E. 139. τλάμων δὲ μάταν παρηγορεῖ E. 483.

Μάτηρ. ἐν ποιονόμοις ματρὸς ἀρχαίας τόποις S. 50. σπέρμα σεμνᾶς μέγα ματρὸς S. 133. παλαιὸν δ' εἰς ἴχνος μετέσταν μάτερος ἀνθονόμους ἐπωπὰς S. 534. μετάκοινοι δὲ φίλᾳ ματρὶ πάρεισιν S. 1022. λύκος γὰρ ὥστ' ὠμόφρων ἄσαντος ἐκ ματρός ἐστι θυμὸς C. 416. μᾶτερ, ἅ μ' ἔτικτες, ὦ μᾶτερ, κλῦθι E. 311. θυμὸν ἄϊε, μᾶτερ Νὺξ E. 807.

Ματρόθεν. μολὼν ματρόθεν κελάδησε C. 601.

Ματροκασιγνῆτος. θεαὶ τῶν Μοῖραι ματροκασιγνῆται E. 920.

Ματρόπολις. Σαλαμῖνά τε, τᾶς νῦν ματρόπολις τῶνδ' αἰτία στεναγμῶν P. 864.

Ματροφόνος. λεύσσετον πάντα, μὴ λάθῃ φύγδα βὰς ὁ ματροφόνος ἀτίτας E. 247.

Μαυροῦν. ἐπὶ τὸν, ὦ, διόμεναι κρατερὸν ὄνθ' ὁμοίως μαυροῦμεν ὑφ' αἵματος νέου E. 339. σθένουσα λαμπὰς δ' οὐδαμοῦ μαυρουμένη—ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρὸς A. 287.

Μαχαιροφόρος. τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης Ἀσίας ἕπεται P. 56.

Μάχεσθαι. δακὼν δὲ στόμιον, ὡς νεοζυγὴς πῶλος, βιάζῃ καὶ πρὸς ἡνίας μάχῃ V. 1012. μαχώμεθ', οὐκ ἄτιμον ἐλπίζω μόρον T. 571. μαχοῦνται περὶ σέθεν, σάφ' οἶδ' ἐγὼ S. 721.

Μάχη. ὁμαίμοις παισὶν Αἰγύπτου σέθεν σταθεὶς πρὸ τειχέων διὰ μάχης ἥξω τέλος S. 470. ἐξῶλές ἐστι μαργὸν Αἰγύπτου γένος μάχης τ' ἄπληστον S. 723. δεινοὶ δὲ μάχην ψυχῆς εὐτλήμονι δόξᾳ P. 27. Περσικῷ στρατεύματι μάχην ξυνάψαι ναΐοισιν ἐμβολαῖς P. 328. μή σοι δοκοῦμεν τῇδε λειφθῆναι μάχῃ; P. 336. τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης, ἢ παῖς ἐμός; P. 342. ἐς μάχην ὁρμῶντες εὐψύχῳ θράσει P. 386. θεὸς ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης P. 446. μαργῶν καὶ μάχης λελιμμένος Τυδεὺς T. 362. σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ T. 365. βοᾷ παρ' ὄχθαις ποταμίοις μάχης ἐρῶν T. 374. Ζεὺς δὲ Τυφῶ καρτερώτερος μάχην T. 500. ἐλθὼν δ' ἔοικεν οὐ καπηλεύσειν μάχην T. 527. οἶδεν ὥς σφε χρὴ τελευτῆσαι μάχῃ T. 599. Κολχίδος τε γᾶς ἔνοικοι παρθένοι μάχης ἄτρεστοι V. 414. νυκτίπλαγκτος ἐκ μάχης πόνος A. 321. ταλαντοῦχος ἐν μάχῃ δορὸς A. 427. εὖ λέγοντες ἄνδρα τὸν μὲν ὡς μάχης ἴδρις A. 434. οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης A. 914. ὥσπερ ἐν μάχης τροπῇ A. 1210. ἥκοντας ἐκ μάχης νέον A.

1608. ὦ γαῖ, ἄνες μοι πατέρ' ἐποπτεῦσαι μάχην C. 482. μάχης γὰρ δὴ κεκύρωται τέλος C. 861. ἔμολε δ' ᾧ μέλει κρυπταδίου μάχας δολιόφρων ποινὰ C. 934. ἔθιγε δ' ἐν μάχᾳ χερὸς ἐτήτυμος Διὸς κορὰ C. 937. ἐνοικίου δ' ὄρνιθος οὐ λέγω μάχην E. 828. ἔνθ' οὐ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὤν, μέμψῃ Prom. Sol. 6. 2. ἐν μάχαισί τε μάκαιρ' ἄνασσ' Ὄγκα πρὸ πόλεως ἑπτάπυλον ἕδος ἐπιῤῥύου T. 147.

Μάχιμος. μάχιμα δ' ἔπιδε, πάτερ S. 792. ἰδὼν δύο λήμασι δισσοὺς Ἀτρείδας μαχίμους A. 122.

Μάχλος. μήποτε πυρίφατον Πελασγίαν πόλιν τὸν ἄχορον βοὰν κτίσαι μάχλον Ἄρη S. 628.

Μαχλούνης. μακροσκελὴς μὲν γὰρ σὺ μαχλούνης τις εἶ Edon. 7. ex emend. Schütz.

Μεγαβάτης. καὶ Μεγαβάτης, ἠδ' Ἀστάσπης P. 22. τοῦ Μεγαβάτα P. 946.

Μεγαίρειν. ἀλλ' οὐ μεγαίρω τοῦδέ σοι δωρήματος V. 629.

Μεγάλατος. ἰώ, μεγάλατοι κόραι δυστυχεῖς νυκτὸς ἀτιμοπενθεῖς E. 759.

Μεγαλαυχεῖν. μηδὲν ἐν Ἀΐδου μεγαλαυχείτω A. 1509.

Μεγάλαυχος. Περσῶν τῶν μεγαλαύχων καὶ πολυάνδρων στρατιὰν ὀλέσας P. 525.

Μεγαλήγορος. μεγάλα μεγαληγόρων κλύων ἀνοσίων ἀνδρῶν T. 547.

Μεγαλόμητις. μεγαλόμητις εἶ, περίφρονα δ' ἔλακες A. 1400.

Μεγαλόστονος. μεγαλοστόνοισι σοῖς πήμασι συγκάμνουσι θνητοὶ V. 412.

Μεγαλοσχήμων. πρόπασα δ' ἤδη στονόεν λέλακε χώρα μεγαλοσχήμονά τ' ἀρχαιοπρεπῆ στένουσα τὰν σὰν ξυνομαιμόνων τε τιμὰν V. 406.

Μεγαλύνεσθαι. μήτε τῶν γέννᾳ μεγαλυνομένων ὄντα χερνήταν ἐραστεῦσαι γάμων V. 594.

Μεγάλως. δμαθέντες μεγάλως πλαγαῖσι ποντίαισι V. 872. ὄλωλεν μεγάλως τὰ Περσῶν V. 976.

Μεγαρεύς. Μεγαρεύς, Κρέοντος σπέρμα, τοῦ Σπαρτῶν γένους P. 456.

Μέγας. σπέρμα σεμνᾶς μέγα ματρὸς S. 133. μέγ' ἐμπλήσας γόμον S. 439. ἱκεσίου Διὸς κότον μέγαν πρόφρων ὢν μήποτ' εἰσόπιν χρόνου πόλιν παχῦναι S. 612. Ζῆνα μέγαν σεβόντων S. 656. ὁ μέγας Νεῖλος ὑβρίζοντά σε ἀποτρέψειεν ἄϊστον ὕβριν S. 856. Διὸς οὐ πάρβατός ἐστιν μεγάλα φρὴν S. 1034. ὁ μέγας Ζεὺς ἀπάλεξαι γάμον Αἰγυπτογενῆ μοι S. 1038. βασιλῆς βασιλέως ὕποχοι μεγάλου P. 24. ἄλλους δ' ὁ μέγας καὶ πολυθρέμμων Νεῖλος ἔπεμψε P. 33. ὅ τε τᾶς ἱερᾶς Μέμφιδος ἄρχων μέγας Ἀρσάμης P. 37. δόκιμος δ' οὔτις ὑποστὰς μεγάλῳ ῥεύματι φωτῶν P. 88. κένανδρον μέγ' ἄστυ Σουσίδος P. 118. μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀντρέψῃ ποδὶ ὄλβον P. 159. κακῶν δὴ πέλαγος ἔῤῥωγεν μέγα Πέρσαις τε καὶ πρόπαντι βαρβάρων γένει P. 425. καὶ τόδ' ἐξέπραξεν ὥστε Βόσπορον κλεῖσαι μέγαν P. 709. φεῦ μέγας τις ἦλθε δαίμων, ὥστε μὴ φρονεῖν καλῶς P. 711. λέγουσι δ' ὡς σὺ μὲν μέγαν τέκνοις πλοῦτον ἐκτήσω σὺν αἰχμῇ P. 740. μηδέ τις ἄλλων ἐρασθεὶς ὄλβον ἐκχέῃ μέγαν P. 812. ἦ μεγάλας ἀγαθᾶς τε πολισσονόμου βιοτᾶς ἐπεκύρσαμεν P. 838. ὀτοτοὶ βασιλεῦ στρατιᾶς ἀγαθῆς, καὶ Περσονόμου τιμῆς μεγαλῆς P. 884. μέγαν τ' Οἰβάρην ἔλιπες P. 946. θρεῦμαι φοβερὰ μεγάλ' ἄχη T. 79. ἀντηρέτας ἐχθροῖσι τὸν μέγαν τρόπον T. 265. ὄλοιθ' ὃς πόλει μεγάλ' ἐπεύχεται T. 434. Ἱππομέδοντος σχῆμα καὶ μέγας τύπος T. 470. μεγάλα μεγαληγόρων κλύων ἀνοσίων ἀνδρῶν T. 547. εὐσεβὴς ἀνήρ, μέγας προφήτης T. 593. ὦ θεομανές τε καὶ θεῶν μέγα στύγος T. 635. τῶν μεγάλων πεδίων ἄμοιροι T. 714. ὦ μεγάλε Ζεῦ, καὶ πολιοῦχοι δαίμονες T. 804. πυρὸς πηγὴν κλοπαίαν, ἣ διδάσκαλος τέχνης πάσης βροτοῖς πέφυκε, καὶ μέγας πόρος V. 111. μέγ' ὠφέλημα τοῦτ' ἐδωρήσω βροτοῖς V. 251. θνητοῖσι μεγάλων διάδοχοι μοχθημάτων (ἵπποι) V. 462. ὦ μέγ' εὐδαίμων κόρη V. 650. ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας τῆς σῆς πορείας V. 733. ἧξας πρὸς μέγαν κόλπον Ῥέας V. 839. λιπαρήσω τὸν μέγα στυγούμενον V. 1006. αἰετὸς λάβρως διαρταμήσει σώματος μέγα ῥάκος V. 1025. τὰ δ' ἄλλα σιγῶ. βοῦς ἐπὶ γλώσσῃ μέγας βέβηκεν A. 36. Πριάμου μέγας ἀντίδικος Μενέλαος ἄναξ A. 41. οἷον μήτις

ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας στρατωθὲν A. 133. τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξε μόρσιμ' ἀπ' οἰωνῶν A. 151. ὅστις πάροιθεν ἦν μέγας A. 162. μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον Ἄθωον αἶπος Ζηνὸς ἐξεδέξατο A. 275. ὦ Ζεῦ βασιλεῦ, καὶ νὺξ φιλία, μεγάλων κόσμων κτεάτειρα A. 347. μήτε μέγαν μήτ' οὖν νεαρῶν τινὰ A. 349. μέγα δουλείας γάγγαμον A. 351. διά τοι ξένιον μέγαν αἰδοῦμαι τὸν τάδε πράξαντ' ἐπ' Ἀλεξάνδρῳ τείνοντα πάλαι τόξον A. 353. λακτίσαντα μέγαν δίκας βωμὸν A. 373. πόλις—πολύθρηνον μέγα που στένει A. 694. ἄμαχον ἄλγος οἰκέταις μέγα σίνος πολυκτόνον A. 716. μέγαν τελεσθέντα φωτὸς ὄλβον τεκνοῦσθαι A. 731. φήμη γε μέντοι δημόθρους μέγα σθένει A. 912. τί τόδε νέον ἄχος μέγα μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακὸν ἄφερτον φίλοισιν; A. 1073. τοῖσδε κόσμοις καταγελωμένην μέγα φίλων ὕπ' A. 1244. ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας A. 1257. ἦ μέγαν οἴκοις τοῖσδε δαίμονα καὶ βαρύμηνιν αἰνεῖς A. 1460. ἄχαριν χάριν ἀντ' ἔργων μεγάλων ἀδίκως ἐπικρᾶναι A. 1526. οἱ δ' ὑπερκόπως ἐν τοῖσι σοῖς κακοῖσι χλίουσιν μέγα C. 135. σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πυθμὴν C. 202. τοῦ θυτῆρος καί σε τιμῶντος μέγα πατρὸς νεοσσοὺς τούσδ' ἀποφθείρας C. 253. θεοῦ τ' ἐφετμαὶ καὶ πατρὸς πένθος μέγα C. 298. ὦ μεγάλαι Μοῖραι C. 304. τοὐφειλόμενον πράσσουσα δίκη μέγ' ἀϋτεῖ C. 309. μεγάλης δὲ τύχης καὶ ὑπερβορέου μείζονα φωνεῖς C. 367. προσθεῖσαν Αἰγίσθῳ μόρον μέγαν C. 475. ἐπεί μιν μέγαν ἄρας δίδυμά τε καὶ τριπλᾶ παλίμποινα θέλων ἀμείψει C. 780. ὦ μέγα ναίων στόμιον C. 795. ἀρχάς τε πυλισσονόμους ἕξει, πατέρων μέγαν ὄλβον C. 852. Λοξίας ὁ Παρνάσσιος μέγαν ἔχων μυχὸν χθονὸς C. 942. μέγα τ' ἀφῃρέθην ψάλιον οἴκων C. 956. πέμπουσι δ' αὐτὸν καὶ σεβίζουσιν μέγα κελευθοποιοὶ παῖδες Ἡφαίστου E. 12. ὑμῖν ἐγκατιλλώψας μέγα E. 113. μέγας γὰρ ἔμπας παρ' Διὸς θρόνοις λέγῃ E. 220. μέγας γὰρ Αἴδης ἐστὶν εὔθυνος βροτῶν ἔνερθε χθονὸς E. 263. τῶν αἰχμαλώτων χρημάτων λάχος μέγα E. 378. πρῶτον ἐκ τῶν ὑστάτων τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα E. 422. τεκμήριον δὲ τῶνδέ σοι λέξω μέγα E. 425. τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν E. 638. γνώμης δ' ἀπούσης πῆμα γίνεται μέγα E. 720. μεγάλας καὶ δυσαρέστους δαίμονας αὐτοῦ κατανασσαμένη E. 888. μέγα φωνοῦντ' ἐχθραῖς ὀργαῖς ἀμαθύνει E. 896. μέγα γὰρ δύναται πότνι' Ἐρινὺς παρά τ' ἀθανάτοις, τοῖς θ' ὑπὸ γαῖαν E. 910. ἐκ τῶν φοβερῶν τῶνδε προσώπων μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις E. 945. εὔφρονας εὔφρονες ἀεὶ μέγα τιμῶντες E. 947. βᾶτε δόμῳ μεγάλαι φιλότιμοι νυκτὸς παῖδες E. 986. τὸν ἐλάσσονα ταχέως ὁ μέγας καταπίνει Ix. 3. ὀρέων ὕψος μέγα Fragm. 168. 10. μηδὲν οἴεσθαι μέγα Fragm. 141. Λιβύη μέγιστον τῆσδε γῆς καρπουμένη S. 312. Ἑρμῇ μεγίστῳ προξένῳ μαστηρίῳ S. 898. τοίγαρ σφιν ἔργον ἔστιν ἐξειργασμένον μέγιστον, αἰείμνηστον P. 746. λέγει μεγίστην προσβολὴν Ἀχαΐδα νυκτηγορεῖσθαι T. 28. μέγιστος Ἄργει τῶν κακῶν διδάσκαλος T. 555. τὸ μὲν μέγιστον, εἴ τις ἐς νόσον πέσοι, οὐκ ἦν ἀλέξημ' οὐδὲν V. 476. τί παρθενεύῃ δαρὸν, ἐξόν σοι γάμου τυχεῖν μεγίστου; V. 652. τὸ μὴ κακῶς φρονεῖν θεοῦ μέγιστον δῶρον A. 902. κῆρυξ μέγιστε τῶν ἄνω τε καὶ κάτω C. 163. μόνον Κράτος τε καὶ Δίκη ξὺν τῷ τρίτῳ πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό μοι C. 243. πρόπολός τε τῶν μεγίστων χθονίων ἐκεῖ τυράννων C. 353. κλάδον λήνει μεγίστῳ σωφρόνως ἐστεμμένον E. 43. ἔχω μεγίστην αἰτίαν κείνων ὕπο E. 99. πατρὸς μέγιστον ἆθλον Fragm. I. 25. 2. ὡς οὐ δικαίως θάνατον ἔχθουσιν βροτοὶ, ὅσπερ μέγιστον ἴαμα τῶν πολλῶν κακῶν Fragm. I. 28. 1. ἐκ μεγίστων εὐμαρῶς λουτηρίων λοῦται Fragm. I. 63.

Μεγασθενής. Ἀρά τ' Ἐριννὺς πατρὸς ἡ μεγασθενὴς T. 70. ἡ μεγασθενής τις εἶ T. 962. Λοξίου μεγασθενὴς χρησμὸς C. 267. τἀντεῦθεν ἤδη τῶνδε δεσπότῃ δόμων αὐτῷ μελέσθω Λοξίᾳ μεγασθενεῖ E. 61.

Μεγαυχής. δαίμονα μεγαυχῆ ἰόντ' αἰνέσατ' ἐκ δόμων P. 633.

Μέγεθος. μεγέθει τε τῶν νῦν εὐπρεπεστάτα πολὺ P. 180.

Μεγιστότιμος. τὸ γὰρ τεκόντων σέβας τρίτον τόδ' ἐν θεσμίοις δίκας γέγραπται μεγιστοτίμου S. 690.

Μεθαρμόζεσθαι. γίνωσκε σαυτὸν, καὶ μεθάρμοσαι τρόπους νέους V. 309.

Μεθιέναι. οἱ κατὰ χθόνος θεοὶ λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι P. 676. ὥρα δ' ἐμπόρους μεθιέναι ἄγκυραν ἐν δύμοισι πανδόκοις ξένων V. 650. θῆλυν οὐριοστάταν ὁμοῦ κρεκτὸν γοήτων νόμον μεθήσομεν πόλει C. 810. ἐν δυοῖν οἰμωγμάτοιν μεθῆκεν αὐτοῦ κῶλα A. 1358. ἀλλὰ ταῦτα μὲν μεθῶμεν, ἄθλων δ' ἔκλυσιν ζήτει τινὰ V. 263. εἰπὲ καὶ πέραινε ταῦτα, τὴν ἐμὴν αἰδῶ μεθεὶς P. 685. ἄνωγε γάρ σε τὴν αὐθαδίαν μεθέντ' ἐρευνᾶν τὴν σοφὴν εὐβουλίαν V. 1040. ἀντιπαθῆ μεθεῖσα κραδίας σταλαγμὸν χθονὶ ἄφορον E. 753. μεθεῖται στρατὸς στρατόπεδον λιπὼν T. 79.

Μεθιστάναι. εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατοῦ P. 184. θέλξειν μ' ἔοικας καὶ μεθίσταμαι κότου E. 860.

Μέθυ. ἀλλ' ἄρσενάς τοι τῆσδε γῆς οἰκήτορας εὑρήσετ' οὐ πίνοντας ἐκ κριθῶν μέθυ S. 931.

Μεθύστερος. μεθύστερον δὲ κίρκον εἰσορῶ δρόμῳ πτεροῖς ἐφορμαίνοντα P. 203. διὰ χερῶν βέβακεν ὄψις οὐ μεθύστερον πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις A. 413. πόθεν χοὰς ἔπεμψεν ἐκ τίνος λόγου μεθύστερον τιμῶσ' ἀνήκεστον πάθος; C. 509. ἢ τοῖον ἔργον καὶ θεοῖσι προσφιλὲς, καλόν τ' ἀκοῦσαι καὶ λέγειν μεθυστέροις T. 563.

Μείζων. σθένος μὲν οὕτως μεῖζον αὔξεται βροτοῖς S. 333. ἄτης γε μείζων S. 439. εἰ δέ τις μείζων χάρις, πάρεστιν οἰκεῖν καὶ μονοῤῥύθμους δόμους S. 937. γίγας δὸ' ἄλλος τοῦ πάρος λελεγμένου μείζων T. 406. οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν νείμαιμ', ἢ σοὶ V. 290. αὐθαδία γὰρ, τῷ φρονοῦντι μὴ καλῶς, αὐτὴ καθ' αὑτὴν οὐδένος μεῖζον σθένει V. 1014. πεύσῃ δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν A. 257. πέφανται δ' ἐγγόνους ἀτολμήτων Ἄρη πνεόντων μεῖζον ἢ δικαίως A. 366. ὥστε κύματος δίκην κλύζειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ μεῖζον A. 1156. μεγάλης τε τύχης καὶ ὑπερβορέου μείζονα φωνεῖς C. 368. εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μορσίμη ὅρκου 'στὶ μείζων τῇ δίκῃ φρουρουμένη E. 209. οὐ γάρ τι μεῖζον ἄλλο τοῦδε πείσομαι Heracl. 1.

Μείλιγμα. χρυσηΐδων μείλιγμα τῶν ὑπ' Ἰλίῳ A. 1414. εἰ μὲν ἁγνόν ἐστί σοι πειθοῦς σέβας, γλώσσης ἐμῆς μείλιγμα καὶ θελκτήριον E. 846. ἢ πατρὶ τῷ 'μῷ τάσδ' ἐπεικάσας τύχω χοὰς φερούσας νερτέροις μειλίγμασιν; C. 15. τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μειλίγματα βροτοῖς πιφαύσκων εἶπε C. 276. ἢ πολλὰ μὲν δὴ τῶν ἐμῶν ἐλείξατε, χοάς τ' ἀοίνους νηφάλια μειλίγματα E. 107.

Μειλικτήριον. χοὰς φέρουσ' ἅπερ νεκροῖσι μειλικτήρια P. 609.

Μειλίσσειν. λιπαροῖς χεύμασι γαίας τόδε μειλίσσοντες οὖδας S. 1010.

Μείρειν. τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη θήσει δικαίως ξὺν θεοῖς εἱμαρμένα A. 887.

Μείων. τὸ μεῖον κρεισσόνων κρατύνει S. 591. οὔτε μεῖον, οὔτ' ἴσον λελιμμένοι T. 337. εὔελπίς εἰμι τῶνδέ σ' ἐκ δεσμῶν ἔτι λυθέντα, μηδὲν μεῖον ἰσχύσειν Διὸς V. 508. οὐκ ἔχοιμ' ἂν εἰκάσαι τάδε τὰ δῶρα, μείω δ' ἐστὶ τῆς ἁμαρτίας C. 512.

Μελάγκερως. τὸν ταῦρον ἐν πέπλοισι μελάγκερων λαβοῦσα μηχανήματι τύπτει A. 1098.

Μελάγκροκος. μελάγκροκον ναύστολον θεωρίδα T. 839.

Μελάγχιμος. πρέπουσι δ' ἄνδρες νήϊοι μελαγχίμοις γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν S. 700. μελαγχίμῳ ξὺν στρατῷ S. 726. ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα, καὶ λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου P. 293. τίς ποθ' ἥδ' ὁμήγυρις στείχει γυναικῶν φάρεσιν μελαγχίμοις πρέπουσα; C. 11. λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις καὶ μιλτοπρέπτοις βρίθεται ταυτοῦ χρόνου Cress. 1. 1. ἐν μελαγχίμοις πέπλοις Fragm. 109.

Μελαγχίτων. ταῦτά μοι μελαγχίτων φρὴν ἀμύσσεται φόβῳ P. 114.

Μέλαθρον. οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπατεῖν A. 1409. οἵ τ' ἔξοπιν ἀργίας φανέντες ἴκταρ μελάθρων A. 116. ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι A. 504. θράσος μελαίνας με-

λάθροισιν ἄτας A. 747. ἐς μέλαθρα καὶ δόμους ἐφεστίους ἐλθὼν A. 825. εἶμ' ἐς δόμων μέλαθρα, πορφύρας πατῶν A. 931. δακτυλοδεικτῶν δ' οὔτις ἀπειπὼν εἶργε μελάθρων A. 1306. κτεάνων τε μέρος βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι ἀλληλοφόνους μανίας μελάθρων ἀφελούσῃ A. 1558. ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων παίων μελάθροις ἐν βασιλείοις C. 339. πρὸ δὲ δὴ 'χθρῶν τῶν ἔσω μελάθρων, ὦ Ζεῦ, θὲς C. 780. ὅδε τοι μελάθροις τοῖς βασιλείοις τρίτος αὖ χείμων πνεούσας γονίας ἐτελέσθη C. 1061. δέσποιν' Ἑκάτη τῶν βασιλείων πρόδρομος μελάθρων Fragm. 94.

Μελαινόχρως. μελαινόχρως δὲ πάλλεταί μου καρδία S. 766.

Μελαμβαθής. ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαθὴς κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον V. 219.

Μελαμπαγής. ἐπειδὰν χθονία κόνις πίῃ μελαμπαγὲς αἷμα φοίνιον T. 719. τρίβῳ τε καὶ προσβολαῖς μελαμπαγὴς πέλει δικαιωθεὶς A. 581.

Μελαναιγίς. μελαναιγὶς δ' οὐκ εἶσι δόμον Ἐριννὺς T. 681.

Μελάνδετος. ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος T. 43.

Μελανείμων. τάκουσιν ἄτιμοι ἡμετέροις ἐφόδοις μελανείμοσιν E. 353.

Μελανθής. μελανθὲς ἡλιόκτυπον γένος S. 145.

Μελάνιππος. κάρτα δ' ἔστ' ἐγχώριος Μελάνιππος T. 397.

Μελανόζυξ. τὰν μελανόζυγ' ἄταν ἔμβαλε λίμνᾳ πορφυροειδεῖ S. 525.

Μέλας. μελαίνᾳ ξὺν τύχᾳ S. 84. μέλας γενοίμαν καπνὸς νέφεσσι γειτονῶν Διὸς S. 760. ὄναρ, ὄναρ μέλαν S. 865. ἵππου μελαίνης ἡγεμὼν τρισμυρίας P. 307. εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας P. 349. μέλαινα δ' αὖ μεμίξεται στονόεσσα πλαγὰ P. 1009. Τυφῶν' ἱέντα πυρπνόον διὰ στόμα λιγνὺν μελαίναν T. 476. ὦ μέλαινα καὶ τελεία γένεος, Οἰδίπου τ' ἀρὰ T. 814. ἰὼ μέλαιν' Ἐριννὺς, ἡ μεγασθενής τις εἶ T. 962. θράσος μελαίνας μελάθροισιν ἄτας A. 747. ἀνδρὸς μέλαν αἷμα A. 991. βιάζεται δ' ὁμοσπόροις ἐπιῤῥοαῖσιν αἱμάτων μέλας Ἄρης A. 1492. μέλαιναι δ' ἐς τὸ πᾶν βδελύκτροποι E. 52. ἀνῆς ὑπ' ἄλγους μέλαν' ἀπ' ἀνθρώπων ἀφρὸν E. 175. ὦ Νὺξ μέλαινα μῆτερ, ἆρ' ὁρᾷς τάδε; E. 715. πιοῦσα κόνις μέλαν αἷμα πολιτῶν E. 935.

Μέλειν. μέλει φόβῳ δ' οὐχ ὑπνώσσει κέαρ T. 269. ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει V. 940. σὺ μὲν κατεύχῃ, τοις δ' ἀποκτείνειν μέλει A. 1223. μέλει θεοῖσιν ὧνπερ ἂν μέλῃ πέρι C. 769. ἔμολε δ' ᾧ μέλει κρυπταδίας μάχας δολιόφρων ποινὰ C. 934. σοὶ δὲ θηρίων ὕβρις τε καὶ δίκη μέλει Fragm. 5. 4. μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν A. 948. σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς ἅς σοι πατὴρ ἐφεῖτο V. 3. οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν A. 361. παροίχεται δὲ τοῖσι μὲν τεθνηκόσιν τὸ μήποτ' αὖθις μηδ' ἀναστῆναι μέλειν A. 555. δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν εἰκὸς μάλιστα A. 572. τὸ κοινὸν δ' εἰ μιαίνεται πόλις, ξυνῇ μελέσθω λαὸς ἐκπονεῖν ἄκη S. 362. μέλεσθε δ' ἱερῶν δημίων μελόμενοι δ' ἀρήξατε T. 159. τἀντεῦθεν ἤδη τῶνδε δεσπότῃ δόμων αὐτῷ μελέσθω Λοξίᾳ μεγασθενεῖ E. 61. καὶ νῦν ἔασον, μηδέ σοι μελησάτω V. 332.

Μελεοπαθής. μελεόπονος. Μελεοπαθὴς V. 944.

Μελεόπονος. μελεόπονος. Μελεοπαθὴς V. 945.

Μέλεος. τοιαῦτα πάθεα μέλεα θρεομένα λέγω S. 104. ὦ μέλεος, οἵαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσε P. 719. αἰακτὸς, μέλεος γέννᾳ P. 896. ἀρτίφρων ἐγένετο μέλεος ἀθλίων γάμων T. 761. πατρῴους δόμους ἑλόντες μέλεοι σὺν ἀλκᾷ T. 859. μέλεοι δῆθ' οἳ μελέους θανάτους εὕροντο δόμων ἐπὶ λύμῃ T. 860. ἔχουσι μοῖραν λαχόντες, ὦ μέλεοι, διοσδότων ἀχέων T. 928. πολύθρηνον αἰῶν' ἀμφὶ πολιτᾶν μελέων αἷμ' ἀνατλᾶσα A. 698. αἶ, αἶ, αἶ, αἶ μελέων ἔργων C. 1001.

Μέλημα. οὔ σε προσήκει τὸ μέλημα λέγειν τοῦτο A. 1530. ὦ φίλτατον μέλημα δώμασιν πατρὰς C. 233. πρῶτον ἐκ τῶν ὑστάτων τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα E. 422.

Μέλι. ἅπερ νεκροῖσι μειλικτήρια, βοός τ' ἀφ' ἁγνῆς λευκὸν εὔποτον γάλα, τῆς

τ' ἀνθεμουργοῦ στάγμα, παμφαὲς μέλι P. 604.

Μελίγλωσσος. καί μ' οὔτε μελιγλώσσοις πειθοῦς ἐπαοιδαῖσιν θέλξει V. 172.

Μελίζειν. τίς σε κακοφρονῶν τίθησι δαίμων ὑπερβαρὴς ἐμπιτνὼν μελίζειν πάθη γοερὰ θανατόφορα; A. 1149.

Μέλισσα. σμῆνος ὡς ἐκλέλοιπε μελισσῶν P. 127.

Μελισσονόμος. εὐφαμεῖτε μελισσονόμοι δόμον 'Αρτέμιδος πέλας Fragm. 58.

Μέλλειν. οὐκ ἐλάσσονα πάσχουσι, τὰ δὲ μέλλουσι P. 800. τί μέλλομεν ἀγάστονοι; T. 95. τί μέλλεις, καὶ κατοικτίζῃ μάτην; V. 36. μήτοι με κρύψῃς τοὖθ' ὅπερ μέλλω παθεῖν V. 628. τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν; V. 630. μέλλει τις οἴσεσθαι δάκρυ πρὸς τῶν κλυόντων V. 641. τί μέλλετ'; A. 822. νῦν γὰρ μέλλουσι μιανθεῖσαι πειραὶ κοπάνων ἀνδροδαΐκτων ἢ πάνυ θήσειν 'Αγαμεμνονίων οἴκων ὄλεθρον διὰ παντὸς C. 846. τοιάνδε πάλην μόνος ὢν ἔφεδρος δισσοῖς μέλλει θεῖος 'Ορέστης ἅψειν C. 854. μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν A. 948. οὐκ ἔτ' ἦν μέλλειν ἀκμὴ P. 399. τὸ μὴ μέλλειν δ' ἀκμὴ A. 1326. ἡ Διὸς κλεινὴ δάμαρ μέλλουσ' ἔσεσθαι V. 837. χρόνον δὲ τὸν μέλλοντα πόντιος μυχὸς, σαφῶς ἐπίστασ', 'Ιόνιος κεκλήσεται V. 841. οὔτι μέλλων οὔτ' ἀφρασρόνως ὕπνῳ νικώμενος, παρῆκεν ἀγγέλου μέρος A. 281. μέλλοντα πάθη P. 829.

Μέλλον. σὺ δέ γ' οὐκ οἶσθα τὸ μέλλον S. 1042. οὐ γὰρ τὸ μέλλον ἐκ θεῶν ἠπίστατο P. 365. κακῶς τὸ μέλλον ἱστορῶν P. 446. προὐξεπίσταμαι σκεθρῶς τὸ μέλλον V. 102. τὸ μέλλον ᾗ κραίνοιτο προυτεθεσπίκει V. 211. δίκα δὲ τοῖς μὲν παθοῦσι μαθεῖν ἐπιρρέπει τὸ μέλλον A. 242. καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω· τί γάρ; τὸ μέλλον ἥξει A. 1213.

Μελλώ. χρονίζομεν γάρ· οἱ δὲ τῆς μελλοῦς κλέος πέδον πατοῦντες, οὐ καθεύδουσιν χερὶ A. 1329.

Μέλος (carmen). ὑποδέξασθε δ' ὀπαδοὶ μέλος S. 1001. ἴυζε μέλος ὁμοῦ τιθεὶς P. 999. ἔτευξα τύμβῳ μέλος ὡς Θυὰς T. 817. τὸ διαμφίδιον δέ μοι μέλος πρυσέπτα τόδε V. 554. ἐπὶ δὲ τῷ τεθυμένῳ τόδε μέλος E. 317. θρεομένη μέλεα S. 114. ἴυζε δ' ὀμφὰν, οὐράνια μέλη λίτανα θεοῖσι S. 789.

Μέλος (membrum). κρεοκοποῦσι δυστήνων μέλη P. 455. βοᾷ μελέων ἔνδοθεν ἦτορ P. 953. ἀπὸ ζῶντος ῥοφεῖν ἐρυθρὸν ἐκ μελέων πέλανον E. 255.

Μελοτυπεῖν. τὰ δ' ἐπίφοβα δυσφάτῳ κλαγγᾷ μελοτυπεῖς A. 1124.

Μέλπειν. ἐπεὶ πολλάκις πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους ἔμελψε A. 236. τὸν ὕστατον μέλψασα θανάσιμον γόον A. 1420.

Μέμονα. τί μέμονας, τέκνον; T. 668.

Μέμφεσθαι. οὐδὲ μέμφομαι S. 130. καὶ δεῦρό γ' αἰεὶ τὴν τύχην οὐ μέμφομαι E. 566. κρίται δὲ τῶνδ' ὀνειράτων θεόθεν ἔλακον ὑπέγγυοι μέμφεσθαι τοὺς γᾶς νέρθεν περιθύμως C. 39. ἄγγελον δ' οὐ μέμψεται πόλις γέρονθ' ἡβῶντα δ' εὐγλώσσῳ φρενὶ S. 755. ἔξωθεν εἴσω τῷ φέροντι μέμψεται T. 542. οὔποτ' ἀνδρὶ τῷδε κηρυκευμάτων μέμψῃ T. 633. μετοικίαν δ' ἐμὴν εὖ σέβοντες οὔτι μέμψεσθε συμφορὰς βίου E. 973. ἔνθ' οὐ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὢν, μέμψῃ Prom. Sol. 63. πλὴν τοὖδ' ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μου V. 63. μήτε πρὸς ἄτης θηραθεῖσαι, μέμψησθε τύχην V. 1075.

Μέμφις. καὶ μὴν Κάνωβον κἀπὶ Μέμφιν ἵκετο S. 307. ὅ τε τῆς ἱερᾶς Μέμφιδος ἄρχων μέγας 'Αρσάμης P. 36.

Μέμφις (Persa). Μέμφις, Θάρυβις, καὶ Μασίστρης P. 932.

Μέμψις. μέμψιν οὔτιν' ἀνθρώποις ἔχων V. 443.

Μέν. γε μὲν δὴ S. 238. 270.

Μένειν. ἴσθι γὰρ παισὶ τάδε καὶ δόμοις ὁπότερ' ἂν κτίσῃς, μένει ῎Αρει 'κτίνειν ὁμοίαν θέμιν S. 430. τί τῶνδε κυριωτέρους μένεις; S. 943. αἰῶνα δ' ἐς τρίτον μένει T. 726. σιδαρόπλακτοι δὲ τοὺς μένουσι, τάχ' ἄν τις εἴποι, τίνες; T. 894. μένει δ' ἀκοῦσαι τί μου μέριμνα νυκτηρεφὲς A. 446. μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενὶ A.

1054. *βρότειον αἷμα κῶμος ἐν δόμοις μένει* A. 1162. *τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει* C. 101. *τὸ μόρσιμον μένει πάλαι, εὐχομένοις δ' ἀνέλθοι* C. 458. *καὶ δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος αὐδᾶται πολύστονος φάτις, μένει γὰρ* E. 359. *κύριον μένει τέλος* E. 515. *μένω δ' ἀκοῦσαι πῶς ἀγὼν κριθήσεται* E. 647. *δίκης γενέσθαι τῆσδ' ἐπήκοος μένω* E. 702. *τίς δέ μοι τιμὴ μένει;* E. 854. *πῶς ἂν οὖν μενοῖεν ἄνδρες πολεμίους ἐπήλυδας;* P. 239. *ὡς, εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας, Ἕλληνες οὐ μενοῖεν* P. 350. *νίκη δ' ἐπείπερ ἕσπετ', ἐμπέδως μένοι* A. 828. *καὶ τόδ' αἰανῶς μένοι στέργειν τὰ πιστὰ τῶνδε τοὺς ἐπισπόρους* E. 643. *σὺ δ' οὖν μένοις ἄν, εἰ δὲ μὴ θέλεις μένειν, οὐ τἂν δικαίως τῇδ' ἐπιῤῥέποις πόλει μῆνίν τιν' ἢ κότον* E. 847. *κἄλωρα κωλύουσαν ὡς μένειν ἐρῶ* S. 980. *σὸν δ' αὖ τὸ σιγᾶν καὶ μένειν εἴσω δόμων* T. 214. *τοιαῦτα μὲν τάδ' ἔστιν ἀμφότερα μένειν, πέμπειν δὲ δυσπήματ' ἀμηχάνως ἐμοὶ* E. 448. *οἴκοι μένειν χρὴ τὸν καλῶς εὐδαίμονα, καὶ τὸν κακῶς πράσσοντα καὶ τοῦτον μένειν* Fragm. 19. *ἵππος βοὴν σάλπιγγος ὁρμαίνει μένων* T. 376. *μαντεῖα δ' οὐκ ἔθ' ἁγνὰ μαντεύσῃ μένων* E. 686. *τίς ἄνδρα κομπάζοντα μὴ τρέσας μενεῖ;* T. 418. *μενεῖ κτέανά τ' ἐπιγόνοις* T. 885. *καὶ τὸ μὲν καλῶς ἔχον, ὅπως χρονίζον εὖ μενεῖ, βουλευτέον* A. 821. *μενοῦμεν οὕτως, ὥστ' ἐπεικάζειν τινα δόμοις παραστείχοντα, καὶ τάδ' ἐννέπειν* C. 560. *ἄγων γὰρ ἄνδρας οὐ μενεῖ λελειμμένους* Glauc. Potn. 7. *οὐκ ἔτ' ἂν μείναιμ' ἔγω* C. 1046. *ἐλαύνομαι δὲ, κοὐκετ' ἂν μείναιμ' ἐγω* C. 1058. *ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις στρατὸς κυρήσει νοστίμου σωτηρίας* P. 782.

Μενέλαος. *Πριάμου μέγας ἀντίδικος Μενέλαος ἄναξ* A. 42. *Μενέλεων δε πεύθομαι εἰ νόστιμός γε καὶ σεσωσμένος πάλιν ἥξει ξὺν ὑμῖν* A. 603. *Μενέλεων γὰρ οὖν πρῶτόν τε καὶ μάλιστα προσδόκα μολεῖν* A. 660. *Μενέλεως* C. 1037.

Μένος. *ἐπέρχεται τυφῶ μένος ὕδωρ τε Νεῖλον νόσοις ἄθικτον* S. 555. *περίφοονες ἄγαν ἀνιέρῳ μένει μεμαργωμένοι κυνοθρασεῖς* S. 738. *ἵππος χαλινὸν ὡς κατασθμαίνων μένει* T. 375. *ἀναυδάτῳ μένει ἀραίῳ τ' ἐκ πατρὸς διχόφρονι πότμῳ* T. 879. *ἔνθα ποταμὸς ἐκφυσᾷ μένος κροτάφων ἀπ' αὐτῶν* V. 722. *βίᾳ χαλινῶν ἀναύδῳ μένει* A. 229. *πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει φλογὸς μέγαν πώγωνα* A. 296. *πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος* A. 1037. *τὰ δ' ἐν μεταιχμίῳ σκότου μένει χρονίζοντα βρύει* C. 61. *πρέπει δ' ἀκάμπτῳ μένει καθήκειν* C. 448. *ποῖ καταλήξει μετακοιμισθὲν μένος ἄτης;* C. 1072. *ὕπνος πόνος τε κύριοι ξυνωμόται δεινῆς δρακαίνης ἐξεκήραναν μένος* E. 124. *τὰ δ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω στρέψας τίθησιν, οὐδὲν ἀσθμαίνων μένει* E. 626. *κοίμα κελαινοῦ κύματος πικρὸν μένος* E. 796. *πνέω τοι μένος, ἅπαντά τε κότον* E. 803.

Μέντοι. *βαρύς γε μέντοι Ζηνὸς ἱκεσίου κότος* S. 342. *ἐπεί γε μέντοι λευκόπωλος ἡμέρα πᾶσαν κατέσχε γαῖαν* P. 378. *πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα* V. 252. *πιθοῦ· κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοὶ* A. 917. *εἰπεῖν γε μέντοι δεῖ σ' ὅπως κατέκτανες* S. 561. *ἡμῶν γε μέντοι Νέμεσίς ἐσθ' ὑπερτέρα* Phryg. 2. 4.

Μέριμνα. *ταυτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρενὶ* P. 161. *μέριμνα δ' ἀμφὶ πτόλιν καὶ θέσφατ' οὐκ ἀμβλύνεται* T. 825. *παίων τε γενοῦ τῆσδε μερίμνης* A. 99. *μένει δ' ἀκοῦσαί τί μου μέριμνα νυκτηρεφὲς* A. 447. *ἀμηχανῶ, φροντίδων στερηθεὶς, εὐπάλαμον μέριμναν, ὅπα τράπωμαι* A. 1513. *κλαγγαίνεις δ' ἅπερ κυὼν μέριμναν οὔποτ' ἐκλιπὼν πόνου* E. 127. *γείτονες δὲ καρδίας μέριμναι ζωπυροῦσι τάρβος* T. 270. *διπλαῖ μέριμναι διδυμάνορα κάκ' αὐτόφονα* T. 831. *σπευδόμεναι δ' ἀφελεῖν τινὰ τάσδε μερίμνας* E. 340.

Μέρος. *ἀφρασμόνως ὕπνῳ νικώμενος παρῆκεν ἀγγέλου μέρος* A. 282. *πρὸς οὐδὲν ἐν μέρει τεκμήριον* A. 323. *ἐν Ἀργείᾳ χθονὶ θανὼν μεθέξειν φιλτάτου τάφου μέρος* A. 493. *τί δ' οὐ στένοντες, οὐ λαχόντες, ἤματος μέρος;* A. 543. *ἐν μέρει δ' ἀπέπτυσαν εὐνὰς ἀδελφῶν* A. 1165. *κτεάνων τε μέρος βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι* A.

1555. καὶ τοῖς τοιούτοις οὐδὲ κρατῆρος μέρος εἶναι μετασχεῖν C. 289. κλῦθί νυν, ὦ πάτερ, ἐν μέρει πολυδάκρυτα πένθη C. 329. ὅταν ἥκῃ μέρος ἔργων C. 815. ἄναξ Ἄπολλον, ἀντάκουσον ἐν μέρει E. 189. τί πρὸς τάδ' εἰπεῖν, ὦ ξέν', ἐν μέρει θέλεις; E. 414. ἔπος δ' ἀμείβου πρὸς ἔπος ἐν μέρει τιθεὶς E. 556.

Μέροψ. μελαίνᾳ ξὺν τύχᾳ μερόπεσσι λαοῖς S. 84. οὔτις μερόπων ἀσινῆ βίοτον διὰ πάντ' ἄτιμος ἀμείψεται C. 1013.

Μέσακτος. καὶ τὰς ἀγχιάλους ἐκράτυνε μεσάκτους (νήσους) P. 861.

Μεσάπιος. ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς Μεσαπίου φύλαξι σημαίνει μολὸν A. 284.

Μεσηβρία. πολλοὺς δὲ χ' εὑρήσουσιν ἐν μεσημβρίᾳ θάλπει βραχίον' εὖ κατερρινημένους S. 727.

Μεσημβρινός. μεσημβριναῖς κλαγγαῖσιν ὡς δράκων βοᾷ T. 363. τὰς ἀστραπάς τε καὶ κεραυνίους βολὰς μεσημβρινοῖσι θάλπεσιν προσείκασε T. 413. κεραυνὸν, οὐδὲν ἐξεικασμένον μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου T. 428. ἐς μεσημβρινὴν βῆναι κέλευθον V. 724. εὖτε πόντος ἐν μεσημβριναῖς κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσὼν A. 551.

Μεσολαβής. ἔτυψεν δίκαν διφρηλάτου μεσολαβεῖ κέντρῳ ὑπὸ φρένας E. 152.

Μεσόμφαλος. Ἀπόλλωνος βίᾳ τρὶς εἰπόντος ἐν μεσομφάλοις Πυθικοῖσι χρηστηρίοις T. 728. ἑστία μεσόμφαλος A. 1027. μεσόμφαλον ἵδρυμα C. 1032.

Μέσος. μῆκος δ' οὐδὲν ἐν μέσῳ χρόνου S. 716. ζυγὸν θραύει μέσον P. 193. μέσον πόρον διῆκε P. 497. λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμὸς, πρέπει T. 371. ταῦτ' ἐν μέσῳ τίθημι C. 143. ἐκ μέσων ἀρκυσμάτων ὤρουσε E. 112. παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασε E. 503. καλεῖ δ' ἀκούοντας οὐδὲν ἐν μέσῳ δυσπαλεῖ τε δίκᾳ E. 529.

Μεσοῦν. εὖ νῦν τόδ' ἴσθι, μηδέπω μεσοῦν κακὸν P. 427.

Μετά. οὐδὲ μετ' ἀρσένων ψῆφον ἔθεντο S. 634. εὔθυμόν ἐστιν εὐτυχεῖς ναίειν δόμους πολλῶν μετ' ἄλλων S. 937. μετὰ πολλῶν δὲ γάμων ἅδε τελευτὰ προτέραν πέλοι γυναικῶν S. 1035. παρθένου πηγῆς μέτα P. 605. ἔρημον, οὐ πολλῶν μέτα, μονάδα P. 720. εἴθ' ὄφελεν, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν τῶν οἰχομένων θανάτου κατὰ μοῖρα καλύψαι P. 879. μέτα τοῦδ' ὅτι χρὴ πάσχειν ἐθέλω V. 1069. πολλῶν μετὰ δούλων A. 1007. ὑπὸ Τροίας τείχεσσι φθίμενος μετ' ἄλλων C. 360. Cum acc. μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν ὅδε Καδμείων ἤρυξε πόλιν T. 1066. φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν A. 223. μετά τ' αὖθις ἐν χρόνῳ E. 475.

Μεταβαίνειν. τῇδε τελευτᾷ, ᾗ τὸ δίκαιον μεταβαίνει C. 305.

Μεταγιγνώσκειν. τὸ παντότολμον φρονεῖν μετέγνω A. 214. ἄταν ἀπάτᾳ μεταγνοὺς S. 103.

Μεταίτιος. θεοὺς ἐμοὶ μεταιτίους νόστου A. 785. τῆσδ' ἔστε βουλῆς, ὦ φίλαι, μεταίτιαι C. 98. ὅσπερ σοῦ φόνου μεταίτιος C. 132. αὐτός σὺ τούτων οὐ μεταίτιος πέλῃ E. 190.

Μεταίχμιος. ἀνὴρ γυνή τε, χὤ τι τῶν μεταίχμιον T. 179. τὰ δ' ἐν μεταιχμίῳ σκότου μένει χρονίζοντα βρύει C. 60.

Μετακοιμίζειν. ποῖ δῆτα κρανεῖ; ποῖ καταλήξει μετακοιμισθὲν μένος ἄτης; C. 1072.

Μετάκοινος. μετάκοινοι δὲ φίλᾳ ματρὶ πάρεισιν S. 1021. οὐδέ τίς ἐστι συνδαίτωρ μετάκοινος E. 331. δαίμονες ὀρθόνομοι παντὶ δόμῳ μετάκοινοι E. 922.

Μεταλλαγεῖν. τί, τῶνδ' ἐξ ἴσου ῥεπομένων, μεταλλαγεῖς τὸ δίκαιον ἔρξαι; S. 401.

Μεταλλακτός. ἐπεὶ δαίμων λήματος ἐν τροπαίᾳ χρονίᾳ μεταλλακτὸς T. 689.

Μεταμανθάνειν. μεταμανθάνουσα δ' ὕμνον Πριάμου πόλις γεραιὰ, πολύθρηνον μέγα που στένει A. 692.

Μεταμέλειν. ὡς αὐτοῖσι μεταμέλῃ πόνος E. 741.

Μεταξύ. μεταξὺ δ' ἀλκὰν δι' ὀλίγου τείνει πύργος ἐν εὔρει T. 744.

Μεταπτοιεῖν. ἐπεὶ τίς ηὔχει τήνδ' ἀνέλπιστον φυγὴν κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς τὸ πρὶν, ἔχθει μεταπτοιοῦσαν εὐναίων γάμων; S. 327.

Μεταρρυθμίζειν. καὶ πόρον μετερρύ-

θμιζε, καὶ πέδαις σφυρηλάτοις περιβαλὼν, πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ P. 733.

Μεταστένειν. ἥτις αἶα τοῦτ' ἐπεύχεται γένος τρέφουσ' ἀνατεὶ μὴ μεταστένειν πόνων E. 59.

Μετατίκτειν. τὸ δυσσεβὲς γὰρ ἔργον μετὰ μὲν πλείονα τίκτει, σφετερᾷ δ' εἰκότα γέννᾳ A. 736.

Μετάτροπος. δαίμων γὰρ ὅδ' αὖ μετάτροπος ἐπ' ἐμοὶ P. 905.

Μεταῦθις. χώρᾳ μεταῦθις ἰὸς ἐκ φρονημάτων πέδῳ πεσὼν ἄφερτος αἰανὴς νόσος E. 457.

Μεταχωρεῖν. τόπων μετά που χώρειτ' ἐκ τῶνδε θοῶς V. 1062.

Μετεῖναι. τί τοῦδέ σοι μέτεστι πράγματος, λέγε; E. 545.

Μετέρχεσθαι. ὡς τόνδ' ἐγὼ μετῆλθον ἐνδίκως μόρον τὸν μητρὸς C. 982.

Μετέχειν. ἄλγους μετέχουσαι P. 532. τοῖς τοιούτοις οὐδὲ κρατῆρος μέρος εἶναι μετασχεῖν C. 290. τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ, εὖ δρῶσαν, εὖ παθοῦσαν, εὖ τιμωμένην χώρας μετασχεῖν τῆσδε θεοφιλεστάτης E. 831.

Μετιέναι. ἀλλ' ἐγώ σ' ἐν ὑστέραισιν ἡμέραις μέτειμ' ἔτι A. 1651. εἰ μὴ μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους C. 271. δίκας μέτειμι τόνδε φῶτα κακκυνηγέτις E. 222.

Μετοικεῖν. τόνδε κραινόντων λόγον ἡμᾶς μετοικεῖν τῆσδε γῆς ἐλευθέρους S. 604.

Μετοικία. μετοικίαν δ' ἐμὴν εὖ σέβοντες οὔτι μέμψεσθε συμφορὰς βίου E. 972.

Μέτοικος. πᾶς δ' ἐν μετοίκῳ γλῶσσαν εὔτυκον φέρει κακὴν S. 972. σκληρᾶς μέτοικος γῆς ἐκεῖ κατέφθιτο P. 311. ὁ δὲ τοιόσδ' ἀνὴρ μέτοικος, Ἄργει δ' ἐκτίνει καλὰς τροφὰς T. 530. γόον ὀξυβόαν τῶνδε μετοίκων ὑστερόποινον πέμπει παραβᾶσιν Ἐριννὺν A. 58. μέτοικος, εἰς τὸ πᾶν ἀείξενος C. 673. τύχᾳ δ' εὐπροσωποκοίτᾳ τὸ πᾶν ἰδεῖν [ἀκοῦσαι] θρεομένοις μέτοικοι δόμων πεσοῦνται πάλιν C. 965. ὑμεῖς δ' ἡγεῖσθε, πολισσοῦχοι, παῖδες Κραναοῦ, τοῖσδε μετοίκοις E. 965.

Μετρεῖν. τενόντων θ' ὑπογραφαὶ μετρούμεναι εἰς ταυτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις C. 207.

Μέτριος. μέτριον νῦν ἔπος εὔχου S. 1045.

Μέτρον. ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὔνιν ζυγέντ' ἐν ἅρματι πημάτων, ἐν δρόμῳ, προστιθεὶς μέτρον C. 786.

Μέτωπον. διπλοῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν P. 706.

Μετωποσώφρων. τὸ μὴ μάταιον δ' ἐκ μετωποσωφρόνων ἴτω προσώπων ὄμματος παρ' ἡσύχου S. 196.

Μή. εἰ δὲ μὴ S. 145. μὴ τυχοῦσαι θεῶν Ὀλυμπίων S. 152. φθογγῇ δ' ἑπέσθω πρῶτα μὲν τὸ μὴ θρασύ; τὸ μὴ μάταιον δ' ἐκ μετωποσωφρόνων ἴτω προσώπων ὄμματος παρ' ἡσύχου S. 194. καὶ μὴ πρόλεσχος, μηδ' ἐφολκὸς ἐν λόγῳ γένῃ S. 197. μὴ νῦν σχόλαζε, μηχανῆς δ' ἔστω κράτος S. 204. ὦ Ζεῦ, κόπων οἴκτειρε μὴ 'πολωλότας S. 206. οὐδὲ μὴ 'ν Ἅιδου θανὼν φύγῃ μάταιον αἰτίας S. 225. μὴ καὶ λόγος τις Ζῆνα μιχθῆναι βροτῷ; S. 291. ὡς μὴ γένωμαι δμωῒς Αἰγύπτου γένει S. 330. πότερα κατ' ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις; S. 331. φόβος μ' ἔχει φρένας δρᾶσαί τε, μὴ δρᾶσαί τε S. 375. οὐκ εὔκριτον τὸ κρῖμα· μή μ' αἱροῦ κριτὴν S. 392. εἴ που τι μὴ τοῖον τύχῃ S. 395. τὰν φυγάδα μὴ προδῷς S. 415. γλῶσσα τοξεύσασα μὴ τὰ καίρια S. 441. ὅπως δ' ὅμαιμον αἷμα μὴ γενήσεται S. 444. τὸν μὴ βοηθήσαντα τῶνδε γαμόρων ἄτιμον εἶναι S. 608. ἀλλ' οὐδὲν ἔσται τῶνδε· μὴ τρέσητέ νιν S. 710. μόνην δὲ μὴ πρόλειπε S. 729. οὐ μὴ τριαίνας τάσδε καὶ θεῶν σέβη δείσαντες ἡμῶν χεῖρ' ἀπόσχωνται S. 736. σὺ δὲ φρόνει μὲν ὡς ταρβοῦσα μὴ 'μελεῖν θεῶν S. 754. βίαια μὴ φίλοις ὁρῶν ὄμμασιν S. 793. ἄγοιμ' ἂν εἴ τις τάσδε μὴ 'ξαιρήσεται S. 903. πρὸς ταῦτα μὴ πάθωμεν ὧν πόλυς πόνος S. 984. εἰ γάρ τι μὴ θεοῖς βεβούλευται νέον S. 994. εὖ τόδ' ἴσθι μή σε δὶς φράσαι P. 169. μή σοι δοκοῦμεν τῇδε λειφθῆναι μάχῃ; P. 336. φεῦ, μέγας τις ἦλθε δαίμων ὥστε μὴ φρονεῖν καλῶς P. 711. ὁ μὴ γένοιτο T. 5. βλέφαρα μὴ κοιμῶν ὕπνῳ T. 3. τιμὰς μὴ 'ξαλειφθῆναί ποτε T. 15. τῶνδ' ἀκούσας οὔτι μὴ ληφθῶ δόλῳ T. 38. ὁ ναύτης ἄρα μὴ 'ς πρώραν φυγὼν πρύμνηθεν εὗρε μηχανὴν σωτηρίας T. 190. μή μοι θεοὺς καλοῦσα, βουλεύου κακῶς T. 205.

μὴ νῦν, ἐὰν θνήσκοντας ἢ τετρωμένους πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε T. 224. *μὴ νῦν ἀκούουσ' ἐμφανῶς ἄκου' ἄγαν* T. 228. *θεοῦ τε γὰρ θέλοντος ἐκπέρσαι πόλιν, καὶ μὴ θέλοντος φησὶν* T. 409. *πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνοι θεὸς* T. 531. *μὴ "λθῃς ὁδοὺς σὺ τάσδε* T. 696. *μὴ πρὸς ἁγνὰν σπείρας ἄρουραν* T. 735. *δόλος οὐδεὶς μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν* T. 855. *αὐδῶ πόλιν σε μὴ βιάζεσθαι τάδε* T. 1033. *αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοὶ* T. 1034. *δράτω πόλις καὶ μὴ δράτω τοὺς κλαίοντας Πολυνείκην* T. 1058. *σὺ δὲ τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην* V. 44. *ὡς μή σ' ἐλιννύοντα προσδέρχθῃ πατὴρ* V. 53. *οὔτε σιγᾷν οὔτε μὴ σιγᾷν τύχας οἷόν τε μοι τάσδ' ἔστιν* V. 106. *εἴ τι μὴ βλάπτῃ λόγῳ* V. 196. *μή που τι προὔβῃς τῶνδε καὶ περαιτέρω* V. 247. *θνητοὺς ἔπαυσα μὴ προδέρκεσθαι μόρον* V. 248. *τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν;* V. 630. *μή μου προκήδου μᾶσσον ὡς ἐμοὶ γλυκὺ* V. 632. *βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι* A. 199. *ἔστιν, τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ* A. 264. *ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ ποθεῖν ἃ μὴ χρὴ* A. 332. *εἰ πρόσπαια μὴ τύχοι κακὰ* A. 338. *τὸ δ' εὖ κρατοίη, μὴ διχοῤῥόπως ἰδεῖν* A. 340. *λέγουσιν ἡμᾶς ὡς ὀλωλότας, τί μή;* A. 658. *ἔκβαιν' ἀπήνης τῆσδε, μὴ χαμαὶ τιθεὶς τὸν σὸν πόδ'* A. 880. *κατ' ἄνδρα, μὴ θεόν, σέβειν ἐμὲ* A. 899. *τὸ μὴ κακῶς φρονεῖν θεοῦ μέγιστον δῶρον* A. 901. *καὶ μὴν τόδ' εἰπὲ μὴ παρὰ γνώμην ἐμοὶ* A. 905. *γνώμην μὲν ἴσθι μὴ διαφθεροῦντ' ἐμὲ* A. 906. *εἰ δὲ μὴ τεταγμένα μοῖρα μοῖραν ἐκ θεῶν εἶργε μὴ πλέον φέρειν* A. 996. *ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην. τί γάρ;* A. 1110. *εἴπερ ἔσται γ', ἀλλὰ μὴ γένοιτό πως* A. 1222. *τὸ μὴ μέλλειν δ' ἀκμὴ* A. 1326. *πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς* A. 1607. *μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων* A. 1657. *δίκαια καὶ μὴ δίκαια* C. 77. *ὅδ' εἰμί, μὴ μάτευ' ἐμοῦ μᾶλλον φίλον* C. 217. *εἰ δὲ μή, τάχ' εἴσεται* C. 303. *μὴ 'ξαλείψῃς σπέρμα Πελοπιδῶν τόδε* C. 496. *μὴ νῦν σὺ ταῦτ' ἄγγελλε* C. 759. *θανόντα δ' οὔτι μὴ προδῷς ποτε* C. 882. *μή, ἀλλ' εἴφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας* C. 905. *κρατεῖταί πως τὸ θεῖον παρὰ τὸ μὴ ὑπουργεῖν κακοῖς* C. 952. *τοιάδε μοι ξύνοικος ἐν δόμοισι μὴ γένοιτο* C. 999. *οἶσθα μὲν τὸ μὴ 'δικεῖν, ἐπεὶ δ' ἐπίστᾳ, καὶ τὸ μὴ 'μελεῖν μάθε* E. 85. *μέμνησο, μὴ φόβος σε νικάτω φρένας* E. 88. *ἀνίστω, μή σε νικάτω πόνος* E. 128. *τιμὰς σὺ μὴ σύντεμνε τὰς ἐμὰς λόγῳ* E. 218. *λεύσσετον πάντα μὴ λάθῃ φύγδα βὰς* E. 246. *οὐδ' Ἀθηναίας σθένος ῥύσαιτ' ἄν, ὥστε μὴ οὐ παρημελημένον ἔῤῥειν* E. 290. *εἰ μή τι τῶνδ' ἔρξαιμι τοὺς ἐπαιτίους* E. 445. *εἰ δικαίως εἴτε μὴ* E. 582. *τὸ μὴ 'δικεῖν σέβοντες* E. 719. *ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν* E. 761. *ἔξεστι γάρ μοι μὴ λέγειν ἃ μὴ τελῶ* E. 859. *οὐκ ἀνέξομαι τὸ μὴ οὐ τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν* E. 874. *γίγνωσκε τἀνθρώπεια μὴ σέβειν ἄγαν* Niobe 2. *εὐλαβοῦ δὲ μή σ' ἀναρπάσῃ* Prom. Sol. 5. 3. *ὦ θάνατε, ποτί με μηδ' ἀτιμάσῃς μολεῖν* Philoct. 1. 1. *ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς* Fr. Inc. 7. *χώριζε θνητῶν τὸν θεόν, καὶ μὴ δόκει ὅμοιον αὐτῷ σάρκινον καθεστάναι* Fragm. 168. 1. *ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν ἐν τοῖς κακοῖσι μὴ τεθυμῶσθαι θεοῖς* Fragm. 79. *τὸ μὴ γενέσθαι δ' ἔστιν ἢ πεφυκέναι κρεῖσσον κακῶς πράσσοντα* Fragm. 101.

Μηδαμῇ. *ἄρασσε μᾶλλον, σφίγγε, μηδαμῇ χάλα* V. 58.

Μηδαμοῦ. *ὅπου τὸ χαίρειν μηδαμοῦ νομίζεται* E. 401. *μητρὸς μηδαμοῦ τιμὰς νέμειν* E. 591.

Μηδαμῶς. *ὅμως ἄμεινον, εἰ βραδύνοιμεν βοῇ, ἀλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτε* S. 712. *μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν* A. 1639. *τεθνεῶτ' Ὀρέστην εἰπέ, μηδαμῶς λάθῃ* C. 671. *καὶ μὴν βαρεῖαν τήνδ' ὁμιλίαν χθονὸς ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι* E. 682.

Μηδέ. *καὶ μὴ πρόλεσχος μηδ' ἐφολκὸς ἐν λόγῳ γένῃ* S. 197. *μηδ' ἐξ ἀέλπτων κἀπρομηθήτων πόλει νεῖκος γένοιτο* S. 352. *μηδέ μ' ἴδῃς ἐξ ἑδρᾶν πολυθέων ῥυσιασθεῖσαν* S. 418. *μηδ' ἐπιχωρίοις πτώμασιν αἱματίσαι πέδον* S. 647. *μηδέ τις ἀνδροκμὴς λοιγὸς*

ἐπελθέτω S. 663. ὅσον τάχιστα, μηδέ τις σχολαζέτω S. 860. εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον, μηδ' εἰ στράτευμα πλεῖον ᾖ τὸ Μηδικὸν P. 777. μηδέ τις ὑπερφρονήσας ὄλβον ἐκχέῃ μέγαν P. 810. εὐθαρσεῖτε, μηδ' ἐπηλύδων ταρβεῖτ' ἄγαν ὅμιλον T. 34. ἔκηλος ἴσθι, μηδ' ἄγαν ὑπερφοβοῦ T. 220. κόμπαζ' ἐπ' ἄλλῳ, μηδέ μοι φθόνει λέγων T. 462. δοκῶ μὲν οὖν σφε μηδὲ προσβαλεῖν πύλαις οὐχ ὡς ἄθυμος, οὐδὲ λήματος κακῇ T. 597. αὐτὴ καλύψω, μηδέ τῳ δόξῃ πάλιν T. 1031. μηδ' εἵμασιν στρώσασ' ἐπίφθονον πόρον τίθει A. 895. ἔκβαιν' ἀπήνης τῆσδε, μηδ' ὑπερφρόνει A. 1009. ὅμως δε φεῦγε, μηδὲ μαλθακὸς γένῃ E. 74.

Μηδείς. τὰ θεῶν μηδὲν ἀγάζειν S. 1047. οὐ σῖγα; μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν T. 232. σὺ δὲ τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην V. 44. δρᾶν ταῦτ' ἀναγκή· μηδὲν ἐγκέλευ' ἄγαν V. 72. μηδὲν φοβηθῇς V. 128. μηδὲν μεῖον ἰσχύσειν Διὸς V. 508. ἐμοὶ δ' ἔλασσον Ζηνὸς ἢ μηδὲν μέλει V. 940. καὶ ταῦτα μέντοι μηδὲν αἰνικτηρίως, ἀλλ' αὔθ' ἕκαστ' ἔκφραζε V. 951. μηδὲν θανάτου μοῖραν ἐπεύχου τοῖσδε βαρυνθεὶς A. 1441. μηδὲν αἱματώμεθα A. 1641. ὅρκον περῶντες μηδὲν ἔκδικον φρεσὶν E. 467. τίς δὲ μηδὲν ἐν φάει καρδίας ἀνατρέφων, ἢ πόλις βροτός θ' ὁμοίως ἔτ' ἂν σέβοι δίκαν E. 496. μηδὲν οἴεσθαι μέγα Fragm. 141.

Μηδέπω. εὖ νῦν τόδ' ἴσθι, μηδέπω μεσοῦν κακὸν P. 427.

Μήδεσθαι. ἰὼ ποποῖ, τί ποτε μήδεται; A. 1071. τί τόδε νέον ἄχος μέγα μέγ' ἐν δόμοισι τοῖσδε μήδεται κακόν; A. 1073. οἵας τέχνας τε καὶ πόρους ἐμησάμην V. 475. τὰν ἁ παιδολύμας τάλαινα Θεστιὰς 'μήσατο πυρδαῆ τινα πρόνοιαν C. 597. ἐπ' ἀνδρὶ τοῦτ' ἐμήσατο στύγος C. 985. τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι; T. 1049.

Μηδικός. εἰ στράτευμα πλεῖον ᾖ τὸ Μηδικὸν P. 777.

Μῆδος. Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ P. 751.

Μῆδος. ἐπικύτοισι μήδεσι δαμεῖσα V. 604.

Μηκέτι. τόξοις ἰάπτων μηκέτ' εἰς ἡμᾶς βέλη A. 497. μηκέτ' ἐσέλθῃς τάδε A. 1307. γέρων φόνος μηκέτ' ἐν δόμοις τέκοι C. 795.

Μήκιστος.—Vid. Μάκιστος.

Μῆκος. μῆκος δ' οὐδὲν ἐν μέσῳ χρόνου S. 716. μακρὸν δὲ μῆκος ἐκτελευτήσας χρόνου ἄψοῤῥος ἥξεις ἐς φάος V. 1022. ἐν μήκει χρόνου A. 596. πῶς δή; τοσοῦτο μῆκος ἔκτεινον λόγου E. 192. σπίδιον μῆκος ὁδοῦ Fragm. 65. φρουρᾶς ἐτείας μῆκος A. 2.

Μηλιεύς. Δωρίδ' αἶαν, Μηλιᾶ τε κόλπον P. 478.

Μηλόβοτος. δι' αἴας μηλοβότου Φρυγίας S. 547.

Μῆλον. μήλοισιν αἱμάσσοντας ἑστίας θεῶν T. 257. ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρὸς A. 1027. οὐ προτιμῶν —μήλων φλεόντων εὐπόκοις νομεύμασιν ἔθυσεν αὑτοῦ παῖδα A. 1390. μῆλά τ' εὐθενοῦντ' ἄγαν ξὺν διπλοῖσιν ἐμβρύοις τρέφοι χρόνῳ τεταγμένῳ E. 904. γαῖα τίκτεται βροτοῖς μήλων τε βόσκας καὶ Δημήτριον βίον Dan. 1. 5. μυκήθμοισι καὶ βρυχήμασιν βρέμουσι μήλων Niobe 1. 3.

Μηλότροφος. ἔν' ἄνδρα πάσης Ἄσιδος μηλοτρόφου ταγεῖν P. 749.

Μηλόφονος. μηλοφόνοισιν ἄγαισι δαῖτ' ἀκέλευστος ἔτευξεν A. 712.

Μήν. φλόγα μηνὸς πυρωπὸν Fragm. I. 31.

Μήνη. ἃς οὔθ' ἥλιος προσδέρκεται ἀκτῖσιν, οὔθ' ἡ νύκτερος μήνη ποτὲ V. 799.

Μηνίεσθαι. οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται E. 101. μηνεῖται δ' ἄκη δρακονθόμιλον δυσμενῆ ξυνοικίαν S. 263.

Μῆνις. ἰὼ μῆνις μάστειρ' ἐκ θεῶν S. 154. μίμνει μνάμων μῆνις τεκνόποινος A. 150. Ἰλίῳ δὲ κῆδος ὀρθώνυμον τελεσσίφρων μῆνις ἤλασε A. 685. δεινὴ γὰρ ἐν βροτοῖσι καὶ θεοῖς πέλει τοῦ προστροπαίου μῆνις, εἰ προδῶ σφ' ἑκὼν E. 225. τοὺς μὲν καθαρὰς χεῖρας προσνέμοντας οὔτις ἀφ' ἡμῶν μῆνις ἐφέρπει E. 304. οὔτ' ἂν δικαίως τῇδ' ἐπιῤῥέποις πόλει μῆνίν τιν', ἢ κότον τιν' ἢ βλάβην στρατῷ E. 849.

Μηνυτήρ. ἔπου δὲ μηνυτῆρος ἀφθέγκτοις φραδαῖς E. 236.

Μήποτε. μήποτε εἴπῃ λεώς, εἴ που τι μη τοῖον τύχῃ, ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν S. 394. ἱκεσίου Διὸς

κότον μέγαν πρόφρων ὢν μήποτ' εἰσόπιν χρόνου πόλιν παχῦναι S. 612. *μήποτε πυρίφατον* Πελασγίαν *πόλιν τὸν ἄχορον βοὰν κτίσαι μάχλον* Ἄρη S. 627. *μήποτε λοιμὸς ἀνδρῶν τήνδε πόλιν κενώσαι* S. 645. *μήποτε πάλιν ἴδοιμ' ἀλφεσίβοιον ὕδωρ* S. 834. *μήποτ' ἐκδοῦναι βίᾳ στόλον γυναικῶν* S. 920. *εὖ γὰρ τόδ' ἴσθι, μήποτ' ἡμέρᾳ μιᾷ πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν* P. 423. *πόλιν ζυγοῖσι δουλίοισι μήποτε σχέθειν* T. 75. *μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν ἅδε πανήγυρις* T. 201. *ὡς μήποτε θεὸς μήτε τις ἄλλος τοῖσδ' ἐπεγήθει* V. 155. *σπεύδοντες ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν* V. 203. *μήποτε, μήποτέ μ', ὦ Μοῖραι, λεχέων Διὸς εὐνάτειραν ἴδοισθε πέλουσαν* V. 896. *εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδὶ* C. 180. *ὡς μήποτ' εἴπῃς, πρὸς νεωτέρας ἐμοῦ ἄτιμος ἔρρειν τοῦδ' ἀπόξενος πέδου* E. 842. *τὰν δ' ἄπληστον κακῶν μήποτ' ἐν πόλει στάσιν τᾷδ' ἐπεύχομαι βρέμειν* E. 933.

Μήπωγε. *ἄκουε δή.* Μήπωγε· *μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε* V. 634.

Μηρός. *σέβας δὲ μηρῶν ἁγνὸν οὐ προσηδέσω* Myrm. 6. 1. *μηρῶν τε τῶν σῶν εὐσεβὴς ὁμιλία* Myrm. 6. 9.

Μήτε. *μήτ' ἐνοίκων, μήτ' ἐπηλύδων τινὰ ἄγειν* S. 606. *μήτ' ἀέλπτως δορυκανεῖ μόρῳ θανὼν λάθοιμι, χώρᾳ δ' ἄχθος ἀείζων πέλοι* S. 965. *μήτε χρημάτων ἄνανδρον πλῆθος ἐν τιμῇ σέβειν μήτ' ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα* P. 163. *εὖ τόδ' ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δὶς φράσαι μήτ' ἔπος μήτ' ἔργον ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ* P. 170. *μήτε μακιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγε* P. 684. *μήτε πρὸ καιροῦ, μήθ' ὑπὲρ ἄστρων βέλος ἠλίθιον σκήψειε* A. 356.

Μήτηρ. *ὁρμᾶται μήτηρ βασιλέως* P. 147. *ὦ βαθυζώνων ἄνασσα Περσίδων ὑπερτάτη, μῆτερ ἡ Ξέρξου γεραιά, χαῖρε* P. 152. *θεοῦ μὲν εὐνήτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς* P. 153. *ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο πότον* P. 606. *ὦ γέραια μῆτερ ἡ Ξέρξου* P. 818. *γῆ μήτηρ, φιλτάτη τροφός* T. 15. *πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας μήτηρ, γυνή, σωτῆρος* T. 207. *δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ* T. 398. *τάδ' αὐδᾷ μητρὸς ἐξ ὀρεσκόου βλάστημα καλλίπρωρον* T. 515. *μητρός τε πηγὴν τίς κατασβέσει δίκη* T. 566. *δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν, μητρὸς ταλαίνης κἀπὸ δυστήνου πατρὸς* T. 1023. *ἐμοὶ δὲ μήτηρ οὐχ ἅπαξ μόνον Θέμις τὸ μέλλον, ᾗ κραίνοιτο, προὐτεθεσπίκει* V. 209. *κράτιστα δή μοι τῶν παρεστώτων τότε ἐφαίνετ' εἶναι προσλαβόντα μητέρα ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν* V. 217. *τοιόνδε χρησμὸν ἡ παλαιγενὴς μήτηρ ἐμοὶ διῆλθε* V. 876 *εὐάγγελος μέν, ὥσπερ ἡ παροιμία, ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα* A. 256. *Σκύλλαν τινα οἰκοῦσαν ἐν πέτραισι ναυτίλων βλάβην θύουσαν Ἅιδου μητέρ'* A. 1208. *τῆς ἐμῆς μητρὸς πάρα* C. 88. *σωφρονεστέραν πολὺ μητρὸς γενέσθαι* C. 139. *ἀλλ' οὐδὲ μήν νιν ἡ κτανοῦσ' ἐκείρατο, ἐμὴ δὲ μήτηρ* C. 188. *προσαυδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον πατέρα τε καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει στέργηθρον* C. 238. *κτενεῖν ἔοικας, ὦ τέκνον, τὴν μητέρα* C. 909. *ὅρα· φύλαξαι μητρὸς ἐγκότους κύνας* C. 911. *ἄναγνα μητρὸς ἔργα τῆς ἐμῆς* C. 980. *ὡς τόνδ' ἐγὼ μετῆλθον ἐνδίκως μόρον τὸν μητρὸς* C. 983. *κτανεῖν τέ φημι μητέρ' οὐκ ἄνευ δικης* C. 1023. *σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες* C. 1050. *ἡ δὴ τὸ μητρὸς δευτέρα τόδ' ἕζετο μαντεῖον* E. 3. *φονεὺς δ' Ὀρέστης τῆσδε μητρὸς οἴχεται* E. 120. *φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο* E. 403. *ἀλλά νιν κελαινόφρων ἐμὴ μήτηρ κατέκτα* E. 438. *αἰτίαν δ' ἔχω τῆς τοῦδε μητρὸς τοῦ φόνου* E. 550. *τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας* E. 557. *νεκροῖσι νῦν πέπεισθι, μητέρα κτανὼν* E. 569. *ἐγὼ δὲ μητρὸς τῆς ἐμῆς ἐν αἵματι;* E. 576. *ἀπεύχῃ μητρὸς αἷμα φίλτατον* E. 578. *τὸν πατρὸς φόνον πράξαντα, μητρὸς μηδαμοῦ τιμὰς νέμειν* E. 594. *τὸ μητρὸς αἷμ' ὅμαιμον ἐγχέας πέδῳ* E. 623. *οὐκ ἔστι μήτηρ ἡ κεκλημένη τέκνου τοκεύς, τροφὸς δὲ κύματος νεοσπόρου* E. 628. *πατὴρ μὲν ἂν γένοιτ' ἄνευ μητρὸς* E. 633. *ὦ Νὺξ μέλαινα, μῆτερ, ἆρ' ὁρᾷς τάδε;* E. 715. *μητρὸς τάσδε συνδίκους ὁρῶν* E. 731. ἀλλ'

Ἀντικλείας ἆσσον ἦλθε Σίσυφος τῆς σῆς λέγω τοι μητρὸς Arm. Jud. 1. 1. θαρσεῖτε παῖδες μητέρων τεθραμμέναι T. 774.

Μῆτις. ἀκούων ὄπα τᾶς Τηρεΐας μήτιδος οἰκτρᾶς ἀλόχου S. 59. τὰν Διὸς γὰρ οὐχ ὁρῶ μῆτιν ὅπα φύγοιμ' ἂν V. 908. τοῦ γὰρ προτέρα μῆτις, ὅπου χρὴ δώματα ναίειν καὶ τόπος εὔφρων S. 949. γυναικοβούλους τε μήτιδας φρενῶν ἐπ' ἀνδρὶ τευχεσφόρῳ ἐπεμνησάμην C. 617.

Μήτις. μήτι τλῆς τὰν ἱκέτιν ἐσιδεῖν ἀπὸ βρετέων βίᾳ δίκας ἀγομέναν S. 423. μή τι σε θυμοπληθὴς δορίμαργος ἄτα φερέτω T. 668. τἄλλα δ' ἐξηγοῦ φίλοις τούσδ' ἕν τι ποιεῖν, τοὺς δὲ μήτι δρᾶν, λέγων C. 546.

Μήτοι. μήτοι τιν' ἄνδρα δεῦρο πρυμνήτην χθόνος ἐλθόντ' ἐποίσειν εὖ κεκασμένον δορὶ E. 736.

Μητραγαθὴς P. 43.

Μητραλοίας. τὸν μητραλοίαν δ' ἐξέκλεψας ὢν θεὸς E. 148. τοὺς μητραλοίας ἐκ δόμων ἐλαύνομεν E. 201.

Μητρόθεν. οὔτε νιν φυγόντα μητρόθεν σκότον Δίκη προσεῖπε T. 646. ὃν ἐξέθρεψα μητρόθεν δεδεγμένη C. 739.

Μητροκτονεῖν. ἔχρησας ὥστε τὸν ξένον μητροκτονεῖν E. 193. ποῦ γὰρ τοσοῦτο κέντρον ὡς μητροκτονεῖν; E. 405. ὁ μάντις ἐξηγεῖτό σοι μητροκτονεῖν; E. 566.

Μητροκτόνος. μητροκτόνον φίτυμα A. 1254. κατασφαγεῖσα πρὸς χερῶν μητροκτόνων E. 102. μητροκτόνον μίασμα δ' ἔκπλυτον πέλει E. 271. εἰ κρατήσει δίκα τε καὶ βλάβα τοῦδε μητροκτόνου E. 470.

Μητρόφονος. μητρόφονοι δύαι E. 259.

Μητρυιά. τραχεῖα πόντου Σαλμυδησία γνάθος ἐχθρόξενος ναύτῃσι, μητρυιὰ νεῶν V. 729.

Μητρῷος. κτανεῖν σ' ἔπεισα μητρῷον δέμας E. 84. ἐγὼ δ', ἄγει γὰρ αἷμα μητρῷον, δίκας μέτειμι τόνδε φῶτα E. 221. αἷμα μητρῷον χαμαὶ χυμένον οἴχεται E. 251.

Μηχανᾶσθαι. τάφον γὰρ αὐτῷ καὶ κατασκαφὰς ἐγώ, γυνή περ οὖσα, τῷδε μηχανήσομαι T. 1029. ψυχῆς κομίστρα τῆσδε μηχανωμένη A. 939.

Μηχανή. μὴ νῦν σχόλαζε, μηχανῆς δ' ἔστω κράτος S. 204. μηχανὴ καλὴ S. 454. τί σοὶ περαίνει μηχανὴ συζωμάτων; S. 457. στείχετ' εὐερκῆ πόλιν πύργων βαθείᾳ μηχανῇ κεκλειμένην S. 934. ἰχθυβόλῳ μηχανᾷ, Ποσειδῶν, ἐπίλυσιν φόβων ἐπίλυσιν δίδου T. 191. ὁ ναύτης ἆρα μή σ' πρῴραν φυγὼν πρύμνηθεν εὗρε μηχανὴν σωτηρίας T. 191. θάρσει παρέσται μηχανὴ δραστήριος T. 1032. τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανὴν A. 1226. πᾶσαν ξυνάψας μηχανὴν δυσβουλίας A. 1590. ἔστι τοῦδ' ἄκος, καὶ κάρτα πολλὴ μηχανὴ λυτήριος C. 616. ἰδόντα μηχανὴν πτερώματος Myrm. 116. 3. ξὺν εὐχαῖς ἐμαῖς λυτηρίοις μηχαναῖς θεῶν πάρα S. 1059. πίσυνοι λεπτοδόμοις πείσμασι, λαοπόροις τε μηχαναῖς P. 113. μηχαναῖς ἔζευξεν Ἕλλης πορθμόν, ὥστ' ἔχειν πόρον P. 708. αἱμύλας δὲ μηχανὰς ἀτιμάσαντες καρτέροις φρονήμασιν ᾤοντ' ἀμοχθεὶ πρὸς βίαν τε δεσπόσειν V. 206. ζῶντα καὶ βλέποντα μηχαναῖς Διὸς A. 663. χερὸς πατρῴας ἐκτίνοντα μηχανὰς A. 1564. θελκτηρίους μύθους ἔχοντες, μηχανὰς εὑρήσομεν E. 82. δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι Fragm. Inc. 41.

Μηχάνημα. τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας βροτοῖσιν, αὐτὸς οὐχ' ἔχω σόφισμ' ὅτῳ τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ V. 467. οὐκ ἔστιν αἴκισμ' οὐδὲ μηχάνημ', ὅτῳ προτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε V. 991. τὸ μηχάνημα, δεσμὸν ἀθλίῳ πατρὶ ἴδεσθε C. 975. ἐν πέπλοισι μελάγκερων λαβοῦσα μηχανήματι τύπτει A. 1098.

Μηχανορραφεῖν. αὐτὸς καθ' αὑτοῦ γ' ἄρα μηχανορραφῶ C. 219.

Μῆχαρ. ὕπαστρον δέ τοι μῆχαρ ὁρίζομαι γάμου δύσφρονος φυγᾷ S. 389. τὸ πᾶν μῆχαρ οὔριος Ζεὺς S. 589. ἐπεὶ δὲ καὶ πικροῦ χείματος ἄλλο μῆχαρ βριθύτερον πρόμοισι μάντις ἔκλαγξεν A. 194.

Μιαίνειν. εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ γλώσσῃ μιαίνειν A. 623. κίρκων τῶν ὁμοπτέρων φόβῳ ἐχθρῶν ὁμαίμων καὶ μιαινόντων γένος S. 222. ὃν οὔτις ἂν δόμος ἔχοι ἐπ' ὀρόφων μιαίνοντα S. 638. μαινόμενος δ' ἐπιπνεῖ λαοδάμας μιαίνων εὐσέβειαν

Ἄρης T. 326. *μιαίνων παρθενοσφάγοισιν ῥεέθροις πατρῴους χέρας* A. 202. *πρᾶσσε, πιαίνου μιαίνων τὴν δίκην* A. 1654. *κακαῖς ἐπιῤῥοαῖσι βορβόρῳ θ' ὕδωρ λαμπρὸν μιαίνων* E. 665. *τὸ κοινὸν δ' εἰ μιαίνεται πόλις, ξυνῇ μελέσθω λαὸς ἐκπονεῖν ἄκη* S. 361. *νῦν γὰρ μέλλουσι μιανθεῖσαι πεῖραι κοπάνων ἀνδροδαΐκτων* C. 846.

Μιαιφόνος. *βουλήσεται κλύειν ἄναλκις μᾶλλον ἢ μιαιφόνος* V. 870. *πῶς γάρ σ' ἔθρεψεν ἐντὸς, ὦ μιαιφόνε;* E. 577.

Μίασμα. *παλαιῶν αἱμάτων μιάσματι χρανθεῖσα γαῖα* S. 262. *μίασμ' ἐλέξας οὐχ ὑπερτοξεύσιμον* S. 468. *λέγων διπλοῦν μίασμα πρὸ πόλεως φανὲν* S. 614. *οὐκ ἔστι γῆρας τοῦδε τοῦ μιάσματος* T. 664. *ἀλλά νιν γυνὴ χώρας μίασμα καὶ θεῶν ἐγχωρίων ἔκτεινε* A. 1629. *κτανεῖν τέ φημι μητέρ' οὐκ ἄνευ δίκης, πατροκτόνον μίασμα, καὶ θεῶν στύγος* C. 1024. *ἐφεστίῳ δὲ, μάντις ὢν, μιάσματι μυχὸν ἔκρανας αὐτόσσυτος* E. 162. *μητροκτόνον μίασμα δ' ἔκπλυτον πέλει* E. 271. *οὐ τουτὸν ἐκ γῆς τῆσδε χρή σ' ἀνδρηλατεῖν, μιασμάτων ἄποινα;* A. 1394. *ἀλγῶ μὲν ἔργα καὶ πάθος, γένος τε πᾶν, ἄζηλα νίκης τῆσδ' ἔχων μιάσματα* C. 1011. *δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτοιν* E. 570.

Μιάστωρ. *ποτιτρόπαιος δ' ὢν ἕτερον ἐν καρᾷ μιάστορ' ἐκείνου πάσεται* E. 169. *ἐπολολυξάτω δεσποσύνων δόμων ἀναφυγὰς κακῶν, καὶ κτεάνων τριβὰς ὑπὸ δυοῖν μιαστόροιν δυσοίμου τύχας* C. 933.

Μιγνύναι. *θρόμβῳ δ' ἔμιξεν αἵματος φίλον γάλα* C. 538. *αἷς οὐ μίγνυται θεῶν τις, οὔτ' ἄνθρωπος, οὔτε θὴρ ποτὲ* E. 69. *τῇδε γὰρ θνητῇ θεὸς χρήζων μιγῆναι τάσδ' ἐπέῤῥιψεν πλάνας* V. 740. *ἐν δὲ γαίᾳ ζῶα φονορύτῳ μέμικται* T. 921. *μέλαινα δ' αὖ μεμίξεται στονόεσσα πλάγα* P. 1009. *μὴ καὶ λόγος τις Ζῆνα μιχθῆναι βροτῷ;* S. 291.

Μικρός. *κλύω σ' ἐγὼ μεμηνότ' οὐ μικρὰν νόσον* V. 979.

Μιλτόπρεπτος. *λευκοῖς τε γὰρ μόροισι καὶ μελαγχίμοις καὶ μιλτοπρέπτοις βρίθεται ταὐτοῦ χρόνου* Cress. 1. 2.

Μιμεῖσθαι. *ἄμφω δὲ φωνὴν ἥσομεν Παρνησίδα γλώσσης ἀϋτὴν Φωκίδος μιμουμένω* C. 557.

Μίμημα. *Λιβυρνικῆς μίμημα μανδύης χιτὼν* Fragm. 88.

Μίμνειν. *μίμνουσι δ' ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς ἄρδει* P. 791. *ἡμεῖς δ' ἀτίται σαρκὶ παλαιᾷ τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες μίμνομεν* A. 74. *μίμνει γὰρ φοβερὰ παλίνορτος οἰκονόμος δολία, μνάμων μῆνις τεκνόποινος* A. 148. *ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορὶ* A. 1120. *πρὸς ταῦτα μίμνε, καὶ θεοὺς ἐγχωρίους λιταῖς παραιτοῦ* S. 515. *ἔνθ' οὔτε μίμνειν ἄνεμος, οὔτ' ἐκπλεῖν ἐᾷ* Philoct. 3. *πυλῶν ἐπ' ἐξόδοις μίμνοντες εὐθαρσεῖτε* T. 34. *μίμνει δὲ, μίμνοντος ἐν χρόνῳ Διὸς, παθεῖν τὸν ἔρξαντα* A. 1544. *αἶ, αἶ, αἶ, αἶ, μίμνοντι δὲ καὶ πάθος ἀνθεῖ* C. 1004.

Μιμνήσκειν. *ἡμῖν αὖ χάριν δὸς ἥντιν' αἰτούμεσθα, μέμνησαι δέ που* V. 824. *τὰ δ' ἐς τὸ σὸν φρόνημα, μέμνημαι κλύων, καὶ φημὶ ταὐτὰ* A. 804. *μέμνησο δ' εἴκειν· χρεῖος εἶ ξένη φυγὰς* S. 199. *μέμνησθ' Ἀθηνῶν, Ἑλλάδος τε* P. 810. *ἄλλου λόγου μέμνησθε, τοῦδε δ' οὐδαμῶς καιρὸς γεγωνεῖν* V. 521. *ἀλλ' οὖν μέμνησθ' ἅτ' ἐγὼ προλέγω* V. 1073. *μέμνησ' Ὀρέστου, κεἰ θυραῖος ἔσθ' ὅμως* C. 113. *μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης, πάτερ* C. 484. *μέμνησο δ' ἀμφίβληστρον ᾧ σ' ἐκαίνισαν* C. 485. *μέμνησο· μὴ φόβος σε νικάτω φρένας* E. 88. *φυλάξομαι δὲ τάσδε μεμνῆσθαι σέθεν κεδνὰς ἐφετμὰς* S. 202. *φεῦ, τῶν Ἀθηνῶν ὡς στένω μεμνημένος* P. 277. *τοῦ φόνου μεμνημένη* C. 114. *πρὸς τοὺς τεκόντας, πανδίκως μεμνημένος, τεθνεῶτ' Ὀρέστην εἰπὲ* C. 670. *ἐν ποιονόμοις ματρὸς ἀρχαίας τόποις τῶν πρόσθε πόνων μνασαμένα τά τε νῦν ἐπιδείξω πιστὰ τεκμήρια, τά τ' ἀνόμοια* S. 51.

Μῖμος. *ὑπομυκῶνται πόθεν ἐξ ἀφανοῦς φοβεροὶ μῖμοι* Edon. 1.

Μινύθειν. *δακρυχέων ἐκ φρενὸς, ἆ, κλαιομένας μου μινύθει* T. 903. *δόξαι τ' ἀνδρῶν τακόμεναι κατὰ γᾶν μινύθουσιν ἄτιμοι* E. 352.

Μινύρεσθαι. *ὅταν δ' ἀείδειν ἢ μινύρεσθαι δοκῶ, κλαίω τότ' οἴκου τοῦδε συμφορὰν* A. 16.

Μινυρός. πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ δυσαλγεῖ τύχᾳ μινυρὰ θρεομένας A. 1136.
Μίνως. πιθήσασα δώροισι Μίνω C. 609.
Μιξοβόας. μιξοβόαν πρέπει διθύραμβον ὁμαρτεῖν σύγκωμον Διονύσῳ Fragm. 28.
Μιξόθροος. λαΐδος ὀλλυμένας μιξοθρόου T. 313.
Μιξόμβροτος. βοτὸν ἐσορῶντες δυσχερὲς μιξόμβροτον S. 563.
Μισεῖν. τοὺς προδότας γὰρ μισεῖν ἔμαθον V. 1070. ὦ πολλὰ μισηθεῖσα χειρωναξία V. 45.
Μίσημα. ὑμᾶς ἐρωτῶ, θρέμματ' οὐκ ἀνασχετὰ, ἦ ταῦτ' ἄριστα καὶ πόλει σωτήρια, αὔειν, λακάζειν, σωφρόνων μισήματα; T. 168. μισήματ' ἀνδρῶν καὶ θεῶν 'Ολυμπίων E. 73.
Μισητός. γλῶσσα μισητῆς κυνὸς A. 1201.
Μισόθεος. μισόθεον μὲν οὖν, πολλὰ συνίστορα αὐτόφονα κακὰ (στέγην) A. 1061.
Μῖσος. ἀπόπολις δ' ἔσῃ, μῖσος ὄβριμον ἀστοῖς A. 1385. νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ καὶ μῖσος ἀστῶν A. 1387. ἀεὶ δὲ μίσει τῶνδε Παλλήνης τόπων δρυμοὺς ἐρημοὺς ἢ πάγους ἀποικίσει Fragm. 32. 10.
Μνάμων. μνάμων μῆνις τεκνόποινος A. 150.
Μνῆμα. πόντιος μυχὸς, σαφῶς ἐπίστασ', 'Ιόνιος κεκλήσεται, τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσιν βροτοῖς V. 843.
Μνημεῖον. μνημεῖά θ' αὐτῶν τοῖς τεκοῦσιν ἐς δόμους πρὸς ἅρμ' 'Αδράστου χερσὶν ἔστεφον T. 49.
Μνήμη. μνήμην ποτ' ἀντίμισθον εὕρετ' ἐν λιταῖς S. 267. μνήμην θ' ἁπάντων μουσομήτορ' ἐργάτιν ἐξεῦρον αὐτοῖς V. 459.
Μνημονεύειν. ὢν νέος νέα φρονεῖ κοὐ μνημονεύει τὰς ἐμὰς ἐπιστολὰς P. 769.
Μνήμων. Μοῖραι τρίμορφοι, μνήμονές τ' 'Ερινννύες V. 514. σοὶ πρῶτον, 'Ιοῖ πολύπονον πλάνην φράσω ἣν ἐγγράφου συ μνήμοσιν δέλτοις φρενῶν V. 791. κακῶν τε μνήμονες σεμναὶ E. 361.
Μνησιπήμων. στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας μνησιπήμων πόνος A. 173.
Μνηστήρ. πικροῦ δ' ἔκυρσας, ὦ κόρη, τῶν σῶν γάμων μνηστῆρος V. 742.
Μνήστωρ. φιλοθύτων δέ τοι πόλεος ὀργίων μνήστορες ἔστε μοι T. 163.
Μογεῖν. δυσδαιμόνων δὲ τίνες, οἶ, ἓ ἕ, οἷ' ἐγὼ μογοῦσιν; V. 606. πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς A. 1607. πείθεσθέ μοι, πείθεσθε, συμπονήσατε τῷ νῦν μογοῦντι V. 275.
Μογερός. ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας ἀτέκνους κλαύσω πολεμάρχους; T. 809. ἰὼ Μοῖρα βαρυδότειρα μογερὰ T. 960. σήμηνον, ὅπῃ γῆς ἡ μογερὰ πεπλάνημαι V. 564. πόθεν ἐμοῦ σὺ πατρὸς ὄνομ' ἀπύεις; εἰπέ μοι τᾷ μογερᾷ V. 596. οἴκῳ γὰρ ἐπίφθονος "Αρτεμις ἁγνὰ πτανοῖσι κυσὶ πατρὸς αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισιν A. 135.
Μόγις. Θρήκην περάσαντες μόγις πολλῷ πόνῳ P. 501. πατρῴας μόγις παρειποῦσα φρένας V. 131.
Μοῖρα. δέδοται δ' 'Αρμονίᾳ μοῖρ' 'Αφροδίτης, ψιθυροὶ τρίβοι τ' ἐρώτων S. 1025. θεόθεν γὰρ κατὰ μοῖρ' ἐκράτησε τὸ παλαιὸν P. 102. δύστηνος ἐγὼ στυγερᾶς μοίρας τῆσδε κυρήσας P. 873. εἴθ' ὄφελεν, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν τῶν οἰχομένων θανάτου κατὰ μοῖρα καλύψαι P. 881. θέλων ἐξιστορῆσαι μοῖραν, ἐν χρείᾳ τύχης T. 488. ἔχουσι μοῖραν λαχόντες, ὦ μέλεοι, διοσδότων ἀχέων T. 928. χωρίς τε γένους οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν νείμαιμ' ἢ σοι V. 290. οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος κρᾶναι πέπρωται V. 509. μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε V. 634. πάντα δὲ πύργων κτήνη πρόσθε τὰ δημιοπληθῆ μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον A. 129. εἰ δὲ μὴ τεταγμένα μοῖρα μοῖραν ἐκ θεῶν εἶργε μὴ πλέον φέρειν A. 996. σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ A. 1239. ἀλλ' εἶμι κἀν δόμοισι κωκύσασ' ἐμὴν 'Αγαμέμνονός τε μοῖραν A. 1287. πεπαιτέρα γὰρ μοῖρα τῆς τυραννίδος A. 1338. μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν μοῖρ' ἀτέλευτον ὕπνον A. 1426. μηδὲν θανάτου μοῖραν ἐπεύχου τοῖσδε βαρυνθεὶς A. 1441. δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει

βλάβης πρὸς ἄλλαις θηγάναισι μοῖρα A. 1518. μοῖραν εὗρετ' ἀσφαλῆ A. 1570. ἡ μοῖρα τούτων, ὦ τέκνον, παραιτία C. 897. καὶ τόνδε τοίνυν μοῖρ' ἐπόρσυνεν μόρον C. 898. ἐν ἡμερᾷ δὲ μοῖρ' ἀπρόσκοπος βροτῶν E. 105. τοῦτο γὰρ λάχος διανταία μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν E. 321. αὐταὶ δ' ἔχουσι μοῖραν οὐκ εὐπέμπελον E. 454. οὕτω μοῖρά τε συγκατέβα E. 998. ἰὼ Μοῖρα βαρυδότειρα μογερὰ T. 960. Μοῖραι τρίμορφοι, μνήμονές τ' Ἐριννύες V. 514. μήποτε μήποτέ μ', ὦ Μοῖραι, λέχεων Διὸς εὐνάτειραν ἴδοισθε πέλουσαν V. 897. ἀλλ', ὦ μεγάλαι Μοῖραι, Διόθεν τῇδε τελευτᾶν C. 304. παλαιγενεῖς φθίσας μοίρας E. 165. Μοίρας ἔπεισας ἀφθίτους θεῖναι βροτοὺς E. 694. θεαὶ, τῶν Μοῖραι ματροκασιγνῆται E. 919. ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον ἐμοὶ C. 236.

Μοιρᾶσθαι. ἐμοιράσαντο δ' ὀξυκάρδιοι κτήμαθ' ὥστ' ἴσον λαχεῖν T. 889.

Μοιρόκραντος. μοιρόκραντον ἐς ἦμαρ C. 603. τὸν μοιρόκραντον ἐκ θεῶν δοθέντα τέλεον E. 370.

Μολεῖν. ἴσως γὰρ ἢ κήρυξ τις ἢ πρέσβυς μόλοι S. 708. θεοῖς τ' ἂν ἀμπλάκητος εἰ μόλοι στρατὸς, ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων γένοιτ' ἂν A. 336. τίς ἂν ἐν τάχει μόλοι τὸν αἰεὶ φέρουσα μοῖρ' ἐν ἡμῖν ἀτέλευτον ὕπνον; A. 1425. εὖτ' ἂν εἰς οἴκους μόλωμεν P. 226. ἐάν περ δεῦρ' ἐμοῦ πρόσθεν μόλῃ P. 521. πρὶν ἂν πρὸς αὐτὸν Καύκασον μόλῃς V. 721. τόθ', ὅταν τὸ κύριον μόλῃ A. 744. χώραν, οὐδὲ κηρύκων ὕπο, ἀπρόξενοί τε, νόσφιν ἡγητῶν μολεῖν ἔτλητ' ἀτρέστως S. 236. δεῖ τοι βαθείας φροντίδος σωτηρίου δίκην κολυμβητῆρος, ἐς βυθὸν μολεῖν δεδορκὸς ὄμμα, μηδ' ἄγαν οἰνώμενον S. 403. ἢ γυναικῶν ἐς πόλιν δοκεῖς μολεῖν; S. 891. ἐδοξάτην γυναῖκ' εἰς ὄψιν δύο μολεῖν P. 179. ἄσμενον μολεῖν γέφυραν ἐν δυοῖν ζευκτηρίαν P. 722. ἐλπίς ἐστι νύκτερον τέλος μολεῖν T. 349. τὴν μακρὰν πόλιν μολεῖν T. 595. ἐξερυσάμην βροτοὺς τοῦ μὴ διαρραισθέντας εἰς Ἀΐδου μολεῖν V. 236. εἰ μὴ θέλοι, πυρωπὸν ἐκ Διὸς μολεῖν κεραυνὸν V. 670. ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκεν, φράσω V. 827. πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων φανῇ, θελήσῃ τ' εἰς ἀναύγητον μολεῖν Ἀΐδην V. 1030. Μενέλεων γὰρ οὖν πρῶτόν τε καὶ μάλιστα προσδόκα μολεῖν A. 661. ἐὰν δαίμων Ὀρέστην δεῦρ' ἀπευθύνῃ μολεῖν A. 1652. καὶ πῶς ἐκεῖνος δεῦρ' ἐτόλμησεν μολεῖν; C. 177. πῶς οὖν κελεύει νιν μολεῖν ἐσταλμένον; C. 755. οὐ γὰρ δόμοισι τοῖσδε πρόσφορον μολεῖν E. 198. Ἀθηναίαν καλῶ μολεῖν ἀρωγὸν E. 279. μολόντες ἀλίμενον χθόνα S. 749. γῆν μολόντες Ἑλλάδ' οὐ θεῶν βρέτη ᾐδοῦντο συλᾶν P. 795. γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα ἄνακτος οἴκων τῶνδε βαστάσαι χερὶ A. 34. ἀπὸ Στρυμόνος μολοῦσαι πνοαὶ A. 185. ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς Μεσαπίου φύλαξι σημαίνει μολὸν A. 284. πόσιν σπεύσω πάλιν μολόντα δέξασθαι A. 587. γυναῖκα πιστὴν δ' ἐν δόμοις εὕροι μολὼν A. 592. σοῦ μολόντος δωματῖτιν ἑστίαν, θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολὼν A. 942. οἰκουρὸν, οἴμοι, τῷ μολόντι δεσπότῃ ἐμῷ A. 1198. προστρόπαιος ἑστίας μολὼν πάλιν τλήμων Θυέστης A. 1569. ἄκουσον ἐς φάος μολὼν ξὺν δὲ γενοῦ πρὸς ἐχθροὺς C. 452. καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα ἐρεῖ C. 566. ἐπεὶ μολὼν ματρόθεν κελάδησε C. 600. νέαν φάτιν δὲ πεύθομαι λέγειν τινὰς ξένους μολόντας οὐδαμῶς ἐφίμερον C. 828. μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεὼς E. 15. μολὼν δὲ Παλλάδος ποτὶ πτόλιν ἴζου παλαιὸν ἄγκαθεν λαβὼν βρέτας E. 79. ἐμοὶ δ' ὄνειδος ἐξ ὀνειράτων μολὸν ἔτυψεν δίκαν διφρηλάτου μεσολαβεῖ κέντρῳ ὑπὸ φρένας E. 150. ἔμολε μὲν δίκα Πριαμίδαις χρόνῳ, βαρύδικος ποινὰ, ἔμολε δ' ἐς δόμον τὸν Ἀγαμέμνονος διπλοῦς λέων, διπλοῦς Ἄρης C. 923. ἔμολε δ' ᾧ μέλει κρυπταδίου μάχας δολιόφρων ποινὰ C. 934. μολεῖσθαι λόγους ἐς ἀκοὰν ἐμὰν V. 691.

Μόλις. ἀπώλεσας γὰρ οὐ μόλις τὸ δεύτερον A. 1052. θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρὼν E. 826.

Μολοσσός. ἦλθε πρὸς Μολοσσὰ δάπεδα V. 831.

Μολπή. ἔτι γὰρ θεόθεν καταπνείει πειθὼ μολπὰν A. 106. καθ' ὁδὸν δ' ὀλολύξατε νῦν ἐπὶ μολπαῖς E. 995.

Μολπηδόν. πρῶτον μὲν ἠχῇ κέλαδος Ἑλλήνων πάρα μολπηδὸν εὐφήμησε P. 381.

Μομφή. ἱερῶν πατρῴων δ' ὅσιος ὢν μομφῆς ἄτερ τέθνηκε T. 1001.

Μοναρχία. ἰὼ δόμων ἐρειψίτοιχοι, καὶ πικρὰς μοναρχίας ἰδόντες T. 863.

Μόναρχος. ὁρῶν ὅτι τραχὺς μόναρχος, οὐδ' ὑπεύθυνος κρατεῖ V. 324.

Μονάς. μονάδα δὲ Ξέρξην ἐρημόν φασιν οὐ πολλῶν μέτα— V. 720.

Μονογενής. ὑψηλῆς στέγης στύλον ποδήρη, μονογενὲς τέκνον πατρὶ A. 872.

Μονόδους. κόραι τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ' ἐκτημέναι, μονόδοντες V. 798.

Μονόζυξ. τὸν αἰχμάεντα θοῦρον εὐνατῆρα λείπεται μονόζυξ ἀποπεμψαμένα P. 135.

Μονόκλαυτος. κεῖνος δ' ὁ τάλας μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς εἶσι T. 1056.

Μονόμαχος. πύλας φερεγγύοις ἐφραξάμεσθα μονομάχοισι προστάταις T. 780.

Μονόμματος. στερνόφθαλμοι, μονόμματοι Prom. Sol. 11.

Μονόῤῥυθμος. εἰ δέ τις μείζων χάρις, πάρεστιν οἰκεῖν καὶ μονοῤῥύθμους δόμους S. 959.

Μόνος. μόνον τόδ' Ἑλλὰς χθὼν συνοίσεται στόχῳ S. 240. μόνην δὲ μὴ πρόλειπε S. 728. εἰ γάρ τι κακῶν ἄκος οἶδε πλέον, μόνος ἂν θνητῶν πέρας εἴποι P. 624. μόνης γάρ, οἶδα, σοῦ κλύων ἀνέξεται P. 824. εἴπερ κακὸν φέρει τις αἰσχύνης ἄτερ, ἔστω· μόνον γὰρ κέρδος ἐν τεθνηκόσι T. 666. σὺ δ' ἄνδρα τόνδ' ἔφης ἑκὼν κατακτανεῖν, μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον A. 1597. τοιάνδε πάλην μόνος ὢν ἔφεδρος δισσοῖς μέλλει θεῖος Ὀρέστης ἅψειν C. 854. καὶ κλῇδας οἶδα δωμάτων μόνη θεῶν E. 791. μόνος γὰρ εἶ σὺ τῶνδ' ἀνηκέστων κακῶν ἰατρὸς Philoct. 1. 2. μόνον φυλάξαι τάσδ' ἐπιστολὰς πατρὸς S. 990. οὐχ ἅπαξ μόνον V. 209. τοσοῦτον ἀρκῶ σοι σαφηνίσαι μόνον V. 624. ἐνταῦθα δή σε Ζεὺς τίθησιν ἔμφρονα, ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον V. 851. μόνον Κράτος τε καὶ Δίκη ξὺν τῷ τρίτῳ πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό μοι C. 242. μόνος θεῶν γὰρ θάνατος οὐ δώρων ἐρᾷ, μόνου δὲ Πειθὼ δαιμόνων ἀποστατεῖ Niobe 5. εἴ τιν' ἑστιοῦχον ὄψομαι μόνον Orith. 1. ὅρκος βέβαιος ἐστὶν ἂν νεύσῃ μόνοι Fragm. I. 15.

Μονόσκηπτρος. μονοσκήπτροισι τ' ἐν θρόνοις χρέος πᾶν ἐπικραίνεις S. 371.

Μονοστιβής. εἰ ξὺν λοχίταις, εἴτε καὶ μονοστιβῆ; C. 757.

Μονοῦν. μόνην δὲ μὴ πρόλειπε, λίσσομαι, πάτερ, γυνὴ μονωθεῖσ' οὐδὲν S. 730.

Μονόφρουρος. γαίας μονόφρουρον ἕρκος A. 248.

Μονόφρων. δίχα δ' ἄλλων μονόφρων εἰμὶ A. 735.

Μονόψηφος. κρατύνεις ἑστίαν χθονὸς μονοψήφοισιν νεύμασι σέθεν C. 369.

Μόριμος. μόριμον λάχος πιμπλάντων χεροῖν C. 356.

Μόρος (pomum). ἀνὴρ δ' ἐκεῖνος ἦν πεπαίτερος μόρων Phryg. 2. μόροισι βρίθεται Fragm. Cress. 1.

Μόρος. ξυντίθησι δὲ παιδὸς μόρον S. 63. ἐλθέτω μόρος πρὸ κοίτας γαμηλίου τυχὼν S. 786. μήτ' ἀέλπτως δορυκανεῖ μόρῳ θανὼν λάθοιμι S. 965. εἰ μόρον φευξοίαθ' Ἕλληνες κακὸν P. 361. τεθνᾶσιν αἰσχρῶς δυσκλεεστάτῳ μόρῳ P. 436. ποίῳ μόρῳ δὲ τούσδε φῂς ὀλωλέναι; P. 438. σὺ δ' εἰπέ, ναῶν αἳ πεφεύγασιν μόρον, ποῦ τάσδ' ἔλειπες; P. 470. κἀγὼ δὲ μόρον τῶν οἰχομένων αἴρω δοκίμως πολυπενθῆ P. 538. λευστῆρα δήμου δ' οὔτι μὴ φύγῃ μόρον T. 182. σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ T. 365. μαχώμεθ', οὐκ ἄτιμον ἐλπίζω μόρον T. 571. λέγουσα κέρδος πρότερον ὑστέρου μόρου T. 679. τί οὖν ἔτ' ἂν σαίνοιμεν ὀλέθριον μόρον T. 686. ἐγείνατο μὲν μόρον αὐτῷ πατροκτόνον Οἰδιπόδαν T. 733. θνητοὺς ἔπαυσα μὴ προδέρκεσθαι μόρον V. 248. ἀπροσδοκήτως δ' αὐτὸν αἰφνίδιος μόρος τοῦ ζῆν ἀπεστέρησε V. 683. οὐκέτ' ἐξ ἐλευθέρου δέρης ἀποιμώζουσι φιλτάτων

μόρον A. 320. ἰὼ, ἰὼ λιγείας μόρον ἀηδόνος A. 1107. Ἀγαμέμνονός σέ φημ' ἐπόψεσθαι μόρον A. 1219. μόρον τὸν αὐτῆς οἶσθα A. 1270. ὦ τλῆμον, οἰκτείρω σε θεσφάτου μόρου A. 1294. μήτε φεύγειν, μήτ' ἀμύνεσθαι μόρον A. 1354. ὡσπερεὶ βοτοῦ μόρον, ἔθυσεν αὐτοῦ παῖδα A. 1389. δολίῳ μόρῳ δαμεὶς ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ A. 1474. μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται A. 1582. εὐνὴν ἀνδρὸς αἰσχύνουσ' ἅμα ἀνδρὶ στρατηγῷ τόνδ' ἐβουλεύσω μόρον A. 1610. κἀγὼ, πάτερ, τοιάνδε σου χρείαν ἔχω, φυγεῖν μέγαν προσθεῖσαν Αἰγίσθῳ μόρον C. 475. τὸν αἴτιον ἐξαπολλὺς μόρου C. 824. νέαν φάτιν δὲ πεύθομαι λέγειν τινὰς ξένους μολόντας οὐδαμῶς ἐφίμερον, μόρον δ' Ὀρέστου C. 828. καὶ τόνδε τοίνυν μοῖρ' ἐπόρσυνεν μόρον C. 898. πατρὸς γὰρ αἶσα τόνδε σοὐρίζει μόρον C. 914. τόνδ' ἐγὼ μετῆλθον ἐνδίκως μόρον τῆς μητρὸς, Αἰγίσθου γὰρ οὐ ψέγω μόρον C. 982. νῦν δ' αὖ τρίτος ἦλθέ ποθεν σωτὴρ ἢ μόρον εἴπω C. 1070. λαγὼ δίκην Πενθεῖ καταῤῥάψας μόρον E. 26. πάντ' ἐφήσω μόρον E. 478. ἀνδρὸς μὲν ὑμῖν οὗτος εἴρηται μόρος τοῦ παντοσέμνου E. 606. πατρὸς προτιμᾷ Ζεὺς μόρον E. 610. οὔτοι γυναικὸς οὐ προτιμήσω μόρον E. 709. ὃς πατρῷον αἰδεσθεὶς μόρον σώζει με E. 730. πισσοκώνητος μόρος Cress. 103. οὐδ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον Fragm. 27. 4. δέδοικα μῶρον κάρτα πυραύστου μόρον Fragm. 30. τρέμω δ' αἱματηφόρους μόρους ὑπὲρ φίλων ὀλομένων ἰδέσθαι T. 402.

Μόρσιμος. ἐπωνυμίᾳ δ' ἐπεκραίνετο μόρσιμος αἰὼν εὐλόγως S. 47. ὅ τι τοι μόρσιμόν ἐστι, τὸ γένοιτ' ἂν S. 1032. σιγῶ, σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον T. 245. οὐ γάρ τι μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον T. 263. τί δ' ἂν φοβοίμην, ᾧ θανεῖν οὐ μόρσιμον; V. 935. τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξε μόρσιμ' ἀπ' ὀρνίθων A. 152. ἐντὸς οὖσα μορσίμων ἀγρευμάτων πείθοι' ἂν A. 1019. τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερὸς C. 101. τὸ μόρσιμον μένει πάλαι, εὐχομένοις δ' ἀνέλθοι C. 457. εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μορσίμη E. 208. σοὶ μὲν γαμεῖσθαι μόρσιμον, γαμεῖν δέ μοι Amym. 1.

Μορφή. μορφῆς δ' οὐχ ὁμόστολος φύσις S. 491. ἵν' οὔτε φωνὴν, οὔτε του μορφὴν βροτῶν ὄψει V. 21. ὅμοια μορφῇ γλῶσσά σου γηρύεται V. 78. πολλῶν ὀνομάτων μορφὴ μία V. 210. ὀδύρομαι θεόσσυτον χειμῶνα καὶ διαφθορὰν μορφῆς V. 647. πᾶς δ' ὑφηγεῖται τρόπος μορφῆς E. 184. εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι ἦσαν V. 676. ὀνειράτων ἀλίγκιοι μορφαῖσι V. 447. ἔνθα νυκτέρων φαντασμάτων ἔχουσι μορφὰς ἄπτεροι Πελειάδες Fragm. I. 25. δυὸ γὰρ οὖν μορφὰς φανεῖ παιδός γε ταυτοῦ νηδύος μιᾶς ἄπο Fragm. I. 32. 4.

Μόρφωμα. ἅπαξ ἑκάστῳ κατθανὼν μορφώματι (Γηρυὼν) A. 847. ὀνείρων προσφερεῖς μορφώμασιν A. 1192. οὔτ' οὖν βροτείοις ἐμφερεῖς μορφώμασιν E. 390.

Μουνώψ. μουνῶπα στρατὸν Ἀριμασπὸν ἱπποβάμον' V. 806.

Μοῦσα. ἐπεὶ μοῦσαν στυγερὰν ἀποφαίνεσθαι δεδόκηκεν E. 298. εὔφημόν τ' ἐπιβοῷεν Μοῦσαι, θεαί τ' ἀοιδοὶ S. 676.

Μουσόμαντις. τίς ποτ' ἔσθ' ὁ μουσόμαντις; Edon. 2.

Μουσομήτωρ. μνήμην, ἁπάντων μουσομήτορ' ἐργάτιν V. 459.

Μόχθημα. θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων V. 462.

Μοχθηρός. ὦ Ζεῦ, γυναικῶν οἷον ὤπασας γένος. Μοχθηρὸν, ὥσπερ ἄνδρες, ὧν ἁλῷ πόλις T. 239. πολλὰ καὶ μοχθήρ' ἀνωφελῆτ' ἐμοὶ τλάσῃ C. 741.

Μόχθος. μόχθον περισσὸν V. 383. τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα V. 1027. μάτην ὁ μόχθος C. 514. τρέφει δέ γ' ἀνδρὸς μόχθος ἡμένας ἔσω C. 908. μόχθος δ' ὁ μὲν αὐτίχ'. ὁ δ' ἥξει C. 1016. ἀλκᾷ πίσυνος μέμυκε φράζουσα βοτῆρι μόχθους S. 348. πῇ ποτε μόχθων χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι; V. 99. σοῖσιν οὐ συνασχαλᾷ μόχθοις V. 244. φρίσσω δέ σε δερκομένη μυρίους μόχθους διακναιόμενον V. 539. οὐδέν ἐστι τέρμα μοι προκείμενον μόχθων V. 758.

τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν δύναιτ' ἂν αὐτῷ πλὴν ἐμοῦ δεῖξαι V. 915. μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας A. 541. εἰ δέ τοι μόχθων γένοιτο τῶνδ' ἅλις γ', ἐχοίμεθ' ἂν δαίμονος χολῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι A. 1644. παιδοβόροι μὲν πρῶτον ὑπῆρξαν μόχθοι τάλανες C. 1064. πολλοῖς δὲ μόχθοις ἀνδροκμῆσι φυσιᾷ σπλάγχνον E. 239. λῆξις ὑπόδοσίς τε μόχθων E. 481. τάδε μὲν λεύσσεις δοριλυμάντους Δαναῶν μόχθους Myrm. 1. 4.

Μοχλός. γυναικείας πύλας μοχλοῖς χαλᾶτε C. 866.

Μυδαλέος. μυδαλέοις δάκρυσι κόλπους τέγγουσα P. 531.

Μυδροκτυπεῖν. κορυφαῖς δ' ἐπ' ἄκραις ἥμενος μυδροκτυπεῖ Ἥφαιστος V. 366.

Μύδρος Fragm. 405.

Μύζειν. μύζοιτ' ἄν, ἀνὴρ δ' οἴχεται φεύγων πρόσω E. 117. λευσμὸν δὲ καὶ μύζουσιν οἰκτισμὸν πολὺν ὑπὸ ῥάχιν παγέντες E. 180.

Μυθεῖσθαι. ἄπιστα μυθεῖσθ', ὦ ξέναι, κλύειν ἐμοὶ S. 275. σάφ' εἰδότας χρὴ τῶνδε μυθεῖσθαι πέρι A. 1341. σαφῶς ἐπισκήπτουσα καὶ μυθουμένη, ἔξω δόμων τε καὶ πάτρας ὠθεῖν ἐμὲ V. 667.

Μῦθος. βραχὺς τορός θ' ὁ μῦθος S. 271. γένοιτο μύθου μῦθος ἂν θελκτήριος S. 442. ἐς δ' ὑμᾶς ἐρῶ μῦθον P. 158. μήτι μακιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγων P. 684. πάντα γάρ, Δαρεῖ', ἀκούσῃ μῦθον ἐν βραχεῖ λόγῳ P. 699. Ἔρις περαίνει μῦθον ὑστάτη θεῶν T. 1042. βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε V. 503. σαφεῖ δὲ μύθῳ, πᾶν ὅπερ προσχρῄζετε, πεύσεσθε V. 644. σεμνόστομός γε, καὶ φρονήματος πλέως ὁ μῦθός ἐστιν V. 956. καὶ μὴν ἔργῳ, κοὐκ ἔτι μύθῳ χθὼν σεσάλευται V. 1082. νέου δὲ μύθου τοῦδε κοινωνήσατε C. 164. δράσαντι παθεῖν, τριγέρων μῦθος τάδε φωνεῖ C. 312. δι' ὤτων δὲ συντέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει C. 444. ἁπλοῦς ὁ μῦθος C. 547. εὖτ' ἂν πύθηται μῦθον C. 732. ὑμῶν ὁ μῦθος E. 551. καὶ προσφθόγγους δὲ χρεὼν αὐτὴν πάντας μύθοισι προσαυδᾶν P. 150. μηδέ μ' οἰκτίσας ξύνθαλπε μύθοις ψευδέσιν V. 688. τεκμήριον τοῦτ' αὐτὸ δοὺς μύθων ἐμῶν V. 828. ἐκεῖ δικάστας τῶνδε, καὶ θελκτηρίους μύθους ἔχοντες, μηχανὰς εὑρήσομεν E. 82. αἰνῶ δὲ μύθους τῶνδε τῶν κατευγμάτων E. 975. ὡς δ' ἐστὶ μύθων καὶ Λιβυστικῶν λόγος Myrm. 2. 1.

Μυκᾶν. ἀλκᾷ πίσυνος μέμυκε, φράζουσα βοτῆρι μόχθους S. 353.

Μύκηθμος. μυκήθμοισι καὶ βρυχήμασιν βρέμουσι μήλων Niobe 1. 3.

Μύκημα. μὴ φρένας ὑμῶν ἠλιθιώσῃ βροντῆς μύκημ' ἀτέραμνον V. 1064.

Μύκονος. Πάρος, Νάξος, Μύκονος P. 759.

Μύραινα. μύραινά γ' εἴτ' ἔχιδν' ἔφυ σήπειν θιγοῦσ' ἂν ἄλλον C. 988.

Μυρηρής. χωρὶς μυρηρῶν τευχέων πνέουσά μοι Fr. Inc. 77. 4.

Μυριάς. πάνυ γὰρ φύστις μυριὰς ἀνδρῶν ἐξέφινται P. 891.

Μυριετής. τὸν μυριετῆ χρόνον ἀθλεύσω V. 94.

Μυριόνταρχος. Χρυσεὺς Μάταλλος μυριόνταρχος θανὼν P. 306. ποθοῦμεν Μάρδων ἀνδρῶν μυριόνταρχον Ξάνθον P. 955.

Μυρίος. μυρίας ἵππου βραβεὺς P. 294. τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν μυρία μυρία πεμπαστὰν P. 943. μυρίαισι πημοναῖς δύαις τε καμφθεὶς V. 509. μυρίοις μόχθοις διακναιόμενος V. 539.

Μυριωπός. φοβοῦμαι τὸν μυριωπὸν εἰσορῶσα βούταν V. 567.

Μύρμηξ. κατώρυχες δ' ἔναιον, ὥστ' ἀήσυροι μύρμηκες, ἄντρων ἐν μυχοῖς ἀνηλίοις V. 461.

Μύρον. μύρα Amym. 2.

Μῦς. μύες Glauc. Mar. 1.

Μύσαγμα. τό τ' εἰπεῖν εὐπετὲς μύσαγμά πως S. 979.

Μύσως. Σεισάμης ὁ Μύσιος P. 314. ἰὼ Κάϊκε, Μύσιοί τ' ἐπιρροαὶ Myrm. 8.

Μυσός. περᾷ δὲ Τεύθραντος ἄστυ Μυσῶν S. 544. λόγχης ἄκμονες καὶ ἀκοντισταὶ Μυσοὶ P. 52.

Μύσος. δωμάτων παλαιτέρων τίνειν μύσος C. 640. ὅταν ἀφ' ἑστίας μύσος πᾶν ἐλάσῃ καθαρμοῖσι C. 961. οὐ χρηστηρίοις ἐν τοῖσδε πλησίοισι τρίβεσθαι μύσος E. 186. τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσος πεποτᾶται E.

356. οὐδ' ἔχει μύσος πρὸς χειρὶ τῇ 'μῇ E. 423. ἀτίετον, φεῦ, μύσος E. 803.
Μυστήριον. εἶναί με τῶν σῶν ἄξιον μυστηρίων Fr. Inc. 99.
Μυστικός. τοῦδε μυστικοῦ τέλους ἔρως Fragm. I. 93.
Μυχθίζειν Fragm. I. 161.
Μύχιος. μυχία Προποντὶς P. 854.
Μυχόθεν. ἀμβόαμα μυχόθεν ἔλακε C. 35. cf. A. 96.
Μυχός. διῇξεν ἄντρων μυχὸν ἀχὼ V. 134. κελαινὸς δ' ἄϊδας ὑποβρέμει μυχὸς γᾶς V. 431. πόντιος μυχὸς V. 841. ἄφερκτος μυχοῦ πολυσίνου, κυνὸς δίκην ἑτοιμότερα γέλωτος ἀνέφερον λίβη C. 440. οἵ τ' ἔσωθε δωμάτων πλουτογαθῆ μυχὸν νομίζετε C. 790. ἔχων μυχὸν χθονὸς C. 942. ἕρπω πρὸς πολυστεφῆ μυχὸν E. 38. μιάσματι μυχὸν ἔχρανας ~~C. 165.~~ ἄντρων E. 169.
ἐν μυχοῖς ἀνηλίοις V. 461. ἀπαλλάσσεσθε μαντικῶν μυχῶν E. 172.
Μύωψ. βοηλάτην μύωπα S. 301. ὀξυστόμῳ μύωπι χρισθεῖσ' V. 678.
Μῶμαι. τοιάνδε χάριν—μωμένα μ' ἰάλλει C. 44. μόρον κτεῖναι μωμένα ἄφερτον αἰῶνι σῷ C. 435.
Μωμεῖσθαι. παιδὸς νέας ὥς, κάρτ' ἐμωμήσω φρένας A. 268.
Μωμητός. οὔτ' εἶδος, οὔτε θυμὸν, οὐθ' ὅπλων σχέσιν μωμητὸς T. 490.
Μῶν. μῶν οὖν 'Ορέστου κρύβδα δῶρον ἦ τόδε; C. 175. μῶν οὐ δοκεῖν δεῖ φροντίδος σωτηρίου; S. 412.
Μωραίνειν. πέζος ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας; P. 705.
Μωρία. ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν A. 1655.
Μῶρος. δέδοικα μῶρον κάρτα πυραύστου μόρον Fragm. I. 30.

N.

Ναί. τοῦτ' ἐτήτυμον; ναί P. 724. ἰὼ δὴ κατ' ἄστυ. 'Ιὼ δῆτα, ναὶ ναὶ P. 1028.
Ναίειν. εὔθυμόν ἐστιν εὐτυχεῖς ναίειν δόμους S. 937. ὅπου χρὴ δώματα ναίειν S. 947. χθόνα ναίειν διαπήλας ὁπόσαν καὶ φθιμένοισι κατέχειν T. 713. δοκεῖτε δὴ ναίειν ἀπενθῆ πέργαμ' V. 958. πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις V. 712. ἵνα αἱ Φορκίδες ναίουσι δηναιαὶ κόραι V. 796. οἱ προς ἡλίου ναίουσι πηγαῖς V. 811. ἐν αἰχμαλώτοις Τρωϊκοῖς οἰκήμασι ναίουσιν A. 326. ὦ μέγα ναίων στόμιον C. 796. πάτραν δ' ἔναιον, ἡ μὲν 'Ελλάδα κλήρῳ λαχοῦσα γαῖαν, ἡ δὲ βάρβαρον P. 182. κατώρυχες δ' ἔναιον V. 450.
Νάϊος. στόλον νάϊον S. 2. ὅδε μάρπτις νάϊος, γάϊος S. 806. πᾶς δ' ἀπώλλυτο στρατὸς δαμασθεὶς ναΐοισιν ἐμβολαῖς P. 271. μάχην ξυνάψαι ναΐοισιν ἐμβολαῖς P. 328.
Νᾶμα. οἱ χρυσόρρυτον οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου V. 808. Αἴγυπτος ἁγνοῦ νάματος πληρουμένη Fr. Inc. 299. 5.
Ναός. ἐπισπένδων ναῷ Fr. Niobe 5. πιμπράναι νεὼς P. 797.
Ναρά. Ναρᾶς τε Δίρκης Fr. Inc. 106.
Ναρθηκοπλήρωτος. ναρθηκοπλήρωτον δὲ θηρῶμαι πυρὸς πηγὴν κλοπαίαν V. 109.
Νᾶσος. αἱμαχθεῖσα δ' ἄρουραν Αἴαντος περικλύστα νᾶσος ἔχει τὰ Περσῶν P. 589. νᾶσοί θ' αἳ κατὰ πρῶν' ἅλιον περίκλυστοι P. 856.
Ναυαγεῖν. περὶ δ' ἐμῷ κάρᾳ πληγεῖσ' ἐναυάγησεν ὀστρακουμένη Fr. Inc. 77. 2.
Ναύαρχος. πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον P. 355. ὦ πότνια χθὼν—ἣ νῦν ἐπὶ ναυάρχῳ σώματι κεῖσαι C. 712.
Ναυβάτης. ναυβάτης ἀνὴρ P. 367. ὑπ' Ἴλιον ὦρτο ναυβάτας στρατὸς A. 960. 'Ιαόνων ναυβατᾶν κύρσαντες οὐκ εὐτυχῶς P. 973. λογχίμους τε καὶ ναυβάτας ὁπλισμοὺς P. 393. ἀνδρῶν ναυβατῶν ἀσπίστορα E. 434.

Ναυκληρεῖν. σύ τ' αὐτὸς γνῶθι ναυκληρεῖν πόλιν T. 634.

Ναύκληρος. ξὺν φρονοῦντι δ' ἥκετε πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρὶ S. 174.

Ναυπάκτιος. ἐκ Ναυπακτίας χώρας S. 259.

Ναύπορος. ἐπ' ἀκτὰς ναυπόρους τῆς Παλλάδος E. 9.

Ναῦς. παραῤῥύσεις νεὼς S. 696. οἴακος εὐθυντῆρος ὑστάτου νεὼς S. 698. πρὶν ὅρμῳ ναῦν θρασυνθῆναι S. 753. δύσφορα ναῒ S. 814. ναῒ ναῒ βάσῃ τάχ' S. 840. εἰ μή τις ἐς ναῦν εἶσι S. 879. πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο P. 297. οἵδε ναὸς ἐκ μιᾶς πέσον P. 304. πᾶς ἀνὴρ κώπης ἄναξ ἐς ναῦν ἐχώρει P. 371. τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς P. 373. εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον ἔπαισε P. 400. ἀποθραύει πάντα Φοινίσσης νεὼς κόρυμβα P. 402. φυγῇ τ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο P. 414. ἀπέλιπον Τυρίας ἐκ νεὼς ἔῤῥοντας P. 924. ὥστε νηὸς κεδνὸς οἰακοστρόφος T. 62. νεὼς καμούσης ποντίῳ πρὸς κύματι T. 192. ἡμᾶς γε μὲν δὴ ναῦν τ' ἀκήρατον σκάφος θεός τις ἐξέκλεψε A. 647. τύχη δὲ σωτὴρ ναῦν θέλουσ' ἐφέζετο A. 650. σωτῆρα ναὸς πρότονον A. 871. ἦλθον διώκουσ', οὐδὲν ὑστέρα νεὼς E. 242. νῆες ὡς ὠκύπτεροι ἥκουσι S. 715. δορυπαγεῖς ἔχοντες κυανώπιδας νῆας S. 725. οὐδ' ἐν ἀγκυρουχίαις θαρσοῦσι ναῶν ποιμένες S. 748. ἐπὶ ναῶν P. 19. ἐλειοβάται ναῶν ἐρέται P. 39. ναῶν ἐπόχους P. 54. πεντήκοντα πεντάκις νεῶν ταγὸς P. 315. πόσον τι πλῆθος ἦν νεῶν Ἑλληνίδων; P. 326. πλήθους μὲν ἂν σάφ' ἴσθ' ἕκατι βαρβάρους ναυσὶν κρατῆσαι P. 330. ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν; P. 342. πλήθει καταυχήσας νεῶν P. 344. σέλμασι ναῶν ἐπενθορόντες P. 351. τάξαι νεῶν στῖφος μὲν ἐν στίχοις τρισὶν P. 358. ναυσὶν κρυφαίως δρασμὸν εὑρόντες τινα P. 362. ναῶν ἄνακτες P. 375. πλῆθος ἐν στενῷ νεῶν ἤθροιστ' P. 405. Ἑλληνικαί τε νῆες οὐκ ἀφραδμόνως κύκλῳ πέριξ ἔθεινον P. 409. ὑπτιοῦτο δὲ σκάφη νεῶν P. 411. νῆσος δύσορμος ναυσὶ P. 440. ὅταν νεῶν φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο P. 442. θεὸς ναῶν ἔδωκε κῦδος Ἕλλησιν μάχης P. 447. ναῶν ἐξέθρωσκον P. 449. ναῶν αἳ πεφεύγασιν μόρον P. 470. ναῶν ταγοὶ P. 472. ὁμόπτεροι κυανώπιδες νᾶες μὲν ἤγαγον, ποποῖ, νᾶες δ' ἀπώλεσαν, τοτοῖ, νᾶες πανωλέθροισιν ἐμβολαῖς P. 551. ἐξέφθινθ' αἱ τρίσκαλμοι νᾶες ἄναες ἄναες P. 662. μητρυιὰ νεῶν V. 729. νεῶν βασιλεῖς A. 113. ἡγεμὼν ὁ πρέσβυς νεῶν Ἀχαϊκῶν A. 178. νεῶν τε καὶ πεισμάτων ἀφειδεῖς A. 188. προτέλεια ναῶν A. 219. ναῦς γὰρ πρὸς ἀλλήλῃσι Θρήκιαι πνοαὶ ἤρεικον A. 640. νεῶν ἔπαρχος A. 1200. ὁ στρατηλάτης νεῶν E. 607.

Ναύστολος. ναύστολον θεωρίδα T. 840.

Ναύτης. ναύτην ἄγοντες τόνδε S. 478. πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας; P. 705. ὁ ναύτης ἆρα μὴ 'σ πρώραν φυγὼν πρύμνηθεν εὗρε μηχανὴν σωτηρίας; T. 190. ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ ναύτῃσι θερμοῖς T. 585. πόντου Σαλμυδησία γνάθος ἐχθρόξενος ναύτῃσι V. 730.

Ναυτικός. σκάφος στρέβλαισι ναυτικαῖσιν ὡς προσηγμένον S. 436. οὔτοι ταχεῖα ναυτικοῦ στρατοῦ στολὴ S. 745. ναυτικὸς λεὼς P. 375. ναυτικὸς στρατὸς P. 714. A. 620. ναυτικῶν ἐρειπίων ὁρῶμεν ἀνθοῦν πέλαγος A. 646.

Ναυτίλος. λινόπτερ' εὗρε ναυτίλων ὀχήματα V. 466. ἢ τεθνηκότος φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο; A. 617. γῆ φανεῖσα ναυτίλοις παρ' ἐλπίδα A. 873. ναυτίλων βλάβη A. 1207. ναυτίλων δὲ σελμάτων ἱστοτρίβης A. 1417. ναυτίλων δίκην C. 200.

Ναύφρακτος. Ἰαόνων ναύφρακτος Ἄρης P. 912. τραπέντα ναύφρακτον ἐρεῖς ὅμιλον P. 986.

Νεάγγελτος. τὴν νεάγγελτον φάτιν ἐλθὼν πύθηται C. 725.

Νεάζειν. οἷα νεάζει πυθμὴν δι' ἀμὸν γάμον τὸ θάλλος δυσπαραβούλοισι φρεσὶν S. 98. φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεάζουσαν ἐν κακοῖς βροτῶν ὕβριν A. 742.

Νεαίρετος. τρόπος δὲ θηρὸς ὡς νεαιρέτου A. 1033. λιποῦσα μὲν πόλιν νεαίρετον ἥκει A. 1035.

Νέανις. οἷα χρὴ πάθη τλῆναι πρὸς

Ἥρας τήνδε τὴν νεάνιδα V. 706. νεανίδων τ' ἐπηράτων ἀνδροτυχεῖς βιότους δότε E. 917.

Νεαρός. νεαρὸς μυελὸς A. 76. μήτ' οὖν νεαρῶν τιν' ὑπερτελέσαι μέγα δουλείας γάγγαμον A. 350. νεαρὰ φάους κότον δαίμονά τε τὸν ἄμαχον, ἀπόλεμον ἀνίερον A. 745. τέλεον νεαροῖς ἐπιθύσας A. 1485.

Νεβρός. οἴχεται νεβροῦ δίκην E. 111. τετραυματισμένον γὰρ ὡς κυὼν νεβρὸν πρὸς αἷμα καὶ σταλαγμὸν ἐκμαστεύομεν E. 237. ὥστε διπλόοι λύκοι νεβρὸν φέρουσι Fr. Inc. 43.

Νείκη. ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι νείκης παλαιᾶς ἦλθε A. 1350.

Νεῖκος. μηδ' ἐξ ἀέλπτων κἀπρομηθήτων πόλει νεῖκος γένηται S. 353. ἦ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι S. 447. τὸ νεῖκος δ' οὐκ ἐν ἀργύρου λαβῇ ἔλυσε S. 913. δι' ὧν νεῖκος ἔβα καὶ θανάτου τέλος T. 887. νείκεος ἐν τελευτᾷ T. 919. πῶς οὖν τελευτᾷ βασιλέων νείκη τάδε; S. 294. λυτὴρ νεικέων P. 923. νεικέων τέκτονα A. 148.

Νειλοθερής. δάπτω τὰν ἁπαλὰν Νειλοθερῆ παρειὰν S. 67.

Νεῖλος. ὕδωρ τὸ Νείλου νόσοις ἄθικτον S. 556. ὁ μέγας Νεῖλος ὑβρίζοντά σ' ἀποτρέψειεν ἄϊστον ὕβριν S. 857. μηδ ἔτι Νείλου προχοὰς σέβωμεν ὕμνοις S. 1004. ἄλλους δ' ὁ μέγας καὶ πολυθρέμμων Νεῖλος ἔπεμψε P. 34. πηγαῖσι Νείλου γειτονῶν Αἰγυπτίου Ἀρκτεύς P. 303. ἔνθα Βυβλίνων ὀρῶν ἄπο ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος V. 814. Νείλου πρὸς αὐτῷ στόματι V. 849. ὅσην πλατύῤῥους Νεῖλος ἀρδεύει χθόνα V. 854. Νεῖλος ἑπτάρους Fr. Inc. 31. 2.

Νειλῶτις. οὗτός σ' ὁδώσει τὴν τρίγωνον ἐς χθόνα Νειλῶτιν V. 816.

Νείρει. ἐκ τοῦ γὰρ ἔρως αἱματολοιχὸς νείρει τρέφεται A. 1458.

Νεκροδέγμων. Ἀΐδου τοῦ νεκροδέγμονος V. 153.

Νεκρός. νεκροῦ τοῦδε A. 1482. νεκρὸν θήσω C. 568. νεκροῦ ποδένδυτον δροίτης κατασκήνωμα C. 992. ἄλλοισιν ἐν νεκροῖσι E. 96. νεκροῖσι νῦν πέπεισθι μητέρα κτανὼν E. 569. ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐπλήθυον P. 413. ἅπερ νεκροῖσι μειλικτήρια P. 602. θῖνες νεκρῶν δὲ καὶ τριτοσπόρῳ γονῇ ἄφωνα σημανοῦσιν ὄμμασι βροτῶν P. 804. νεκροὺς κλύουσα δυσμόρους T. 819. Πολυνείκους νεκρὸν T. 1004. ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς ἀνδρῶν Ἀχαιῶν A. 645. Ἅιδου νεκρῶν σωτῆρος A. 1360. εἰ δ' ἦν πρεπόντων ὥστ' ἐπισπένδειν νεκρῷ A. 1368. ἐμὸς πόσις, νεκρὸς δὲ A. 1378. ἄλγος οὐδὲν ἅπτεται νεκρῶν Fr. Philoct. 227. 3.

Νέμειν. ποῦ θράσος νέμεις ἐμοί; S. 500. δαίμοσιν νέμει γέρα ἄλλοισιν ἄλλα V. 229. τὰν καὶ Ζεὺς ὁ παγκρατής, Ἄρης τε φρύρισν θεῶν νέμει E. 879. τὴν δευτέραν δὲ κρᾶσιν ἥρωσιν νέμω Fr. Epig. 45. 2. καὶ κράτος νέμοι γυναιξὶν S. 1054. μητρὸς μηδαμοῦ τιμὰς νέμειν E. 594. ἡμῖν γὰρ ἔῤῥειν ἢ πρόσω τιμὰς νέμειν E. 717. ἀσπίδ' εὔκυκλον νέμων πάγχαλκον T. 572. ὁ πάντα νέμων Ζεὺς V. 524. ἰσχὺν ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις A. 76. προνοίαισι τοῦ πεπρωμένου γλῶσσαν ἐν τύχᾳ νέμων A. 671. εὖ πραπίδων οἴακα νέμων A. 776. δαίμονές τε καὶ βροτοὶ Παλλάδος πόλιν νέμοντες E. 971. τῶν αἰχμαλώτων χρημάτων λάχος μέγα ἔνειμαν αὐτόπρεμνον ἐς τὸ πᾶν ἐμοὶ E. 379. οὐκ ἔστιν ὅτῳ μείζονα μοῖραν νείμαιμ' ἢ σοὶ V. 292. διὰ θεῶν πόλιν νεμόμεσθ' ἀδάματον T. 215. ὁπόσοι τ' ἔποικον ἁγνᾶς Ἀσίας ἕδος νέμονται V. 410. ὑψίκρημνόν θ' οἳ πόλισμα Καυκάσου πέλας νέμονται V. 420. κακὸν σκότον νέμονται E. 72.

Νέμεσις. τί τάδε νέμεσις στύγει; T. 217.

Νεμέτωρ. Ζεὺς νεμέτωρ T. 467.

Νεόγαμος. νεογάμου νύμφης δίκην A. 1152.

Νεογενής. νεογενὲς δάκος C. 523.

Νεογνός. νεογνός ἀνθρώπων μάθοι A. 1135.

Νεόδρεπτος. λευκοστεφεῖς ἔχουσα νεοδρέπτους κλάδους S. 329.

Νεοδρόπος. ὁρῶ κλάδοισι νεοδρόποις κατάσκιον νέον θ' ὅμιλον S. 349.

Νεοζυγής. δακὼν στόμιον ὡς νεοζυγὴς πῶλος βιάζῃ, καὶ πρὸς ἡνίας μάχῃ V. 1011.

Νεόθηλος. νεοθήλου βοτοῦ σφαγαὶ E. 428.

Νεόκοτος. ἄνι' ἄνια κακὰ, νεόκοτα καὶ δάϊα P. 252. τί δ' ἐστὶ πρᾶ-

γος νεόκοτον πόλει παρόν; T. 785.

Νεόκρας. ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων παίων μελάθροις ἐν βασιλείοις νεοκρᾶτα φίλον κομίσειε C. 340.

Νεολαία. εὐμενὴς θ' ὁ Λύκειος ἔστω πάσᾳ νεολαίᾳ S. 669. νεολαία γὰρ ἤδη πᾶσ' ὄλωλε P. 657.

Νεοπαθής. ταῦτά τις τάχ' ἂν πατὴρ ἢ τεκοῦσα νεοπαθὴς οἶκτον οἰκτίσαιτο E. 489.

Νεόπτολις. πόλιν νεόπτολιν ὅτ' ἦλθον E. 657.

Νεόῤῥυτος. ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπιτνεῖν δοκεῖ, καὶ πρᾶγμ' ἐλέγχειν ξὺν νεοῤῥύτῳ ξίφει A. 1324.

Νέος. πενθεῖ νέον οἶκτον S. 62. πόλεμον αἴρεσθαι νέον S. 337. κλάδοισιν νεοδρόποις κατάσκιον νέον θ' ὅμιλον S. 350. νέοις πίναξι βρέτεα κοσμῆσαι τάδε S. 458. ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους S. 693. ἤδη πόλεμον αἱρήσῃ νέον S. 928. εἰ γάρ τι μὴ θεοῖς βεβούλευται νέον S. 994. νέον δ' ἄνδρα βαΰζει P. 13. ὅπως καινά τε κλύῃς νέα τ' ἄχη P. 654. παῖς δ' ἔμος τάδ' οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει P. 730. ὧν νέος νέα φρονεῖ P. 768. νέαι νέαι δύαι δύαι P. 972. νέους ἕρποντας εὐμενεῖ πέδῳ ἐθρέψατ' T. 18. ἄγεσθαι νέας τε καὶ παλαιὰς T. 308. δμωΐδες καινοπήμονες νέαι T. 345. πευθώ τιν' ἡμῖν, ὦ φίλαι, νέαν φέρει T. 351. πόνοι δόμων νέοι T. 723. τέθνηκεν οὔπερ τοῖς νέοις θανεῖν καλὸν T. 1002. ἅπας δὲ τραχὺς, ὅστις ἂν νέον κράτῃ V. 35. τοιόνδ' ὁ νέος ταγὸς μακάρων ἐξεῦρ' ἐπ' ἐμοὶ δεσμὸν ἀεικῆ V. 95. νέοι γὰρ οἰκόνομοι κρατοῦσ' Ὀλύμπου V. 149. δεῖξαι τὸ νέον βούλευμα V. 170. ἀϊστώσας γένος τὸ πᾶν, ἔχρηζεν ἄλλο φιτῦσαι νέον V. 233. γίνωσκε σαυτὸν καὶ μεθάρμοσαι νέους τρόπους, νεὸς γὰρ καὶ τύραννος ἐν θεοῖς V. 310. τῷ νέον θακοῦντι παγκρατεῖς ἕδρας V. 389. θεοὶ νέοι V. 437. τὸν τοῦ τυράννου τοῦ νέου διάκονον V. 944. νέον νέοι κρατεῖτε V. 957. ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεοὺς V. 963. τί χρέος; τί νέον; A. 85. παιδὸς νέας ὣς, κάρτ' ἐμωμήσω φρένας A. 268. φλογὸς παραγγέλμασιν νέοις πυρωθέντα καρδίαν A. 468. νέον πάθος A. 665. τί τόδε νέον ἄχος; A. 1072. ὁρᾶτε τούσδε τοῖς δόμοις ἐφημένους νέους A. 1191. πρὶν καταλῆξαι τὸ παλαιὸν ἄχος, νέος ἰχὼρ A. 1457. ἥκοντες ἐκ μάχης νέον A. 1608. δόμοισι πτῶμα προσκυρεῖ νέον C. 13. νέου δὲ μύθου τοῦδε κοινωνήσατε C. 164. νέα δὴ νηδὺς αὐταρκὴς τέκνων C. 746. νέαν φάτιν δὲ πεύθομαι λέγειν τίνας ξένους C. 826. νέος δὲ γραίας δαίμονας καθιππάσω E. 145. αἵματος δέκτωρ νέου E. 195. 339. νῦν καταστροφαὶ νέων θεσμίων E. 468. ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις θεοῖς ἄτιμος εἶ σὺ E. 691. καθιππάζῃ με πρεσβῦτιν νέος E. 701. σπλάγχνων βλάβας νέων E. 822. πῶς οὖν παλαιὰ πρὸς νεωτέρας μάθω; C. 169. οἱ νεώτεροι θεοὶ E. 156. 748. θεὸς παλαιὰ πρὸς νεωτέρας ἐμοῦ ἄτιμος ἔῤῥειν E. 842.

Νεοσπαδής. νεοσπαδὲς ξίφος ἔχοντα E. 42.

Νεοσσός. εἴρξει νεοσσῶν ὡς δράκοντα T. 485. ἵππου νεοσσὸς ἀσπιδηστρόφος λεὼς A. 799. πατρὸς νεοσσοὺς τούσδ' ἀποφθείρας C. 254. ἰδὼν νεοσσοὺς τούσδ' ἐφημένους τάφῳ C. 494.

Νεόσπορος. κύματος νεοσπόρου τροφὰς E. 629.

Νεοτρόφος. νεοτρόφου τέκνου δίκην A. 706.

Νεοῦν. παλαίφατον ἁμέτερον γένος φιλίας προγόνου γυναικὸς νέωσον εὔφρον' αἶνον S. 529.

Νεοχμός. τί ἐστὶ Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν; P. 679. νεοχμοῖς δὲ δὴ νόμοις Ζεὺς ἀθέτως κρατύνει V. 150.

Νέρθε. νέρθεν ἆρα κλύει μου; P. 631. νέρθεν Ἀΐδου V. 152. οἱ γᾶς νέρθεν C. 40.

Νέρτερος. χοαῖσι ταῖσδε νερτέρων ὕμνους ἐπευφημεῖτε P. 611. γαπότους ἐγὼ τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς P. 614. σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος κώπῃ A. 1600. χοὰς φέρουσαι νερτέροις μειλίγμασι C. 15. ποῖ δὴ νερτέρων τυραννίδες; C. 399.

Νεύειν. ἂν νεύσει μόνον Fr. Inc. 15.

Νεῦμα. *μονοψήφοισι νεύμασι σέθεν, μονοσκήπτροισι δ' ἐν θρόνοις χρέος πᾶν ἐπικραίνεις* S. 368.

Νευρίς. *αἰγίζεσθαι νευρίδας* Fr. Ed. 5.

Νεῦσις. *νεῦσιν* Fr. Inc. 15.

Νεφελή. *νεφελὴν ὑποσχὼν νιφάδι στρογγύλων πέτρων ὑπόσκιον θήσει χθόνα* Fr. Prom. Sol. 7. 7. *ὕπερθ' ὀμμάτων κρημναμενᾶν νεφελᾶν* T. 211.

Νέφος. *μέλας γενοίμαν καπνὸς νέφεσσι γειτονῶν Διὸς* S. 761. *πρὸς ὃν νέφη δ' ὑδρηλὰ γίγνεται χιὼν* S. 774.

Νηδύς. *νέα δὲ νηδὺς αὐτάρκης τέκνων* C. 746. *οὐδ' αἱματηρὸν πνεῦμ' ἐπουρίσασα τῷ, ἀτμῷ κατισχαίνουσα, νηδύος πυρὶ, ἕπου* E. 133. *οὐδ' ἐν σκότοισι νηδύος τεθραμμένη* E. 635. *νηδύος μιᾶς ἄπο* Fr. Inc. 32. 6.

Νήϊος. *ἄνδρες νήϊοι* S. 700.

Νήϊτος. *πύλαισι Νηΐτῃσι προσβαλεῖν λόχον* T. 442.

Νηλεῶς. *τυθείσης νηλεῶς ὁμοσπόρου* C. 240.

Νηλής. *ἀεί τε δὴ νηλὴς συ, καὶ θράσους πλέως* V. 42.

Νημερτής. *εἴσῃ πάντα νημερτῆ λόγον* P. 243.

Νήνεμος. *εὖτε πόντος ἐν μεσημβριναῖς κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσὼν* A. 552. *φρόνημα νηνέμου γαλάνας* A. 720.

Νήπιος. *νηπίους ὄντας τὸ πρὶν ἔννους ἔθηκα* V. 441.

Νηρηίς. *δέσποινα πεντήκοντα Νηρεΐδων χοροῦ* Fr. Arm. Jud. 3.

Νῆσος. *νῆσος Αἴαντος* P. 299. *ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα* P. 301. *νῆσον Αἴαντος πέριξ* P. 360. *νῆσός τίς ἐστι πρόσθε Σαλαμῖνος τόπων* P. 439. *κυκλοῦντο πᾶσαν νῆσον* P. 450. *ὅταν νεῶν φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο* P. 443. *μεγὰν δὲ πανὸν ἐκ νήσου τρίτον Ἄθωον αἶπος Ζηνὸς ἐξεδέξατο* A. 275.

Νῆστις. *πλανᾷ τε νῆστιν ἀνὰ τὰν παραλίαν ψάμμον* V. 573. *σκιρτημάτων δὲ νήστισιν αἰκίαις λαβρόσυτος ἦλθον* V. 602. *πνοαὶ νήστιδες* A. 186. *νυκτίπλαγκτος ἐκ μάχης πόνος νῆστις πρὸς ἀρίστοισιν* A. 322. *νῆστιν ὤλεσεν νόσον* A. 988. *νήστιδες δύαι* A. 1604. *νῆστις πιέζει λιμὸς* C. 248.

Νηφάλιος *χοὰς ἀοίνους, νηφάλια μειλίγματα* E. 107.

Νικᾷν. *ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾷ τόδε* S. 230. *νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμὼν* A. 305. *ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείου στρατοῦ νικᾷ τὸ κέρδος* A. 560. *νικᾷ δ' Ὀρέστης, κἂν ἰσόψηφος κριθῇ* E. 711. *αἴλινον, αἴλινον εἰπὲ, τὸ δ' εὖ νικάτω* A. 120. *μέμνησο, μὴ φόβος σε νικάτω φρένας* E. 88. *τί δρᾷς; ἀνίστω· μή σε νικάτω πόνος* E. 128. *νικᾷ δ' ἀγαθῶν ἔρις ἡμετέρα διὰ παντὸς* E. 931. *εἰδῶμεν, ἢ νικῶμεν, ἢ νικώμεθα* C. 877. *κρίνω σε νικᾷν, καὶ παραινεῖς μοι καλῶς* C. 890. *ὅρκοις τὰ μὴ δίκαια μὴ νικᾷν λέγω* E. 410. *πότερον τόξου ῥῦμα τὸ νικῶν;* P. 143. *ἴσχε, μὴ φόβου νικῶν πολὺ* C. 1048. *εἴτ' οὖν κομίζειν δόξα νικήσει φίλων* C. 672. *νικήσω δ' ἐγὼ* E. 692. *χειρὶ νικήσαντ' ἐμοῦ ἄρχειν* A. 1398. *ἱμέρου νικώμενος* S. 983. *νικώμενοι κύρισσον ἰσχυρὰν χθόνα* P. 302. *οὔπω τις οἶδε Ζῆνά που νικώμενον* T. 496. *ὕπνῳ νικώμενος* A. 282. *κέρδεσιν νικωμένους* A. 333. *νικώμενος λόγοισιν οὐκ ἀναίνομαι* A. 569. *φροντίς οὐχ ὕπνῳ νικωμένη* A. 886. *φέρουσι γὰρ νικώμενον φρένες δύσαρκτοι* C. 1019. *τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει* A. 915. *οὐ γὰρ νενίκησθ'* E. 761.

Νίκη. *εἴη δὲ νίκη καὶ κράτη τοῖς ἄρσεσιν* S. 929. *νίκην γε μέντοι καὶ κακὴν τιμᾷ θεὸς* T. 698. *νίκη δ' ἐπείπερ ἕσπετ' ἐμπέδως μένοι* A. 827. *ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;* A. 916. *πέμπετ' ἀρωγὴν παισὶν προφρόνως ἐπὶ νίκην* C. 471. *εἴη δ' ἐπὶ νίκῃ* C. 855 *ἄζηλα νίκης τῆσδ' ἔχων μιάσματα* C. 1012. *ὁποῖα νίκης μὴ κακῆς ἐπίσκοπα* E. 863.

Νικηφόρος. *σὺν θεοῖσι καὶ γῇ καὶ δίκῃ νικηφόρῳ* C. 146. *μὴ τυχοῦσαι πράγματος νικηφόρου* E. 455. *πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις, σωτήριόν τε καὶ δορὸς νικηφόρον* E. 747.

Νίπτρα. *νίπτρα χρὴ φέρειν* Fr. Sis. 1.

Νιφάς. *νιφάδος ὅτ' ὀλοᾶς νιφομένης βρόμος ἐν πύλαις* T. 194. *λευκο-*

πτέρῳ δὲ νιφάδι καὶ βροντήμασιν χθονίοις κυκάτω πάντα V. 995. νιφάδι στρογγύλων πέτρων ὑπόσκιον θήσει χθόνα Fr. Prom. Sol. 6. 7.

Νίφεσθαι. νιφάδος ὅτ' ὀλοᾶς νιφομένης βρόμος ἐν πύλαις T. 194.

Νο S. 807.

Νομάς. Ἰνδοὺς νομάδας S. 281. Σκύθας ἀφίξῃ νομάδας V. 711.

Νομίζειν. ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν P. 165. κοινὸν γὰρ ἔχθος ἐν δόμοις νομίζομεν C. 99. οἵ τ' ἔσωθε δωμάτων πλουτογαθῆ μυχὸν νομίζετε C. 790. ὅ τι δ' ἂν ποιῇς δεινὸν, νόμιζ' ὁρᾶν τινα Fr. 4. 5. θεοὺς τὸ πρὶν νομίζων οὐδαμοῦ P. 490. ἀργυροστερῆ βίον νομίζων C. 997. ἔχεις παρ' ἡμῶν οἵαπερ νομίζεται A. 1016. ὡς νομίζεται E. 32. ὅπου τὸ χαίρειν μηδαμοῦ νομίζεται E. 401.

Νόμιμος. κλαυτὸν δ' ἀρτιτρόποις, ὠμοδρόπων νομίμων προπάροιθεν διαμεῖψαι δωμάτων στυγερὰν ὁδὸν T. 316.

Νόμισμα. Ἑλληνικὸν νόμισμα θυστάδος βοῆς T. 251. νομίσματα πύργινα πάντ' ἐπεύθυνον P. 845.

Νόμος. νόμῳ πόλεως φάσκοντες ἐγγύτατα γένους εἶναι S. 383. ὃς πολίῳ νόμῳ αἶσαν ὀρθοῖ S. 658. ἐπηλάλαξαν ἀραὶ τὸν ὀξὺν νόμον T. 935. ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ ἀχέτας ὑπνοδόταν νόμον V. 575. γυναικείῳ νόμῳ ὀλολυγμὸν ἄλλος ἄλλοθεν κάτα πτόλιν ἔλασκον A. 580. ἀμφὶ δ' αὐτᾶς θροεῖς νόμον ἄνομον A. 1113. ἦ καὶ τέκνων ἐς ἔργον ἤλθετον νόμῳ; A. 1180. νόμος βροτοῖς ἔστ' C. 91. ὑμᾶς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος C. 148. ἀλλὰ νόμος μὲν φονίας σταγόνας χυμένας ἐς πέδον ἄλλο προσαιτεῖν αἷμα C. 394. θῆλυν οὐριοστάταν ὁμοῦ κρεκτὸν γοήτων νόμον μεθήσομεν πόλει C. 810. ἔχει γὰρ, αἰσχυντῆρος ὡς νόμου, δίκην C. 984. παρὰ νόμον θεῶν βρότεα μὲν τίων E. 164. ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος E. 426. φιλόδυρτος Ἰαονίοισι νόμοισι δάπτω τὰν ἁπαλὰν νειλοθερῆ παρειὰν S. 66. Ἑρμῆς ὅδ' ἄλλος τοῖσιν Ἑλλήνων νόμοις S. 217. κατὰ νόμους ἀφικτόρων S. 237. νεοχμοῖς δὲ δὴ νόμοις Ζεὺς ἀθέτως κρατύνει V. 150. Ζεὺς δ' ἰδίοις νόμοις κρατύνων V. 402. τοιοίδ' ἕτοιμοι λαμπαδηφόρων νόμοι A. 303. ὀρθίοις ἐν νόμοις A. 1124. ἔκοψε κομμὸν Ἄρειον, εἴτε [Κισσίας νόμοισι πολεμιστρίας C. 418. σέβει τοι Ζεὺς τόδ' ἐκ νόμων σέβας E. 93. αὐτῶν πολιτῶν μὴ 'πικαινούντων] νόμους E. 663. ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους καθιππάσασθε E. 748.

Νόος. ἐπικότως ἀεὶ θέμενος ἄγναμπτον νόον V. 163. ᾗ δὴ κλύων ἐκεῖνος εὐφρανεῖ νόον C. 731.

Νοσεῖν. νυσοῖμ' ἂν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν V. 980. ἔα με τῇδε τῇ νόσῳ νοσεῖν V. 384. ὀργῆς νοσούσης εἰσὶν ἰατροὶ λόγοι V. 378. τοῖς νοσοῦσί τοι γλυκὺ τὸ λοιπὸν ἄλγος προὐξεπίστασθαι τορῶς V. 700.

Νόσημα. ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι νόσημα V. 224. νόσημα γὰρ αἴσχιστον εἶναί φημι συνθέτους λόγους V. 688. νοσοῖμ' ἂν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν V. 980.

Νόσος. πῶς τάδ' οὐ νόσος φρενῶν εἶχε παῖδ' ἐμόν; P. 736. τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου; V. 249. ἔα με τῇδε τῇ νόσῳ νοσεῖν V. 384. ἐς νόσον πεσὼν, ἀθυμεῖς V. 471. εἴ τις εἰς νόσον πέσοι V. 476. θεόσυτον νόσον ὠνόμασας V. 599. τί φάρμακον νόσου; V. 609. τὴν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον V. 635. θαλασσίαν τε γῆς τινάκτειραν νόσον τρίαιναν V. 926. κλύω σ' ἐγὼ μεμηνότ' οὐ μικρὰν νόσον V. 979. οὐκ ἔστι νόσος τῆσδ' ἥντιν' ἀπέπτυσα μᾶλλον V. 1071. τερπνῆς ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου; A. 528. δύσφρων γὰρ ἰὸς καρδίαν προσήμενος ἄχθος διπλοΐζει τῷ πεπαμένῳ νόσον A. 809. πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου A. 824. νόσος γάρ— A. 975. ὤλεσεν νόσον A. 988. διαλγὴς ἄτη διαφέρει τὸν αἴτιον παναρκέτας νόσου βρύειν C. 67. λευκὰς δὲ κόρσας τῷδ' ἐπαντέλλειν νόσῳ C. 280. μηδ' ἄκαρπος αἰανὴς ἐφερπέτω νόσος E. 903. ὕδωρ τὸ Νείλου νόσοις ἄθικτον S. 556. τίς γὰρ ἂν κατέπαυσεν Ἥρας νόσους ἐπιβούλους; S. 582. αἷς τὰς ἁπάσας ἐξαμύνονται νόσους V. 481. νόσοι σαρκῶν ἐπαμβατῆρες C. 277.

Νόστιμος. νόστιμον βλέπω φάος P. 255. στρατὸς κυρήσει νοστίμου σω-

τηρίας P. 784. νόστιμος σωτηρία A. 334. 1211. εἰ νόστιμός γε καὶ σεσωσμένος πάλιν ἥξει ξὺν ὑμῖν A. 604.

Νόστος. ἀμφὶ δὲ νόστῳ τῷ βασιλείῳ κακόμαντις ἄγαν ὀρσολοπεῖται θυμὸς ἔσωθεν P. 8. τοὺς ἐμοὶ μεταιτίους νόστου A. 786. πεύθομαι δ' ἀπ' ὀμμάτων νόστον A. 961. ἐκ πολέμων νόστοι P. 846. πρόσφθογγόν σοι νόστου βοὰν P. 898.

Νοσφίζειν. καὶ τὰ τοῦδ' ἐνόσφισε T. 968. γυναικὸς ἥτις ἄνδρα νοσφίσῃ E. 202. ἔπειτ' ἐγὼ νοσφίσας ὀλοίμαν C. 432. Νίσον ἀθανάτας τριχὸς νοσφίσασ' C. 611. μέμνησο λουτρῶν οἷς ἐνοσφίσθης, πάτερ C. 484.

Νόσφιν. νόσφιν ἡγητῶν S. 236.

Νοτίζειν. δένδρων δέ τις ὥρ' ἐκ νοτίζοντος γάμου τέλειός ἐστι Fr. Dan. 1. 6.

Νότιος. παρειὰν νοτίοις ἔτεγξα παγαῖς V. 400.

Νότος. Διὸς Νότος A. 1364. Αἴγινα δ' αὐτὴ πρὸς Νότου κεῖται πνοὰς Fr. Inc. 87.

Νουθετεῖν. παραινεῖν νουθετεῖν τε τοὺς κακῶς πράσσοντας V. 264.

Νοῦς. γέροντα τὸν νοῦν, σάρκα δ' ἡβῶσαν φέρει T. 604. στέλλου, κομίζου, σῶζε τὸν παρόντα νοῦν V. 392.

Νοῦσος. νούσων δ' ἑσμὸς ἀπ' ἀστῶν ἵζοι κράτους ἀτερπὴς S. 667.

Νυκτερός. νυκτεροῖς ὀνείρασι ξύνειμι P. 172. ἐλπίς ἐστι νυκτερὸν τέλος μολεῖν T. 349. ἡ νυκτερὸς μήνη V. 799. ἄστρων κάτοιδα νυκτέρων ὁμήγυριν A. 4.

Νυκτηγορεῖσθαι. λέγει μεγίστην προσβολὴν 'Αχαΐδα νυκτηγορεῖσθαι T. 29.

Νυκτηρεφής. μένει δ' ἀκοῦσαί τί μου μέριμνα νυκτηρεφὲς A. 447.

Νυκτίπλαγκτος. νυκτίπλαγκτον ἔνδροσόν τ' ἔχω εὐνὴν A. 12. νυκτίπλαγκτος ἐκ μάχης πόνος A. 321. νυκτιπλάγκτων δειμάτων πεπαλμένη C. 517. νυκτίπλαγκτον ὀρθίων κελευσμάτων C. 740.

Νυκτίσεμνος. νυκτίσεμνα δεῖπνα E. 106.

Νυκτίφοιτος. νυκτίφοιτ' ὀνείρατα V. 660.

Νυκτιφρούρητος. δαμέντες νυκτιφρουρήτῳ θράσει V. 864.

Νύμφη. νεογάμου νύμφης δίκαν A. 1152. σέβω δὲ νύμφας, ἔνθα Κωρυκὶς πέτρα κοίλη E. 22.

Νυμφικός. νυμφικῶν ἐδωλίων C. 69.

Νύμφιος. παράνοια σύναγε νυμφίους φρενώλεις T. 739.

Νυμφόκλαυτος. νυμφόκλαυτος 'Ερινὺς A. 729.

Νυμφότιμος A. 688.

Νυν. βόα νυν ἀντίδουπά μοι P. 997. 1005. 1023. ὅρα νυν, εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται V. 999. μή νυν τὸν ἀνθρώπειον αἰδεσθεὶς ψόγον— A. 911. κλῦθί νυν, ὦ πάτερ C. 329.

Νῦν. νῦν ἔχων παλίντροπον ὄψιν ἐν λιταῖσι S. 164. τἀπὶ χέρσου νυν προμήθειαν λαβεῖν αἰνῶ φυλάξαι S. 175. μὴ νῦν σχόλαζε S. 204. καὶ Ζηνὸς ὄρνιν τόνδε νῦν κικλήσκετε S. 209. ἐλευθέροις νῦν ἐσθλὰ κηρυκευέτω S. 218. τὸ πάνσοφον νῦν ὄνομα τοῦτό μοι φράσον S. 315. λευρὸν κατ' ἄλσος νῦν ἐπιστρέφου τόδε S. 503. μέτριον νῦν ἔπος εὔχου S. 1045. δαίμων παλαιὸς νῦν μεθέστηκεν στρατοῦ P. 154. μεγέθει τε τῶν νῦν εὐπρεπεστάτα πολὺ P. 180. τοιῶνδέ γ' ἀρχῶν νῦν ὑπεμνήσθην πέρι P. 321. νῦν ὑπὲρ πάντων ἀγὼν P. 397. εὖ νῦν τόδ' ἴσθι P. 427. ὦ Ζεῦ βασιλεῦ, νῦν Περσῶν—στρατιὰν ὀλέσας P. 524. νῦν γὰρ πρόπασα μὲν στένει γαῖα P. 540. νῦν τέ σε ζηλῶ θανόντα P. 698. νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι φίλοις P. 729. ὁ μείνας νῦν ἐν 'Ελλάδος τόποις στρατὸς P. 782. τὰ νῦν πεπραγμένα P. 787. Σαλαμῖνα τᾶς νῦν ματρόπολις τῶνδ' αἰτία στεναγμῶν P. 864. οὓς νῦν δαίμων ἀπέκειρεν P. 885. ἐπορθίαζε νῦν γόοις P. 1007. καὶ νῦν μὲν ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεὸς T. 21. πότ', εἰ μὴ νῦν; T. 98. μὴ νῦν ἀκούουσ' ἐμφανῶς ἄκου' ἄγαν T. 228. Vide sis etiam S. 40. 49. 625. P. 871. T. 10. 24. 173. 224. 257. 399. 637. 651. 687. 690. 772. V. 47. 61. 64. 76. 82. 151. 157. 253. 275. 279. 313. 325. 362. 469. 505. 593. 703. 742. 757. 917. 922. 960. A. 8. 20. 67. 270. 494. 498. 518. 536. 577. 584. 657. 779. 792. 825. 869. 1001. 1083. 1132. 1248. 1311. 1386.

1560. C. 56. 115. 130. 212. 261. 675. 685. 687. 712. 714. 715. 752. 759. 763. 772. 844. 870. 895. 970. 987. 1009. 1030. 1069. E. 30. 67. 116. 243. 277. 384. 408. 569. 716. 996. 999.

Νύξ. ἐς νύκτ' ἀποστείχοντος ἡλίου S. 750. φιλεῖ ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ σοφῷ S. 751. ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω P. 196. λευκὸν ἦμαρ νυκτὸς ἐκ μελαγχίμου P. 293. εἰ μελαίνης νυκτὸς ἵξεται κνέφας P. 349. νὺξ ἐπῄει P. 370. νὺξ ἐχώρει P. 376. ἕως κελαινῆς νυκτὸς ὄμμ' ἀφείλετο P. 419. νυκτὶ δ' ἐν ταύτῃ θεὸς χειμῶν' ἄωρον ὦρσε P. 487. ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐνυπνίων P. 510. πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμὸς T. 372. νύκτα ταύτην ἣν λέγεις ἐπ' ἀσπίδος ἄστροισι μαρμαίρουσαν οὐρανοῦ τυχεῖν T. 382. εἰ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι T. 385. ἀσμένῳ δέ σοι ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος V. 24. ὦ χαῖρε, λαμπτὴρ νυκτὸς A. 22. ὦ Ζεῦ βασιλεῦ, καὶ νὺξ φιλία A. 346. ἐν νυκτὶ δυσκύμαντα δ' ὠρώρει κακὰ A. 639. τοὺς δ' ἄκραντος ἔχει νὺξ C. 63. τάχυνε δ', ὡς καὶ νυκτὸς ἅρμ' ἐπείγεται σκοτεινὸν C. 649. ἄσκοπόν τ' ἔπος λέγων, νύκτα πρό τ' ὀμμάτων σκότον φέρει C. 804. μάταιος ἐκ νυκτῶν φόβος C. 286. ὦ μᾶτερ Νὺξ E. 312. 808. ἡμεῖς γάρ ἐσμεν Νυκτὸς αἰανῆς τέκνα E. 394. ὦ Νὺξ μέλαινα μᾶτερ, ἆρ' ὁρᾷς τάδε; E. 715. κόραι δυστυχεῖς Νυκτὸς E. 760. βᾶτε δόμῳ μεγάλοι φιλότιμοι Νυκτὸς παῖδες E. 987.

Νύχιος. νυχίαν πλάκα P. 914. ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρὸς A. 574. χθόνιον Ἑρμῆν καὶ τὸν νύχιον C. 716.

Νωθής. ἵνα μάθῃ σοφιστὴς ὢν Διὸς νωθέστερος V. 62.

Νωμᾶν. πᾶν δ' ἐπὶ τέρμα νωμᾷ A. 756. πολύπονον δόρυ νωμῶν P. 312. οἴακα νωμῶν T. 3. σχέδιά τ' αὐτόκωπα νωμῶν βέλη C. 161. ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὀφρὺν C. 283. Σφίγγ' ὠμόσιτον προσμεμηχανευμένην γόμφοις ἐνώμα T. 524.

Νώνυμος. βεβᾶσιν, οἴ, νώνυμοι P. 964.

Νωτίζειν. πόντον ὥστε νωτίσαι A. 277.

Νῶτον. πίπτει δ' ἀσφαλές, οὐδ' ἐπὶ νώτῳ S. 85. ὃς αἰὲν ὑπείροχον σθένος κραταιὸν οὐράνιόν τε πόλον νώτοις ὑποστενάζει V. 428.

Ξ.

Ξάνθος. ποθοῦμεν Μάρδων ἀνδρῶν μυριόνταρχον Ξάνθον P. 956.

Ξεῖνος. πικρὸς λυτὴρ νεικέων ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθεὶς θηκτὸς σίδαρος T. 924.

Ξενικός. ξενικὸν ἀστικόν θ' ἅμα λέγων διπλοῦν μίασμα πρὸ πόλεως φανὲν E. 613.

Ξένιον. ξένια παρέσχε δαῖτα παιδείων κρεῶν A. 1572.

Ξένιος. Ζεὺς δ' ἐφορεύοι ξένιος ξενίου στόματος τιμὰς ἐπ' ἀληθείᾳ S. 623. Ζῆνα μέγαν σεβόντων, ξένιον ὑπέρτατον S. 657. Ἀτρέως παῖδας ὁ κρείσσων ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος Ζεὺς A. 61. διά τοι ξένιον μέγαν αἰδοῦμαι τὸν τάδε πράξαντ' ἐπ' Ἀλέξανδρον τείνοντα πάλαι τόξον A. 353. ᾔσχυνε ξενίαν τράπεζαν κλοπαῖσι γυναικὸς A. 390. πομπᾷ Διὸς ξενίου A. 728.

Ξένος. μέμνησο δ' εἴκειν, χρεῖος εἶ ξένη φυγὰς S. 199. τὰ χρεῖ' ἔπη ξένους ἀμείβεσθ' S. 192. ἄπιστα μυθεῖσθ', ὦ ξέναι, κλύειν ἐμοὶ S. 274. στείχοιτ' ἄν, ἄνδρες, εὖ γὰρ ὁ ξένος λέγει S. 495. ξένοισιν εὐξυμβόλους S. 682. ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι S. 895. ξένος δὲ κλήρους ἐπινωμᾷ Χάλυβος Σκυθῶν ἄποικος T. 709. ὡς ἐρξάτην πολλὰ μὲν πολίτας, ξένων τε πάντων στίχας T. 907. οὔπωποτ' ἠύχουν ξένους μολεῖσθαι λόγους εἰς ἀκοὰν ἐμὰν V. 691. ἀνήμεροι γὰρ οὐδὲ πρόσπλαστοι ξένοις V. 718. τὴν ξένην δὲ πρευμενῶς τήνδ' ἐσκόμιζε A. 924. ἑρμηνέως ἔοικεν ἡ ξένη τοροῦ

δεῖσθαι A. 1032. ἔοικεν εὖρις ἡ ξένη κυνὸς δίκην εἶναι A. 1064. οὐκ ἔστ' ἄλυξις, ὦ ξέναι, χρόνῳ πλέων A. 1272. ἰὼ ξένοι A. 1288. ἀλλ' ἦ δόλον τιν', ὦ ξέν', ἀμφί μοι πλέκεις; C. 218. ξένῳ γὰρ εἰκὼς παντελῆ σάγην ἔχων ἥξω C. 552. ξένος τε καὶ δορύξενος δόμων C. 555. ποδαπὸς ὁ ξένος; C. 568. ὥρα δ' ἐμπόρους μεθιέναι ἄγκυραν ἐν δόμοισι πανδόκοις ξένων C. 651. ξένοι, λέγοιτ' ἄν, εἴ τι δεῖ C. 657. ξένος μέν εἰμι Δαυλιεὺς ἐκ Φωκέων C. 662. ἐπείπερ ἄλλως, ὦ ξέν', εἰς Ἄργος κίεις C. 669. ἐγὼ μὲν οὖν ξένοισιν ὧδ' εὐδαίμοσιν κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον γνωστὸς γενέσθαι C. 689. τί γὰρ ξένου ξένοισίν ἐστιν εὐμενέστερον; C. 692. ἀλλ' ἔσθ' ὁ καιρὸς ἡμερεύοντας ξένους μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα C. 699. ἔοικεν ἀνὴρ ὁ ξένος τεύχειν κακὸν C. 719. Αἴγισθον ἡ κρατοῦσα τοὺς ξένους καλεῖν ὅσον τάχιστ' ἄνωγε C. 723. φήμης ὑφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς C. 730. νέαν φάτιν δὲ πεύθομαι λέγειν τίνας ξένους μολόντας C. 828. ἠκούσαμεν μέν, πυνθάνου δὲ τῶν ξένων ἔσω παρελθὼν C. 835. ἔχρησας ὥστε τὸν ξένον μητροκτονεῖν E. 193. εἴ τις ἄλλος ἤλιτεν βροτῶν, ἢ θεὸν ἢ ξένον τιν' ἀσεβῶν E. 260. πᾶσί τ' ἐς κοινὸν λέγω, βρέτας τε τοὐμὸν τῷδ' ἐφημένῳ ξένῳ E. 387. τί πρὸς τάδ' εἰπεῖν, ὦ ξέν', ἐν μέρει θέλεις; E. 414. ἡ δ' ἅπερ ξένῳ ξένη ἔσωσεν ἔρνος E. 630. ἐν δὲ καρδίᾳ ψῆφον φέροντες, ὅρκον αἰδεῖσθε, ξένοι E. 650. πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι E. 718. τῷ δὲ ξένῳ γε στέφανον ἀρχαῖον στέφος δεσμῶν ἄριστος Sphinx 1. 1.

Ξενότιμος. καὶ ξενοτίμους ἐπιστροφὰς δωμάτων αἰδόμενός τίς ἔστω E. 518.

Ξενοῦν. ξένοισιν ἤθελον γνωστὸς γενέσθαι καὶ ξενωθῆναι C. 691. οὐ γὰρ ξενοῦμαι τοὺς θεῶν συλήτορας S. 905.

Ξέρξης. οὓς αὐτὸς ἄναξ Ξέρξης βασιλεὺς Δαρειογενὴς εἵλετο χώρας ἐφορεύειν P. 5. πῶς ἄρα πράσσει Ξέρξης βασιλεὺς Δαρειογενής; P. 140. μῆτερ ἡ Ξέρξου γεραιὰ P. 152. τὸν δ' ὅπως ὁρᾷ Ξέρξης, πέπλους ῥήγνυσιν ἀμφὶ σώματι P. 195. Ξέρξης μὲν αὐτὸς ζῇ τε, καὶ φάος βλέπει P. 291. Ξέρξῃ δέ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν, ὧν ἦγε, πλῆθος P. 333. Ξέρξης δ' ἀνῴμωξεν, κακῶν ὁρῶν βάθος P. 457. Ξέρξης μὲν ἤγαγεν, ποποῖ, Ξέρξης δ' ἀπώλεσεν, τοτοῖ P. 542. θούριος Ξέρξης P. 704. μονάδα δὲ Ξέρξην ἔρημόν φασιν οὐ πολλῶν μέτα P. 720. ταῦτα τοῖς κακοῖς ὁμιλῶν ἄνδρασιν διδάσκεται θούριος Ξέρξης P. 740. Ξέρξης δ' ἐμὸς παῖς ὢν νέος νέα φρονεῖ P. 768. ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη P. 817. γαῖα δ' αἰάζει τὰν ἐγγαίαν ἥβαν Ξέρξᾳ κταμέναν P. 887.

Ξηρός. φίλου γὰρ ἐχθρά μοι πατρὸς τέλει' ἀρὰ ξηροῖς ἀκλαύτοις ὄμμασιν προσιζάνει T. 678.

Ξιφήρης. Ξιφήρους λιμὴν Glauc. Potn. 5.

Ξιφηφόρος. τὰ δ' ἄλλα τούτῳ δεῦρ' ἐποπτεῦσαι λέγω ξιφηφόρους ἀγῶνας ὀρθώσαντί μοι C. 577.

Ξιφοδήλητος. ξιφοδηλήτῳ θανάτῳ τίσας ἅπερ ἦρξεν A. 1510. ἐφοδεῦσαι ξιφοδηλήτοισιν ἀγῶσιν C. 718.

Ξίφος. δίθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος V. 865. ἐμοὶ δ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ καὶ πρᾶγμ' ἐλέγχειν ξὺν νεορρύτῳ ξίφει A. 1324. εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω A. 1636. τὸ δ' ἀγχὶ πλευμόνων ξίφος διανταίαν ὀξυπευκὲς οὐτᾷ διαὶ Δίκας C. 630. μαρτυρεῖ δέ μοι φᾶρος τόδ' ὡς ἔβαψεν Αἰγίσθου ξίφος C. 1006. νεοσπαδὲς ξίφος ἔχοντα E. 42. ἐκάμπτετο ξίφος Thr. 1. αὐτόθηκτον Εὐβοϊκὸν ξίφος λαβὼν Fragm. I. 81.

Ξουθός. οἷά τις ἀηδὼν ξουθὰ A. 1113. ξουθὸς ἱππαλεκτρύων Fr. Myrm. 12.

Ξυγγενής. τό τε γάρ με, δοκῶ, ξυγγενὲς οὕτω ἐσαναγκάζει V. 289. ξυγγενὴς ὤν, εἶχε συμπενθεῖν ἐμοὶ ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρὸς C. 197.

Ξυγγίγνεσθαι. σέ τοι λέγω, ξυγγενοῦ, πάτερ, φίλοις C. 449. ἄκουσον ἐς φάος μολών, ξὺν δὲ γενοῦ πρὸς ἐχθροὺς C. 452.

Ξυγκαθεύδειν. καί, ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρὸς, τούτῳ θανοῦσα ξυγκάθευδε C. 893.

Ξυγκαταβαίνειν. νῦν γὰρ ἀκμάζει πειθὼ δολία ξυγκαταβῆναι χθόνιον δ'

Ἑρμῆν καὶ τὸν νύχιον τοῖσδ᾽ ἐφοδεῦσαι ξιφοδηλήτοισιν ἀγῶσιν C. 716.

Ξυγχαίρειν. καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς ἀγέλαστα πρόσωπα βιαζόμενοι A. 767.

Ξύζυγος. ξυζύγους δ᾽ ὁμαυλίας θηλυκρατὴς ἀπέρωτος ἔρως παρανικᾷ κνώδαλων τε καὶ βροτῶν C. 591.

Ξυλλαμβάνειν. ξυλλάβοι δ᾽ ἐνδίκως παῖς ὁ Μαίας ἐπιφορώτατος πρᾶξιν οὐρίαν θέλων C. 799.

Ξυλόν. ποῦ δ᾽ ἔστιν Ἄργαυς ἱερὸν αὔδασον ξύλον; Fragm. Inc. 54.

Ξυλουργία. οὔτε πλινθυφεῖς δόμους προσείλους ἦσαν, οὐ ξυλουργίαν V. 449.

Ξυμβάλλειν. Ἄρης Ἄρει ξυμβάλοι, Δίκᾳ Δίκη C. 453. φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος C. 1007.

Ξυμβολεῖν. ξυμβολεῖ φέρων φέροντι, καὶ κενὸς κενὸν καλεῖ T. 334.

Ξύμβολον. ξυμβόλοισιν οὐ πολυστομεῖν χρεὼν ναύτην ἄγοντας τόνδ᾽ ἐφέστιον θεῶν S. 497. τερπνὰ τούτων αἰτεῖ ξύμβολα κρᾶναι A. 142. τέκμαρ τοιοῦτον ξύμβολόν τε σοὶ λέγω A. 306.

Ξύμβουλος. καὶ μὴν βαρεῖαν τήνδ᾽ ὁμιλίαν χθονὸς ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι E. 682.

Ξύμμαχος. ἀλλ᾽ ἡ δίκη γε ξυμμάχων ὑπερστατεῖ S. 338. ξύμμαχον δ᾽ ἑλόμενος δίκαν κρῖνε σέβας τὸ πρὸς θεῶν S. 390. ὦ μέλεος, οἵαν ἄρ᾽ ἥβην ξυμμάχων ἀπώλεσεν P. 719. αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει P. 778. σωτὴρ γενοῦ μοι, ξύμμαχός τ᾽ αἰτουμένῳ C. 2.

Ξύμμετρος. ξύμμετρον δ᾽ ἔπος λέγω E. 505.

Ξύμπας. ξύμπαντά τ᾽ εἰπὼν θεοφιλεῖς ἐμὰς τύχας Παιὼν ἐπευφήμησε Psych. 1. 3.

Ξυμπέμπειν. ὀπάονάς τε φράστοράς τ᾽ ἐγχωρίων ξύμπεμψον S. 488.

Ξυμπίπτειν. θνατῶν τοῖσιν αὐτουργίαι ξυμπέσωσιν μάταιοι E. 323.

Ξυμπίτνειν. βοᾷ δὲ πόντιος κλύδων ξυμπιτνῶν, στένει βυθὸς V. 430.

Ξυμπολίτης. ξυμπολίταις ἄνδρασιν, δίκαιος ὢν ἐχθροξένοις τε καὶ θεῶν ἀμνήμοσι, ταὐτοῦ κυρήσας ἐκδίκως ἀγρεύματος T. 587.

Ξυμφέρειν. καλῶς γ᾽ ἂν ἡμῖν ξυμφέροι ταῦτ᾽, ὦ τέκνα S. 734. ὑμᾶς δὲ χρὴ ᾽πὶ τοῖσδε τοῖς πεπραγμένοις, πιστοῖσι πιστὰ ξυμφέρειν βουλεύματα P. 520. ὀργὰς ξυνοίσω σοὶ E. 810. ξυνοίσετον δὲ πολεμίους ἐπ᾽ ἀσπίδος θεοὺς T. 492.

Ξυμφορά. τοιάδ᾽ ἐπ᾽ αὐτοῖς ἦλθε συμφορὰ πάθους P. 428. ποίᾳ ξυμφορᾷ προσεικάσω C. 12. μηδέ τις κικλησκέτω ξυμφορᾷ τετυμμένος ταῦτ᾽ ἔπη θροούμενος E. 485. στολμοὶ πέπλων ἀγελάστοις συμφοραῖς πεπληγμένων C. 31. λέξας δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς τὰς σὰς, ἔπειτα τόνδ᾽ ἀμυνάθου ψόγον E. 415.

Ξύμφρων. Ἑλλάδος ἥβας ξύμφρονα ταγὰν A. 110.

Ξύν. ξὺν ὄχῳ ταχυήρει πέμπετε πόντονδε S. 32. πάντα τοι φλεγέθει, μελαίνᾳ ξὺν τύχᾳ, μερόπεσσι λαοῖς S. 83. πολλάκι δ᾽ ἐμπιτνῶ ξὺν λακίδι, λίνοισιν, ἢ Σιδονίᾳ καλύπτρᾳ S. 113. ξὺν ἵπποις καμπύλοις τ᾽ ὀχήμασι S. 180. ξὺν φρονοῦντι δ᾽ ἥκετε πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρὶ S. 173. τεθυμένος ὠμῇ ξὺν ὀργῇ τόνδ᾽ ἐπόρνυται στόλον S. 184. ξὺν ἀσυλίᾳ βροτῶν S. 605. ἄτιμον εἶναι ξὺν φυγῇ δημηλάτῳ S. 609. δεσποσίῳ ξὺν ὕβρει S. 825. ξὺν τ᾽ εὐκλείᾳ καὶ ἀμηνίτῳ βάξει λαῶν ἐν χώρῳ τάσσεσθε S. 954. ξὺν εὐχαῖς ἐμαῖς S. 1058. ἤιξ᾽ ἀκόσμῳ ξὺν φυγᾷ P. 462. τὸν δὲ σὺν δόλῳ Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις ξὺν ἀνδράσιν φίλοισιν P. 763. πέποιθα δ᾽ αὐτῷ ξὺν δίκᾳ τὸν πυρφόρον ἥξειν κεραυνὸν T. 426. ξὺν βοῇ παρίσταται T. 469. βαρεῖα δ᾽ ἀστῶν φάτις ξὺν κότῳ A. 444. δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν εἰκὸς μάλιστα, ξὺν δὲ πλουτίζειν ἐμὲ A. 572. νόστιμός γε καὶ σεσωσμένος πάλιν ἥξει ξὺν ὑμῖν A. 605. τὰ δ᾽ ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη θήσει δικαίως ξὺν θεοῖς εἱμαρμένα A. 887. πρᾶγμ᾽ ἐλέγχειν ξὺν νεορρύτῳ ξίφει A. 1324. ἐς τόνδ᾽ ἐσέβης ξὺν ἀληθείᾳ χρησμὸν A. 1548. εἰ ξὺν λοχίταις, εἴτε καὶ μονοστιβῆ C. 757. φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται C. 1007. ἄλλος φανεῖ δῆτ᾽, οὐ γὰρ οἶδ᾽ ὅπη τελεῖ, ὥσπερ ξὺν ἵπποις ἡνιοστρόφου δρόμου ἐξωτέρω C. 1018. ξὺν

τῷδε θαλλῷ καὶ στέφει προσίξομαι μεσόμφαλόν θ' ἵδρυμα C. 1031. ξὺν ᾧ σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν ἔθηκας E. 435. τὰ πολλὰ παντόφυρτ' ἄνευ δίκης βιαίως ξὺν χρόνῳ καθήσειν E. 525. ξὺν διπλοῖσιν ἐμβρύοις E. 905. ξὺν προσπόλοισιν E. 978.

Ξυναινεῖν. γυναικὸς αἰχμᾷ πρέπει, πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι A. 472. ξυναινέσασα Λοξίαν ἐψευσάμην A. 1181.

Ξυναίτιος. ἀλλ' ἄρκυς ἡ ξύνευνος, ἡ ξυναιτία φόνου A. 1087.

Ξυναλλάσσειν. φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς δίκαιον ἄνδρα τοῖσδε δυσσεβεστέροις T. 579.

Ξυναμπέχειν. ἦπου τι σεμνόν ἐστιν, ὃ ξυναμπέχεις; V. 519.

Ξυνανύτειν. ἅτε καὶ δορία πτώσιμος ξυνανύτει βίου δύντος αὐγαῖς A. 1094.

Ξυνάπτεσθαι. ὧδ' ἔχει, γνώμης δὲ πού τις δαιμόνων ξυνήψατο P. 710.

Ξυναρπάζειν. ξυναρπάζει βίᾳ ἄνευ χαλινῶν P. 191.

Ξυνασχαλᾶν. τίς οὐ ξυνασχαλᾷ κακοῖς τεοῖσι, δίχα γε Διός; V. 161.

Ξυναυλία. ἢ δόσορνις ἅδε ξυναυλία δορὸς T. 821.

Ξυνδικεῖν. φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος, καὶ ξυνδικήσων αὐτὸς E. 549.

Ξύνδικος. ἐγὼ δ' ἀρωγοὺς ξυνδικοὺς θ' ἥξω λαβὼν S. 707.

Ξυνδίκως. λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ A. 1583.

Ξυνεῖναι. πολλοῖς μὲν αἰεὶ νυκτέροις ὀνείρασι ξύνειμι P. 173. ἢ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος Δίκη ξυνοῦσα φωτὶ παντόλμῳ φρένας T. 653.

Ξυνεισβαίνειν. ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ ναύτῃσι θερμοῖς T. 584.

Ξυνεμβολή. εὐθὺς δὲ κώπης ῥοθιάδος ξυνεμβολῇ ἔπαισαν ἅλμην βρύχιον P. 388.

Ξυνέμβολον. χρόνος δ' ἐπεὶ πρυμνησίων ξυνεμβόλοις ψαμμίας ἀκάτας παρήβησεν A. 956.

Ξυνέμπορος. ἐν χρόνῳ μαθὼν ἴσωσον αὐτὸς χοὶ ξυνέμποροι σέθεν S. 917. ἄγ' αὐτὸν εἰς ἀνδρῶνας εὐξένους δόμων, ὀπισθόπους τε τούσδε, καὶ ξυνεμπόρους C. 701. λύπη δ' ἄμισθός ἐστί σοι ξυνέμπορος C. 722.

Ξυνεπαινεῖν. ὥσπερ τε πόλις καὶ τὸ δίκαιον ξυνεπαινεῖ T. 1065.

Ξυνέστιος. θεοὶ ξυνέστιοι πόλεως T. 755. Ζεὺς ξυνέστιος A. 687.

Ξυνεύδειν. ἀμφί σοι πάθη ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου A. 867.

Ξύνευνος. ἀλλ' ἄρκυς ἡ ξύνευνος, ἡ ξυναιτία φόνου A. 1089. πιστὴ ξύνευνος A. 1417.

Ξυνέχειν. τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασιν ξυνειχόμην δύστηνος V. 659.

Ξυνῆλιξ. τόδ' ἴστ' ἐμοὶ ξυνήλικες P. 770.

Ξυνθάλπειν. μηδέ μ' οἰκτίσας ξύνθαλπε μύθοις ψευδέσιν V. 998.

Ξυνθνήσκειν. ξυνώμοσαν μὲν θάνατον ἀθλίως πατρὶ, καὶ ξυνθανεῖσθαι, καὶ τάδ' εὐόρκως ἔχει C. 973. ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες, οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην; A. 1110.

Ξυνιέναι. ξυνῆκας S. 462. οὔπω ξυνῆκα A. 1083. τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν ξυνῆκα, καὶ πέφρικα A. 1216. τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανὴν A. 1226. ξυνῆκα τοὖπος ἐξ αἰνιγμάτων C. 873. οὐ ξυνεὶς δόλον Ἕλληνος ἀνδρὸς P. 353.

Ξυνιστάναι. τοιῷδε φωτὶ τίς ξυστήσεται; T. 417. ἐχθρὸς γὰρ ἀνὴρ ἀνδρὶ τῷ ξυστήσεται T. 491. τούτοις πεποιθὼς εἶμι, καὶ ξυστήσομαι αὐτὸς T. 654.

Ξύννομος. τῶν ἐμῶν λέκτρων γεραὰ ξύννομ' P. 690. κενὸς κενὸν καλεῖ ξύννομον θέλων ἔχειν T. 336.

Ξυνοικεῖν. πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί; C. 896.

Ξυνοικήτωρ. κοίμα κελαινοῦ κύματος πικρὸν μένος, ὡς σεμνότιμος καὶ ξυνοικήτωρ ἐμοὶ E. 797.

Ξυνοικία. μηνεῖται δ' ἄκη δρακονθόμιλον δυσμενῆ ξυνοικίαν S. 270. δέξομαι Παλλάδος ξυνοικίαν, οὐδ' ἀτιμάσω πόλιν E. 876.

Ξύνοικος. τὸν πανώλεθρον θεὸν βαρὺν ξύνοικον θησόμεσθ' ἀλάστορα S. 410. μήτ' ἐν κακοῖσι μήτ' ἐν εὐεστοῖ φίλη ξύνοικος εἴην τῷ γυναικείῳ γένει T. 170. ἀλλ' ὁ δυσφιλὴς σκότῳ λιμὸς ξύνοικος μαλθακὸν σφ' ἐπόψεται

A. 1626. τοιάδε μοι ξύνοικος ἐν δόμοισι μὴ γένοιτο C. 999.

Ξυνομαίμων. στένουσα τὰν σὰν ξυνομαιμόνων τε τιμὰν V. 408.

Ξυνομνύναι. ξυνώμοσαν γάρ, ὄντες ἔχθιστοι τὸ πρὶν πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην A. 636. ξυνώμοσαν μὲν θάνατον ἀθλίως πατρὶ C. 972.

Ξυνός. τὸ κοινὸν δ' εἰ μιαίνεται πόλις ξυνῇ μελέσθω λαὸς ἐκπονεῖν ἄκη S. 360. γένεσθε δ' ἀλκή· ξυνὰ δ' ἐλπίζω λέγειν, πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει T. 76.

Ξύνουρος. μαρτυρεῖ δέ μοι κάσις πηλοῦ ξύνουρος διψία κόνις τάδε A. 481.

Ξυνουσία. πολὺς δὲ μοι γένοιτ' ἂν ἐξ ἀρχῆς λόγος ὅσοις προσῆλθον ἀβλαβεῖ ξυνουσίᾳ E. 275.

Ξυνταράσσειν. ξυντετάρακται δ' αἰθὴρ πόντῳ V. 1090.

Ξυντέλεια. ὦ ξυντέλεια, μὴ προδῷς πυργώματα T. 233.

Ξυντιθέναι. ξυντίθησι δὲ παιδὸς μόρον S. 63.

Ξυντόμως. μακρὸν δὲ πῆμα ξυντόμως ἐφημίσω A. 615.

Ξυντυγχάνειν. εὖ ξυντυχόντων, καὶ πόλεως σεσωσμένης T. 256.

Ξυνωρίς. δίλογχον ἄτην, φοινίαν ξυνωρίδα A. 628. πέδας τε χειροῖν καὶ ποδοῖν ξυνωρίδα C. 976. ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ Δίκη, ποία ξυνωρὶς τῆσδε καρτερωτέρα; Fragm. 308.

O.

'Ο. ὑ, ὀ, ὀ, ἁ, ἁ S. 805.

'Ο. λέγοιμ' ἂν, εἰδὼς εὖ, τὰ τῶν ἐναντίων T. 357. τὸν πρὸ τοῦ χρόνον E. 440. ἀστέρας, ὅταν φθίνωσιν, ἀντολάς τε τῶν A. 7. ὁ pro τίς. πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ T. 454. αὐτὴ καλύψω, μηδέ τῳ δόξῃ πάλιν T. 1031. πρὸς τοῦ δ' ἐπείσθης, καὶ τίνος βουλεύμασιν; E. 563.

'Οά. ὀὰ Περσικοῦ στρατεύματος τοῦδε P. 116. ὀὰ τοῦτ' ἔπος γυναικοπληθὴς ὅμιλος ἀπύων P. 121. λειφθέντες πρὸς ἀνάγκαν, ἠὲ, ἀκτὰς ἀμφὶ Κυχρείας, ὀὰ, ἔῤῥανται P. 562. σκύλλονται πρὸς ἀναύδων, ἠὲ, παίδων τᾶς ἀμιάντου, ὀὰ P. 570. τοκέες ἄπαιδες δαιμόνι' ἄκη, ὀὰ, δυρόμενοι P. 572.

'Οβρίκαλον. ἀγρονόμων φιλομάστοις θηρῶν ὀβρικάλοισιν A. 141.

"Οβριμος. ἀπόπολις δ' ἔσῃ, μῖσος ὄβριμον ἀστοῖς A. 1385.

"Ογκα. ἐν μάχαισι μάκαιρ' ἄνασσ' "Ογκα πρὸ πόλεως ἑπτάπυλον ἕδος ἐπιῤῥύου T. 148. γείτονας πύλας ἔχων "Ογκας 'Αθάνας T. 469. "Ογκα Παλλὰς—εἴρξει νεοσσῶν ὡς δράκοντα T. 483.

'Οδηγεῖν. αὗται σ' ὁδηγήσουσι, καὶ μάλ' ἀσμένως V. 730.

"Οδιος. κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν ἐκτελέων A. 104. τοιάδε Κάλχας ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξε μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις A. 152.

"Οδισμα. πολύγομφον ὅδισμα ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου P. 71.

'Οδμή. τίς ἀχὼ, τίς ὀδμὰ προσέπτα μ' ἀφεγγής; V. 115.

'Οδοιπόρος. ὁδοιπόρων δήλημα χωρίτης δράκων Fragm. Leon. 1.

'Οδός. πρῷρα πρόσθεν ὄμμασιν βλέπουσ' ὁδὸν S. 697. τοὺς πέποιθα μὴ ματᾶν ὁδῷ T. 37. κλαυτὸν δ' ἀρτιτρόποις, ὠμοδρόπων νομίμων προπάροιθεν διαμεῖψαι δωμάτων στυγερὰν ὁδὸν T. 317. τοὺς ἐμοὺς λόγους θυμῷ βάλ', ὡς ἂν τέρματ' ἐκμάθῃς ὁδοῦ V. 708. πόθεν ὅρους ἔχεις θεσπεσίας ὁδοῦ κακοῤῥήμονας A. 1125. πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ βαίνοντες τὸν χαιρομυσῆ φόνον καθαίροντες ἰοῦσαν ἄταν C. 70. ἐξιστορήσας καὶ σαφηνίσας ὁδὸν C. 767. ἆρα φρονοῦσι γλώσσης ἀγαθῆς ὁδὸν εὑρίσκει; E. 944. καθ' ὁδὸν δ' ὀλολύξατε νῦν ἐπὶ μολπαῖς E. 994. ὄρνιθα δ' οὐ ποιῶ σε τῆς ἐμῆς ὁδοῦ Cab. 1. σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδὸν Βερέκυντα χῶρον Niobe 1. 1. ἐπῆμεν τῆς ὁδοῦ τροχήλατον σχιστῆς κελεύθου

τρίοδον Œd. 1. σπίδιον μῆκος ὁδοῦ Fragm. 65. μὴ Λήθης ὅδους σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις T. 696. μηδέ μοι διπλᾶς ὁδοὺς, Προμηθεῦ, προσβάλῃς V. 953. ὁδοὺς ἀθύμους καὶ παρόρνιθας πόρους τιθέντες E. 740.

Ὀδοῦν. οὗτός σ' ὀδώσει τὴν τρίγωνον ἐς χθόνα Νειλῶτιν V. 815. δυστέκμαρτος ἐς τέχνην ὤδωσα θνητοὺς V. 496. τὸν φρονεῖν βροτοὺς ὁδώσαντα A. 170.

Ὀδυνᾶσθαι. ὀδυνᾶσαι γὰρ C. 368.

Ὀδύνη. μαινομένα πόνοις ἀτίμοις, ὀδύναις τε κεντροδαλήτοις θείας Ἥρας S. 558. τίς μ' ὑποδύεται πλευρὰς ὀδύνα; E. 806.

Ὀδυνοσπάδης. ἐξ ὀσφυαλγοῦς κὠδυνοσπάδους γέροντος Fragm. I. 85.

Ὀδύρεσθαι. καί μοι τὰ μὲν παρόντα μὴ 'δύρεσθ' ἄχη V. 271. καίτοι καὶ λέγουσ' ὀδύρομαι θεόσσυτον χειμῶνα V. 645. ἀλλ' οὔτε κλαίειν, οὔτ' ὀδύρεσθαι πρέπει T. 638. δαιμόνι' ἄχη 'δυρόμενοι γέροντες τὸ πᾶν δὴ κλύουσιν ἄλγος P. 574.

Ὄδυρμα. ἄκου'· ὑπὲρ σοῦ τοιάδ' ἔστ' ὀδύρματα C. 501.

Ὀδυρμός. πολλοὺς δ' ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς φθέγξῃ V. 33.

Ὀδυσσεύς. μόνος δ' Ὀδυσσεὺς ὅσπερ οὐχ ἑκὼν ἔπλει, ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος A. 815.

Ὄζειν. τόδ' ὄζει θυμάτων ἐφεστίων A. 1282.

Ὅθεν. Ἄργους γαῖαν ὅθεν δὴ γένος ἡμέτερον S. 15. Ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσεν σταχὺν Ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος P. 808. Κύπρις δ' ἄτιμος τῷδ' ἀπέρριπται λόγῳ, ὅθεν βροτοῖσι γίγνεται τὰ φίλτατα E. 207. ὁ δὲ μὴ κύρσας βαρέων τούτων οὐκ οἶδεν ὅθεν πληγαὶ βιότου E. 892. Ἀνδραίμονος γένεθλα τοῦ Λυρνησίου, ὅθεν περ Ἕκτωρ ἄλοχον ἤγαγεν φίλην Phryg. 4. χλιδῶν τε πλοκαμὸς ὥστε παρθένοις ἁβραῖς ὅθεν καλεῖν Κουρῆτα λαὸν ᾔνεσαν Fragm. 107.

Ὅθι. ὅθι θάνατος ἀπῇ S. 117.

Οἶ. οἶ, οἶ, οἶ, οἶ, οἶ S. 854. οἶ, οἶ, πάτερ S. 862. βάσκε πάτερ ᾄκακε Δαρειὰν, οἶ P. 653. ὅδ' ἐγὼν, οἶ, οἶ, αἰακτὸς P. 895. οἶ, οἶ, οἶ P. 916. οἶ, οἶ, οἶ, οἶ P. 928. οἶ, οἶ, δᾶ, φεῦ E. 805.

Οἴ. οἴ ἐγὼ τάλαινα ξυμφορᾶς κακῆς, φίλοι P. 437. οἴ ἐγὼ τάλαινα διαπεπραγμένου στρατοῦ P. 509. βεβᾶσιν, οἴ, νώνυμοι P. 964. οἴ μάλα καὶ τόδ' ἀλγῶ P. 1002. οἴ, στονόεσσα πλαγὰ P. 1010. ὀτοτοῖ Λύκει' Ἄπολλον· οἴ ἐγὼ ἐγὼ A. 1230. οἴ ἐγώ. τέθνηκας φίλτατ', Αἰγίσθου βία C. 880.

Οἰακονόμος. νέοι γὰρ οἰακονόμοι κρατοῦσ' Ὀλύμπου V. 149.

Οἰακοστροφεῖν. φρένες γὰρ αὐτοῦ θυμὸν οἰακοστρόφουν P. 753.

Οἰακοστρόφος. τίς οὖν ἀνάγκης ἐστὶν οἰακοστρόφος; V. 513. σὺ δ' ὥστε νηὸς κεδνὸς οἰακοστρόφος φράξαι πόλισμα T. 62.

Οἰβάρης. μέγαν Οἰβάρην ἔλιπες P. 946.

Οἴγειν. ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα V. 614. οἴγοντι δ' οὔτι νυμφικῶν ἑδωλίων ἄκος C. 69.

Οἰδιπόδης. τελέσαι τὰς περιθύμους κατάρας βλαψίφρονος Οἰδιπόδα T. 707. ἐγείνατο μόρον αὐτῷ πατροκτόνον Οἰδιπόδαν T. 734. πατρὸς Οἰδιπόδα πότνι' Ἐριννὺς ἐπέκρανε T. 868. Οἰδιπόδα γένος ὠλέσατε πρυμνόθεν T. 1047.

Οἰδίπους. ὦ φίλον Οἰδίπου τέκος T. 185. ἄναξ ὅδ' αὐτὸς Οἰδίπου τόκος εἴσι T. 354. ὦ πανδάκρυτον ἁμὸν Οἰδίπου γένος T. 636. φίλτατ' ἀνδρῶν Οἰδίπου τέκος T. 659. ἐπέζεσεν γὰρ Οἰδίπου κατεύγματα T. 691. ὅσον τότ' Οἰδίπουν τίον T. 757. Οἰδίπου γένει κραίνων παλαιὰς Λαΐου δυσβουλίας T. 783. φρονοῦσα νῦν ἄκουσον, Οἰδίπου γένος— T. 789. ὦ μέλαινα καὶ τέλεια γένεος Οἰδίπου τ' ἀρὰ T. 815. πότνιά τ' Οἰδίπου σκιὰ T. 961.

Οἰδματόεις. διαβάλλων οἰδματόεντα πόρον Hel. 2.

Οἴεσθαι. οἶμαί νιν αὐτῷ νῦν παραστατεῖν πέλας T. 651. οἶμαί σφ' ἐρατῶν ἐκ βαθυκόλπων στηθέων ἥσειν ἄλγος ἐπάξιον T. 846. ἤδοι' ἄν', οἶμαι, τήνδ' ἰδοῦσα συμφορὰν V. 760. κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον V. 970. οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν A. 312. οὔτ' ἀνελεύθερον οἶμαι θάνατον τῷδε γενέσθαι A. 1502. πρόμαντις οὖσα, πολλὰ δ' οἴομαι ψευσθεῖσα C. 747. τὸ πρᾶγμα μεῖζον εἴ τις οἴεται τόδε βροτὸς δικάζειν E. 448. μηδὲν οἴεσθαι μέγα Fragm. 141. θνη-

τὸς ὢν θεῶν τε πάντων ᾦετ', οὐκ εὐβουλίᾳ, καὶ Ποσειδῶνος κρατήσειν P. 735. ᾦοντ' ἀμοχθεὶ πρὸς βίαν τε δεσπόσειν V. 208. οὐ μήν τι ποιναῖς γ' ᾠόμην τοιαῖσί με κατισχανεῖσθαι πρὸς πέτραις πεδαρσίοις V. 268.

Οἰζύς. ἴυζε καὶ βόα πικρότερ' ἀχέων, οἰζύος ὄνομ' ἔχων S. 853. ἐξ ἀγαθᾶς τύχας γένει βλαστάνειν ἀκόρεστον οἰζὺν A. 734. ἥτις ἦν τότ' ἐν δόμοις ἔρις ἐρίδματος ἀνδρὸς οἰζὺς A. 1440. πάσης ἀπήμον' οἰζύος E. 853.

Οἴκαδε. θεοτίμητος δ' οἴκαδ' ἱκάνει A. 1310.

Οἰκεῖν. λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες οἰκοῦσι Χάλυβες V. 717. οἱ χρυσόῤῥυτον οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου V. 808. ἔν τε χρήμασιν οἰκεῖ πατρῴοις E. 728. τὴν δὲ καὶ πόλις διδοῖ οἰκεῖν λατρῶν ἄτερθεν S. 988. λέοντος ἄντρον αἱματοῤῥόφου οἰκεῖν τοιαύτας εἰκὸς E. 185. ἐμὲ παθεῖν ταῦτα, φεῦ, ἐμὲ παλαιόφρονα κατὰ γᾶν οἰκεῖν E. 802. Σκύλλαν τινὰ οἰκοῦσαν ἐν πέτραισι A. 1207. ἔπειτ' ἐν Ἄργει δώματ' οἰκήσει πατρὸς E. 624.

Οἴκειος. ἄσμενος δέ τ' ἂν σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ V. 396. χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς A. 1193. αὐτόφορτον οἰκείᾳ σάγῃ στείχοντα C. 664. τὴν μὲν τρίπους ἐδέξατ' οἴκειος λέβης ἀεὶ φυλάσσων τὴν ὑπὲρ πυρὸς στάσιν Ath. 1.

Οἰκέτης. ἄμαχον ἄλγος οἰκέταις μέγα σίνος πολυκτόνον A. 715. πρὸς μὲν οἰκέτας θέτο σκυθρωπὸν ἐντὸς ὀμμάτων γέλων C. 726.

Οἴκημα. ἐν αἰχμαλώτοις Τρωϊκοις οἰκήμασιν ναίουσιν ἤδη A. 326.

Οἴκησις. οἴκησις δὲ καὶ διπλῆ πάρα S. 987.

Οἰκήτωρ. τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα ἄντρων ἰδὼν ᾤκτειρα V. 351. ἀλλ' ἄρσενάς τοι τῆσδε γῆς οἰκήτορας εὑρήσετ', οὐ πίνοντας ἐκ κριθῶν μέθυ S. 931.

Οἰκιστήρ. ἐθρέψατ' οἰκιστῆρας ἀσπιδηφόρους πιστοὺς T. 19.

Ὀϊκλείδης. θένει δ' ὀνείδει μάντιν Ὀϊκλείδην σοφὸν T. 364.

Ὀϊκλης. υἱὸν Ὀϊκλέους λέγω T. 592.

Οἴκοθεν. δεῖ τοι σὲ φεύγειν κατὰ νόμους τοὺς οἴκοθεν S. 385.

Οἴκοι. οἴκοι μένειν δεῖ Fragm. 19.

Οἰκονόμος. μίμνει γὰρ φοβερὰ παλίνορτος οἰκονόμος δολία A. 150.

Οἶκος. οἴκῳ καὶ πόλει πλέον κακὸν T. 172. σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν V. 387. κλαίω τότ' οἴκου τοῦδε συμφορὰν στένων A. 18. οἶκος δ' αὐτὸς, εἰ φθογγὴν λάβοι, σαφέστατ' ἂν λέξειε A. 38. οἴκῳ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνὰ A. 132. αἵματι δ' οἶκος ἐφύρθη A. 714. ὡς πρὸς οἶκον ὠχετεύετο φάτις A. 841. οἶκος δ' ὑπάρχει τῶνδε σὺν θεοῖς, ἄναξ, ἔχειν A. 935. ἀμηχανῶ, φροντίδος στερηθεὶς ὅπα τράπωμαι, πιτνόντος οἴκου A. 1514. σὺ μὲν φύλασσε τἂν οἴκῳ καλῶς C. 572. ἔφθιθ' οὗτος οὐ καλῶς, μολὼν ἐς οἶκον E. 437. οἶκον ψῆφος ὤρθωσεν μία E. 721. ὡς μή τιν' οἶκον εὐθενεῖν ἄνευ σέθεν E. 855. εὖτ' ἂν εἰς οἴκους μόλωμεν P. 226. γῇ τε καὶ φθιτοῖς δωρήματα ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν P. 516. ἐλθοῦσ' ἐς οἴκους P. 819. εὖ πράσσοντας ἆγον οἴκους P. 846. γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα ἄνακτος οἴκων τῶνδε βαστάσαι χερὶ A. 35. ἀπέκλαγξε μόρσιμ' ἀπ' οἰωνῶν ὁδίων οἴκοις βασιλείοις A. 152. κατασχεῖν φθόγγον ἀραῖον οἴκοις A. 228. δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας κάμψαι διαύλου θάτερον κῶλον πάλιν A. 334. τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη τάδ' ἐστὶ A. 415. οἴκων γὰρ εὐθυδίκων καλλίπαις πότμος ἀεὶ A. 739. ἦ μέγαν οἴκοις τοῖσδε δαίμονα καὶ βαρύμηνιν αἰνεῖς A. 1460. καταθάψομεν οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων A. 1533. ἐκ γὰρ οἴκων πατρῴων δούλιον ἐσᾶγον αἶσαν C. 74. φίλιαι δμωΐδες οἴκων C. 708. στείχω δ' ἐπ' ἄνδρα τόνδε λυμαντήριον οἴκων C. 754. πάνυ θήσειν Ἀγαμεμνονίων οἴκων ὄλεθρον διὰ παντὸς C. 849. ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν C. 922. μέγα τ' ἀφῃρέθην ψάλιον οἴκων C. 956. ἀμβλὺν ἤδη, προστετριμμένον τε πρὸς ἄλλοισιν οἴκοις E. 230. ἀραὶ δ' ἐν οἴκοις γῆς ὑπαὶ κεκλήμεθα E. 396. πάλαι πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα οἴκοισι, καὶ βοτοῖσι, καὶ ῥυτοῖς πόροις E. 430. σπονδαὶ δ' ἐς τὸ πᾶν ἔνδαιδες οἴκων E. 996.

Οἰκουρεῖν. τόν τε δικαίως καὶ τὸν ἀκαί-

ρως πόλιν οἰκουροῦντα πολιτῶν A. 783.

Οἰκουρός. ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινὰ λέοντ' ἄναλκιν ἐν λέχει στρωφώμενον οἰκουρὸν, οἴμοι, τῷ μολόντι δεσπότῃ ἐμῷ A. 1198. γύναι, σὺ τοὺς ἥκοντας ἐκ μάχης νέον οἰκουρὸς, εὐνὴν ἀνδρὸς αἰσχύνουσ' ἅμα ἀνδρὶ στρατηγῷ τόνδ' ἐβούλευσας μόρον; A. 1608.

Οἰκοφύλαξ. Ζεὺς σωτὴρ τρίτος οἰκοφύλαξ S. 27.

Οἰκτείρειν. ὦ τλῆμον, οἰκτείρω σε θεσφάτου μόρου A. 1294. καὶ ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολὺ A. 1303. ὦ Ζεῦ, κόπων οἴκτειρε μὴ 'πολωλότας S. 206. οἴκτειρε θῆλυν, ἄρσενός θ' ὁμοῦ γόνον C. 495. πίπτει δ' ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται Δαρεῖος οἰκτείρων σφε P. 194. τὸν γηγενῆ τε Κιλικίων οἰκήτορα ἄντρων ἰδὼν ᾤκτειρα V. 352. καὶ σύ μ' ἐν τάχει παρὼν ἄγαν γ' ἀληθόμαντιν, οἰκτείρας, ἐρεῖς A. 1214.

Οἰκτίζειν. σὺ δ' αὖ κατοκνεῖς, τῶν Διός τ' ἐχθρῶν ὕπερ στένεις;—ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτε V. 68. οὕνεκ' ᾤκτισαν ἡμᾶς S. 630. μηδέ μ' οἰκτίσας ξύνθαλπε μύθοις ψευδέσιν V. 687. ἐπίδοι δ' Ἄρτεμις ἁγνὰ στόλον οἰκτιζομένα S. 1012. ταῦτά τις τάχ' ἂν πατὴρ ἢ τεκοῦσα νεοπαθὴς οἶκτον οἰκτίσαιτ' E. 490.

Οἰκτισμός. λευσμόν τε καὶ μύζουσιν οἰκτισμὸν πολὺν E. 180.

Οἶκτος. οἶκτον οἰκτρὸν ἀΐων S. 57. πενθεῖ νέον οἶκτον S. 62. καὶ γὰρ τάχ' ἄν τις οἶκτος εἰσιδὼν τάδε ὕβριν μὲν ἐχθήρειεν ἄρσενος στόλου S. 481. οἶκτος δ' οὔτις ἦν διὰ στόμα T. 51. θνητοὺς ἐν οἴκτῳ προθέμενος V. 239. πέπαλται δ' αὖτέ μοι φίλον κέαρ, τόνδε κλύουσαν οἶκτον C. 405. ταῦτά τις τάχ' ἂν πατὴρ ἢ τεκοῦσα νεοπαθὴς οἶκτον οἰκτίσαιτο E. 489. μένει τοι Ζηνὸς ἱκταίου κότος δυσπαραθέλκτοις παθόντος οἴκτοις S. 381.

Οἰκτρός. οἶκτον οἰκτρὸν ἀΐων S. 58. ὄπα οἰκτρᾶς ἀλόχου S. 59. οἰκτρὸν γὰρ, πόλιν τάνδ' ὠγυγίαν Ἀΐδι προϊάψαι T. 303. πημοναῖσι κάμπτομαι πάσχειν μὲν ἀλγειναῖσιν οἰκτραῖσιν δ' ἰδεῖν V. 238. πηγαὶ δ' ἁγνορρύτων ποταμῶν στένουσιν ἄλγος οἰκτρὸν V. 433.

Οἰκτρῶς. οἰκτρῶς καλεῖσθέ μ' P. 674.

Οἴμοι. οἰκουρὸν, οἴμοι, τῷ μολόντι δεσπότῃ A. 1198. τὸ πᾶν ἀτίμως ἔλεξας, οἴμοι C. 428. οἴμοι πανοίμοι δεσπότου τελουμένου, οἴμοι μάλ' αὖθις ἐν τρίτοις προσφθέγμασιν C. 862.

Οἶμος. χθονὸς μὲν ἐς τηλουρὸν ἥκομεν πέδον Σκύθην ἐς οἶμον V. 2. λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς τετρασκελὴς οἰωνὸς V. 394. ἁπλοῦς οἶμος εἰς Ἀΐδου φέρει Tel. 1.

Οἰμωγή. οἰμωγὴ δ' ὁμοῦ κυκύμασιν κατεῖχε πελαγίαν ἅλα P. 418.

Οἴμωγμα. τοὖργον εἰργάσθαι δοκεῖ μοι βασιλέως οἰμώγματι A. 1319. Ἐτεοκλέης ἂν εἷς πολὺς κατὰ πτόλιν ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυῤῥόθοις οἰμώγμασίν τε T. 8. μήθ' ὁμαρτεῖν τυμβοχόα χειρώματα μήτ' ὀξυμόλποις προσσέβειν οἰμώγμασιν T. 1014. ἢ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος; A. 1339. παίω δέ νιν δὶς, κἂν δυοῖν οἰμωγμάσιν μεθῆκεν αὐτοῦ κῶλα A. 1357.

Οἰμώζειν. ἐπιγνοὺς οὐ καταίσιον, ᾤμωξε A. 1581.

Οἰνηρός. μήτε κρώσσους, μήτ' οἰνηροὺς μήθ' ὑδατηροὺς λιπεῖν ἀφνεοῖσι δώμασιν Fragm. 60.

Οἶνος. ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ' ὄμφακος πικρᾶς οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει A. 945. οἴνῳ παρηπάτησας ἀρχαίας θεὰς E. 698. κάτοπτρον εἴδους χαλκός ἐστ' οἶνος δὲ νοῦ Fragm. 12.

Οἰνοῦσθαι. δεῖ τοι βαθείας φροντίδος σωτηρίου, δίκην κολυμβητῆρος, ἐς βυθὸν μολεῖν δεδορκὸς ὄμμα, μηδ' ἄγαν οἰνωμένον S. 404.

Οἴνωψ. Οἴνοπος τόκος T. 486.

Οἰοβουκόλος. ποῖον πανόπτην οἰοβουκόλον λέγεις; S. 300.

Οἶος (πολίχνιον Τεγέας) Mys. 2.

Οἷος. ἰδέσθω δ' ἐς ὕβριν βρότειον, οἷα νεάζει πυθμὴν δι' ἁμὸν γάμον τὸ θάλλος δυσπαραβούλοισι φρεσὶν S. 103. φράσαιμ' ἂν, οἷ' ἐπορσύνθη κακὰ P. 259. οἷον οὔπω Περσὶς αἶ' ἐκάλυψε P. 637. ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακὸν P. 712. ὦ μέλεος οἷαν ἄρ' ἥβην ξυμμάχων ἀπώλεσε P. 719.

οἷον ἔργον οὐδέπω τόδ' ἄστυ Σούσων ἐξεκείνωσεν πεσὸν P. 746. νῆσοι τᾶδε γᾶ προσήμεναι οἷα Λέσβος P. 858. ποῦ δέ φίλων ἄλλος ὄχλος, ποῦ δέ σοι παρίσταται, οἷος ἦν Φαρανδάκης, Σούσας—P. 919. ἰὼ δαίμονες, ἔθεσθ' ἄελπτον κακὸν διαπρέπον οἷον δέδορκεν ἄτα P. 968. πεπλήγμεθ', οἷαι δι' αἰῶνος τύχαι P. 969. ὦ Ζεῦ γυναικῶν οἷον ὤπασας γένος T. 238. πόλει οἵας γ' ἀρᾶται καὶ κατεύχεται τύχας, λέξω T. 615. ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων οἷόν τε πῶς; V. 41. τί σοι οἷοί τε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων; V. 85. ἴδεσθέ μ', οἷα πρὸς θεῶν πάσχω θεὸς, δέρχθηθ' οἵαις αἰκίαισιν διακναιόμενον τὸν μυριετῆ χρόνον ἀθλεύσω V. 92. ἀλλ' οὔτε σιγᾶν, οὔτε μὴ σιγᾶν τύχας οἷόν τε μοι τάσδ' ἐστὶ V. 106. ἐσίδεσθ' οἵῳ δεσμῷ προσπορπατὸς V. 140. οἵαις ὑπ' αὐτοῦ πημοναῖσι κάμπτομαι V. 306. οἵας τέχνας τε καὶ πόρους ἐμησάμην V. 476. δαιμόνων δὲ τίνες οἵ' ἐγὼ, μογοῦσιν; V. 606. οἷα χρὴ πάθη τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα V. 706. οἷον ἐξαρτύεται γάμον γαμεῖν V. 910. οἷον μήτις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας στρατωθὲν A. 131. οἷος καὶ Πάρις A. 388. οἷον παρεῖχ' ἄφερτον Ἰδαία χιὼν χειμῶνα A. 550. γυναῖκα πιστὴν δ' ἐν δόμοις εὕροι μολὼν οἵαν περ οὖν ἔλειπε A. 593. οἷά τις ξουθὰ (θροεῖς ἀηδὼν) A. 1113. οὐκ οἶδεν οἷα γλῶσσα μισητῆς κυνὸς λέξασα A. 1201. παπαῖ, οἷον τὸ πῦρ, ἐπέρχεται δέ μοι A. 1229. ἆρ' ἀκούετε, οἵας ἑορτῆς ἔστ' ἀπόπτυστοι θεοῖς στέργηθρ' ἔχουσαι E. 183. οἷον ἔρνος οὔτις ἂν τέκοι θεὸς E. 636.

Οἷόσπερ. ἔχεις παρ' ἡμῶν οἷάπερ νομίζεται A. 1016.

Οἰόφρων. οἰόφρων πετρὰ S. 776.

Ὀϊστοδέγμων P. 979.

Οἰστρεῖν. οἰστρήσασα τὴν παρακτίαν κέλευθον ἦξας πρὸς μέγαν κόλπον Ῥέας V. 838.

Οἰστρήλατος. οἰστρηλάτῳ δὲ δείματι δειλαίαν παράκοπον ὧδε τείρεις; V. 581.

Οἰστροδίνητος. κλύω τῆς οἰστροδινήτου κόρης V. 591.

Οἰστροδόνητος. οἰστροδόνητος Ἰὼ S. 568.

Οἰστρόδονος. τῆς οἰστροδόνου βοὸς S. 16.

Οἰστρόπληξ. οἰστρόπληξ δ' ἐγὼ μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι V. 684.

Οἶστρος. οἶστρον καλοῦσιν αὐτὸν οἱ Νείλου πέλας S. 304. ἔνθεν Ἰὼ οἴστρῳ ἐρεσσομένα φεύγει ἁμαρτίνοος S. 536. χρίει τίς αὖ με τάλαιναν οἶστρος V. 566. οἴστρου δ' ἄρδις χρίει μ' ἄπυρος V. 881.

Οἴχεσθαι. οἴχομαι φόβῳ S. 767. τοιόνδ' ἄνθος Περσίδος αἴας οἴχεται ἀνδρῶν P. 60. Ἰαόνων γῆν οἴχεται, πέρσαι θέλων P. 174. τὸ Περσῶν δ' ἄνθος οἴχεται πεσὸν P. 248. θεοστυγήτῳ δ' ἄχει βροτῶν ἀτιμωθὲν οἴχεται γένος C. 627. Ὀρέστης ἐλπὶς οἴχεται δόμων C. 765. ὁ δ' ἐξαλύξας οἴχεται νεβροῦ δίκην E. 111. ἀνὴρ δ' οἴχεται φεύγων πρόσω E. 117. φονεὺς Ὀρέστης τῆσδε μητρὸς οἴχεται E. 120. ἐξ ἀρκύων πέπτωκεν, οἴχεται δ' ὁ θὴρ E. 142. τὸ διερὸν πέδῳ χυμένον οἴχεται E. 253. τάδε μὲν Περσῶν τῶν οἰχομένων Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται P. 1. κἀγὼ δὲ μόρον τῶν οἰχομένων αἴρω δοκίμως πολυπενθῆ P. 538. εἴθ' ὄφελεν, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν τῶν οἰχομένων θανάτου κατὰ μοῖρα καλύψαι P. 880. αἱ δὲ κεροτυπούμεναι βίᾳ ᾦχοντ' ἄφαντοι A. 643. πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς ᾤχωκε P. 13.

Οἰωνόθροος. οἰωνόθροον γόον ὀξυβόαν ἀΐων A. 56.

Οἰωνοκτόνος. χειμῶνα δ' εἰ λέγει τις οἰωνοκτόνον A. 549.

Οἰωνοπόλος. εἰ δὲ κυρεῖ τις πέλας οἰωνοπόλων ἔγγαιος S. 56.

Οἰωνός. τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν γνώμῃ στομίων ἄτερ εὐθύνων V. 286. λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς τετρασκελὴς οἰωνὸς V. 395. ὁ μάντις, οἰωνῶν βοτὴρ, ἐν ὠσὶ νωμῶν καὶ φρεσὶν πυρὸς δίχα χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ T. 24. οὕτω πετεινῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ ταφέντ' ἀτίμως τοὐπιτίμιον λαβεῖν T. 1011. τί ποτ' αὖ κινάθισμα κλύω πέλας οἰωνῶν; V. 125. αἰθέρα θ' ἁγνὸν πόρον ὀρνίθων V. 281. ἐνοδίους τε συμβόλους γαμψωνύχων

τε πτῆσιν οἰωνῶν σκεθρῶς διώρισ' V. 486. οἰωνῶν βασιλεὺς A. 113.
'Οκνεῖν. φθόνος μὲν οὐδείς, σὰς δ' ὀκνῶ θράξαι φρένας V. 631.
"Οκνος. καὶ τῶνδε πύστις οὐκ ὄκνῳ χρονίζεται T. 53. πρὸ κτησίων χρημάτων ὄκνος A. 982.
'Οκρίς. πρῶτα μὲν γὰρ ὀκρίδα φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ πατὴρ σπαράξει τήνδε V. 1018.
'Οκρυόεις. ἐπ' ἀμφιβόλοισιν ἰάπτουσι πολίταις χέρμαδ' ὀκρυόεσσαν T. 282. ὀκρυοέσσῃ χθονὶ τῇδε πελῶ V. 281.
'Οκτώπας (ποταμὸς) Fragm. Ner. 4.
'Ολβίζειν. ὀλβίσαι δὲ χρὴ βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ A. 902.
"Ολβιος. ὄλβιε Ζεῦ S. 521. τοῖς ὀλβίοις τοι καὶ τὸ νικᾶσθαι πρέπει A. 915.
"Ολβος. μὴ μέγας πλοῦτος κονίσας ὄλβον ἀντρέψῃ ποδὶ οὖδας P. 160. ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς ὄλβος, τὸ Περσῶν δ' ἄνθος οἴχεται πεσὸν P. 249. ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμῳ P. 695. ἀνανδρίας ὕπο ἔνδον αἰχμάζειν, πατρῷον δ' ὄλβον οὐδὲν αὐξάνειν P. 742. μηδέ τις ἄλλων ἐρασθεὶς, ὄλβον ἐκχέῃ μέγαν P. 812. πρόπρυμνα δ' ἐκβολὰν φέρει ἀνδρῶν ἀλφηστῶν ὄλβος ἄγαν παχυνθεὶς T. 753. κρίνω δ' ἄφθονον ὄλβον A. 458. μέγαν τελεσθέντα φωτὸς ὄλβον τεκνοῦσθαι A. 731. καὶ τὸν θυραῖον ὄλβον εἰσορῶν στένει A. 811. ἀρχάς τε πολισσονόμους ἕξει, πατέρων μέγαν ὄλβον C. 852. ἐκ δ' ὑγιείας φρενῶν ὁ πᾶσιν φίλος καὶ πολύευκτος ὄλβος E. 509. δι' αἰῶνος δὲ τὸν πρὶν ὄλβον ἕρματι προσβαλὼν δίκας, ὤλετ' ἄκλαυστος E. 533.
'Ολέθριος. ψῆφος κατ' αὐτῶν ὀλεθρία βουλεύσεται T. 180. τί οὖν ἔτ' ἂν σαίνοιμεν ὀλέθριον μόρον; T. 686. ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα C. 687. ὀλέθριον πνέουσ' ἐν ἐχθροῖς κότον C. 940. γάμοι Πάριδος ὀλέθριοι φίλων A. 1128.
"Ολεθρος. μέλλων θήσειν 'Αγαμεμνονίων οἴκων ὄλεθρον διὰ παντὸς C. 849. τὰ γὰρ ἐκ προτέρων ἀμπλακήματά νιν πρὸς τάσδ' ἀπάγει, σιγῶν ὄλεθρος E. 895.
'Ολέκειν. τίνος ἀμπλακίης ποινὰς ὀλέκῃ; V. 563.
'Ολιγοδρανιή. οὐδ' ἐδέρχθης ὀλιγοδρανίην ἄκικυν, ἰσόνειρον V. 547.
'Ολίγος. πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακὰ P. 322. μεταξὺ δ' ἀλκὰ δι' ὀλίγου τείνει πύργος ἐν εὔρει T. 744.
'Ολκή. ὁλκὴ γὰρ οὔτοι πλόκαμον οὐ δαμάζεται S. 861.
Οὐδείς. οὐκ ἔχουσαι κῦρος οὐδὲν ἀμφὶ σοῦ S. 386. ἀλλ' οὐδὲν ἔσται τῶνδε, μὴ τρέσητέ νιν S. 710. μῆκος δ' οὐδὲν ἐν μέσῳ χρόνου S. 716. γυνὴ μονωθεῖσ' οὐδὲν S. 730. βωμῶν ἀλέγοντες οὐδὲν S. 733. θεῶν οὐδὲν ἐπαΐοντες S. 740. πόλλ' ἁμαρτὼν, οὐδὲν ὀρθώσας φρενὶ S. 893. τοὺς θεοὺς οὐδὲν σέβῃ S. 899. οἱ δ' ἐνθάδ' οὐδὲν (δαίμονες) S. 901. πόθος τ' οὐδὲν ἄπαρνον τελέθει θέλκτορι Πειθοῖ S. 1023. ὁ δ' οὐδὲν ἄλλο γ' ἢ πτήξας δέμας παρεῖχε P. 205. οὐδὲν γὰρ ἤρκει τόξα P. 270. πατρῷον ὄλβον οὐδὲν αὐξάνει P. 742. τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ P. 828. κεραυνὸν, οὐδέν ἐξεικασμένον μεσημβρινοῖσι θάλπεσιν τοῖς ἡλίου T. 427. ὁμιλίας κακῆς κάκιον οὐδὲν T. 582. δόλος οὐδεὶς μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν T. 854. οὐδὲν ὕστερον μαθὼν T. 979. οὐδὲν ἐμποδὼν ἔτι V. 13. ἄκος γὰρ οὐδὲν τόνδε θρηνεῖσθαι V. 43. πόνων τῶν νῦν παρόντων οὐδὲν αἰτία τέχνη V. 47. ἔγνωκα, τοῖσδε κοὐδὲν ἀντειπεῖν ἔχω V. 51. οὐδέ μοι ποταίνιον πῆμ' οὐδὲν ἥξει V. 103. σὺ μὲν θρασύς τε, καὶ πικραῖς δύαισιν οὐδὲν ἐπιχαλᾷς V. 179. βροτῶν δὲ τῶν ταλαιπώρων λόγον οὐκ ἔσχεν οὐδέν' V. 232. προθυμίας γὰρ οὐδὲν ἐλλείπεις V. 341. οὐκ ἦν ἀλέξημ' οὐδὲν, οὐδὲ βρώσιμον, οὐ χριστὸν, οὐδὲ πιστὸν V. 477. τίς φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ; οὐδεὶς, σάφ' οἶδα V. 502. οὐδέν ἐστι τέρμα μοι προκείμενον μόχθων V. 758. ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοὰς V. 802. σὺ δ' οὐδὲν, ἐκμαθοῦσα, κερδανεῖς V. 878. πεύσῃ γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμὲ V. 965. ἐρεῖν ἔοικας οὐδὲν ὧν χρῄζει πατὴρ V. 986. τέγγῃ γὰρ οὐδὲν οὐδὲ μαλθάσσῃ λιταῖς ἐμαῖσιν V. 1010. αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς, αὐτὴ καθ' αὑτὴν οὐδένος μεῖζον σθένει V. 1015. πάσχειν δὲ κακῶς ἐχθρὸν ὑπ' ἐχθρῶν, οὐδὲν ἀεικὲς V. 1043. οὐδὲν ἀρείων παιδὸς A. 81. λιτάς τε καὶ κληδόνας πατρῴους παρ' οὐδὲν ἔθεντο A. 221. οὐκ οἶδεν οὐδεὶς, ὥστ' ἀπαγγεῖλαι τορῶς A. 618. δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται A. 766. ἑκὼν γὰρ οὐδεὶς δουλίῳ χρῆται ζυγῷ A. 927. οὐδὲν ἐπελπομένα ποτὲ καίριον ἐκτολυπεύσειν A. 1002. τὸν θεὸν καλεῖ οὐδὲν προσήκοντ' ἐν γόοις

παραστατεῖν A. 1049. ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες, οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην; A. 1110. ἄκος οὐδὲν ἐπήρκεσαν A. 1143. ἔπειθον οὐδέν' οὐδὲν A. 1185. φόβος μ' ἔχει κλύοντ' ἀληθῶς οὐδὲν ἐξῃκασμένα A. 1217. οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων A. 1277. χαίρουσαν οὐδὲν ἧσσον, ἢ κ. τ. λ. A. 1364. οὐδὲν τόδ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων A. 1388. οὐδέν ποτ' ἄλλο C. 16. ἐγὼ δ' ἀπεστάτουν ἄτιμος, οὐδὲν ἀξία C. 439. πυθέσθαι δ' οὐδέν ἐστ' ἄνευ δρόμου C. 507. καθ' ἡμέραν οὐδὲν ἐμφανέστερος C. 805. οὐδὲν ἀγγέλων σθένος, ὡς αὐτὸς αὐτῶν ἄνδρα πεύθεσθαι πέρι C. 836. οὐδὲν σεβίζῃ γενεθλίους ἀρὰς, τέκνον C. 899. δείσασα γὰρ γραῦς, οὐδὲν E. 38. οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται E. 101. νυκτίσεμνα δεῖπν' ἐπ' ἐσχάρᾳ πυρὸς ἔθυον ὥραν οὐδένος κοινὴν θεῶν E. 109. παρ' οὐδὲν E. 204. οὐδὲν ὑστέρα νεὼς ἦλθον E. 242. ταρβῶ μὲν οὐδὲν E. 385. ὁμοίας οὐδενὶ σπαρτῶν γένει E. 388. καλεῖ δ' ἀκούοντας οὐδὲν E. 528. οὐδὲν ἀσθμαίνων μένει E. 621. ἰὸς οὐδὲν ἐχθροῖσιν βαρὺς E. 700. ἀλλ' οὐδὲν αὐτοῦ δεῖ E. 793. ἀπὸ γάρ με τιμᾶν θεῶν παρ' οὐδὲν ἦραν δόλοι E. 809. λέληθεν οὐδὲν τῶνδέ μ' ὧν συ νουθετεῖς Fragm. Lai. οὐδὲν ἥσσονας ὕβριζ' ὑβρισμοὺς Fragm. Oss. ἄλγος οὐδὲν ἅπτεται νεκρῶν Philoct. 1. 3. πιστὸν οὐδὲν μᾶλλον ἢ κάπνου σκιὰ (βρότειον σπέρμα) Fragm. 11.

Οὐδέπερ. οὐκ ἄνευ δήμου τάδ' ἂν πράξαιμ' ἂν, οὐδέπερ κρατῶν S. 394.

Οὐδέπω. οἷον ἔργον οὐδέπω τόδ' ἄστυ Σούσων ἐξεκείνωσεν πεσὸν P. 740. οὐδέπω κακῶν κρηπὶς πάρεστι P. 800. λαμπὰς οὐδέπω μαυρουμένη—ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρὸς A. 287.

Οὖθαρ. καὶ πῶς; ἄτρωτον οὖθαρ ἦν ὑπὸ στυγός; C. 525.

Οὐκέτι. οὐκέτ' ἐξ ἐλευθέρου δέρης ἀποιμώζουσι φιλτάτων μόρον A. 319. καὶ μὴν ὁ χρησμὸς οὐκέτ' ἐκ καλυμμάτων ἔσται δεδορκὼς A. 1151. φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων A. 1156.

Οὐκοῦν. οὐκοῦν πελάζει Ζεὺς ἔτ' εὐκραίρῳ βοΐ; S. 296. οὐκοῦν ἔμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι; T. 230.

Οὔκουν. οὔκουν οὔκουν S. 818. οὔκουν ἐπείξῃ δεσμὰ τῷδε περιβαλεῖν V. 53. οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν E. 695.

Οὖλος. οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα C. 885.

Οὕνεκα. πικρὸν ἄνδρας γυναικῶν οὕνεχ' αἱμάξαι πέδον S. 480. οὕνεκ' ᾤκτισαν ἡμᾶς S. 630. γυναικὸς οὕνεκα πόλιν διημάθυνεν Ἀργεῖον δάκος A. 797.

Οὕπερ. οὕπερ τοῖς νέοις θνήσκειν καλὸν T. 1002.

Οὔποτε. στερεὰς οὔποτ' ἀπειλὰς πτήξας V. 174. τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χόρος ξύμφθογγος, οὐκ εὔφωνος A. 1159. κλαγγαίνεις δ' ἅπερ κύων μέριμναν οὔποτ' ἐκλιπὼν πόνου E. 127. τὸν οὔποτ' αὐχοῦντ' ἰδὼν ἀμηχάνοις δύαις λέπαδνον E. 531. τιμίαν ἕδραν ὅσην παρ' ἄλλων οὔποτ' ἂν σχέθοις βροτῶν E. 819.

Οὔπω. πέμπετε δ' ἄνω οἷον οὔπω Περσὶς αἶ' ἐκάλυψεν P. 637. οὔπω τις εἶδε Ζῆνά που νικώμενον T. 496. Διὸς οὔπω θέλοντος ἐξαναλῶσαι γένος A. 664. οὔπω ξυνῆκα A. 1083.

Οὐπώποτε. οὐπώποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις ὁ μὴ κελεύσῃ Ζεὺς Ὀλυμπίων πατὴρ E. 585.

Οὐράνη. ἀμφὶ θυμῷ τὴν κάκοσμον οὐράνην ἔῤῥιψεν Fr. Inc. 77. 1.

Οὐρανίζειν. οὐρανιζέτω Fragm. 152.

Οὐράνιος. οὐράνιά τ' ἄχη P. 565. δάμναται οὐρανίαν γένναν V. 164. ὃς αἰὲν ὑπείροχον σθένος κραταιὸν οὐράνιόν τε πόλον νώτοις ὑποστενάζει V. 427. τῶν οὐρανίων ἄστρων δίοδοι V. 1051. χθονίων τε θεῶν, τῶν τ' οὐρανίων A. 90. σὺ δ' ἔργ' ἐπ' οὐρανίων καὶ ἀνθρώπων ὁρᾷς Fragm. 272.

Οὐρανομήκης. ἄλλη δ' ἄλλοθεν οὐρανομήκης λαμπὰς ἀνίσχει A. 92. οὐράνια μέλη S. 789.

Οὐρανόνικος. ἄτα γαμετᾶς οὐρανόνικος S. 156.

Οὐρανός. Τιτᾶνες, Οὐρανοῦ τε καὶ χθονὸς τέκνα V. 205.

Οὐρανός. ἁγνόν τ' Ἀπόλλω φυγάδ' ἀπ' οὐρανοῦ θεὸν καλοῦμεν S. 211. γαῖαν οὐρανόν τε προσκυνῶν P. 491. ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον T. 370. θνητὸς ὢν ἐς οὐρανὸν

πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη T. 424. κίον' οὐρανοῦ τε καὶ χθονὸς ὤμοις ἐρείδων V. 349. μηδὲ πλασθείην γαμετᾷ τινι τῶν ἐξ οὐρανοῦ V. 899. ἐξ οὐρανοῦ γὰρ κἀπὸ γῆς λειμώνιαι δρόσοι κατεψέκαζον A. 546. ἔκ τε ποντίας δρόσου, ἐξ οὐρανοῦ τε, κἀνέμων ἀήματα εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα E. 865. ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα Dan. 1. 1. ὄμβρος δ' ἀπ' εὐνάεντος οὐρανοῦ πεσὼν ἔλυσε γαῖαν Dan. 1. 3. θυμὸς δέ ποτ' ἐμὸς οὐρανῷ κυρῶν ἄνω ἔραζε πίπτει Niobe 2. ἐμοὶ γένοιτο φᾶρος ἴσον οὐρανῷ Sal. 1. ὦ Ζεῦ πάτερ, Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος Fragm. 5. οὐρανός τε γῆ τ' ἔκλαιον Fragm. I. 25. Ζεύς ἐστιν αἰθὴρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ' οὐρανὸς Fragm. I. 96.

Οὐρανοῦχος. ἄξιον δ' οὐρανοῦχον ἀρχὰν σέβειν C. 954.

Οὐρίζειν. πατρὸς γὰρ αἶσα τόνδε σουρίζει μόρον C. 914. ὅταν δ' ὁ δαίμων εὐροῇ, πεποιθέναι τὸν αὐτὸν αἰεὶ δαίμον' οὐριεῖν τύχης P. 594. τί ῥέξας τύχοιμ' ἀνέκαθεν οὐρίσας; C. 315.

Οὔριος. τὸ πᾶν μῆχαρ οὔριος Ζεὺς S. 589. ξυλλάβοι δ' ἐνδίκως παῖς ὁ Μαίας ἐπιφορώτατος πρᾶξιν οὐρίαν θέλων C. 801.

Οὐριοστάτης. θῆλυν οὐριοστάταν ὁμοῦ κρεκτὸν γοήτων νόμον μεθήσομεν πόλει C. 803.

Οὖρος. κατ' οὖρον οὐκ εὔκοσμον αἴρονται φυγὴν P. 477. ἴτω κατ' οὖρον κῦμα Κωκυτοῦ λαχὸν Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος T. 672. ἀλλὰ γόων, ὦ φίλαι, κατ' οὖρον ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν πίτυλον T. 836.

Οὖς. τοῦτο διαμπερὲς οὖς ἵκετ' ἅπερ τε βέλος C. 374. βοᾷ δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος P. 597. μάντις, οἰωνῶν βοτὴρ, ἐν ὠσὶ νωμῶν καὶ φρεσὶν πυρὸς δίχα χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ T. 25. ἐλεδεμνὰς πεδιοπλόκτυπος ὠσὶ χρίμπτεται βοὰ T. 84. δι' ὤτων φρενός τε δαμίας περαῖνον νῦν ἀφίσταται C. 54. δι' ὤτων δὲ συντέτραινε μῦθον ἡσυχῷ φρενῶν βάσει C. 444.

Οὐτᾶν. τὸ δ' ἄγχι πλευμόνων ξίφος διανταίαν ὀξυπευκὲς οὐτᾷ διαὶ Δίκας C. 631.

Οὐτάζειν. σῖγα· τὶς πληγὴν ἀϋτεῖ καιρίαν οὐτασμένος A. 1317.

Οὔτε. οὐκ ἔτι δασμοφοροῦσιν δεσποσύνοισιν ἀνάγκαις, οὔτ' ἐς γᾶν προπιτνοῦντες ἄρξονται P. 580. οὔτε μεῖον, οὔτ' ἴσον λελιμμένοι T. 337. οὔτε κλαίειν, οὔτ' ὀδύρεσθαι πρέπει T. 638. ἀλλ' οὔτε σιγᾶν, οὔτε μὴ σιγᾶν τύχας οἷόν τε μοι τάσδ' ἐστὶ V. 106. οὔθ' ὑποκλαίων, οὔθ' ὑπολείβων, οὔτε δακρύων, ἀπύρων ἱερῶν ὀργὰς ἀτενεῖς παραθέλξει A. 69. ἔνθ' οὔτε μίμνειν ἄνεμος οὔτ' ἐκπλεῖν ἐᾷ Fragm. Philoct. 3.

Οὐτιδανός. πολλὰ δ' ἀκριτόφυρτος γᾶς δόσις οὐτιδανοῖς ἐν ῥοθίοις φορεῖται T. 344.

Οὔτις. οὔτιν' ἐφ' αἵματι δημηλασίαν ψήφῳ πόλεως γνωσθεῖσαι S. 6. βίαν δ' οὔτιν' ἐξοπλίζει S. 97. ἀλλ' οὔτι δαρὸν χρόνον ἐρημώσει πατὴρ S. 511. ὃν οὔτις ἂν δόμος ἔχοι ἐπ' ὀρόφων μιαίνοντα S. 637. δόκιμος δ' οὔτις ὑποστὰς μεγάλῳ ῥεύματι φωτῶν P. 87. ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην P. 175. ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν P. 406. καὶ τῶνδ' ἀκούσας, οὔτι μὴ ληφθῶ δόλῳ T. 38. οἶκτος δ' οὔτις ἦν διὰ στόμα T. 51. οὔτι φθονῶ σοι δαιμόνων τιμᾶν γένος T. 218. κόσμον μὲν ἀνδρὸς οὔτιν' ἂν τρέσαιμ' ἐγὼ T. 379. ὠμὸν, οὔτι παρθένων ἐπώνυμον φρόνημα T. 518. ἐλεύθερος γὰρ οὔτις ἐστὶ πλὴν Διὸς V. 50. καί μ' οὔτι μελιγλώσσοις πειθοῦς ἐπαοιδαῖσιν θέλξει V. 172. μάντιν οὔτινα ψέγων A. 179. οὔτι μέλλων, οὐδ' ἀφρασμόνως ὕπνῳ νικώμενος A. 281. λιτᾶν δ' ἀκούει μὲν οὔτις θεῶν A. 385. ἐν δ' ἀΐστοις τελέθοντος οὔτις ἀλκὰ A. 454. σπλάγχνα δ' οὔτι ματάζει πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις δίναις κυκλούμενον κέαρ A. 967. προφήτας δ' οὔτινας μαστεύομεν A. 1070. δακτυλοδεικτῶν δ' οὔτις ἀπειπὼν εἴργει μελάθρων A. 1306. οἴγοντι δ' οὔτι νυμφικῶν ἑδωλίων ἄκος C. 69. τὰ δ' οὔτι θέλγεται C. 414. καὶ δὴ θυρωρῶν οὔτις ἂν φαιδρᾷ φρενὶ δέξαιτο C. 558. σέβει γὰρ οὔτις τὸ δυσφιλὲς θεοῖς C. 628. ἀλλ' οὔτι πω τοιόνδε πῆμ' ἀνεσχόμην C. 736. θανόντα δ' οὔτι μὴ προδῷς ποτε C. 882. οὔτις μερόπων

ἀσινῆ βίοτον διὰ πάντ' ἄτιμος ἀμείψεται C. 1012. *τόξῳ γὰρ οὔτις πημάτων προσίξεται* C. 1029. *ποίμνης τοιαύτης δ' οὔτις εὐφιλὴς θεὸς* E. 188. *ἄλλης ἀνάγκης οὔτινος τρέων κότον;* E. 404. *ἔκτεινα· τούτου δ' οὔτις ἄρνησις πέλει* E. 558. *ὅρκος γὰρ οὔτι Ζηνὸς ἰσχύει πλέον* E. 591. *οἷον ἔρνος οὔτις ἂν τέκοι θεὸς* E. 636. *μήτηρ γὰρ οὔτις ἐστὶν ἥ μ' ἐγείνατο* E. 705.

Οὔτοι. *οὔτοι πτερωτῶν ἁρπαγαῖς σ' ἐκδώσομεν* S. 505. *οὔτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενὸς* S. 508. *οὔτοι ταχεῖα ναυτικοῦ στρατοῦ στολὴ* S. 745. *ὁλκὴ γὰρ οὔτι πλόκαμον οὐ δαμάζεται* S. 861. *οὔτοι φοβοῦμαι δαίμονας τοὺς ἐνθάδε* S. 869. *οὔτοι δικάζει ταῦτα μαρτύρων ὕπο Ἄρης* S. 912. *οὔτοι γυναικός ἐστιν ἱμείρειν μάχης* A. 914. *οὔτοι θυραίαν τήνδ' ἐμοὶ σχολὴ πάρα τρίβειν* A. 1025. *οὔτοι δυσοίζω, θάμνον ὡς ὄρνις, φόβῳ ἄλλως* A. 1289. *οὔτοι μάταιον ἀνδρὸς ὄψανον πέλει* C. 527. *οὔτοι φρένα κλέψειαν ὠμματωμμένην* C. 841. *οὔτοι γυναῖκας, ἀλλὰ Γοργόνας λέγω* E. 48. *οὔτοι προδώσω* E. 64.

Οὗτος. *τούτῳ μὲν εἶπας, καὶ τεταγμένος κίοι* S. 499. *πρὸς ταῦτα μίμνε* S. 515. *ἐγὼ δὲ ταῦτα πορσυνῶν ἐλεύσομαι* S. 517. *καλῶς γ' ἂν ἡμῖν ξυμφέροι ταῦτ', ὦ τέκνα* S. 734. *οὗτος, τί ποιεῖς* S. 889. *ἀβουκόλητον τοῦτ' ἐμῷ φρονήματι* S. 907. *οὔτοι δικάζει ταῦτα μαρτύρων ὕπο Ἄρης* S. 912. *πρὸς ταῦτα μὴ πάθωμεν ὧν πολὺς πόνος* S. 984. *ταῦτά μοι μελαγχίτων φρὴν ἀμύσσεται φόβῳ* P. 114. *ταῦτα δὴ λιποῦσ' ἱκάνω χρυσεοστόλμους δόμους* P. 155. *ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσὶ* P. 161. *τούτω στάσιν τιν', ὡς ἐγὼ 'δόκουν ὁρᾷν, τεύχειν ἐν ἀλλήλῃσι* P. 184. *καὶ ταῦτα μὲν δὴ νυκτὸς εἰσιδεῖν λέγω* P. 196. *ταῦτ' ἔμοιγε δείματ' ἔστ' ἰδεῖν* P. 206. *ταῦτα θυμόμαντις ὤν σοι πρευμενῶς παρήνεσα* P. 220. *ταῦτα δ', ὡς ἐφίεσαι, πάντα θήσομεν θεοῖσι* P. 224. *καὶ τί πρὸς τούτοισιν ἄλλο* P. 233. *ἀτὰρ φράσον μοι τοῦτ' ἀποστρέψας πάλιν* P. 325. *ταῦτ' ἔστ' ἀληθῆ* P. 505. *πῶς ἂν ἐκ τούτων ἔτι πράσσοιμεν ὡς ἄριστα;* P. 774. *πῶς τοῦτ' ἔλεξας;* P. 779. *πρὸς ταῦτ' ἐκεῖνον, σωφρονεῖν κεχρημένοι πινύσκετ' εὐλόγοισι νουθετήμασι* P. 816. *οὗτος τοιῶνδε δεσπότης μαντευμάτων λέγει* T. 27. *τούτῳ γὰρ Ἄρης βόσκεται φόβῳ βροτῶν* T. 226. *τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοὶ* T. 404. *βοᾷ δὲ χ' οὗτος γραμμάτων ἐν συλλαβαῖς* T. 450. *κατ' ἄνδρα τοῦτον ᾑρέθη* T. 487. *τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας πέμπειν ἐπαινῶ* T. 576. *οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος* T. 1057. *οὐ τοῦτο δειμαίνεις πλέον;* V. 41. *ἔμπας μαλακογνώμων ἔσται ποθ', ὅταν ταύτῃ ῥαισθῇ* V. 189. *οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος κρᾶναι πέπρωται* V. 508. *τούτων λέξασ' ὅ τι καὶ δυνατὸν, καὶ θέμις αἰνεῖν* A. 97. *τερπνὰ τούτων αἰτεῖ ξύμβολα κρᾶναι* A. 142. *τοῦτό νιν προσεννέπω* A. 157. *πέλοιτο δ' ἂν τἀπὶ τούτοισιν εὔπραξις* A. 246. *παρέστη τοῦτό γ' ἐξιχνεῦσαι* A. 359. *τί ταῦτα πενθεῖν δεῖ;* A. 553. *ταῦτ' ἀπάγγειλον πόσει* A. 590. *ἡμεῖς ἐκείνους ταῦτ' ἔχειν δοξάζομεν* A. 659. *τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν τίνειν* A. 795. *οὐδεὶς ἀκούει ταῦτα τῶν εὐδαιμόνων* A. 1277. *ταῦτ' ἐκείνων μᾶλλον οἰκτείρω πολὺ* A. 1303. *οὗτός ἐστιν Ἀγαμέμνων* A. 1377. *οὐ τοῦτον ἐκ γῆς τῆσδε χρή σ' ἀνδρηλατεῖν* A. 1393. *οὗτος γὰρ ἡμῖν ἀσπὶς οὐ μικρὰ θράσους* A. 1432. *οὐδὲ γὰρ οὗτος δολίαν ἄτην οἴκοισιν ἔθηκ'* A. 1504. *οὐ σε προσήκει τὸ μέλημα λέγειν τοῦτο* A. 1531. *σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος κώπῃ* A. 1600. *τοῦτο γὰρ θέλω μαθεῖν* C. 173. *ταῦτα μὲν, ὦ παῖ, κρείσσονα χρυσοῦ* C. 366. *χέρες οὐχ ὅσιαι στυγερῶν τούτων* C. 372. *τοῦτο διαμπερὲς οὖς ἵκετ' ἅπερ τε βέλος* C. 374. *μὴ νῦν σὺ ταῦτ' ἄγγελλε δεσπότου στύγει* C. 759. *ἡ μοῖρα τούτων, ὦ τέκνον, παραιτία* C. 897. *τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεοὺς* E. 20. *ὁ δ' ἐξαλύξας οἴχεται νεβροῦ δίκην, καὶ ταῦτα κούφως ἐκ μέσων ἀρκυσμάτων ὤρουσεν* E. 112. *αὐτὸς σὺ τούτων οὐ μεταίτιος πέλῃ* E. 190. *τούτοις ἀμείβου πᾶσιν εὐμαθές τί μοι* E. 420 *πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα οἴκοισι* E. 429. *ἔκτεινα· τούτου δ' οὔτις ἄρνησις πέλει* E. 558. *οὐ γάρ τι ταυτὸν, ἄνδρα γενναῖον θανεῖν*

διοσδότοις σκήπτροισι τιμαλφούμενον, καὶ ταῦτα πρὸς γυναικὸς E. 597. ταύτην τοιαύτην εἶπον, ὡς δηχθῇ λεὼς E. 608. πῶς ταῦτα τούτοις οὐκ ἐναντίως λέγεις; E. 612. σὺ τοῦτο πράξεις, ὥστε με σθένειν τόσον; E. 856. ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον Prom. Sol. 10. Ζεὺς ὃς κατέκτα τοῦτον Sem. ἔχω δὲ τούτων θυμὸν ἱππογνώμονα Sagitt. 1. 5.

Οὕτως. σθένος μὲν οὕτως μεῖζον αὔξεται βρότοις S. 333. οὕτω γένοιτ' ἂν οὐδ' ἂν ἔκβασις στρατοῦ καλὴ S. 752. τάσσεσθε—οὕτως, ὡς— S. 955. πρὸς τάδ', ὡς οὕτως ἐχόντων τῶνδε σύμβουλοι λόγου τοῦδέ μοι γένεσθε P. 167. τί ποτε Δαρεῖος μὲν οὕτω τότ' ἀβλαβὴς ἐπῆν τόξαρχος πολιήταις; P. 546. τούτῳ μὲν οὕτως εὐτυχεῖν δοῖεν θεοὶ T. 404. οὕτως γένοιτο T. 507. οὕτως ἀδελφαῖς χερσὶν ἠναίροντ' ἄγαν T. 793. οὕτως ὁ δαίμων κοινὸς ἦν ἀμφοῖν ἅμα T. 794. οὕτω μὲν ἀμφὶ τοῦδ' ἐπέσταλται λέγειν T. 1003. γένος ὠλέσατε πρύμνοθεν οὕτως T. 1048. οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται V. 195. οὕτω δ' εἶπε τεράζων A. 124. αὕτη μὲν οὕτως εἶπε A. 601. οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει A. 1262. οὕτω δ' ἔπραξα, καὶ τάδ' οὐκ ἀρνήσομαι A. 1353. οὕτω τὸν αὑτοῦ θυμὸν ὁρμαίνει πεσὼν A. 1361. ἐπεύχεται οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος A. 1584. οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοὶ A. 1591. τὰ μὲν γὰρ οὕτως ἔχει C. 446. οὕτω γὰρ οὐ τέθνηκας, οὐδέ περ θανὼν C. 497. μενοῦμεν οὕτως, ὥστε— C. 560. γένοιτο δ' οὕτως C. 545. οὕτω γυναικὸς οὐ προτιμήσω μόρον E. 709. οὕτω μοῖρά τε συγκατέβα E. 998.

Οὐχί. τί γὰρ τὸ πιστόν ἐστι τοῦδέ σοι τέκμαρ; Ἔστιν, τί δ' οὐχί; μὴ δολώσαντος θεοῦ A. 264. πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρὸν, ἄνδρας γυναικῶν οὕνεχ' αἱμάξαι πέδον; S. 471. ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι. Πῶς οὐχί; S. 896.

Ὀφείλειν. καὶ μὴν ὀφείλων γ' ἂν τίνοιμ' αὐτῷ χάριν V. 987. δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται Fragm. 268. τῷ πονοῦντι δ' ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος Fragm. 301. τοὐφειλόμενον πράσσουσα δίκη μέγ' ἀϋτεῖ C. 308.

Ὀφέλειν. εἴθ' ὄφελεν, Ζεῦ, κἀμὲ μετ' ἀνδρῶν τῶν οἰχομένων θανάτου κατὰ μοῖρα καλύψαι P. 879. ἔμπας τις αὐτὴν ἄλλος ὤφελεν λαχεῖν V. 48.

Ὀφέλλειν. τὰ τῶν θύραθεν ὡς ἄριστ' ὀφέλλετε T. 175. δέδοικ', ἀραγμὸς δ' ἐν πύλαις ὀφέλλεται T. 231.

Ὄφελος. περίφοβόν μ' ἔχει τάρβος ἐτητύμως πολυδρόμου φυγᾶς ὄφελος εἴ τι μοι S. 718.

Ὀφθαλμός. τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν Βατανώχου παῖδ' Ἄλπιστον P. 941. κἀγὼ τὰ λοιπὰ πιστὸν ἡμεροσκόπον ὀφθαλμὸν, ἕξω T. 67. λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμὸς πρέπει T. 372. ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν C. 922. νέας γυναικὸς οὔ με μὴ λάθῃ φλέγων ὀφθαλμὸς Sagitt. 3. εἰ γὰρ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι T. 385. ἀλλ' ἤδη θεῶν ἴσον ὀφθαλμοῖς φάος ὁρμᾶται μήτηρ βασιλέως P. 147. ἔστι γὰρ πλοῦτός γ' ἀμεμφὴς, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος P. 164. κατὰ στόμα ἐρεῖ, σάφ' ἴσθι, καὶ κατ' ὀφθαλμοὺς βαλεῖ C. 567. ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου E. 34.

Ὀφθαλμώρυχος. καρανιστῆρες ὀφθαλμώρυχοι δίκαι E. 177.

Ὄφις. μαιμᾷ πέλας δίπους ὄφις S. 872. ὄφις τε πᾶσιν σπαργάνοις ὡπλίζετο C. 537. οἲ 'γὼ τεκοῦσα τόνδ' ὄφιν ἐθρεψάμην C. 915. ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος προσηδάφισται κοιλογάστορος κύκλου T. 477.

Ὀφλεῖν. ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην, τοῦ ῥυσίου θ' ἥμαρτε, καὶ πανωλέθρον αὐτόχθονον πατρῷον ἔθρισεν δόμον A. 520.

Ὄφρα. βασιλεὺς γὰρ ἦς, ὄφρ' ἔζης C. 355. ὄφρ' ἂν γᾶν ὑπέλθῃ E. 325.

Ὀφρύς. ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὀφρὺν C. 283.

Ὀχεῖν. τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις φρουρὰν ἄζηλον ὀχήσω V. 143.

Ὀχεῖον Fr. Pr. Sol. 4.

'Οχετεύεσθαι. ὡς πρὸς οἶκον ὠχετεύετο φάτις A. 841.

"Οχημα. ξὺν ἵπποις καμπύλοις τ' ὀχήμασιν S. 180. τοίγαρ κέλευθον τήνδ' ἄνευ τ' ὀχημάτων χλιδῆς τε τῆς πάροιθεν, ἐκ δόμων πάλιν ἔστειλα P. 599. οὔτις ἄλλος ἀντ' ἐμοῦ λινόπτερ' εὗρε ναυτίλων ὀχήματα V. 466.

"Οχθη. βοᾷ παρ' ὄχθαις ποταμίαις, μάχης ἐρῶν T. 374. τούτου παρ' ὄχθας ἕρφ' (Νείλου) V. 812.

"Οχθος. ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ ὑψηλὸν ὄχθον ἄγχι πελαγίας ἁλὸς P. 459. ἦ φίλος ἀνὴρ φίλος ὄχθος P. 639. ἔλθ' ἐπ' ἄκρον κόρυμβον ὄχθου P. 650. τύμβου δ' ἐπ' ὄχθῳ τάδε γε κηρύσσω πατρὶ κλύειν, ἀκοῦσαι C. 4. νῦν δ' ἀμφὶ Κωκυτόν τε, κἀχερουσίους ὄχθους ἔοικα θεσπιωδήσειν τάχα A. 1133.

"Οχθος. ἐπ' ὄχθει ἄξεν C. 948.

'Οχλεῖν. ὀχλεῖς μάτην με, κῦμ' ὅπως παρηγορῶν V. 1003.

"Οχλος. ὄχλον δ' ὑπασπιστῆρα καὶ δορυσσόον λεύσσω S. 179. ἁβροδιαίτων δ' ἕπεται Λυδῶν ὄχλος P. 42. Βαβυλὼν ἡ πολύχρυσος πάμμικτον ὄχλον πέμπει σύρδην P. 53. ποῦ δὲ φίλων ἄλλος ὄχλος; P. 917. δυσμενέων τ' ὄχλον πύργος ἀποστέγει T. 216. ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων V. 829.

'Οχμάζειν. σήμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασε V. 621. τόνδε πρὸς πέτραις ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι V. 5.

"Οχος. ξὺν ὄχῳ ταχυήρει πέμψατε πόντονδ' S. 33. σύθην δ' ἀπέδιλος ὄχῳ πτερωτῷ V. 135. ἴθ', ὦ τάλαινα, τόνδ' ἐρημώσασ' ὄχον A. 1040. πώλοις ἀκμαίοις τόνδ' ἐπιζεύξασ' ὄχον E. 383. οἱ πλεκτὰς στέγας πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις V. 712.

'Οχυρός. ὀχυροῖσι πεποιθὼς στυφέλοις ἐφέταις P. 78. ὀχυροῖς ἕρκεσιν εἴργειν ἄμαχον κῦμα θαλάσσης P. 90. ὀχυρὸν ζεῦγος 'Ατρειδῶν A. 44.

"Οψ. ἀκούων ὄπα τᾶς Τηρεΐας μήτιδος οἰκτρᾶς ἀλόχου S. 58.

"Οψανον. οὔτοι μάταιον ἀνδρὸς ὄψανον πέλει C. 527.

'Οψέ. ἐὰν δὲ τοὔμπαλιν κραίνῃ θεὸς γνώσῃ διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν A. 1399.

'Οψίγονος. σὺ δὲ παρ' ὀψιγόνου μάθε γεραφρονῶν ποτιτρόπαιον αἰδόμενος S. 356.

'Οψίκοιτος. ἐν ὀψικοίτοις δ' ὄμμασιν βλάβας ἔχω A. 863.

"Οψις. ἔχων παλίντροπον ὄψιν ἐν λιταῖσιν S. 165. χλωρῷ δείματι θυμὸν πάλλοντ', ὄψιν ἀήθη βοτὸν ἐσορῶντες δυσχερὲς μιξόμβροτον S. 562. τί δὲ μέλλω φρένα Δῖαν καθορᾶν ὄψιν ἄβυσσον; S. 1044. φοβερὰν ὄψιν προσιδέσθαι P. 48. εἰς ὄψιν μολεῖν γυναῖκ' ἐδοξάτην P. 179. ὦ νυκτὸς ὄψις ἐμφανὴς ἐνυπνίων P. 510. διὰ χερῶν βέβακεν ὄψις οὐ μεθύστερον πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις A. 413. εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι C. 213. ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων ὄψεις T. 693. ἀεὶ γὰρ ὄψεις ἔννυχοι πολεύμεναι ἐς παρθενῶνας τοὺς ἐμοὺς παρηγόρουν λείοισι μύθοις V. 648. δικρᾶ ὄψις Fragm. Bacch. Nutr. 1.

"Οψον. τί γὰρ ὄψον γένοιτ' ἂν ἀνδρὶ τοῦδε βέλτιον; Fragm. I. 51. 3.

Π.

Πᾶ. πᾶ ποτε τῶνδε πόνων σε χρὴ τέρμα κέλσαντ' ἐσιδεῖν; V. 183. πᾶ τις τράποιτ' ἂν, ω Ζεῦ C. 403.

Πάγα. πάγας ὑπερκότους ἐπραξάμεσθα καὶ γυναικὸς οὕνεκα πόλιν διημάθυνεν 'Αργεῖον δάκος A.796.

Παγά. δακρυσίστακτον δ' ἀπ' ὄσσων ῥαδινὸν λειβομένα ῥέος παρειὰν νοτίοις ἔτεγξα παγαῖς V. 400.

Παγγαῖος. ἱκόμεσθ' ἐπ' Ἀξίου πόρον, Βόλβης θ' ἕλειον δόνακα, Παγγαῖόν τ' ὄρος P. 486.

Παγκαίνιστος. τρέφουσα πολλῆς πορφυρᾶς ἰσάργυρον κηκῖδα παγκαίνιστον A. 934.

Παγκάκως. ὡς πάντα παγκάκως ἔθεσαν P. 273. ἢ τὰν πανώλεις παγκάκως τ' ὀλοίατο T. 534. δόμοις δὲ τοῖσδε παγκάκως ἔχει C. 729.

Πάγκλαυτος. ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε σταχὺν Ἄτης, ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος P. 808. ἐλπίς ἐστι νυκτερὸν τέλος μολεῖν παγκλαύτων ἀλγέων ἐπίῤῥοθον T. 350.

Παγκληρία. κἀγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας οἴσω πατρῴων ἐκ δόμων γαμηλίους C. 479.

Πάγκοινος. ταὐτοῦ κυρήσας ἐκδίκως ἀγρεύματος πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ δάμη T. 590. στάσις δὲ πάγκοινος ὧδ' ἐπιῤῥοθεῖ C. 45.

Παγκρατής. γαιάοχε παγκρατὲς Ζεῦ S. 796. ὦ παγκρατὲς Ζεῦ, τρέψον εἰς ἐχθροὺς βέλος T. 237. τῷ νέον θακοῦντι παγκρατεῖς ἕδρας V. 389. ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ ἀμφοῖν γένοιτο τῶνδε παγκρατὴς φονεὺς A. 1632. πόλιν, τὰν καὶ Ζεὺς ὁ παγκρατὴς, Ἄρης τε φρούριον θεῶν νέμει E. 877.

Παγκρότως. στείλασα λαῖφος παγκρότως ἐρέσσεται S. 704.

Πάγος. ἄμεινόν ἐστι παντὸς εἵνεκ', ὦ κόραι, πάγον προσίζειν τόνδ' ἀγωνίων θεῶν S. 186. ἄκοντά σ' ἄκων δυσλύτοις χαλκεύμασι προσπασσαλεύσω τῷδ' ἀπανθρώπῳ πάγῳ V. 20. ἵκετο τερμόνιον ἐπὶ πάγον πόνων ἐμῶν θεωρὸς V. 117. προσέβα τόνδε πάγον V. 130. τύχοντ' ἐρήμου τοῦδ' ἀγείτονος πάγον V. 270. πάγος Ἄρειος E. 655. ἔνθεν ἔστ' ἐπώνυμος πέτρα πάγος τ' Ἄρειος E. 660. οἷς ἐν Ἰδαίῳ πάγῳ Διὸς πατρῴου βωμὸς ἐστι Fragm. Niobe 3. δρυμοὺς ἐρήμους ἢ πάγους ἀποικίσει Fragm. I. 23. 10.

Πάγος (glacies). τῶν ὑπαιθρίων πάγων δρόσων τ' ἀπαλλαγέντες A. 326.

Πάγχαλκος. ἀσπίδ' εὔκυκλον νέμων πάγχαλκον T. 574.

Πάγχυ. θεοὺς γενεθλίους καλεῖ πατρῴας γῆς ἐποπτῆρας λιτῶν τῶν ὧν γενέσθαι πάγχυ Πολυνείκους βίᾳ T. 623.

Πάθος. ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος P. 250. συμφορὰ πάθους P. 428. πᾶν δ' ἀναπτύξας πάθος λέξον καταστὰς P. 286. τῷ πάθει μάθος θέντα κυρίως ἔχειν A. 170. Πάρις γὰρ οὔτε συντέλης πόλις ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον A. 519. ἐβουκολοῦμεν φροντίσιν νέον πάθος A. 655. τὸ γὰρ ἐμὸν θροῶ πάθος A. 1108. ἐκ τίνος λόγου μεθύστερον τιμῶσ' ἀνήκεστον πάθος; C. 509. ἡ δ' ἀμφὶ τάρβει τῷδ' ἐπῴμωξεν πάθει C. 540. μίμνοντι δὲ καὶ πάθος ἀνθεῖ C. 1004. ἀλγῶ μὲν ἔργα καὶ πάθος, γένος τε πᾶν C. 1011. ἄγαν ὑπνώσσεις, κοὐ κατοικτίζεις πάθος E. 119. ἐπάθομεν πάθος δυσαχὲς, ὦ πόποι E. 140. ἥκομεν τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ, δεσμοῦ τε πάθος τόδ' ἐποψόμεναι Prom. Sol. 1. 3. τοιαῦτα πάθεα μέλεα θρευμένα λέγω λιγέα βαρέα δακρυοπετῆ S. 104. ὑπερβάλλει γὰρ ἥδε συμφορὰ τὸ μήτε λέξαι, μηδ' ἐρωτῆσαι πάθη P. 284. τέλεια τάδε πάθη T. 833. οἷα χρὴ πάθη τλῆναι πρὸς Ἥρας τήνδε V. 705. ἀμφί σοι πάθη ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου A. 867. μελίζειν πάθη γοερὰ θανατοφόρα A. 1149. ἤδη πολίταις πάντ' ἐθέσπιζον πάθη A. 1183. ὡς ἐπεικάσαι πάθη πάρεστιν C. 970. δεύτερον, ἀνδρὸς βασίλεια πάθη C. 1066. πολλὰ δ' ἔτυμα παιδότρωτα πάθεα προσμένει τοκεῦσιν E. 474.

Παίαν. ἰήϊον δὲ καλέω Παιᾶνα A. 144. ὦ θάνατε Παίαν Fragm. Philoct. 1.

Παιάν. παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες P. 385. ἁλώσιμον παιᾶν' ἐπεξιακχάσας T. 617. Ἀΐδᾳ τ' ἐχθρὸν παιᾶν' ἐπιμέλπειν T. 851. τοιῶνδε μέντοι πημάτων σεσαγμένον, πρέπει λέγειν παιᾶνα τόνδ' Ἐριννύων A. 631. ὑμᾶς δὲ κωκυτοῖς ἐπανθίζειν νόμος, παιᾶνα τοῦ θανόντος ἐξαυδωμένας C. 149.

Παιανίζειν. ἐμῶν ἀκούσασ' εὐγμάτων, ἔπειτα σὺ ὀλολυγμὸν ἱερὸν εὐμενῆ παιάνισον T. 250.

Παιδεία. ἅπαντα πανδοκοῦσα παιδείας ὅπλον ἐθρέψατ' T. 18.

Παίδειος. τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν ξυνῆκα A. 1215. παρέσχε δαῖτα παιδείων κρεῶν A. 1575.

Παιδνός. τίς ὧδε παιδνὸς, ἢ φρενῶν κεκομμένος; A. 466.

Παιδοβόρος. παιδοβόροι μὲν πρῶτον ὑπῆρξαν μόχθοι τάλανες C. 1064.

Παιδολέτωρ. παιδολέτωρ Ἔρις τάδ' ὀτρύνει T. 708.

Παιδολύμας. ἁ παιδολύμας τάλαινα Θεστιὰς C. 595.

Παιδότρωτος. πολλὰ δ' ἔτυμα παιδότρωτα πάθεα προσμένει τοκεῦσιν E. 473.

Παίειν. τέλος δ' ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου παίουσι, κρεοκοποῦσι δυστήνων μέλη P. 455. θολεροὶ δὲ λόγοι παίουσ' εἰκῇ στυγνῆς πρὸς κύμασιν ἄτης V. 887. παίω δέ νιν δίς· κἀν δυοῖν οἰμωγμάτοιν μεθῆκεν αὐτοῦ κῶλα A. 1357. κώπης ῥοθιάδος ξυνεμβολῇ ἔπαισαν ἅλμην βρύχιον P. 389. εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον ἔπαισεν P. 401. παισθεὶς ἔπαισας T. 940. ἕστηκα δ' ἔνθ' ἔπαισ', ἐπ' ἐξειργασμένοις A. 1352. αὐτοὶ δ' ὑφ' αὑτῶν ἐμβολαῖς χαλκοστόμοις παίοντο P. 407. ἐπαίσθην δ' ὡς διανταίῳ βέλει C. 182.

Παῖς. ξυντίθησι δὲ παιδὸς μόρον S. 63. τὸν τᾶς βοὸς παῖδ' ἀτιμάσας S. 162. ἰατρόμαντις παῖς Ἀπόλλωνος S. 260. Ἄργον, τὸν Ἑρμῆς παῖδα γῆς κατέκτανε S. 301. γείνατο παῖδ' ἀμεμφῆ S. 576. ὦ Γᾶς παῖ Ζεῦ S. 869. ἀφ' οὗπερ παῖς ἐμὸς στείλας στρατὸν Ἰαόνων γῆν οἴχεται P. 173. παῖς δ' ἐμὸς μαθὼν κατεῖχε P. 185. πίπτει δ' ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται Δαρεῖος οἰκτείρων σφε P. 193. εὖ γὰρ ἴστε, παῖς ἐμὸς πράξας μὲν εὖ, θαυμαστὸς ἂν γένοιτ' ἀνὴρ P. 207. παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν P. 223. ἀλλὰ μὴν ἵμειρ' ἐμὸς παῖς τήνδε θηράσαι πόλιν P. 229. τίνες κατῆρξαν, πότερον Ἕλληνες, μάχης, ἢ παῖς ἐμός; P. 343. ἔλεξε παιδὶ σῷ Ξέρξῃ τάδε P. 348. πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν κλεινῶν Ἀθηνῶν εὗρε P. 465. ὧν ἀντίποινα παῖς ἐμὸς πρᾶξαι δοκῶν, τοσόνδε πλῆθος πημάτων ἐπέσπασε P. 468. καὶ παῖδ', ἐάν περ δεῦρ' ἐμοῦ πρόσθεν μόλῃ, παρηγορεῖτε P. 521. παιδὸς πατρὶ πρευμενεῖς χοὰς φέρουσα P. 601. ἐς δὲ παῖδ' ἐμὸν Ζεὺς ἐπέσκηψεν τελευτὴν θεσφάτων P. 725. πῶς τάδ' οὐ νόσος φρενῶν εἶχε παῖδ' ἐμόν; P. 737. παῖς δ' ἐμὸς τάδ' οὐ κατειδὼς ἤνυσεν νέῳ θράσει P. 730. ἄλλος δ' ἐκείνου παῖς τόδ' ἔργον ἤνυσε P. 752. Κύρου δὲ παῖς τέταρτος ἴθυνε στρατὸν P. 759. Ξέρξης δ' ἐμὸς παῖς ὢν νέος νέα φρονεῖ P. 768. κόσμον, ὅστις εὐπρεπὴς λαβοῦσ', ὑπαντίαζε παιδὶ P. 820. ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι ἐσθημάτων κλύουσαν, ἥ νιν ἀμπέχει P. 833. ὑπαντιάζειν παῖδ' ἐμῷ πειράσομαι P. 836. Βατανώχου παῖς Ἄλπιστος P. 944. ἡ Διὸς παῖς παρθένος Δίκη T. 644. παῖδα τὸν αὐτᾶς πόσιν αὐτᾷ θεμένα T. 912. τῆς ὀρθοβούλου Θέμιδος αἰπυμῆτα παῖ V. 18. Κρόνου παῖς V. 185. ὦ Κρόνιε παῖ V. 578. σὺ δ', ὦ παῖ, μὴ 'πολακτίσῃς λέχος τὸ Ζηνὸς V. 654. τέξεταί γε παῖδα φέρτερον πατρὸς V. 770. ἢ 'μὸς παῖς σ' ἀπαλλάξει κακῶν; V. 775. οὐ γὰρ σὺ παῖς τε, κἄτι τοῦδ' ἀνούστερος V. 989. ἐκερτόμησας δῆθεν ὡς παῖδ' ὄντα με V. 988. παιδὸς δ' οὐδὲν ἀρείων A. 81. παιδὸς νέας ὥς, κάρτ' ἐμωμήσω φρένας A. 268. ἐπεὶ διώκει παῖς ποτανὸν ὄρνιν A. 383. ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ A. 851. ἔθυσεν αὑτοῦ παῖδα A. 1391. μὰ τὴν τελείαν τῆς ἐμῆς παιδὸς Δίκην A. 1407. ταῦτα μὲν, ὦ παῖ, κρείσσονα χρυσοῦ C. 366. ἐν σπαργάνοισι παιδὸς ὁρμῆσαι δίκην C. 522. καταίθουσα δαφοινὸν παιδὸς δαλὸν ἥλικα C. 599. παῖ, παῖ, θύρας ἄκουσον ἑρκείας κτύπον C. 642. τίς ἔνδον; ὦ παῖ, παῖ, μάλ' αὖθις, ἐν δόμοις; C. 643. οὐ γάρ τι φωνεῖ παῖς ἔτ' ὢν ἐν σπαργάνοις C. 744. παιδὸς σπαργάνων φαιδύντρια C. 748. ξυλλάβοι δ' ἐνδίκως παῖς ὁ Μαίας ἐπιφορώτατος πρᾶξιν οὐρίαν θέλων C. 800. ἐπίσχες, ὦ παῖ, C. 883. Τιτανὶς ἄλλη παῖς χθονὸς καθέζετο Φοίβη E. 6. ἰὼ, παῖ Διός, ἐπίκλοπος πέλῃ E. 143. πέλας μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διὸς E. 634. Ἀτρέως πολυκοίρανε παῖ, κύδιστ' Ἀχαιῶν Iphig. 82. 2. τίνος κατέκτας ἕνεκα παῖδ' ἐμὸν βλάβης; Palam. 1.

αὐτός ἐστιν ὁ κτανὼν τὸν παῖδα τὸν ἐμὸν Fragm. Psych. 1. 9. δύο γὰρ οὖν μορφὰς φανεῖ παιδός γε ταὐτοῦ νηδύος μιᾶς ἄπο Fragm. I. 23. 5. αὐτογένητον φυξάνορα γάμον Αἰγύπτου παίδων ἀσεβῆ τ' ὀνοταζόμεναι S. 9. παῖδες, φρονεῖν χρὴ S. 173. αἰτοῦσι μὴ 'κδῷς παισὶν Αἰγύπτου πάλιν S. 336. κρατοῦσι παῖδες Αἰγύπτου σέθεν S. 382. ἴσθι γὰρ παισὶ τάδε καὶ δόμοις, ὁπότερ' ἂν κτίσῃς, μένει Ἄρει 'κτίνειν ὁμοίαν θέμιν S. 428. ὁμαίμοις παισὶν Αἰγύπτου σέθεν σταθεὶς πρὸ τειχέων διὰ μάχης ἥξω τέλους S. 469. θαρσεῖτε, παῖδες, εὖ τὰ τῶν ἐγχωρίων S. 595. πολλοὺς ἄνακτας παῖδας Αἰγύπτου τάχα ὄψεσθε S. 887. λέγοις ἂν ἐλθὼν παισὶν Αἰγύπτου τάδε S. 906. ὦ παῖδες S. 958. ὦ παῖδες Ἑλλήνων, ἴτε, ἐλευθεροῦτε πατρίδ' ἐλευθεροῦτε δὲ παῖδας P. 394. γναπτόμενοι δ' ἀλὶ δεινᾷ, φεῦ, σκύλλονται πρὸς ἀναύδων, ἠέ, παίδων τᾶς ἀμιάντου, ὀὰ P. 570. τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; φράσον P. 703. εὐτρεφέστατον πωμάτων, ὅσων ἵησιν Ποσειδῶν ὁ γαιάοχος Τηθύος τε παῖδες T. 293. θαρσεῖτε, παῖδες μητέρων τεθραμμέναι T. 774. παῖδες Ὠκεανοῦ V. 139. μίαν δὲ παίδων ἵμερος θέλξει V. 867. ἄλγεα παίδων A. 50. παῖδες γερόντων A. 319. παῖδες θανόντες ὡσπερεὶ πρὸς τῶν φίλων A. 1193. οὐδαμῶς ἐπώνυμον φρόνημα παισὶ δύσθεον πεπαμένη C. 189. ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρὸς C. 262. παισὶ δὲ μᾶλλον γεγένηται C. 373. πέμπετ' ἀρωγὴν παισὶν προφρόνως ἐπὶ νίκῃ C. 471. παῖδες Ἡφαίστου E. 13. γραῖαι, παλαιαὶ παῖδες E. 69. σπέρματός τ' ἀποφθοραὶ παίδων E. 179. θύειν πρὸ παίδων E. 779. παῖδες Κραναοῦ E. 965. εὐκλεὴς λόχος παίδων E. 981. Νυκτὸς παῖδες E. 988. ἑπτ' Ἄτλαντος παῖδες Fragm. 25. 1.

Παιόνες. Πίνδου τε τἀπέκεινα Παιόνων πέλας S. 254.

Παίων. ἀλλ' οὔτι Παίων τῷδ' ἐπεστάτει λόγῳ A. 1221. ἐμὰς τύχας Παίων ἐπευφήμησε Fragm. Phr. 1.

Παίων. παίων τε γενοῦ τῆσδε μερίμνης A. 99.

Παίων (pœan). ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων παίων μελάθροις ἐν βασιλείοις νεοκρᾶτα φίλον κομίσειεν C. 339.

Παιωνίζειν. οὐ βωμός ἐστιν, οὐδὲ παιωνίζεται Niobe 5. 3.

Παιώνιος. πημονᾶς ἐλύσατ' εὖ χειρὶ παιωνίᾳ κατασχέθων S. 1052. βοᾷ δ' ἐν ὠσὶ κέλαδος οὐ παιώνιος P. 597. ὅτῳ δεῖ φαρμάκων παιωνίων A. 822. καὶ πῶς ἂν ὅρκος, πῆγμα γενναίως παγέν, παιώνιον γένοιτο; A. 1172.

Παιωνία. εὐχαῖς δὲ σώσεις δεσπότας Παιωνίας Fragm. Mys. 1.

Παλαγμός. πρὶν ἂν παλαγμοῖς αἵματος χοιροκτόνου αὐτός σε χράναι Ζεὺς καταστάξας χεροῖν Fragm. Inc. 72.

Πάλαι. αὐτῆς δὲ χώρας Ἀπίας πέδον τόδε πάλαι κέκληται φωτὸς ἰατροῦ χάριν S. 258. σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη κακοῖς P. 282. ἐς ταυτὸν ἐλθὼν τῶν πάλαι λόγων ἴχνος V. 847. εἴ που πάλαι A. 506. πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω A. 534. ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο A. 573. ἴχνος κακῶν ῥινηλατοῦσα τῶν πάλαι πεπραγμένων A. 1158. ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφροντίστως πάλαι νείκης παλαιᾶς ἦλθε A. 1350. εἰς ὄψιν ἥκεις ὧνπερ ἐξηύχου πάλαι C. 213. τὸ μόρσιμον μένει πάλαι C. 457. δωμάτων παλαιτέρων τίνειν μῦσος C. 639. ἔν τε τοῖς νέοισι καὶ παλαιτέροις θεοῖς ἄτιμος εἶ συ E. 691.

Παλαιγενής. παλαιγενὴς Κρόνος V. 220. ἡ παλαιγενὴς μήτηρ V. 875. ἐγὼ δ' ὕποπτος ἐχθρὸς ὢν παλαιγενὴς A. 1620. παλαιγενεῖς τε Μοίρας φθίσας E. 165.

Παλαιός. παλαιῶν αἱμάτων μιάσματα S. 262. παλαιὸν ἴχνος S. 533. οἷς χεῦμ' Ἐρασίνου περιναίεται παλαιὸν S. 1000. παλαιὸν Κίσσινον ἕρκος P. 17. θεόθεν γὰρ κατὰ Μοῖρ' ἐκράτησεν τὸ παλαιὸν P. 103. εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατῷ P. 154. δεὸς παλαιόν σοι φρενῶν ἀνθίσταται P. 689. νέας τε καὶ παλαιὰς ἄγεσθαι T. 300. ὦ πόνοι δόμων νέοι παλαιοῖσι συμμιγεῖς κακοῖς T. 722. Οἰδίπου γένει κραίνων παλαιᾶς Λαΐου δυσβουλίας T. 784. ἡμεῖς δ' ἀτῖται σαρκὶ παλαιᾷ τῆς τότ' ἀρωγῆς ὑπο-

λειφθέντες, μίμνομεν A. 71. φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεάζουσαν ἐν κακοῖς βροτῶν ὕβριν A. 742. εἰδέναι λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων A. 1170. ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφροντίστως πάλαι νείκης παλαιᾶς ἦλθε A. 1350. πρὶν καταλῆξαι τὸ παλαιὸν ἄχος A. 1459. ὁ παλαιὸς δριμὺς ἀλάστωρ A. 1482. πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω; C. 169. ἄλγη παλαιὰ συγκεκραμένα C. 733. γραῖαι παλαιαὶ παῖδες E. 69. ἔπι δέ μοι γέρας παλαιὸν E. 372. σύ τοι παλαιὰς δαίμονας καταφθίσας οἴνῳ παρηπάτησας ἀρχαίας θεὰς E. 697. ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους καθιππάσασθε E. 748. θεὸς παλαιὰ πρὸς νεωτέρας ἐμοῦ ἔῤῥεις ἄτιμος E. 843. κάρφος παλαιὸν Bassar. 2. παλαιῶν τῶνδέ σοι σκοπευμάτων Fragm. 65. παλαιὸν δέρμα Fragm. Psych. 1. 4.

Παλαιόφρων. γένους παλαιόφρων μέγας τέκτων S. 588. ἐμὲ παλαιόφρονα κατὰ γᾶν οἰκεῖν E. 802.

Πάλαισμα. πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις E. 746. πολλὰ παλαίσματα καὶ γυιοβαρῆ θήσων Δαναοῖς A. 63. ἓν μὲν τόδ' ἤδη τῶν τριῶν παλαισμάτων E. 559.

Παλαιστής. τοῖον παλαιστὴν νῦν παρασκευάζεται ἐπ' αὐτὸς αὑτῷ V. 922. ἀλλ' ἦν παλαιστὴς κάρτ' ἐμοὶ πνέων χάριν A. 1178.

Παλαίφατος. παλαίφατον ἁμέτερον γένος S. 526. τέλειαι γὰρ παλαίφατοι ἀραὶ T. 748. παλαίφατος ἐν βροτοῖς γέρων λόγος τέτυκται A. 730.

Παλαίχθων. τοῦ γηγενοῦς γάρ εἰμ' ἐγὼ Παλαίχθονος Ἶνις Πελασγὸς S. 247. Παλαίχθονος τέκος, κλῦθί μου προφρονὶ καρδίᾳ S. 343.

Παλαίχθων. τί ῥέξεις; προδώσεις, παλαίχθων Ἄρης, τὰν σὰν γᾶν; T. 100.

Παλαμή. ἢ παλαμῇ τινὶ τὴν δυσάλωτον ἕλῃ τις ἀρχὴν V. 165. ὀλόμεναι παλαμαῖς S. 845.

Παλαμναῖος. ἄφθογγον εἶναι τὸν παλαμναῖον νόμος E. 426.

Πάλη. τοιάνδε πάλην μόνος ὢν ἔφεδρος δισσοῖς μέλλει θεῖος Ὀρέστης ἅψειν C. 853.

Παλίγκοτος. ἄγος μὲν εἴη τοῖς ἐμοῖς παλιγκότοις S. 371. τὸν ζῶντα δ' ἀλγεῖν χρὴ τύχης παλιγκότου A. 557. πολλὰς κλύουσα κληδόνας παλιγκότους A. 837. ἕκατι κληδόνων παλιγκότων A. 848.

Πάλικοι. σεμνὰς Παλίκους Ζεὺς ἐφίεται καλεῖν Ætn. 6. 2. ἢ καὶ Παλίκων εὐλόγως μένει φάτις Ætn. 1. 3.

Παλιμμηκής. παλιμμηκῆ χρόνον τιθεῖσαι τρίβῳ A. 189.

Παλίμπλαγκτος. ἀφ' οὗ παλιμπλάγκτοισι χειμάζῃ δρόμοις V. 840.

Παλίμποινος. ἐπεί μιν μέγαν ἄρας δίδυμα καὶ τριπλᾶ παλίμποινα θέλων ἀμείψει C. 782.

Πάλιν. αἰτοῦσι μὴ 'κδῷς παισὶν Αἰγύπτου πάλιν S. 336. μήποτε πάλιν ἴδοιμ' ἀλφεσίβοιον ὕδωρ S. 834. ἄταρ φράσον μοι τοῦτ' ἀναστρέψας πάλιν P. 325. ἐκ δόμων πάλιν ἔστειλα P. 600. αὐτὴ καλύψω, μηδέ τῳ δόξῃ πάλιν T. 1031. πάχνην δ' ἐφὰν ἥλιος σκεδᾷ πάλιν V. 25. σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν V. 387. πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦσ' ἐλεύσεται V. 856. σὺ δὲ κέλευθον ἥνπερ ἦλθες ἐγκόνει πάλιν V. 964. θέλοιμ' ἂν ὡς λέγοις πάλιν A. 310. δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας κάμψαι διαύλου θάτερον κῶλον πάλιν A. 335. εὐμενεῖς πάλιν στρατὸν δέχεσθαι A. 502. σπεύσω πάλιν μολόντα δέξασθαι A. 587. εἰ νόστιμός γε καὶ σεσωσμένος πάλιν ἥξει A. 604. ἐλπὶς τίς αὐτὸν πρὸς δόμους ἥξειν πάλιν; A. 665. οἵπερ πρόσω πέμψαντες ἤγαγον πάλιν A. 827. τὸ δ' ἐπὶ γᾶν πεσόνθ' ἅπαξ θανάσιμον προπάροιθ' ἀνδρὸς μέλαν αἷμα τίς ἂν πάλιν ἀγκαλέσαιτ' ἐπαείδων A. 991. δυσμηχανῶ λόγοισι τὸν θανόντ' ἀνιστάναι πάλιν A. 1334. προστρόπαιος ἑστίας μολὼν πάλιν τλήμων Θυέστης, μοῖραν εὕρετ' A. 1569. στείχω, καθάρμαθ' ὥς τις ἐκπέμψας, πάλιν C. 96. πάλιν πέμπειν ἔχοις ἂν σήματ' εὐπειθῆ βροτοῖς C. 257. ἐφετμὰς τάσδε πόρθμευσον πάλιν C. 674. τύχᾳ δ' εὐπροσωποκοίτᾳ τὸ πᾶν ἰδεῖν θρεομένοις μέτοικοι δόμων πεσοῦνται πάλιν C. 966. πάλιν μ' ἔπεμψεν ἐκ δόμων E. 35. βαρεῖα χώρᾳ τῇδ' ὁμιλήσω πάλιν E. 690.

Παλίνορτος. μίμνει γὰρ φοβερὰ παλίνορτος οἰκονόμος δολία A. 149.

Παλινστομεῖν. παλινστομεῖς αὖ, θιγγάνουσ' ἀγαλμάτων; T. 240.

Παλίντονος. τά τ' ἐν χεροῖν παλίντονα ἐπ' ἔργῳ βέλη 'πιπάλλων Ἄρης C. 159.

Παλίντροπος. ἔχων παλίντροπον ὄψιν ἐν λιταῖσιν S. 164. τὰ χρυσόπαστα δ' ἐσθλὰ σὺν πίνῳ χερῶν παλιντρόποισιν ὄμμασιν λιποῦσ' A. 753.

Παλιντυχής. παλιντυχὴς τριβὰ βίου A. 452.

Παλίρροθος. παλιρρόθοις ἐν Αὐλίδος τόποις A. 184.

Πάλλαγμα. καὶ κρυπτά γ' Ἥρας ταῦτα τῶν παλλαγμάτων S. 292.

Παλλάς. θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς P. 339. ῥυσίπολις γενοῦ Παλλὰς T. 121. Ὄγκα Παλλὰς T. 483. κέλσας ἐπ' ἀκτὰς ναυπόρους τὰς Παλλάδος E. 10. Παλλὰς προναία δ' ἐν λόγοις πρεσβεύεται E. 21. Παλλάδος ποτὶ πτόλιν μολὼν E. 79. δίκας δὲ Παλλὰς τάσδ' ἐποπτεύσει θεὰ E. 215. Παλλὰς E. 599. 637. 724. Παλλάδος καὶ Λοξίου ἕκατι E. 728. πόλιν τὴν Παλλάδος τιμῶσιν E. 742. δέξομαι Παλλάδος ξυνοικίαν E. 876. Παλλάδος δ' ὑπὸ πτεροῖς ὄντας ἅζεται πατὴρ E. 955. Παλλάδος πόλιν νέμοντες E. 971. Παλλάδος ἀστοῖσι Ζεὺς πανόπτας E. 997.

Πάλλειν. βροτοὶ δ' οἱ γᾶς τότ' ἦσαν ἔννομοι, χλωρῷ δείματι πάλλοντ' ὄψιν ἀηθῆ S. 562. μελαινόχρως δὲ πάλλεταί μου καρδία S. 766. πέπαλται δ' αὖτέ μοι φίλον κέαρ C. 404. νυκτιπλάγκτων δειμάτων πεπαλμένη χοὰς ἔπεμψε τάσδε δύσθεος γυνὴ C. 517.

Πάλλευκος. παλλεύκων πέπλων ἄμοιρος E. 332.

Παλλήνη. μίσει τῶνδε Παλλήνης τόπων δρυμοὺς ἐρήμους ἢ πάγους ἀποικίσει Fragm. 32. 8.

Πάλος. κἀγὼ πάλον δ' ἔκυρσα τοὔπερ ἤθελον P. 765. πύλαις ἑβδόμαις προσίστανται, πάλῳ λαχόντες T. 119. ὡς ἐν πύλαις ἕκαστος εἴληχεν πάλον T. 358. τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος ἐξ ὑπτίου πήδησεν εὐχάλκου κράνους T. 440. ὡς ἕκαστος ἔσπασεν τύχης πάλον A. 324. ἴτων πάλῳ λαχόντες, ὡς νομίζεται E. 32. ἐκβάλλεθ' ὡς τάχιστα τευχέων πάλους E. 712. ἴσον γάρ ἐστι τἀρίθμημα τῶν πάλων E. 723.

Παλτός. καὶ παλτὰ κἀγκύλητα καὶ χλῆδον βαλὼν Arg. 14.

Πάμβοτος. Διὸς πάμβοτον ἄλσος S. 553.

Παμμάταιος. βιᾶται δ' ἁ τάλαινα πειθώ, προβουλόπαις ἄφερτος ἄτας, ἄκος δὲ παμμάταιον A. 376.

Πάμμαχος. ὅστις πάροιθεν ἦν μέγας, παμμάχῳ θράσει βρύων A. 163.

Παμμιγής. τὰ πολλὰ βέλεα παμμιγῆ γᾶς ἀπ' Ἀσίδος ἦλθ' ἐπ' αἶαν δίαν Ἑλλάδα χώραν P. 261.

Πάμμικτος. Βαβυλὼν δ' ἡ πολύχρυσος πάμμικτον ὄχλον πέμπει σύρδην P. 53. ἀκάματον δὲ παρῆν σθένος ἀνδρῶν τευχεστήρων, παμμίκτων τ' ἐπικούρων P. 870.

Παμπήδην. ὧδε παμπήδην δὲ λαὸς πᾶς κατέφθαρται δορί; P. 715. θεὸς μὲν αἰτίαν φέρει βροτοῖς, ὅταν κακῶσαι δῶμα παμπήδην θέλει Fragm. 26. 2.

Παμπησία. διέλαχον σφυρηλάτῳ Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν T. 799.

Πάμπρεπτος. παμπρέπτοις ἐν ἕδραισιν A. 117.

Παμπρόσθη. παμπρόσθη πολύθρηνον αἰῶν' ἀμφὶ πολιτᾶν μέλεον αἷμ' ἀνατλᾶσα A. 696.

Παμφαής. παμφαὲς μέλι P. 604.

Πάμφθαρτος. κακῶς ταριχευθέντα παμφθάρτῳ μόρῳ C. 294.

Παμφόρος. ἄνθη τε πλεκτὰ, παμφόρου γαίας τέκνα P. 610.

Πάμφυλοι. Παμφύλων τε γένη διορνυμένα πὰρ ποταμοὺς ἀενάους S. 547.

Πάν. ἣν ὁ φιλόχορος Πὰν ἐμβατεύει P. 441.

Πανάθλιος. ἰὼ, ἰὼ πολυδάκρυτε σύ. Σὺ δ' αὖτε καὶ πανάθλιε T. 953. κτύπῳ δ' ἐπιρροθεῖ κροτητὸν ἀμὸν καὶ πανάθλιον κάρα C. 422. φίλων ἀποψιλοῖς με τὰν παναθλίαν C. 684.

Παναίολος. ιεὶς τὰ παναίολ' αἰανῆ δύσθροα βάγματα P. 627.

Παναίτιος. ἰὼ, ἰὴ διαὶ Διὸς παναιτίου πανεργάτα A. 1465. ἀλλ' εἰς τὸ πᾶν ἔπραξας ὡς παναίτιος E. 191.

Παναληθής. παναληθῆ, κακόμαντιν πατρὸς εὐκταίαν Ἐρινὺν T. 704.

Παναληθῶς. εἰ θείη Διὸς εὖ παναληθῶς S. 80.
Παναλκής. ἰὼ παναλκεῖς θεοὶ T. 150.
Πανάλωτος. ἄτης παναλώτου A. 352.
Πανάρκετος. διαλγὴς ἄτη διαφέρει τὸν αἴτιον παναρκέτας νόσου βρύειν C. 67.
Πανδημεί. ποτὶ πύργους πανδημεὶ πανομιλεὶ στείχουσιν T. 273. εὐφαμεῖτε δὲ πανδαμεὶ E. 991.
Πανδημία. πανδημίᾳ γὰρ χερσὶ δεξιωνύμοις ἔφριξεν αἰθὴρ S. 602.
Πάνδικος. κλύετε πανδίκους ἡμετέρας λιτὰς T. 155.
Πανδίκως. φρόντισον, καὶ γενοῦ πανδίκως εὐσεβὴς πρόξενος S. 414. ἡ δὲ πανδίκως ἐχθαίρεται C. 239. πανδίκως μεμνημένος C. 670. ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι κ. τ. λ. E. 771. ἦ δῆτ' ἂν εἴη πανδίκως ψευδώνυμος Δίκη T. 652.
Πανδοκεῖν. ἅπαντα πανδοκοῦσα παιδείας ὄτλον ἐθρέψατ' T. 18.
Πάνδοκος. ναύστολον θεωρίδα τὰν ἀστιβῆ 'Απόλλωνι, τὰν ἀνάλιον, πάνδοκον T. 842. μεθιέναι ἄγκυραν ἐν δόμοισι πανδόκοις ξένων C. 651.
Πάνδυρτος. ἵετ' αἰανὴν πάνδυρτον δύσθροον αὐδὰν P. 903. ἥσω τοι καὶ πάνδυρτον P. 906.
Πανεργάτης. ἰώ, ἰὴ διαὶ Δίκης παναιτίου πανεργάτα A. 1465.
Πανήγυρις. μήποτ' ἐμὸν κατ' αἰῶνα λίποι θεῶν ἅδε πανήγυρις T. 202. κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει A. 819.
Πανήμερος. ἄκλητος ἕρπων δαιταλεὺς πανήμερος V. 1026.
Πάνιος. Πανίας βήσσας Calist. 1.
Πάννυχος. πάννυχοι δὲ διάπλοον καθίστασαν ναῶν ἄνακτες πάντα ναυτικὸν λεὼν P. 374.
Πανοιζύς. ἰὼ πανοιζὺς ἑστία C. 48.
Πανοίμοι. οἴμοι, πανοίμοι δεσπότου τελουμένου C. 862.
Πάνολβος. γείνατο παῖδ' ἀμεμφῆ, δι' αἰῶνος μακροῦ πάνολβον S. 577.
Πανομιλεί. ποτὶ πύργους πανδημεὶ πανομιλεὶ στείχουσιν T. 273.
Πάνοπλος. ἐγγὺς γὰρ ἤδη πάνοπλος 'Αργείων στρατὸς χωρεῖ T. 59.
Πανόπτης. ποῖον πανόπτην οἰοβουκόλον λέγεις; S. 300. τὸν πανόπτην ἡλίου κύκλον καλῶ V. 91. Παλλάδος ἀστοῖσι Ζεὺς πανόπτας E. 997.
Πανός. μέγαν δὲ πανὸν ἐκ νήσου τρίτον Ἄθωον αἶπος Ζηνὸς ἐξεδέξατο A. 275.
Πανουργία. πανουργίᾳ τινὶ πλοῖον ξυνεισβὰς T. 585.
Πανσέληνος. λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει, πρέσβιστον ἄστρων, νυκτὸς ὄφθαλμος, πρέπει T. 371.
Πάνσοφος. τὸ πάνσοφον νῦν ὄνομα τοῦτό μοι φράσον S. 315.
Παντάλας. παντάλαν' ἄχη διαβοάσω P. 629.
Πανταρκής. ὁ γεραιὸς πανταρκὴς ἀκάκης, ἄμαχος βασιλεὺς ἰσόθεος Δαρεῖος P. 841.
Πανταχῆ. εὖ δὲ πανταχῆ τελεῖν σοι τῶνδε κρίνομεν πέρι P. 221. ἀλγεινὰ μέν μοι καὶ λέγειν ἔστιν τάδε, ἄλγος δὲ σιγᾶν, πανταχῆ δὲ δύσποτμα V. 198. πράξας γὰρ ἕν σοι πανταχῆ τάδ' αἰνέσω E. 447.
Παντελής. δήμου δέδοκται παντελῆ ψηφίσματα S. 596. ὦ Ζεῦ πάτερ παντελὲς πάντως ἄρηξοι δ ἰΐων ἅλωσιν T. 111. παντελῆ σάγην ἔχων C. 553. τάχα δὲ παντελὴς χρόνος ἀμείψεται πρόθυρα δωμάτων C. 959.
Παντελῶς. θεοῖσι τοῖς νέοις τούτοις γέρα τις ἄλλος 'γώ, παντελῶς διώρισεν; V. 438. πατρὸς δ' ἀρὰ Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται V. 913.
Πάντεχνος. παντέχνου πυρὸς σέλας V. 7.
Παντευχία. ἀποδηλώσας ἔχει τραχὺν πετραῖον ὄρνιν ἐν παντευχίᾳ Fragm. I. 32. 3.
Παντοδαπός. παντοδαπὸς δὲ καρπὸς χαμάδις πεσὼν ἀλγύνει κυρήσας T. 339.
Πάντοθεν. ταυτὴν ἐπαινεῖν πάντοθεν πληθύνομαι A. 1343.
Πάντολμος. φῶτα πάντολμον φρένας T. 653. ἰὼ δαΐα πάντολμε μῆτερ C. 423. παντόλμους ἔρωτας C. 589.
Παντομισής. ὦ παντομισῆ κνώδαλ' E. 615.
Παντόσεμνος. ἀνδρὸς μὲν ὑμῖν οὗτος εἴρηται μόρος τοῦ παντοσέμνου E. 607.
Παντότολμος. τὸ παντότολμον φρονεῖν μετέγνω A. 214. ἐπωλολύξατο ἡ

παντότολμος, ὥσπερ ἐν μάχης τροπῇ A. 1210.

Παντόφυρτος. τὰ πολλὰ παντόφυρτ' ἄνευ δίκης E. 524.

Παντότροφος. λίμνα παντοτρόφων Αἰθιόπων Prom. Sol. 3. 4.

Πάντροπος. τετραμμένου παντρόπῳ φυγᾷ γένους T. 936.

Πάντροφος. δυσευνήτειρα πάντροφος πελειὰς T. 276.

Πάντως. ἄλλως τε πάντως οἱ κατὰ χθονὸς θεοὶ λαβεῖν ἀμείνους εἰσὶν ἢ μεθιέναι P. 675. ὦ Ζεῦ πατὲρ παντελὲς πάντως ἄρηξον δαΐων ἅλωσιν T. 111. πάντως δ' ἀνάγκη τῶνδέ μοι τόλμαν σχέθειν V. 16. πάντως γὰρ οὐ πείσεις νιν V. 333. σὸν ἔργον, Ἰοῖ ταῖσδ' ὑπουργῆσαι χάριν, ἄλλως τε πάντως καὶ κασιγνήταις πατρὸς V. 639. πάντως τι καινὸν ἀγγελῶν ἐλήλυθε V. 945. πάντως ἐμέ γ' οὐ θανατώσει V. 1055. οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν, ἄλλως τε πάντως χὤτε δεόμενος τύχοι E. 696.

Πάνυ. τὰς πολλάς, τὰς πάνυ πολλὰς ψυχὰς ὀλέσασ' ὑπὸ Τροίᾳ A. 1431. ἢ πάνυ θήσειν Ἀγαμεμνονίων οἴκων ὄλεθρον διὰ παντὸς C. 848.

Πανώλεθρος. τὸν πανώλεθρον θεὸν βαρὺν ξύνοικον θησόμεσθ' ἀλάστορα S. 410. νᾶες δ' ἀπώλεσαν πανωλέθροις ἐμβολαῖς P. 554. μή μοι πόλιν γε πρυμνόθεν πανώλεθρον ἐκθαμνίσητε δηάλωτον T. 71. ὁμόσποροι δῆτα καὶ πανώλεθροι T. 916. πανώλεθρον αὐτόχθονον πατρῷον ἔθρισεν δόμον A. 521. τοῦθ' ὅμως αἱρούμεθα ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν C. 922. πανώλεθρος δ' οὔποτ' ἂν γένοιτο E. 522.

Πανώλης. ἰάπτει δ' ἐλπίδων ἀφ' ὑψιπύργων πανώλεις βροτοὺς S. 96. Βακτρίων δ' ἔρρει πανώλης δῆμος P. 718. πανώλεις παγκακῶς τ' ὀλοίατο T. 534.

Πάνωρος. καρποτελεῖ δέ τοι Ζεὺς ἐπικραινέτω φέρματι γᾶν πανώρῳ S. 672.

Παπαῖ. παπαῖ παπαῖ· καὶ πλέον ἢ παπαῖ μὲν οὖν P. 988. ἓ, ἓ, παπαῖ, παπαῖ, τί τόδε φαίνεται; A. 1085. παπαῖ, οἷον τὸ πῦρ A. 1229. αἷμα μητρῷον χαμαί, δυσαγκόμιστον, παπαῖ E. 252.

Παπταίνειν. πάπταινε δ' αὐτὸς μή τι πημανθῇς ὁδῷ V. 334. σὺ δὲ πάπταινε καὶ φρόντιζε μηδ' αὐθαδίαν εὐβουλίας ἀμείνον' ἡγήσῃ ποτὲ V. 1036.

Πάρ. μέγας γὰρ ἔμπας πὰρ' Διὸς θρόνοις λέγῃ E. 220.

Παρά. τὸ μὴ μάταιον δ' ἐκ μετωποσωφρόνων ἴτω προσώπων ὄμματος παρ' ἡσύχου S. 196. πῶς δ' οὐ γαμῶν ἄκουσαν ἄκοντος πάρα ἁγνὸς γένοιτ' ἄν; S. 224. σὺ δὲ παρ' ὀψιγόνου μάθε S. 362. ξὺν εὐχαῖς ἐμαῖς λυτηρίοις μηχαναῖς θεῶν πάρα S. 1059. πρῶτον μὲν ἠχῇ κέλαδος Ἑλλήνων παρὰ μολπηδὸν εὐφήμησεν P. 380. καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος ὑπηντίαζε P. 398. οὐ βραδύνεται παρ' ἀσπίδος γυμνωθὲν ἁρπάσαι δόρυ T. 606. μηδ' ἐλιννύσαιμι θεοὺς ὁσίαις θοίναις ποτινισσομένα βουφόνοις παρ' Ὠκεανοῦ πατρὸς ἄσβεστον πόρον V. 530. τὰ λοιπὰ δ' ἄθλων σοῦ διδαχθήτω πάρα V. 636. τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα κούφως V. 702. εἰ προσδοκᾷς ἐμοῦ τι πεύσεσθαι πάρα V. 990. εὐάγγελος μέν, ὥσπερ ἡ παροιμία, ἕως γένοιτο μητρὸς εὐφρόνης πάρα A. 256. ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμεναι A. 304. οὐκ ἄλλων πάρα μαθοῦσ' A. 832. παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας A. 891. πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν γυναικὸς ἀνδρί, τῆς ἐμῆς μητρὸς πάρα; C. 87. καὶ ταῦτα μοὐστὶν εὐσεβῆ θεῶν πάρα; C. 120. πῶς οὖν παλαιὰ παρὰ νεωτέρας μάθω; C. 169. βοᾷ γὰρ λοιγὸν Ἐρινὺς πάρα τῶν προτέρων φθιμένων ἄτην ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ C. 396. εἰ παρ' Ἑλλήνων τινὲς E. 31. τεύξῃ παρ' ἀνδρῶν καὶ γυναικείων στόλων ὅσην παρ' ἄλλων οὔποτ' ἂν σχέθοις βροτῶν E. 818. κλάδοι γε μὲν δή, κατὰ νόμους ἀφικτόρων κεῖνται παρ' ὑμῖν πρὸς θεοῖς ἀγωνίοις S. 239. χθόνα παρ' Αἰθίοψιν ἀστυγειτονουμένας S. 283. βοᾷ παρ' ὄχθαις ποταμίαις, μάχης ἐρῶν T. 374. οἶδ' ὅτι τραχὺς καὶ παρ' ἑαυτῷ τὸ δίκαιον ἔχων Ζεὺς V. 186. παρ' εὐδείπνοις ἔσῃ ἄτιμος ἐν πυροῖσι κνισσωτοῖς χθονὸς C. 478. μέγα γὰρ δύναται πότνι' Ἐρινὺς παρά τ' ἀθανάτοις τοῖς θ' ὑπὸ γαῖαν E. 911. παρ' Ὠκεανῷ λίμνα Prom. Sol. 178. 4. οὐδ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον

Fragm. 27. 4. ἢ καὶ μὴ τέλεον δόντες ἔχειν παρ' αἶσαι S. 74. γένοιτο δ' εὖ παρὰ γνώμην ἐμὴν S. 449. Παμφύλων τε γένη διορνυμένα παρὰ ποταμοὺς ἀενάους S. 548. στυφλοὺς παρ' ἀκτὰς θείνεται Σιληνίων P. 295. τούτου παρ' ὄχθας ἔρφ' V. 812. καὶ παρ' ἄκοντας ἦλθε σωφρονεῖν A. 173. λιτὰς παρ' οὐδὲν ἔθεντο A. 221. ἅλις πάρα Σκάμανδρον ἦλθες ἀνάρσιος A. 498. γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα A. 873. καὶ δὴ τόδ' εἰπὲ μὴ πάρα γνώμην ἐμοὶ A. 905. οἳ δ' οὔποτ' ἐλπίσαντες ἤμησαν καλῶς, ὠμοί τε δούλοις πάντα, καὶ παρὰ στάθμην A. 1015. παρὰ Σκαμάνδρου πόρον τέθαψαι C. 361. κρατεῖταί πως τὸ θεῖον πάρα τὸ μὴ ὑπουργεῖν κακοῖς C. 952. παρὰ νόμον θεῶν βρότεα μὲν τίων, παλαιγενεῖς δὲ Μοίρας φθίσας E. 164. παρ' οὐδὲν ἠρκέσω Ἥρας τελείας καὶ Διὸς πιστώματα E. 204. ἀπὸ γάρ με τιμᾶν θεαὶ δυσπάλαμοι παρ' οὐδὲν ἦραν δόλοι E. 809.

Παραβαίνειν. γόον ὑστερόποινον πέμπει παραβᾶσιν Ἐριννὺς A. 59. δίκην παραβάντες A. 763.

Παραβάλλειν. τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην Fragm. Inc. 24.

Παράγειν. παράγει βροτὸν εἰς ἀρκύστατα P. 98.

Παραγγέλλειν. οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω A. 285. πέζῳ παραγγείλας ἄφαρ στρατεύματι ἤιξ' ἀκόσμῳ ξὺν φυγῇ P. 461. πεύκη σέλας παραγγείλασα Μακίστου σκοπαῖς A. 280. τέκμαρ τοιοῦτον ξύμβολόν τε σοὶ λέγω ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοὶ A. 307.

Παράγγελμα. φλογὸς παραγγέλμασιν νέοις πυρωθέντα καρδίαν A. 467.

Παραγίγνεσθαι. μάρτυρες ὀρθαὶ τοῖσι θανοῦσιν παραγιγνόμεναι E. 309.

Παραθέλγειν. ἀπύρων ἱερῶν ὀργὰς ἀτενεῖς παραθέλξει A. 71.

Παραιβασία. παλαιγενῆ γὰρ λέγω παραιβασίαν ὠκύποινον T. 725.

Παραινεῖν. κρίνω σε νικᾶν, καὶ παραινεῖς μοι καλῶς C. 890. ἔλαφρον, ὅστις πημάτων ἔξω πόδα ἔχει, παραινεῖν νουθετεῖν τε τοὺς κακῶς πράσσοντας V. 264. ταῦτα θυμόμαντις ὢν σοὶ πρευμενῶς παρῄνεσα P. 220. παραινέσαι γέ σοι θέλω τὰ λῷστα V. 307.

Παραίνεσις. ταύτην μὲν ἐξέτειν' ἐμοῖς παραίνεσιν ἀστοῖσιν ἐς τὸ λοιπὸν E. 677.

Παραιτεῖσθαι. θεοὺς ἐγχωρίους λιταῖς παραιτοῦ S. 516. νῦν παραιτουμένῃ μοι, πατὲρ Ζεῦ θεῶν Ὀλυμπίων, δὸς τύχας C. 774.

Παραίτιος. ἡ μοῖρα τούτων, ὦ τέκνον, παραιτία C. 897.

Παρακαλεῖν. τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς P. 372.

Παρακλίνειν. παρακλίνουσ' ἐπέκρανεν δὲ γάμου πικρὰς τελευτὰς A. 724.

Παράκοπος. οἰστρηλάτῳ δὲ δείματι δειλαίαν παράκοπον ὧδε τείρεις V. 582.

Παρακοπά. βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις τάλαινα παρακοπὰ πρωτοπήμων A. 216. ἐπὶ δὲ τῷ τεθυμένῳ τόδε μέλος, παρακοπὰ, παραφορὰ φρενοδαλὴς, ὕμνος ἐξ Ἐριννύων E. 317.

Παράκτιος. τὴν παρακτίαν κέλευθον ἦξας V. 838.

Παραλλαγή. φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγαὶ A. 476.

Παραλλάσσειν. παραλλάξασα διὰ χερῶν βέβακεν ὄψις A. 412.

Παράλιος. ἀνὰ τὰν παραλίαν ψάμμον πλανᾷ V. 573.

Παράμουσος. καὶ παράμουσος ἄτης αἱματόεσσα πλαγὰ C. 460.

Παραμυθεῖσθαι. ἄλλο τι φώνει, καὶ παραμυθοῦ μ' ὅ τι καὶ πείσεις V. 1065.

Παραμυκᾶσθαι. βρυχία δ' ἠχὼ παραμυκᾶται βροντῆς V. 1084.

Παρανικᾶν. θηλυκρατὴς ἀπέρωτος ἔρως παρανικᾷ κνωδάλων τε καὶ βροτῶν C. 592.

Παράνοια. παράνοια σύναγε νυμφίους φρενώλεις T. 738.

Παράνους. ἰὼ, ἰὼ παράνους Ἑλένα A. 1430.

Παραπαίειν. τί γὰρ ἐλλείπει μὴ παραπαίειν; V. 1058. σοφιστὴς καλὰ παραπαίων χέλυν Fragm. 50.

Παραπατᾶν. οἴνῳ παρηπάτησας ἀρχαίας θεὰς E. 698.

Παράῤῥυσις. στόλμοί τε λαίφους, καὶ παραῤῥύσεις νεὼς S. 696.

Παράσημος. δύναμιν οὐ σέβουσα πλούτου παράσημον αἴνῳ A. 755.

Παρασκευάζειν. Καπανεὺς δ' ἀπειλεῖ δρᾶν παρεσκευασμένος T. 422. ἀπει-

λεῖν ὡς παρεσκευασμένη A. 1396. ὁρᾶτέ μ' ὡς παρεσκευασμένος ξὺν τῷδε θαλλῷ καὶ στέφει προσίξομαι μεσόμφαλον θ' ἵδρυμα C. 1032. τοῖον παλαιστὴν νῦν παρασκευάζεται ἐπ' αὐτὸς αὐτῷ V. 922. θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι A. 344.

Παρασκηνοῦν. ἐπὶ τέρματι φᾶρος παρεσκήνωσε E. 604.

Παρασκοπεῖν. ἦ καρτ' ἄρ' ἂν παρεσκόπεις χρησμῶν ἐμῶν A. 1226.

Παρασπίστης. μὴ παρασπίστης ἐμοὶ εἴη Fragm. 305. 1.

Παρασταδόν. κύκλῳ παρασταδὸν στέγαστρον ἀνδρὸς δείξαθ', ὡς ἴδῃ πατὴρ C. 977.

Παραστατεῖν. φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ A. 14. ἐκ τῶνδέ τοι παῖς ἐνθάδ' οὐ παραστατεῖ A. 851. οἶμαί νιν αὐτῷ νῦν παραστατεῖν πέλας T. 651. τὸν θεὸν καλεῖ οὐδὲν προσήκοντ' ἐν γόοις παραστατεῖν A. 1049. θαυμάζω δέ σου πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν κυρεῖν λέγουσαν, ὥσπερ εἰ παρεστάτεις A. 1174.

Παραστάτης. ποῦ δέ σοι παραστάται; P. 918.

Παρασύρειν. οὐ γὰρ δή που τοῦτό γε τλητὸν παρέσυρας ἔπος V. 1067.

Παραυτά. παραυτὰ δ' ἐλθεῖν ἐς Ἰλίου πόλιν λέγοιμ' ἂν A. 720.

Παραυτίκα. οὐδ' ἐν ἀγκυρουχίαις θαρσοῦσι ναῶν ποιμένες παραυτίκα S. 748.

Παραφορά. ἔπι δὲ τῷ τεθυμένῳ τόδε μέλος, παρακοπὰ, παραφορὰ φρενοδαλὴς, ὕμνος ἐξ Ἐριννύων E. 317.

Παραφρονεῖν. παραφρονῶ φόβῳ λόγου T. 788.

Παρβαίνειν. τοῖς τἀμὰ παρβαίνουσι νῦν ὁρκώματα ἀμηχάνοισι πράξομεν δυσπραξίαις E. 738.

Παρβάτης. τὸν ἀντίτολμον δὲ φαμὶ παρβάταν E. 523.

Πάρβατος. Διὸς οὐ πάρβατός ἐστιν μεγάλα φρὴν ἀπέρατος S. 1034.

Παρειά. δάπτω τὰν ἁπαλὰν νειλοθερῆ παρειὰν S. 68. δακρυσίστακτοι δ' ἀπ' ὄσσων ῥαδινὸν λειβομένα ῥέος παρειὰν νοτίοις ἔτεγξα παγαῖς V. 399.

Παρεῖναι. πάρεστι δ' ἔργον, ὡς ἔπος S. 593. πάρεστιν οἰκεῖν καὶ μονορρύθμους δόμους S. 939. τούτων τὰ λῷστα καὶ τὰ θυμηδέστατα πάρεστι S. 941. οἴκησις δὲ καὶ διπλῆ πάρα S. 987. μετάκοινοι δὲ φίλα ματρὶ πάρεισιν S. 1022. ὅσον σθένος πάρα P. 161. ὧδέ τις πάρεστιν αὐτοῖς ἀνδροπληθία στρατοῦ P. 231. μεμνῆσθαί τοι πάρα ὡς πολλὰς Περσίδων μάταν ἔκτισαν εὔνιδας ἠδ' ἀνάνδρους P. 279. ξανθῆς ἐλαίας καρπὸς εὐώδης πάρα P. 609. ὡς ἰδεῖν τέλος πάρεστιν οἷον ἤνυσεν κακὸν P. 712. τίν' ἐκ τῶνδ' εἰκάσαι λόγος πάρα; T. 338. τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα T. 796. πάρεστι δ' εἰπεῖν ἐπ' ἀθλίοισιν, ὡς κ. τ. λ. T. 905. καὶ δὴ πρόχειρα ψάλια δέρκεσθαι πάρα V. 54. ὡς τοίνυν ὄντων τῶνδέ σοι μαθεῖν πάρα V. 762. σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι V. 820. πάρεστι τοῦτό γ' ἐξιχνεῦσαι A. 359. πάρεστι σῖγ' ἄτιμος A. 400. ὀνειρόφαντοι δὲ πενθήμονες πάρεισιν δόξαι φέρουσαι χάριν ματαίαν A. 410. οὔτοι θυραίαν τήνδ' ἐμοὶ σχολὴ πάρα τρίβειν A. 1025. ὁρᾷν πάρεστι A. 1327. ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα A. 1585. πράσσε, πιαίνου μιαίνων τὴν δίκην, ἐπεὶ πάρα A. 1654. ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοὶ πομποὶ C. 83. τῶνδ' οὐ πάρεστι θάρσος C. 89. πάρεστι δ' ὠδὶς καὶ φρενῶν καταφθορὰ C. 209. ἰδεῖν πάρεστί σοι C. 251. πάρεστι σαίνειν, τὰ δ' οὔτι θέλγεται C. 414. πάρεστι γὰρ καὶ θερμὰ λουτρὰ, καὶ πόνων θελκτήρια, στρωμνὴ C. 657. πάρα τὸ φῶς ἰδεῖν C. 966. ὡς ἐπεικάσαι πάθη πάρεστιν C. 971. περὶ κάρα πάρεστι γᾶς ὀμφαλὸν προσδρακεῖν E. 159. τό δ' οὐ πάρεστιν E. 251. ταρβῶ μὲν οὐδὲν, θαῦμα δ' ὄμμασιν πάρα E. 385. δυοῖν παρόντοιν, ἥμισυς λόγου πάρα E. 406. πέλας μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διὸς E. 634. τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ E. 829. εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν S. 242. καὶ μὴν παρών γε κοὐ λόγους ἄλλων κλύων, Πέρσαι, φράσαιμ' ἂν P. 258. πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακὰ P. 322. μηδέ τις ὑπερφρονήσας τὸν παρόντα δαίμονα, ἄλλων ἐρασθεὶς ὄλβον ἐκχέῃ μέγαν P. 811. ἦ πολλὰ καὶ παρόντα καὶ μέλλοντ' ἔτι ἤλγησ' ἀκούσας βαρβάροισι πήματα P. 829. τί δ' ἐστὶ πρᾶγος νεόκοτον πόλει παρόν; T. 785. ἀεὶ δὲ τοῦ παρόντος ἀχθηδὼν

κακοῦ τρύσει σε V. 27. πόνων τῶν νῦν παρόντων οὐδὲν αἴτια τέχνη V. 47. αἶ αἶ, τὸ παρὸν τό τ' ἐπερχόμενον πῆμα στενάχω V. 97. καί μοι τὰ μὲν παρόντα μὴ 'δύρεσθ' ἄχη V. 271. ὥστε σοι τὸν νῦν χόλον παρόντα μόχθων παιδίαν εἶναι δοκεῖν V. 314. ἐγὼ δὲ τὴν παροῦσαν ἀντλήσω τύχην V. 375. στέλλου, κομίζου, σῶζε τὸν παρόντα νοῦν V. 392. οὐκ ἔχω σόφισμ' ὅτῳ τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ V. 469. χλιδᾷν ἔοικας τοῖς παροῦσι πράγμασιν V. 973. τόλμησόν ποτε πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν V. 1002. καὶ σύ μ' ἐν τάχει παρὼν ἄγαν γ' ἀληθόμαντιν οἰκτείρας ἐρεῖς A. 1213. εἴπερ οἶδεν ἔνδημος παρὼν C. 563. νῦν δ' ἥπερ ἐν δόμοισι βακχείας καλῆς ἰατρὸς ἐλπὶς ἦν, παροῦσαν ἐγγράφει C. 688. αὐτὸς ἦν θνήσκοντος ἐγγύθεν παρὼν C. 839. νῦν δ' αὐτὸν αἰνῶ, νῦν ἀποιμώζω παρὼν C. 1009. θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρὼν E. 826. τις παροῦσα δαιμόνων ἔδειξεν αὐτῷ Thress. 1. 4. ἐν θοίνῃ παρὼν Fragm. Psych. 1. ἃ δεῖ παρὼν φρόντιζε, μὴ παρὼν ἀπῇς Fragm. Inc. 7. φόβος δὲ πᾶσι βαρβάροις παρῆν γνώμης ἀποσφαλεῖσιν P. 383. παρῆν ὁμοῦ κλύειν πολλὴν βοὴν P. 393. ἀρωγὴ δ' οὔτις ἀλλήλοις παρῆν P. 406. ἀκάματον δὲ παρῆν σθένος ἀνδρῶν τευχεστήρων P. 869. ἡ Διὸς παῖς παρθένος Δίκη παρῆν ἔργοις ἐκείνου καὶ φρεσὶν T. 644. οἶδ', ὦ τέκνον, παρῆ γὰρ C. 516. ἐκ Διὸς γὰρ λαμπρὰ μαρτυρία παρῆν E. 764. θάρσει παρέσται μηχανὴ δραστήριος T. 1032.

Παρειπεῖν. πατρῴας μόγις παρειποῦσα φρένας V. 131.

Παρείρειν. μίαν παρείρας πλεκτάνην χειμάρροον στέγην πυρώσω Fragm. Orith. 1. 4.

Παρεκβαίνειν. τὸ πᾶν Διὸς σέβας παρεκβάντες οὐ θεμίστως C. 636.

Παρεκπίπτειν. 'Αθήνας Διάδας παρεκπεσὼν Glauc. Mar. 2.

Παρεμφερής. θηρσὶν αὐτὸς γίγνεται παρεμφερὴς Fragm. Inc. 168. 5.

Παρεξιέναι. οὔποτε τὴν Διὸς ἁρμονίαν θνητῶν παρεξίασι βουλαὶ V. 551.

Παρέρχεσθαι. τὰ δ' ὀλοὰ τελλόμεν' οὐ παρέρχεται T. 750. καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι πᾶς τις παρελθὼν ὄμματος θελκτήριον τόξευμ' ἔπεμψεν, ἱμέρου νικώμενος S. 982. ἠκούσαμεν μέν, πυνθάνου δὲ τῶν ξένων ἔσω παρελθὼν C. 836.

Πάρευνος. ἰὼ πῆμα πατρὶ πάρευνον T. 995.

Παρέχειν. πέζοι τε βάδην πολεμοῦ στῖφος παρέχοντες P. 20. τοῖς μὲν ἀοιδάς, τοῖς δ' αὖ δακρύων βίον ἀμβλωπὸν παρέχουσαι E. 915. ὁ δ' οὐδὲν ἄλλο γ' ἢ πτήξας δέμας παρεῖχε P. 206. χειμῶν'—οἷον παρεῖχ' ἄφερτον 'Ιδαία χιὼν A. 550. ὅποι δὲ καὶ προβαίνων πάχνᾳ κουροβόρῳ παρέξει A. 1493. παρέσχε δαῖτα παιδείων κρεῶν A. 1575. Σάρδεσι πένθος παρασχὼν P. 314. εἷς ἀνὴρ πλεῖστον πόνον ἐχθροῖς παρασχὼν P. 323.

Παρηβᾷν. χρόνος δ' ἐπεὶ πρυμνησίων ξυνεμβόλοις ψαμμίας ἀκάτας παρήβησεν A. 958.

Παρηγορεῖν. τλάμων δ' οὐ μάταν παρηγορεῖ E. 483. ὀχλεῖς μάτην με κῦμ' ὅπως παρηγορῶν V. 1003. καὶ παῖδ' ἐάν περ δεῦρ' ἐμοῦ πρόσθεν μόλῃ, παρηγορεῖτε, καὶ προπέμπετ' ἐς δόμους P. 522. ἀεὶ γὰρ ὄψεις ἔννυχοι πολεύμεναι ἐς παρθενῶνας τοὺς ἐμούς, παρηγόρουν λείοισι μύθοις V. 649.

Παρηγορία. φαρμασσομένη χρίσματος ἁγνοῦ μαλακαῖς ἀδόλοισι παρηγορίαις A. 95.

Παρηΐς. στείχει δ' ἴουλος ἄρτι διὰ παρηΐδων T. 516. πρέπει παρηῒς φοινίοις ἀμυγμοῖς ὄνυχος ἄλοκι νεοτόμῳ C. 24.

Παρημελεῖν. θεοῖς μὲν ἤδη πως παρημελήμεθα T. 684. οὔ σ' 'Αθηναίας σθένος ῥύσαιτ' ἄν, ὥστε μὴ οὐ παρημελημένον ἔρρειν E. 290.

Πάρηξις. μόχθους γὰρ εἰ λέγοιμι καὶ δυσαυλίας, σπαρνὰς παρήξεις καὶ κακοστρώτους A. 542.

Παρήορος. καὶ νῦν ἀχρεῖον καὶ παρήορον δέμας κεῖται στενωποῦ πλησίον θαλασσίου ἰπούμενος ῥίζησιν Αἰτναίαις ὕπο V. 363.

Παρθένειος. λιτὰς δὲ καὶ κληδόνας πατρῴους παρ' οὐδὲν αἰῶνα παρθένειόν τ' ἔθεντο φιλόμαχοι βραβῆς A. 221.

Παρθενεύεσθαι. τί παρθενεύῃ δαρὸν, ἐξόν σοι γάμου τυχεῖν μεγίστου; V. 651.

Παρθενία. ταρβῶ γὰρ ἀστεργάνορα

παρθενίαν εἰσορῶσ' Ἰοῦς γάμῳ δαπτομέναν δυσπλάνοις Ἥρας ἀλατείαις πόνων V. 900.

Παρθένιος. πανσανέμου γὰρ θυσίας παρθενίου θ' αἵματος ὀργᾷ περιόργως ἐπιθυμεῖν θέμις A. 208.

Παρθενοπαῖος. Παρθενοπαῖος Ἀρκὰς T. 529.

Παρθένος. ἡ Διὸς παῖς παρθένος Δίκη παρῆν ἔργοισιν αὐτοῦ καὶ φρεσὶν T. 644. κλύεις φθέγμα τῆς βούκερω παρθένου V. 590. τί φάρμακον νόσου; δεῖξον, εἴπερ οἶσθα, θρόει· φράζε τᾷ δυσπλάνῳ παρθένῳ V. 611. πατὲρ γεραιὲ τῶνδε παρθένων S. 475. καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι πᾶς τις παρελθὼν ὄμματος θελκτήριον τόξευμ' ἔπεμψεν, ἱμέρου νικώμενος S. 981. ἴδετε παρθένων ἱκέσιον λόχον δουλοσύνας ὕπερ T. 107. κλύετε παρθένων T. 155. ὠμὸν οὔτε παρθένων ἐπώνυμον φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων, προσίσταται T. 518. Κολχίδος τε γᾶς ἔνοικοι, μάχας ἄτρεστοι V. 414. Ἴστρος τοιαύτας παρθένους λοχεύεται Fragm. Niobe 8. ἁγναὶ παρθένοι, γαμηλίων λέκτρων ἄγευστοι Fragm. Sag. 1. τίς ἄν σε νύμφη, τίς δὲ παρθένος νεὰ δέξαιτ' ἄν; Fragm. Phil. 1. χλιδῶν τε πλοκαμὸς, ὥστε παρθένοις ἁβραῖς Fragm. Inc. 107. λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα P. 605.

Παρθενόσφαγος. μιαίνων παρθενοσφάγοισιν ῥεέθροις χέρας πατρῴους βωμοῦ πέλας A. 202.

Παρθενών. ἀεὶ γὰρ ὄψεις ἔννυχοι πολεύμεναι ἐς παρθενῶνας τοὺς ἐμοὺς, παρηγόρουν λείοισι μύθοις V. 649.

Πάρθος. Πάρθον τε, μέγαν τ' Οἰβάρην ἔλιπες P. 946.

Παριέναι. οὔτε μέλλων, οὔτ' ἀφρασμόνως ὕπνῳ νικώμενος παρῆκεν ἀγγέλου μέρος A. 282. πειθοῦ κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοὶ A. 917. κύνας πατρὸς δὲ πῶς φύγω, παρεὶς τάδε C. 912. παρέντι δ' οὐκ ἐρῶ τὴν ζημίαν C. 1028.

Πάρις. φῶτ' ἄδικον, οἷος καὶ Πάρις A. 388. Πάρις γὰρ οὔτε συντελὴς πόλις ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον A. 518. κικλήσκουσα Πάριν τὸν αἰνόλεκτρον P. 695. ἰὼ γάμοι, γάμοι Πάριδος ὀλέθριοι φίλων P. 1128.

Παριστάναι. ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας πέλας παρίσταт' Fragm. 434. 2. συγγνοῖτο δῆτα καὶ παρασταίη πρόφρων S. 213. νῦν ὅτε σοι παρέστακεν· ἐπεὶ δαίμων λήματος ἐν τροπαίᾳ χρονίᾳ μεταλλακτὸς, ἴσως ἂν ἔλθοι θαλερωτέρῳ πνεύματι T. 687. κράτιστα δή μοι τῶν παρεστώτων τότε ἐφαίνετ' εἶναι κ. τ. λ. V. 215. τὰ λῷστα τῶν παρεστώτων λέγει A. 1023. διὰ τέλους δέ σοι φύλαξ ἐγγὺς παρεστὼς E. 65. πίπτει δ' ἐμὸς παῖς καὶ πατὴρ παρίσταται Δαρεῖος οἰκτείρων σφε P. 193. τέταρτος ἄλλος, γείτονας πύλας ἔχων Ὄγκας Ἀθάνας, ξὺν βοῇ παρίσταται T. 469.

Παρνάσιος. ὁ Λοξίας ὁ Παρνάσιος C. 941.

Παρνησίς. ἄμφω δὲ φωνὴν ἥσομεν Παρνησίδα C. 556.

Παρνησός. ἐς τήνδε γαῖαν ἦλθε, Παρνησοῦ θ' ἕδρας E. 11.

Πάροιθεν. οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην ὡς τῆς πάροιθεν εὐφρονῆς P. 176. τοιάνδε σοι πρὸς τὴν πάροιθε συμφορὰν πάρα στένειν P. 463. ἄνευ τ' ὀχημάτων χλιδῆς τε τῆς πάροιθεν P. 600. χρυσὸν δὲ τίς φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ; V. 501. ὅστις πάροιθεν ἦν μέγας A. 162. πολλῶν πάροιθεν καιρίως εἰρημένων A. 1345. πάροιθεν δὲ πρῴρας δριμὺς ἧται καρδίας θυμὸς C. 385.

Πάροικος. οἷαι Στρυμονίου πελάγους Ἀχελωΐδες εἰσὶ πάροικοι Θρηϊκίων ἐπαύλων P. 850.

Παροιμία. εὐάγγελος μὲν, ὥσπερ ἡ παροιμία, ἕως γένοιτο μητρὸς εὐφρονῆς πάρα A. 255.

Παροίχεσθαι. ἡ κάρτα νείκους τοῦδ' ἐγὼ παροίχομαι S. 447. παροίχομαι, πάτερ· δείματι S. 719. παροίχεται πόνος, παροίχεται δὲ, τοῖσι μὲν τεθνηκόσιν, τὸ μήποτ' αὖθις μηδ' ἀναστῆναι μέλειν A. 553.

Πάρορνις. ὀδοὺς ἀθύμους καὶ παρόρνιθας πόρους τιθέντες E. 740.

Πάρος. Πάρος, Νάξος, Μύκονος, Τήνῳ τε συνάπτουσ' Ἄνδρος P. 859.

Πάρος. ἐγὼ δ' ἂν οὐ κραίνοιμ' ὑπόσχεσιν πάρος, ἀστῶν δὲ πᾶσι τῶνδε κοινώσας πέρι S. 363. ἀλλὰ πολλὰ γίνεται πάρος πεσήματ' ἀνδρῶν S. 914. γίγας δδ' ἄλλος τοῦ πάρος λελεγμένου μείζων

T. 406. ἀδελφὸς τοῦ πάρος λελεγμένου T. 537. ὑπερήφανον θεοῖς τοῖς πάρος ἐνδείκνυσιν αἰχμὰν V. 404. πάρος δ', οἱ κτανόντες νιν οὕτω δαμῆναι, θανατηφόρον αἶσαν πρόσσω τινὰ πυνθάνεσθαι τῶνδε πόνων ἄπειρον C. 362.

Παρουσία. ὄμμα γὰρ δόμων νομίζω δεσπότου παρουσίαν P. 175. δικαίων ὀμμάτων παρουσία C. 660.

Παροψώνημα. ἐμοὶ δ' ἐπήγαγεν εὐνῆς παροψώνημα τῆς ἐμῆς χλιδῆς A. 1422.

Παρώνυμος. τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον E. 8.

Πᾶς. πάντα τοι φλεγέθει κἀν σκότῳ S. 83. παντὶ δὲ σθένουσι S. 139. ἄμεινόν ἐστι παντὸς εἵνεκ' S. 185. πάντων δ' ἀνάκτων τῶνδε κοινοβωμίαν σέβεσθε S. 219. γένος Πελασγῶν τήνδε καρποῦται χθόνα καὶ πᾶσαν αἶαν S. 251. καὶ ταῦτ' ἀληθῆ πάντα προσφύσω λόγῳ S. 273. τὸν πάνθ' ὁρῶντα φύλακ' ἐπέστησεν βοΐ S. 299. καὶ ταῦτ' ἔλεξας πάντα συγκόλλως ἐμοὶ S. 306. πᾶσιν ἀστῶν τῶνδε κοινώσας πέρι S. 364. μονοσκήπτροισι δ' ἐν θρόνοις χρέος πᾶν ἐπικραίνεις S. 370. ὦ πᾶν κράτος ἔχων χθόνος S. 420. ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ πάντες πολῖται S. 479. τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὔνοιαν φέρει S. 484. ἔνθεν πᾶσα βοᾷ χθὼν S. 578. τὸ πᾶν μῆχαρ οὔριος Ζεὺς S. 589. εὐμενὴς δ' ὁ Λύκειος ἔστω πάσᾳ νεολαίᾳ S. 670. τὸ πᾶν τ' ἐκ δαιμόνων λαβοῖεν S. 674. πᾶσά θ' ἡ 'πικουρία εὔπρεπτος S. 702. μέλας γενοίμαν καπνὸς, νέφεσσι γειτονῶν Διὸς, τὸ πᾶν δ' ἄφαντος S. 762. ὑμεῖς δὲ πᾶσαι στείχετ' εὐερκῆ πόλιν S. 932. προστάτης δ' ἐγὼ ἀστοί τε πάντες S. 943. πᾶς τις ἐπειπεῖν ψόγον ἀλλοθρόοις εὔτυκος S. 950. πᾶς δ' ἐν μετοίκῳ γλῶσσαν εὔτυκον φέρει κακὴν S. 972. παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι πᾶς τις παρελθὼν ὄμματος θελκτήριον τόξευμ' ἔπεμψε S. 982. πᾶσα γὰρ ἰσχὺς Ἀσιατογενὴς ᾤχωκε P. 12. τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πασῆς Ἀσίας ἕπεται P. 56. οὓς πέρι πᾶσα χθὼν Ἀσιῆτις θρέψασα, πόθῳ στένεται μαλερῷ P. 61. Ἀσίας ἄρχων ἐπὶ πᾶσαν χθόνα P. 75. πᾶς ἱππηλάτας καὶ πεδοστιβὴς λαὸς P. 124. χρεὼν αὐτὴν πάντας μύθοισι προσαυδᾶν P. 150. πάντα γὰρ τὰ κέδν' ἐν ὑμῖν ἐστί μοι βουλεύματα P. 168. ἀγάθ' ἐκτελῆ γενέσθαι σοί τε καὶ πᾶσιν φίλοις P. 215. ταῦτα δ', ὡς ἐφίεσαι, πάντα θήσομεν θεοῖσι P. 225. πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος P. 230. τάχ' εἴσῃ πάντα νημερτῆ λόγον P. 242. ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος P. 250. στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων P. 251. ὡς πάντα γ' ἔστ' ἐκεῖνα διαπεπραγμένα P. 254. πᾶς τε πρόσχωρος τόπος P. 265. πᾶς δ' ἀπώλλυτο στρατὸς P. 270. ὡς πάντα παγκάκως ἔθεσαν P. 273. πᾶν δ' ἀναπτύξας πάθος λέξον P. 286. καὶ γὰρ Ἕλλησιν μὲν ἦν ὁ πᾶς ἀριθμὸς ἐς τριηκάδας δέκα ναῶν P. 331. ἦρξε τοῦ παντὸς κακοῦ φανεὶς ἀλάστωρ P. 344. πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον P. 355. πᾶσι στέρεσθαι κρατὸς ἦν προκείμενον P. 363. πᾶς ἀνὴρ κώπης ἄναξ ἐς ναῦν ἐχώρει, πᾶς θ' ὅπλων ἐπιστάτης P. 370. καὶ πάννυχοι δὲ διέκπλοον καθίστασαν ναῶν ἄνακτες πάντα ναυτικὸν λεὼν P. 375. ἡμέρα πᾶσαν κατέσχε γαῖαν P. 379. φόβος δὲ πᾶσι βαρβάροις παρῆν P. 383. σάλπιγξ δ' ἀϋτῇ πάντ' ἐκεῖν' ἐπέφλεγεν P. 387. θοῶς δὲ πάντες ἦσαν ἐκφανεῖς ἰδεῖν P. 390. ὁ πᾶς στόλος ἐπεξεχώρει P. 392. νῦν ὑπὲρ πάντων ἀγὼν P. 397. ἀποθραύει πάντα Φοινίσσης νεὼς κόρυμβα P. 402. ἔθραυον πάντα κωπήρη στόλον P. 408. φυγῇ δ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο P. 414. ἀμφὶ δὲ κυκλοῦντο πᾶσαν νῆσον P. 449. ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ P. 458. πήγνυσιν δὲ πᾶν ῥέεθρον ἁγνοῦ Στρυμόνος P. 488. ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς ποδοῖν ἐνήλλου παντὶ Περσικῷ γένει P. 508. Ξέρξης πάντ' ἐπέσπε δυσφρόνως βαρίδεσσι ποντίαις P. 544. τὸ πᾶν δὴ κλύουσιν ἄλγος P. 575. ὅταν κλύδων κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ P. 592. πάντα μὲν φόβου πλέα P. 595. νεολαία γὰρ ἤδη κατὰ πᾶσ' ὄλωλε P. 657. πᾶσα γᾶ σὰ P. 664. εἰπὲ, καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ μεθεὶς P. 685. ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμῳ P. 695. πάντα γὰρ, Δαρεῖ', ἀκούσῃ μῦθον ἐν βραχεῖ λόγῳ

P. 699. ἀμφ' Ἀθήνας πᾶς διέφθαρται στρατὸς P. 702. κενώσας πᾶσαν ἠπείρου πλάκα P. 704. λαὸς πᾶς κατέφθαρται δορὶ P. 785. Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει P. 716. νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι φίλοις P. 729. θεῶν πάντων κρατήσειν ᾤετ' P. 735. ἕν' ἄνδρα πάσης Ἀσίδος μηλοτρόφου ταγεῖν P. 749. ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις P. 755. Ἰωνίαν τε πᾶσαν ἤλασεν βίᾳ P. 757. οὐ γὰρ πᾶν στράτευμα βαρβάρων περᾷ τὸν Ἕλλης πορθμόν; P. 784. πάντα γὰρ κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι στημορραγοῦσι ποικίλων ἐσθημάτων P. 820. νομίσματα πύργινα πάντ' ἐπεύθυνον P. 845. οἶ οἶ οἶ βόα καὶ πάντ' ἐκπεύθου P. 916. κατιδόντες στυγνὰς Ἀθάνας πάντες ἑνὶ πιτύλῳ P. 937. τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν Ἄλπιστον P. 941. ἔς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων ὁρμᾶσθε πάντες T. 31. ἴτ', ἴτε πάντες T. 105. παντὶ τρόπῳ πόλιν ῥύεσθε T. 283. ἐν παντὶ πράγει δ' ἔσθ' ὁμιλίας κακῆς κάκιον οὐδὲν T. 581. πᾶν τὸ Λαΐου γένος T. 673. ἰὼ δυσαδελφόταται πασῶν, ὁπόσαι στρόφον ἐσθῆσιν περιβάλλονται T. 852. ὡς ἐρξάτην πολλὰ μὲν πολίτας ξένων τε πάντων στίχας T. 907. δυσδαίμων σφιν ἁ τεκοῦσα πρὸ πασῶν γυναικῶν T. 910. κακὰ πρὸ πάντων ἐμοὶ T. 987. ἰὼ πάντων πολυπονώτατοι T. 991. πάντα προὐξεπίσταμαι σκεθρῶς τὰ μέλλοντ' V. 101. ἡ διδάσκαλος τέχνης πάσης βροτοῖς πέφηνε V. 111. τὸν πᾶσι θεοῖς δι' ἀπεχθείας ἐλθόνθ' V. 120. πᾶν μοι φοβερὸν τὸ προσέρπον V. 127. τοῦ πέρι πᾶσαν εἱλισσομένου χθόνα—Ὠκεανοῦ V. 138. πάντ' ἐκκάλυψον καὶ γέγων' ἡμῖν λόγον V. 193. τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου, οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν V. 215. ὡς μάθητε διὰ τέλους τὸ πᾶν V. 273. ἐμοὶ πάντων μετασχὼν V. 331. πᾶσιν ὃς ἀντέστη θεοῖς V. 354. τὸν μακρὸν χρόνον ἔφυρον εἰκῇ πάντα V. 448. ὑπὲρ γνώμης τὸ πᾶν ἔπρασσον V. 454. βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε, πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως V. 503. ὁ πάντα νέμων Ζεὺς V. 525. λέξω τορῶς σοι πᾶν, ὅ τι χρῄζεις μαθεῖν V. 612. πάντα γὰρ πύθοιό μου V. 619. τί δῆτα μέλλεις μὴ οὐ γεγωνίσκειν τὸ πᾶν V. 630. σαφεῖ δὲ μύθῳ πᾶν, ὅπερ προσχρῄζετε, πεύσεσθε V. 644. τοιοῖσδε πάσας εὐφρόνας ὀνείρασιν ξυνειχόμην δύστηνος V. 658. κεραυνὸν, ὃς πᾶν ἐξαϊστώσει γένος V. 671. ἐς τὰ πάνθ' ὅμως βίαιος V. 738. τῶν πάντων πόνων ἀπηλλάγην V. 751. οὐκ ἐναντιώσομαι τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅπερ προσχρῄζετε V. 789. πάντ' εἴρηκας V. 823. τὸ πᾶν πορείας ἤδε τέρμ' ἀκήκοεν V. 825. τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσιν βροτοῖς V. 843. πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω V. 963. ἁπλῷ λόγῳ τοὺς πάντας ἐχθαίρω θεοὺς V. 977. ἀλλ' ἐκδιδάσκει πάνθ' ὁ γηράσκων χρόνος V. 983. βροντήμασι χθονίοις κυκάτω πάντα V. 997. τοῦ παντὸς δέω V. 1008. πᾶν ἔπος τελεῖ V. 1035. σκιρτᾷ δ' ἀνέμων πνεύματα πάντων V. 1088. ὦ πάντων αἰθὴρ κοινὸν φάος εἱλίσσων V. 1093. πάντων θεῶν βωμοὶ A. 88. πάντα κτήνη A. 122. πάντων θηρῶν A. 140. οὐκ ἔχω προσεικάσαι, πάντ' ἐπισταθμώμενος A. 159. τεύξεται φρενῶν τὸ πᾶν A. 168. παντὶ θυμῷ A. 225. δυσδαίμονες ἀφύλακτον εὐδήσουσι πᾶσαν εὐφρονὴν A. 328. ὀμμάτων δ' ἐν ἀχηνίαις ἔρρει πᾶσ' Ἀφροδίτα A. 408. τὸ πᾶν δ' ἀφ' Ἑλλάδος αἴας συνορμένοις πένθεια τλησικάρδιος δόμων ἑκάστου πρέπει A. 418. θεοὺς πάντας προσαυδῶ A. 501. σπέρμα πάσης ἐξαπόλλυται χθονὸς A. 514. πάντ' ἔχεις λόγον A. 568. ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον A. 585. τἄλλ' ὁμοίαν πάντα A. 595. τίς ποτ' ὠνόμαζεν ὧδ' ἐς το πᾶν ἐτητύμως; A. 668. πᾶν δ' ἐπὶ τέρμα νωμᾷ P. 756. τῷ δυσπραγοῦντι δ' ἐπιστενάχειν πᾶς τις ἕτοιμος A. 765. ταῦτα πάντα τλᾶσ' ἀπενθήτῳ φρενὶ A. 869. εἰ πάντα δ' ὡς πράσσοιμ' ἂν, εὐθαρσὴς ἐγὼ A. 904. οὐ τὸ πᾶν ἔχων ἐλπίδος φίλον θράσος A. 965. ὤμοί τε δούλοις πάντα A. 1015. πᾶσα γὰρ πόλις βοᾷ A. 1077. ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον A. 1178. ἤδη πολίταις πάντ' ἐθέσπιζον κακὰ A. 1183. τὸ μὲν εὖ πράττειν ἀκόρεστον ἔφυ πᾶσι βροτοῖσιν A. 1305. κτεάνων τε μέρος

βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι A. 1555. *οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος* A. 1584. *πᾶσαν ξυνάψας μηχανὴν δυσβουλίας* A. 1590. *ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ* A. 1613. *εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω* A. 1636. *πόροι πάντες ἐκ μιᾶς ὁδοῦ* C. 70. *γαῖαν ἣ τὰ πάντα τίκτεται* C. 124. *εὐξύμβολον τόδ' ἐστὶ παντὶ δοξάσαι* C. 168. *πάντων μέγιστος Ζεὺς* C. 243. *οὐδ' ἀρχικός σοι πᾶς ὅδ' αὐανθεὶς πυθμὴν βωμοῖς ἀρήξει* C. 259. *πάντ' ἀπαγγέλλειν τάδε* C. 263. *πάντων ἄτιμος κἄφιλος* C. 293. *πατέρων τε καὶ τεκόντων γόος ἔνδικος ματεύει τὸ πᾶν* C. 328. *τὸ πᾶν ἀτίμως ἔλεξας* C. 428. *πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον* C. 481. *τὰ πάντα γάρ τις ἐκχέας ἀνθ' αἵματος ἑνὸς, μάτην ὁ μόχθος* C. 513. *ὄφις τε πᾶσιν σπαργάνοις ὡπλίζετο* C. 537. *τὸ πᾶν Διὸς σέβας* C. 634. *μέτοικος, εἰς τὸ πᾶν ἀείξενος* C. 673. *διὰ δίκας πᾶν ἔπος ἔλακον* C. 776. *ὄλεθρος οἴκων διὰ παντὸς* C. 849. *ἔλαχε δ' ἐς τὸ πᾶν ὁ πυθοχρήστας φυγὰς* C. 927. *ἀφ' ἑστίας μῦσος πᾶν ἐλάσῃ* C. 961. *τὸ πᾶν ἰδεῖν* C. 963. *ὁ πάντ' ἐποπτεύων τάδε ἥλιος* C. 979. *ἀλγῶ μὲν ἔργα, καὶ πάθος, γένος τε πᾶν* C. 1011. *ἀσινὴς βίοτος διὰ πάντα* C. 1013. *πάντας Ἀργείους μαρτυρεῖν λέγω* C. 1035. *ἐλευθερώσας πᾶσαν Ἀργείαν πόλιν* C. 1042. *ἐς τὸ πᾶν βδελύκτροποι* E. 52. *ἐς τὸ πᾶν σε τῶνδ' ἀπαλλάξαι πόνων* E. 83. *πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα* E. 110. *κρατοῦντες τὸ πᾶν δίκας πλέον* E. 157. *πᾶς δ' ὑφηγεῖται τρόπος μορφῆς* E. 183. *εἰς τὸ πᾶν ἔπραξας, ὡς παναίτιος* E. 191. *λεύσσετον πάντα μὴ λάθῃ φύγδα βὰς* E. 246. *πάντ' ἐπωπᾷ φρενὶ δελτογράφῳ* E. 264. *χρόνος καθαιρεῖ πάντα γηράσκων ὁμοῦ* E. 276. *πιστὸς δικαίως, ἐς τὸ πᾶν τε σύμμαχος* E. 281. *αὐτόπρεμνον εἰς τὸ πᾶν* E. 379. *πᾶσι δ' ἐς κοινὸν λέγω* E. 386. *πεύσῃ τὰ πάντα συντόμως* E. 393. *τούτοις ἀμείβου πᾶσιν εὐμαθές τί μοι* E. 420. *πάντας ἤδη τόδ' ἔργον εὐχερείᾳ συναρμόσει βροτοὺς* E. 471. *πάντ' ἐφήσω μόρον* E. 478. *παντὶ μέσῳ τὸ κράτος θεὸς ὤπασε* E. 503. *ἐκ δ' ὑγιείας φρενῶν ὁ πᾶσιν φίλος καὶ πολύευκτος ὄλβος* E. 508. *ἐς τὸ πᾶν δέ τοι λέγω* E. 510. *πόλις πᾶσα* E. 542. *τὰ δ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω στρέφων τίθησιν* E. 620. *πιστὸς εἰς τὸ πᾶν χρόνου* E. 640. *ἡμῖν μὲν ἤδη πᾶν τετόξευται βέλος* E. 646. *μὴ τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν* E. 668. *τὸ δ' ἄρσεν αἰνῶ πάντα, πλὴν γάμου τυχεῖν* E. 707. *τοῦ πάντα κραίνοντος τρίτου σωτῆρος* E. 729. *γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα καρπὸν, φέροντα πάντα μὴ πράσσειν καλῶς* E. 795. *ἐς τὸ πᾶν τιμωμένη* E. 851. *πάσης ἀπήμων οἰζύος* E. 853. *πάντα γὰρ αὗται τὰ κατ' ἀνθρώπους ἔλαχον διέπειν* E. 890. *παντὶ δόμῳ μετάκοινοι, παντὶ χρόνῳ δ' ἐπιβριθεῖς ἐνδίκοις ὁμιλίαις, πάντα τιμιώτατοι θεῶν* E. 922. *νικᾷ δ' ἀγαθῶν ἔρις ἡμετέρα διὰ παντὸς* E. 932. *καὶ πόλιν ὀρθοδίκαιον πρέψετε πάντες διάγοντες* E. 949. *πάντες οἱ κατὰ πτόλιν* E. 969. *ὄμμα πάσης χθονὸς Θησῇδος* E. 979. *σπονδαὶ δ' ἐς τὸ πᾶν ἔνδαιδες οἴκων* E. 996. *ἀλλ' Ἄρης φιλεῖ γ' ἀεὶ τὰ λῷστα πάντ' ἀμᾶν στρατοῦ* Eur. 1. *πᾶν δ' ὀρεχθέει πέδον* Niobe 4. *ἐπεὶ πᾶς χῶρός ἐστι μαλθακὸς* Prom. Sol. 6. 5. *τρέμει δὲ πηγὴ πᾶσα* Fragm. I. 168. 8. *πᾶσα δ' εὐφερὴς φερέσβιον Δήμητρος ἀγγέλλει σταχὺν* Fragm. 31. 6. *Ζεύς ἐστιν αἰθὴρ, Ζεὺς δὲ γῆ, Ζεὺς δ' οὐρανὸς, Ζεὺς τοι τὰ πάντα, χὤ τι τῶνδ' ὑπέρτερον* Fragm. 36. 2. *Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον* Fragm. 55.

Πασσαλεύειν. *λαβών νιν, ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις* V. 56. *ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον στέρνων διαμπὰξ πασσάλευ' ἐρρωμένως* V. 65.

Πασσαλευτός. *τοιάσδε ποινὰς ἀμπλακημάτων τίνω, ὑπαιθρίοις δεσμοῖσι πασσαλευτὸς ὢν* V. 113.

Πάσχειν. *ἄελπτ', ἄναξ, πάσχομεν* S. 886. *κακῶς δράσαντες, οὐκ ἐλάσσονα πάσχουσι* P. 800. *τί πόλις ἄμμιν πάσχει, τί γενήσεται;* T. 141. *ἴδεσθέ μ', οἷα πρὸς θεῶν πάσχω θεὸς* V. 92. *τοῦ δίκην πάσχεις τάδε;* V. 617. *ἥτις ἐκ Διὸς πάσχω κακῶς* V. 761. *ἐσορᾷς μ' ὡς ἔκδικα πάσχω* V. 1095. *πημοναῖσι κάμπτομαι, πάσχειν μὲν ἀλγει-*

ναῖσιν, ἀκτραῖσιν δ' ἰδεῖν V. 238. κρεῖσσον γὰρ εἰσάπαξ θανεῖν ἢ τὰς ἁπάσας ἡμέρας πάσχειν κακῶς V. 753. πάσχειν δὲ κακῶς ἐχθρὸν ὑπ' ἐχθρῶν, οὐδὲν ἀεικὲς V. 1043. μετὰ τοῦδ', ὅ τι χρὴ, πάσχειν ἐθέλω V. 1069. ἄξια δράσας, ἄξια πάσχων A. 1508. τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ, εὖ δρῶσαν, εὖ πάσχουσαν, εὖ τιμωμένην E. 830. τί πεισόμεσθα; S 758. σιγῶ, σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον T. 245. οὐ γάρ τι μεῖζον ἄλλο τοῦδε πείσομαι Heracl. 1. πάθομεν ἄχεα πρὸς τῶν τεκόντων C. 413. ἰοὺ ἰοὺ, πόπαξ, ἔπαθομεν, φίλαι, ἦ πολλὰ δὴ παθοῦσα καὶ μάτην ἐγὼ ἐπάθομεν πάθος δυσαχὲς, ὦ πόποι E. 138. δύσοιστα πολίταις πάθον E. 758. κάνες γ' ὃν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε C. 918. πρὸς ταῦτα μὴ πάθωμεν ὧν πολὺς πόνος S. 984. τί πάθω τλήμων; S. 876. οὗ σφιν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν P. 793. ἀλλά μοι τορῶς τέκμηρον, ὅ τι μ' ἐπαμμένει παθεῖν V. 609. μήτοι με κρύψῃς τοῦθ' ὅπερ μέλλω παθεῖν V. 629. ἄκος δ' οὐδὲν ἐπήρκεσαν τὸ μὴ πόλιν μὲν ὥσπερ οὖν ἔχει παθεῖν A. 1644. μίμνει δὲ, μίμνοντος ἐν χρόνῳ Διὸς παθεῖν τὸν ἔρξαντα A. 1545. στείχετ' ἤδη δ', ὦ γέροντες, ἐς δόμους πεπρωμένους πρὶν παθεῖν A. 1643. δράσαντι παθεῖν τριγέρων μῦθος τάδε φωνεῖ C. 311. ἐμὲ παθεῖν τάδε, φεῦ E. 801. δράσαντι γάρ τοι καὶ παθεῖν ὀφείλεται Fragm. Inc. 1. μένει τοι Ζηνὸς ἱκταίου κότος δυσπαραθέλκτοις παθόντος οἴκτοις S. 381. τάλαν γένος. Τάλανα παθὸν T. 970. παθὼν κακῶς κακοῖσιν ἀντημείβετο T. 1040. παθόντες εὖ κακοῦσί μ' ἐκδίκως V. 978. δίκα δὲ τοῖς μὲν παθοῦσι μαθεῖν ἐπιῤῥέπει τὸ μέλλον A. 241. παθοῦσα δ' οὕτω δεινὰ πρὸς τῶν φιλτάτων, οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται E. 100. νῦν δ' αἰθέριον κίνυγμ' ὁ τάλας ἐχθροῖς ἐπίχαρτα πέπονθα V. 158. πέπονθας αἰκὲς πῆμ', ἀποσφαλεὶς φρενῶν V. 470.

Πάταγος. πάταγός τ' οὐχ ἑνὸς δορὸς T. 99. ποταίνιον κλύουσα πάταγον ἅμα ταρβοσύνῳ φόβῳ τάνδ' ἐς ἀκρόπτολιν, τίμιον ἕδος, ἱκόμαν T. 221.

Πατεῖν. θεηλάτου βοὸς δίκην, πρὸς βωμὸν εὐτόλμως πατεῖς A. 1271. ποῖ δὴ πατεῖς, Κίλισσα, δωμάτων πύλας; C. 721. εἶμ' ἐς δόμων μέλαθρα, πορφύρας πατῶν A. 931. ἐν μέρει δ' ἀπέπτυσαν εὐνὰς ἀδελφοῦ τῷ πατοῦντι δυσμενεῖς A. 1166. οἱ δὲ τῆς μελλοῦς κλέος πέδον πατοῦντες, οὐ καθεύδουσιν χερὶ A. 1330. οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν, ὅσοις ἀθίκτων χάρις πατοῖτο A. 362. τὸ μὴ θέμις γὰρ οὐ λὰξ πέδον πατούμενον, τὸ πᾶν Διὸς σέβας παρεκβάντες οὐ θεμίστως C. 633. πάντα ταῦτα λὰξ ὁρῶ πατούμενα E. 110.

Πατήρ. Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος S. 11. τελευτὰς δ' ἐν χρόνῳ πατὴρ ὁ παντόπτας πρευμενεῖς κτίσειεν S. 137. ξὺν φρονοῦντι δ' ἥκετε πιστῷ γέροντι τῷδε ναυκλήρῳ πατρὶ S. 174. πάτερ, φρονούντως πρὸς φρονοῦντας ἐννέπεις S. 201. πατέρα τοῦδ' ἐμοῦ πατρὸς S. 314. πάτερ γεραιὲ τῶνδε παρθένων S. 475. ἀλλ' οὔτι δαρὸν χρόνον ἐρημώσει πατὴρ S. 511. σὸν διδάξω πατέρα, τοῖα χρὴ λέγειν S. 514. πατὴρ φυτουργὸς, αὐτέχειρ ἄναξ S. 586. ὑμεῖς δὲ μὴ τρέσητ' ἀκούσασαι πατρὸς ἀπροσδοκήτους τούσδε καὶ νέους λόγους S. 692. πάτερ, φοβοῦμαι S. 715. παροίχομαι, πάτερ, δείματι S. 719. μόνην δὲ μὴ πρόλειπε, λίσσομαι, πάτερ S. 728. ἡμῶν χεῖρ' ἀπόσχωνται, πάτερ S. 736. πατρὸς σκοπαὶ δέ μ' εἷλον S. 767. μάχιμα δ' ἔπιδε, πάτερ S. 793. οἴ, οἴ πάτερ S. 863. δεῦρ' ἡμέτερον πατέρα πέμψον S. 947. σωφρονίσματα πατρὸς S. 970. φύλαξαι τάσδ' ἐπιστολὰς πατρὸς S. 990. πίπτει δ' ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται Δαρεῖος οἰκτείρων σφε P. 193. παιδὸς πατρὶ πρευμενεῖς χοὰς φέρουσα P. 601. βάσκε πάτερ ἄκακε Δαρειὰν, οἴ P. 653. 659. Ἀρά τ' Ἐριννὺς πατρὸς ἡ μεγασθενὴς T. 70. λαφύροις δῶμα κοσμήσει πατρὸς T. 461. Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδι σταδαῖος ἧσται T. 494. πατρὸς δὴ νῦν ἀραὶ τελεσφόροι T. 637. πατρὸς τέλει' ἀρὰ T. 677. πατρὸς εὐκταίαν Ἐριννὺν T. 705. πατρὸς κατ' εὐχὰς T. 801. κάρτα δ' ἀληθῆ πατρὸς Οἰδιπόδα πότνι' Ἐριννὺς ἐπέκρανεν T. 869. ἀραῖος ἐκ πατρὸς διχόφρων πότμος T. 881. ἀρὰν πατρὸς τιθεὶς ἀληθῆ

T. 927. ἰὼ πῆμα πατρὶ πάρευνον T. 995. οὗ πεφύκαμεν μητρὸς ταλαίνης, κἀπὸ δυστήνου πατρὸς T. 1023. ἐπιστολὰς ἅς σοι πατὴρ ἐφεῖτο V. 3. ἐξωριάζειν γὰρ πατρὸς λόγους βαρὺ V. 17. ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων οἷόν τε πῶς; V. 40. ὡς μή σ' ἐλιννύοντα προσδέρχθῃ πατὴρ V. 53. παῖδες πατρὸς Ὠκεανοῦ V. 140. παρ' Ὠκεανοῖο πατρὸς V. 529. πόθεν ἐμοῦ συ πατρὸς ὄνομ' ἀπύεις V. 595. ταῖσδ' ὑπουργῆσαι χρεὼν, ἄλλως τε πάντως καὶ κασιγνήταις πατρὸς V. 639. ἔξελθε πρὸς Λέρνης βαθὺν λειμῶνα, ποίμνας βουστάσεις τε τοῦ πατρὸς V. 656. πατρὸς δ' ἀρὰ Κρόνου τότ' ἤδη παντελῶς κρανθήσεται V. 911. πατὴρ ἄνωγέ σ', οὔστινας κομπεῖς γάμους αὐδᾶν V. 949. πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον V. 971. ἐρεῖν ἔοικας οὐδὲν ὧν χρήζει πατὴρ V. 986. φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ πατὴρ σπαράξει τήνδε V. 1020. πτανοὶ κύνες πατρὸς A. 134. φράζεν δ' ἀόζοις πατὴρ μετ' εὐχὰν A. 223. πατρὸς κατ' ἀνδρῶνας A. 235. ἁγνὰ δ' ἀταύρωτος, αὐδᾷ πατρὸς φίλου τριτόσπονδον εὔποτμον αἰῶνα φίλως ἐτίμα A. 236. μονογενὲς τέκνον πατρὶ A. 872. ὀπταί τε σάρκες πρὸς πατρὸς βεβρωμέναι A. 1068. ἰὼ πρόπυργοι θυσίαι πατρὸς A. 1141. ὧν πατὴρ ἐγεύσατο A. 1195. πητροκτόνον φίτυμα ποινάτωρ πατρὸς A. 1254. ὀμώμοται γὰρ ὅρκος ἐκ θεῶν μέγας ἄξειν νιν ὑπτίασμα κειμένου πατρὸς A. 1250. ἰὼ πάτερ, σοῦ, τῶν τε γενναίων τέκνων A. 1278. Ἰφιγένεια—πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον πόρθμευμ' ἀχέων περὶ χεῖρε βαλοῦσα φιλήσει A. 1537. τούτου πατὴρ Ἀτρεὺς—πατέρα Θυέστην τὸν ἐμὸν, ὡς τορῶς φράσαι ἠνδρηλάτησεν ἐκ πόλεως A. 1564. ξένια δὲ τοῦδε δύσθεος πατὴρ Ἄτρευς, προθύμως μᾶλλον ἢ φίλως, πατρὶ τῷ 'μῷ παρέσχε δαῖτα παιδείων κρεῶν A. 1572. τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ συνεξελαύνει A. 1587. τάδε γε κηρύσσω πατρὶ κλύειν C. 4. ἢ πατρὶ τῷ 'μῷ τάσδ' ἐπεικάσας τύχω χοὰς φερούσας; C. 14. δός με τίσασθαι μόρον πατρὸς C. 19. πῶς κατεύξωμαι πατρί; C. 86. χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρὸς C. 90. ἀτίμως, ὥσπερ οὖν ἀπώλετο πατὴρ C. 95. αἰδουμένη σοὶ, βωμὸν ὣς, τύμβον πατρὸς λέξω C. 105. λέγοις ἂν, ὥσπερ ᾐδέσω τάφον πατρὸς C. 106. καλοῦσα πατέρα C. 127. τοῖς δ' ἐναντίοις λέγω φανῆναί σου, πάτερ, τιμάορον C. 141. ἔχει μὲν ἤδη γαπότους χοὰς πατὴρ C. 162. ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴ πατρὸς C. 198. ὦ φίλτατον μέλημα δώμασιν πατρὸς C. 233. ἀλκῇ πεποιθὼς δῶμ' ἀνακτήσῃ πατρὸς C. 235. προσαυδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον πατέρα C. 238. ἰδοῦ δὲ γένναν εὖνιν αἰετοῦ πατρὸς C. 245. πατρὸς νεοσσοὺς τοῦσδ' ἀποφθείρας C. 254. ὦ σωτῆρες ἑστίας πατρὸς C. 262. μέτειμι τοῦ πατρὸς τοὺς αἰτίους C. 271. οὐχ ὁρωμένην πατρὸς μῆνιν δέχεσθαι C. 291. πατρὸς πένθος μέγα C. 298. ὦ πάτερ αἰνόπατερ C. 313. πάτερ C. 329. 342. 359. 449. 473. 474. 486. 488. 493. πατρὸς δ' ἀτίμωσιν ἆρα τίσει, ἕκατι μὲν δαιμόνων, ἕκατι δ' ἐμῶν χερῶν C. 429. ὦ γαῖ, ἄνες μοι πατέρ' ἐποπτεῦσαι μάχην C. 482. εὔχομαι γῇ τῇδε καὶ πατρὸς τάφῳ τοὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεσφόρον C. 533. ἐκεῖνον ἐν θρόνοισιν εὑρήσω πατρὸς C. 566. Ὀρέστην ἐξεδεξάμην πατρὶ C. 751. πάτερ Ζεῦ θεῶν Ὀλυμπίων C. 772. ἐπαῦσας πατρὸς ἔργον C. 815. θροοῦσα πρός σε, τέκνον, πατρὸς αὐδὰν C. 816. καὶ ζῶντα γάρ νιν κρείσσον' ἡγήσω πατρὸς C. 892. διχῶς ἐπράθην ὢν ἐλευθέρου πατρὸς C. 902. ἀλλ' εἰφ' ὁμοίως καὶ πατρὸς τοῦ σοῦ μάτας C. 905. κύνας πατρὸς δὲ πῶς φύγω, παρεὶς τάδε C. 912. πατρὸς γὰρ αἶσα τόνδε σουρίζει μόρον C. 915. ξυνώμοσαν μὲν θάνατον ἀθλίως πατρὶ C. 972. δεσμὸν ἀθλίῳ πατρὶ C. 975. ὡς ἴδῃ πατὴρ C. 978. φίλτατ' ἀνθρώπων πατρὶ C. 1047. Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρὸς E. 19. αὐτάδελφον αἷμα καὶ κοινοῦ πατρὸς E. 89. ἔχρησα ποινὰς τοῦ πατρὸς πέμψαι E. 194. πατέρα δ' ἱστορεῖς καλῶς E. 433. ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι, ἀντικτόνοις ποιναῖσι φιλτάτου πατρὸς E. 442. ταῦτά τις τάχ' ἂν πατὴρ ἢ τεκοῦσα νεοπαθὴς οἶκτον οἰκτίσαιτ' E. 488. ἀρωγὰς ἐκ τάφου

πέμψει πατὴρ E. 568. ἀνδροκτονοῦσα πατέρ' ἐμὸν κατέκτανεν E. 572. Ζεὺς Ὀλυμπίων πατὴρ E. 588. βουλῇ πιφαύσκω δ' ὕμμ' ἐπισπέσθαι πατρὸς E. 590. τὸν πατρὸς φόνον πράξαντα E. 592. πατρὸς προτιμᾷ Ζεὺς μόρον E. 610. αὐτὸς δ' ἔδησε πατέρα πρεσβύτην Κρόνον E. 611. τούτων ἐπῳδὰς οὐκ ἐποίησεν πατὴρ οὑμὸς E. 619. ἐν Ἄργει δώματ' οἰκήσει πατρὸς E. 624. πατὴρ μὲν ἂν γένοιτ' ἄνευ μητρὸς E. 633. ἢ καὶ πατήρ τι σφάλλεται βουλεύμασιν; E. 687. κάρτα δ' εἰμὶ τοῦ πατρὸς E. 708. Παλλάδος δ' ὑπὸ πτεροῖς ὄντας ἅζεται πατὴρ E. 956. Ῥιπαὶ μὲν δὴ πατρὸς Hel. 3. ἐπὶ δυσμαῖσι σοῦ πατρὸς Hel. 2. ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον Prom. Sol. 10. ὦ Ζεῦ πάτερ, Ζεῦ σὸν μὲν οὐρανοῦ κράτος Fragm. I. 5. πατρὸς μέγιστον ἆθλον Fragm. I. 25. πάτερ Θέοινε Μαινάδων ζευκτήριε Fragm. 75. πατέρων γόος C. 326. πατέρων μέγας ὄλβος C. 853.

Πατησμός. πολλῶν πατησμὸν δ' εἱμάτων ἂν εὐξάμην A. 937.

Πάτρα. πάτραν δ' ἔναιον, ἡ μὲν Ἑλλάδ' ἡ δὲ βάρβαρον T. 182. πρῶτος δὲ Μάρδος ἦρξεν, αἰσχύνη πάτρᾳ θρόνοισί τ' ἀρχαίοισι T. 760. ἔξω δόμων τε καὶ πάτρας φθεῖν ἐμὲ V. 667.

Πατραδέλφεια. σφετεριξάμενον πατραδέλφειαν τήνδ' ἀεκόντων S. 39.

Πάτριος. ἰὼ Σκαμάνδρου πάτριον ποτὸν A. 1129.

Πατρίς. ἐλευθεροῦτε πατρίδ' P. 395. πατρίς τε γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ ἁλοῦσα, πῶς σοι σύμμαχος γενήσεται; T. 567.

Πατροκτονεῖν. πατροκτονοῦσα γὰρ ξυνοικήσεις ἐμοί; C. 896.

Πατροκτόνος. ἐγείνατο μὲν μόρον αὐτῷ πατροκτόνον Οἰδιπόδαν T. 733. δωμάτων πατροκτόνοι πορθήτορες C. 968. πατροκτόνον θ' ὕφασμα προσφωνῶν τόδε C. 1010. πατροκτόνον μίασμα καὶ θεῶν στύγος C. 1024.

Πατροστερής. ἰδεῖν πάρεστί σοι, πατροστερῆ γόνον C. 251.

Πατροφόνος. πατροφόνῳ χερὶ τῶν κρεισσοτέκνων ἀπ' ὀμμάτων ἐπλάγχθη T. 765.

Πατρώϊος. κλύεις πατρωΐους δύας ἀτίμους, λέγεις πατρώϊον μόρον C. 438.

Πατρωνύμιος. τὸ πατρωνύμιον γένος ἡμέτερον P. 142.

Πατρῷος. πατρῷα δώματα λιπεῖν S. 321. τίειν πατρῴαις τιμαῖς S. 686. πατρῷον ὄλβον οὐδὲν αὐξάνειν P. 742. γᾷ πατρῴᾳ κακὸν ἄρ' ἐγενόμαν P. 896. πορθεῖν πόλιν πατρῴαν T. 564. θεοὺς γενεθλίους καλεῖ πατρῴας γῆς T. 622. πόλιν ἕξει, πατρῴων δωμάτων τ' ἐπιστροφὰς T. 629. ἐν πατρῴας χθονὸς κακουχίᾳ T. 650. ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων ὄψεις, πατρῴων χρημάτων δατήριοι T. 693. πατρῴους δόμους ἑλόντες T. 858. τάφων πατρῴων λαχαὶ T. 897. ἱερῶν πατρῴων ὅσιος ὢν μομφῆς ἄτερ τέθνηκε T. 1001. ἄγος δὲ καὶ θανὼν κεκτήσεται θεῶν πατρῴων T. 1009. τὸν πατρῷον ἐς θρόνον καθέζετ' V. 228. πατρῷαι χέρες A. 203. κληδόνες λιταί τε πατρῷοι A. 220. ἰὼ πατρῷον οὖδας Ἀργείας χθονὸς A. 489. πατρῷον ἔθρισεν δόμον A. 522. ἔρως πατρῴας τῆσδε γῆς σ' ἐγύμνασεν; A. 526. βωμὸς πατρῷος A. 1250. χερ' ς πατρῴας ἐκτίνοντα μηχανὰς A. 1564. θανὼν πατρῷον αἱμάξαι πέδον αὐτοῦ A. 1572. Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη C. 1. ἐξ οἴκων πατρῴων δούλιον ἐσάγον αἶσαν C. 75. πατρῴων ὀμμάτων ἐπισκόπους C. 124. οὐ γὰρ ἐντελὴς θήραν πατρώαν προσφέρειν σκηνήμασιν C. 248. προσβολὰς Ἐρινύων ἐκ τῶν πατρῴων αἱμάτων τελουμένας C. 282. χοὰς οἴσω πατρῴων ἐκ δόμων C. 480. γῆς πατρῴας ἐστερημένην σύ με κατῴκισας E. 725. ἔν τε χρήμασιν οἰκεῖ πατρῴοις E. 728. πατρῷον αἰδεσθεὶς μόρον E. 730. Διὸς πατρῴου βωμὸς Fragm. Niobe 1. 6.

Παύειν. παῦ' ὕδωρ δίκην πυρὸς Fragm. 35. θνητοὺς ἔπαυσα μὴ προδέρκεσθαι μόρον V. 248. οὐδὲ τὸν ὀρθοδαῆ τῶν φθιμένων ἀνάγειν Ζεὺς ἂν αὐτ' ἔπαυσεν ἐπ' ἀβλαβείᾳ A. 995. πέπαυται δ' ἔχθος T. 920. πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους V. 618. βίᾳ δ' ἀπημάντῳ σθένει καὶ θείαις ἐπιπνοίαις παύεται S. 572. σοί τοι λέγουσα παύεται σαφῆ λόγον

Α. 1017. ὡς ἂν διδαχθῇ τὴν Διὸς τυραννίδα στέργειν, φιλανθρώπου δὲ παύεσθαι τρόπου V. 11. ἐπεὶ δὲ πολλὰ θεοκλυτῶν ἐπαύσατο στρατὸς P. 492.

Παῦρος. παῦροί γε πολλῶν P. 786. παύροις γὰρ ἀνδρῶν ἐστὶ συγγενὲς τόδε A. 806.

Πανσάνεμος. πανσανέμου γὰρ θυσίας παρθενίου θ' αἵματος ὀργᾷ περιόργως ἐπιθυμεῖν θέμις A. 206.

Πάφος. Κυπρίας τε πόλεις, Πάφον, ἠδὲ Σόλους P. 863. Κύπρου Πάφου τ' ἔχουσα πάντα κλῆρον Fragm. 55.

Πάχνη. πάχνην θ' ἑώαν ἥλιος σκεδᾷ πάλιν V. 25. ὅποι δὲ καὶ προβαίνων πάχνᾳ κουροβόρῳ παρέξει A. 1495.

Παχνῶσθαι. δακρύω, κρυφαίοις πένθεσι παχνουμένη C. 81.

Παχύνειν. μήποτ' εἰσόπιν χρόνου πόλιν παχῦναι S. 613. πρόπρυμνα δ' ἐκβολὰν φέρει ἀνδρῶν ἀλφηστῶν ὄλβος ἄγαν παχυνθεὶς T. 753.

Πεδαίχμιος. βλαστοῦσι δὲ καὶ πεδαίχμιοι λαμπάδες πεδάμεροι πτηνά τε καὶ πεδοβάμονα C. 582.

Πεδάμερος. βλαστοῦσι δὲ καὶ πεδαίχμιοι λαμπάδες πεδάμεροι πτηνά τε καὶ πεδοβάμονα C. 582.

Πεδᾶν. ἐν δ' ἀτέρμονι κόπτει πεδήσασ' ἄνδρα δαιδάλῳ πέπλῳ E. 605.

Πεδάρσιος. πρὸς πέτραις πεδαρσίοις V. 269. οἱ πλεκτὰς στέγας πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις V. 712. πρὸς ταῦτα νῦν θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις πιστὸς V. 918. πρὸς γυναικῶν δειματούμενοι λόγοι πεδάρσιοι θρώσκουσι C. 863.

Πέδη. πόρον πέδαις σφυρηλάτοις περιβαλὼν T. 733. ἀδαμαντίνων δεσμῶν ἐν ἀῤῥήκτοις πέδαις V. 6. ἐῤῥωμένως νῦν θεῖνε διατόρους πέδας V. 76. πέδαις δ' ἀχαλκεύτοις ἐθηρεύθης, πάτερ C. 486. πέδας τε χειροῖν καὶ ποδοῖν C. 976. πέδας μὲν ἂν λύσειεν, ἔστι τοῦδ' ἄκος E. 615.

Πεδίον. Σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῷ P. 479. ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς ἄρδει P. 792. δελφινοφόρον πεδίον πόντου διαμειψαμένας Fragm. Ner. 1. πεδία δ' ἀργηστὴς ἀφρὸς χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πνευμόνων T. 60. τῶν μεγάλων πεδίων ἄμοιροι T. 715.

Πεδιόνομος. πεδιονόμοις θεοῖς V. 254.

Πεδιοπλόκτυπος. ἐλεδεμνὰς πεδιοπλόκτυπος ὠσὶ χρίμπτεται βοὰ T. 83.

Πεδοβάμων. βλαστοῦσι δὲ καὶ πεδαίχμιοι λαμπάδες πεδάμεροι πτηνά τε καὶ πεδοβάμονα C. 584.

Πεδοῖ. πεδοῖ δὲ βᾶσαι τὰς προσερπούσας τύχας ἀκούσαθ' V. 272.

Πέδοικος. πεδοίκου χελιδόνος Fragm. 42.

Πέδον. χώρας Ἀπίας πέδον S. 258. ἄνδρας γυναικῶν οὕνεχ' αἱμάξαι πέδον S. 472. πτώμασιν αἱματίσαι πέδον γᾶς S. 648. γῆς Ἀχαΐδος πέδον ἐδέξαθ' ἡμᾶς P. 480. νέους ἕρποντας εὐμενεῖ πέδῳ ἐθρέψατ' T. 17. ποῖον δ' ἀμείψεσθε γαίας πέδον τᾶσδ' ἄρειον; T. 286. οὐδὲ τὴν Διὸς ἔριν πέδῳ σκήψασαν ἐκποδὼν σχέθειν T. 410. στένουσι πύργοι, στένει πέδον φίλανδρον T. 886. χθονὸς μὲν εἰς τηλουρὸν ἥκομεν πέδον V. 1. λιποῦσα δ' Εὐρώπης πέδον ἤπειρον ἥξεις Ἀσιάδ' V. 736. ὅπως πέδῳ σκήψασα, τῶν πάντων πόνων ἀπηλλάγην V. 751. μακέλλῃ τῇ κατείργασται πέδον A. 512. αἷς ἐπέσταλται τέλος πέδον κελεύθου στρωννύναι πετάσμασιν A. 883. ἀνδρὸς σφαγεῖον, καὶ πέδον ῥαντήριον A. 1063. ἐγὼ δὲ θερμόνους τάχ' ἐν πέδῳ βαλῶ A. 1145. οἱ δὲ τῆς μελλοῦς κλέος πέδον πατοῦντες, οὐ καθεύδουσιν χερὶ A. 1330. θανὼν πατρῷον αἱμάξαι πέδον A. 1571. τί γὰρ λυγρὸν πεσόντος αἵματος πέδῳ; C. 47. ἀλλὰ νόμος μὲν, φονίας σταγόνας χυμένας ἐς γῆν, ἄλλο προσαιτεῖν αἷμα C. 395. τὸ μὴ θέμις γὰρ οὐ λὰξ πέδον πατούμενον C. 633. μεσόμφαλόν θ' ἵδρυμα, Λοξίου πέδον C. 1032. τὸ διερὸν πέδῳ χυμένον οἴχεται E. 253. πέδῳ πεσὼν ἄφερτος αἰανὴς νόσος E. 457. τὸ μητρὸς αἷμ' ὅμαιμον ἐκχέας πέδῳ E. 623. πέδον ἐπισυμένως βροτοφθόρους κηλῖδας ἐν χώρᾳ βαλεῖ E. 756. ἄτιμος ἔῤῥειν τοῦδ' ἀπόξενος πέδον E. 844. πᾶν δ' ὀρεχθέει πέδον Niobe 1. 4. μηδ' αἵματος πέμφιγα πρὸς πέδῳ βάλῃς Fragm. Penth.

Πεδοστιβής. κνώδαλα πτεροῦντα καὶ

πεδοστιβῆ S. 978. ἱππηλάτας καὶ πεδοστιβὴς λεὼς P. 125.

Πεζικός. πεζικὸς ὥρμηται λεὼς Fragm. I. 104.

Πεζόνομος. πεζονόμοις—πεποιθὼς P. 77.

Πεζός. πεζοί τε βάδην στῖφος πολέμου παρέχοντες P. 19. πεζῷ παραγγείλας ἄφαρ στρατεύματι, ἥϊξ' ἀκόσμῳ ξὺν φυγῇ P. 461. πεζούς τε καὶ θαλασσίους νᾶες ἤγαγον P. 550. πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας P. 705. πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸς ἤνυσεν περᾶν; P. 707. ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσεν στρατὸν P. 714.

Πεζοφόρος. πεζοφόροις ζώμασιν Fragm. Sag. 2.

Πειθάνωρ. τὸν δὲ μὴ πειθάνορα ζεύξω βαρείαις οὔτι μὴ σειραφόρον κριθῶντα πῶλον A. 1623.

Πειθαρχία. πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας μήτηρ, γυνή, σωτῆρος T. 206.

Πείθαρχος. οἱ δ' οὐκ ἀκόσμως, ἀλλὰ πειθάρχῳ φρενὶ ἐπορσύνοντο δεῖπνον P. 366.

Πειθώ. πειθὼ δ' ἕποιτο, καὶ τύχη πρακτήριος S. 518. τίνος ἀγγελίας πειθοῖ περίπεμπτα θυοσκινεῖς; A. 86. ἔτι γὰρ θεόθεν καταπνείει πειθὼ μολπὰν A. 106. βιᾶται δ' ἁ τάλαινα πειθὼ προβουλόπαις ἄφερτος ἄτας A. 375. καί μ' οὔτι μελιγλώσσοις πειθοῦς ἐπαοιδαῖσι θέλξει V. 172. νῦν γὰρ ἀκμάζει πειθὼ δολία C. 715. εἰ μὲν ἁγνόν ἐστί σοι πειθοῦς σέβας E. 845.

Πειθώ. στέργω δ' ὄμματα Πειθοῦς E. 928. Πόθος δ' οὐδὲν ἄπαρνον τελέθει θέλκτορι Πειθοῖ S. 1024.

Πείθειν. ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ A. 1022. καὶ τῶνδ' ὅμοιον εἴ τι μὴ πείθω A. 1212. αἰθερία κόνις με πείθει φανεῖσα T. 81. ἔπειθον οὐδέν' οὐδὲν A. 1185. ἐγὼ δὲ λαοὺς συγκαλῶν ἐγχωρίους πείσω τὸ κοινὸν, ὡς ἂν εὐμενὲς τιθῶ S. 512. πάντως γὰρ οὐ πείσεις νιν V. 333. ἄλλο τι φώνει, καὶ παραμυθοῦ μ', ὅ τι καὶ πείσεις V. 1066. τοιάνδ' ἔπεισε ῥῆσιν ἀμφ' ἡμῶν λέγων ἄναξ Πελασγῶν S. 610. καὶ γὰρ κτανεῖν σ' ἔπεισα μητρῷον δέμας E. 84. Μοίρας ἔπεισας ἀφθόνους θεῖναι βροτοὺς E. 692. εἴπερ εὐσεβὴς πίθοι λόγος S. 919. ὅτε τὰν ὁμοπατρίαν ἔδνοις ἤγαγες Ἡσιόναν πιθὼν δάμαρτα κοινόλεκτρον V. 559. νεκροῖσι νῦν πέπεισθι, μητέρα κτανὼν E. 559. ἐπεὶ κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος P. 683. πλῆθος ἔκκριτον στρατοῦ λείπει κεναῖσιν ἐλπίσιν πεπεισμένος P. 790. πρὸς τοῦ δ' ἐπείσθης καὶ τίνος βουλεύμασιν; E. 563. ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις V. 1015. τοιοῖσδε πεισθεὶς Λοξίου μαντεύμασιν ἐξήλασέν με V. 672. φρυκτώρων διὰ πεισθεῖσα, Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς A. 577. Ζεῦ, πείθου, τε, καὶ γενέσθω S. 522. πείθου γυναιξὶ, καίπερ οὐ στέργων ὅμως T. 694. πείθεσθέ μοι, πείθεσθε, συμπονήσατε τῷ νῦν μογοῦντι V. 274. πείθου, σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν V. 1041. πείθου, λιποῦσα τόνδ' ἀμαξήρη θρόνον A. 1024. πιθοῦ, κράτος μέντοι πάρες γ' ἑκὼν ἐμοὶ A. 917. ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν E. 761. τίς οὖν ταῦτα πίθοιτο; T. 1056. πίθοι' ἂν, ε' πίθοι', ἀπειθοίης δ' ἴσως A. 1019. βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι A. 199. ἀλλ' εἶμι, καὶ σοῖς ταῦτα πείσομαι λόγοις C. 770. πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον ἥξειν κεραυνὸν T. 426. πέποιθα τὸν Διὸς ἐχθρὸν πρόσθε πυλᾶν κεφαλὰν ἰάψειν T. 503. τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι, κεἰ μὴ πέποιθα τοὔργον ἔστ' ἐργαστέον C. 296. πέποιθ', ἀρωγὰς ἐκ τάφου πέμπει πατὴρ E. 569. ἐγὼ πέποιθα Ζηνὶ E. 790. ἐπίσταται βροτοῖσιν ὡς ὅταν κλύδων κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ, ὅταν δ' ὁ δαίμων εὐροῇ, πεποιθέναι τὸν αὐτὸν αἰεὶ δαίμον' οὐριεῖν τύχης P. 593. ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι νόσημα, τοῖς φίλοισι μὴ πεποιθέναι V. 225. ὀχυροῖσι πεποιθὼς στυφέλοις ἐφέταις P. 78. αἰχμὴν, ἣν ἔχει, μᾶλλον θεοῦ σέβειν πεποιθὼς T. 512. τούτοις πεποιθὼς εἶμι T. 654. οὐ πεποιθότες τύχῃ A. 654. ἀλκῇ πεποιθὼς δῶμ' ἀνακτήσῃ πατρὸς C. 235. πεποιθὼς τῇ δίκῃ E. 417.

Πεῖρα. πεζὸς ἢ ναύτης δὲ πεῖραν τήνδ' ἐμώρανεν τάλας; P. 705.

Πειρά. νῦν γὰρ μέλλουσι μιανθεῖσαι πειραὶ κοπάνων ἀνδροδαΐκτων ἢ

πάνυ θήσειν Ἀγαμεμνονίων οἴκων ὄλεθρον διὰ παντὸς C. 847.

Πειρᾶσθαι. πειρᾶσθέ μου γυναικὸς ὡς ἀφράσμονος A. 1374. ἀνδρῶν τάδ' ἐστὶ σφάγια καὶ χρηστήρια ἔρδειν θεοῖσιν, πολεμίων πειρωμένων T. 213. ἐκβαλεῖν ἔπη τοιαῦτα δαίμονος πειρωμένους A. 1648. ἔρδοις ἂν ἤδη δαίμονος πειρώμενος C. 506. ὑπαντιάζειν παῖδ' ἐμῷ πειράσομαι P. 836. εἶμι, καὶ πειράσομαι, ἐὰν δύνωμαι τῶνδέ σ' ἐκλῦσαι πόνων V. 325. πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου A. 824. ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι ἄρχειν πολιτῶν A. 1622.

Πεισίμβροτος. πεισίμβροτόν τε βάκτρον C. 357.

Πεῖσμα. οὐδ' ὅρμος, οὐδὲ πεισμάτων σωτηρία ἐς γῆν ἐνεγκεῖν S. 746. πίσυνοι λεπτοδόμοις πείσμασι P. 112. νεῶν τε καὶ πεισμάτων ἀφειδεῖς A. 188.

Πελάγιος. κωκύμασιν κατεῖχε πελαγίαν ἅλα P. 419. ὑψηλὸν ὄχθον ἀμφὶ πελαγίας ἁλὸς P. 459.

Πέλαγος. ἄτης ἄβυσσον πέλαγος S. 465. κακῶν δὴ πέλαγος ἔρρωγεν μέγα Πέρσαις P. 425. Στρυμονίου πελάγους πάροικοι (νῆσοι) P. 850. δυσχείμερόν γε πέλαγος ἀτηρᾶς δύας V. 748. ὁρῶμεν ἀνθοῦν πέλαγος Αἰγαῖον νεκροῖς A. 646.

Πελάγων. Σούσας, Πελάγων, ἠδ' Ἀγδαβάτας P. 920.

Πελάζειν. οὐκοῦν πελάζει Ζεὺς ἐπ' εὐκραίρῳ βοΐ; S. 296. τούτοις συ μὴ πέλαζε V. 809. οἷς μὴ πελάζειν V. 714. δεσμοῖς ἀλύτοις ἀγρίως πελάσας ἧκέν μ' ὑπὸ γῆν V. 155. λιταῖσί σε θεοκλύτοις ἀπύουσαι πελαζόμεσθα T. 130.

Πελάθειν. τί ποτ' οὐ πελάθεις ἐπ' ἀρωγάν; Myrm. 4.

Πελᾶν. ὀκρυοέσσῃ χθονὶ τῇδε πελῶ V. 282.

Πέλανος. ἀποτρόποισι δαίμοσι θέλουσα θῦσαι πέλανον P. 200. γῇ τε καὶ φθίτοις δωρήματα ἥξω λαβοῦσα πέλανον ἐξ οἴκων ἐμῶν P. 516. τόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο P. 802. φαρμασσομένη χρίσματος ἁγνοῦ μαλακαῖς ἀδόλοισι παρηγορίαις πελάνῳ μυχόθεν βασιλείῳ A. 96. χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρὸς C. 90. ἀπὸ ζῶντος ῥοφῶν ἐρυθρὸν ἐκ μελέων πέλανον E. 255.

Πέλας. εἰ δὲ κυρεῖ τις πέλας οἰωνοπόλων S. 57. θέλοιμ' ἂν ἤδη σοι πέλας θρόνους ἔχειν S. 211. Πίνδου τε τἀπέκεινα Παίονων πέλας S. 254. οἶστρον καλοῦσιν αὐτὸν οἱ Νείλου πέλας S. 304. οἱ τοῖς πέλας προσήμενοι δίκας οὐ τυγχάνουσιν ἐννόμου S. 378. μαιμᾷ πέλας δίπους ὄφις S. 873. λεύσσων ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας P. 670. κτανὼν θανεῖν πέλας T. 618. οἶμαί νιν αὐτῷ νῦν παραστατεῖν πέλας T. 651. πέλας αἵδ' ἀδελφαὶ ἀδελφεῶν T. 959. τί ποτ' αὖ κινύθισμα κλύω πέλας οἰωνῶν V. 125. πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς ἢ σαυτὸν V. 336. μιαίνων παρθενοσφάγοισι ῥεέθροις πατρῴους χέρας βωμοῦ πέλας A. 203. σταθεῖσα κτησίου βωμοῦ πέλας A. 1007. κόμπασον θαρρῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας A. 1656. ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας αὐχὴν πεσεῖσθαι πρὸς δίκην πεπληγμένης C. 870. ἄμομφον ὄντα τοὺς πέλας κακῶς λέγειν E. 391. προφωνῶν τὰ τῶν πέλας κακὰ E. 480. πέλας μάρτυς πάρεστι παῖς Ὀλυμπίου Διὸς E. 633. ἀμφωτίδες τοι τοῖς ἐνωτίοις πέλας Fragm. Cerc. 1.

Πελάσγιος. Πελασγία πόλις S. 627. Πελασγία γῆ δέξεται V. 862.

Πελασγός. τοῦ γηγενοῦς γὰρ εἴμ' ἐγὼ Παλαίχθονος ἶνις Πελασγὸς S. 248. γένος Πελασγῶν τήνδε καρποῦται χθόνα S. 250. ἄναξ Πελασγῶν S. 323. κλῦθί μεν, Πελασγῶν ἄναξ S. 344. ἀμφ' ἡμῶν λέγων ἄναξ Πελασγῶν S. 611. δῆμος Πελασγῶν S. 619. ἀνδρῶν Πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα S. 890. ἀλλ' ἀντ' ἀγαθῶν ἀγαθοῖσι βρύοις Δῖε Πελασγῶν S. 945. οἴκησις δὲ καὶ διπλῆ πάρα, τὴν μὲν Πελασγὸς, τὴν δὲ καὶ πόλις διδοῖ S. 988. αἶνος δὲ πόλιν τήνδε Πελασγῶν ἐχέτω S. 1003.

Πελάτης. στεῦνται δ' ἱεροῦ Τμώλου πελάται P. 49.

Πέλεια. κίρκοι πελειῶν οὐ μακρὰν λελειμμένοι ἥξουσι V. 858.

Πελειάς. ἐν ἁγνῷ δ' ἐσμὸς ὡς πελειάδων ἵζεσθε S. 220. ἔνθα νυκτερῶν φαντασμάτων ἔχουσι μορφὰς ἄπτεροι Πελειάδες Fragm. 25. δράκοντα δ' ὡς

τις τέκνων ὑπερδέδοικεν λεχέων δυσευνήτειρα πάντροφος πελειάς Τ. 276.

Πέλειν. στυγερὸν πέλει τόδ' ἆθλον S. 1015. αὐτὴ γὰρ ἡ γῆ ξύμμαχος κείνοις πέλει P. 878. τρίβῳ τε καὶ προσβολαῖς μελαμπαγὴς πέλει δικαιωθεὶς A. 381. ὁ δ' ἀφθόνητός γ' οὐκ ἐπίζηλος πέλει A. 913. τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει A. 945. ταχεῖα δ' ἄτα πέλει A. 1095. οὔτοι μάταιον ἀνδρὸς ὄψανον πέλει C. 527. δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει ἡ προστροπαίου μῆνις E. 225. μητροκτόνον μίασμα δ' ἔκπλυτον πέλει E. 271. τούτου δ' οὔ τις ἄρνησις πέλει E. 588. ὕβριν δ' ἑτοίμως στυγοῦντες πέλοιτ' ἂν ἔνδικοι γάμοις S. 81. ἄφυκτον δ' οὐκ ἔτ' ἂν πέλοι κέαρ S. 765. χώρᾳ δ' ἄχθος ἀείζων πέλοι S. 966. μετὰ πολλῶν δὲ γάμων ἅδε τελευτὰ προτέραν πέλοι γυναικῶν S. 1037. ἐς τὸ λοιπὸν εἴ τι δὴ λῷον πέλοι P. 518. εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι A. 486. τῶν δυσσεβούντων δ' ἐκφορωτέρα πέλοις E. 870. λέγων διπλοῦν μίασμα πρὸ πόλεως φανὲν ἀμήχανον βόσκημα πημονῆς πέλειν S. 615. ὄρνισι δεῖπνον οὐκ ἀναίνομαι πέλειν S. 782. δυοῖν γυναικοῖν ὧδ' ὑπηκόους πέλειν C. 302. μήποτε, μηποτέ μ', ὦ Μοῖραι, λεχέων Διὸς εὐνάτειραν ἴδοισθε πέλουσαν V. 898. ἰώ, παῖ Διός, ἐπίκλοπος πέλῃ E. 144. αὐτός συ τούτων οὐ μεταίτιος πέλῃ E. 190. θεοῖς δ' ἐναγέα τέλεα, πελομένων καλῶς, ἐπιδρομῶσ' ὅθι θάνατος ἀπῇ S. 116.

Πελειοθρέμμων. ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα νικώμενοι P. 301.

Πέλεκυς. δοίη τις ἀνδροκμῆτα πέλεκυν ὡς τάχος C. 876.

Πέλυτρα Fragm. I. 118.

Πελώριος. τὰ πρὶν δὲ πελώρια νῦν ἀΐστοῖ V. 151. πελώριος βυθὸς θαλάσσης Fragm. 168. 9.

Πεμπάζειν. πεμπάζετ' ὀρθῶς ἐκβολὰς ψήφων, ξένοι E. 718.

Πεμπαστής. τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν μυρία μυρία πεμπαστὰν Βατανώχου παῖδ' Ἄλπιστον P. 943.

Πέμπειν. Βαβυλὼν ἡ πολύχρυσος πάμμικτον ὄχλον πέμπει σύρδην P. 54. ἐνταῦθα πέμπει τούσδε P. 442. πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη T. 425. γόον ὀξυβόαν ὑστερόποινον πέμπει παραβᾶσιν Ἐριννὺν A. 59. Ἀτρέως παῖδας ὁ κρείσσων ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος Ζεὺς A. 61. πέμπει σὺν δορὶ καὶ χερὶ πράκτορι θούριος ὄρνις Τευκρίδ' ἐς αἶαν A. 111. πέμπουσι δ' ἀνδαίοντες ἀφθόνῳ μένει φλογὸς μέγαν πώγωνα A. 296. φίλοισι πέμπει βαρὺ ψῆγμα δυσδάκρυτον A. 429. πέμπει δ' ἔπειτα τάσδε κηδείους χοὰς C. 531. πέμπουσι δ' αὐτὸν καὶ σεβίζουσιν μέγα κελευθοποιοὶ παῖδες Ἡφαίστου E. 12. ἀρωγὰς ἐκ τάφου πέμπει πατὴρ E. 569. Σφίγγα δυσαμερίαν πρύτανιν κύνα πέμπει Fragm. Sph. 2. σύ τε πέμπε χοὰς θαλάμους ὕπο γῆς P. 616. πέμπετε δ' ἄνω, οἷον οὔπω Περσὶς αἶ' ἐκάλυψεν P. 636. τοιῷδε φωτὶ πέμπε —τίς ξυστήσεται; T. 417. καὶ τῷδε φωτὶ πέμπε τὸν φερέγγυον T. 452. πέμπετ' ἀρωγὴν παισὶν προφρόνως ἐπὶ νίκην C. 470. πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ T. 454. πρευμενῶς δ' αἰτοῦ πόσιν ἐσθλά σοι πέμπειν, τέκνῳ τε, γῆς ἔνερθεν ἐς φάος P. 218. τούτῳ σοφούς τε κἀγαθοὺς ἀντηρέτας πέμπειν ἐπαινῶ T. 577. σὺ δ' αὐτὸς ἤδη γνῶθι, τίνα πέμπειν δοκεῖς T. 632. οὔτ' αἰετοῦ γένεθλ' ἀποφθείρας, πάλιν πέμπειν ἔχοις ἂν σήματ' εὐπειθῆ βροτοῖς C. 257. τοιαῦτα μὲν τάδ' ἐστὶν ἀμφότερα μένειν, πέμπειν δὲ δυσπήματ' ἀμηχάνως ἐμοὶ E. 459. τὸ δὲ κερδαλέον πέμπειν πόλεως ἐπὶ νίκῃ E. 963. ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε στέφη C. 92. φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς ἔπεμπεν A. 274. κακομέλετον ἰὰν Μαριανδυνοῦ θρηνητῆρος πέμψω, πέμψω P. 901. πέμψω τοί σε δυσθρόοισιν γόοις P. 1032. ἀλλ' εὖ τ' ἔπεμψεν, εὖ τε δεξάσθω χθονὶ P. 216. καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι πᾶς τις παρελθὼν ὄμματος θελκτήριον τόξευμ' ἔπεμψε S. 983. ἄλλους δ' ὁ μέγας καὶ πολυθρέμμων Νεῖλος ἔπεμψε P. 34. σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ πέμψω T. 37. κραιπνοφόροι δέ μ' ἔπεμψαν αὖραι V. 132. ἔπεμψε χαίτην, κουρίμην χάριν πατρὸς C. 178. οὓς μὲν γάρ τις ἔπεμψεν οἶδεν A. 422. πόθεν χοὰς ἔπεμψεν; C. 508. χοὰς ἔπεμψε τάσδε C. 518. ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν πάλιν μ' ἔπεμψεν

ἐκ δόμων τῶν Λοξίου E. 35. καὶ τόνδ' ἔπεμψα σῶν δόμων ἐφέστιον E. 639. ξὺν ὄχῳ ταχυήρει πέμψατε πόντονδ' S. 33. πέμψον δὲ πρόφρων δεῦρ' ἡμέτερον πατέρ' εὐθαρσῆ Δαναὸν S. 946. πέμψατ' ἔνερθεν ψυχὴν ἐς φῶς P. 622. ἔχρησα ποινὰς τοῦ πατρὸς πέμψαι E. 194. ἥρως τε τοὺς πέμψαντας (προσαοδῶ) A. 502. οἵπερ πρόσω πέμψαντες, ἤγαγον πάλιν A. 827. θανόντι δ', οὐ φρονοῦντι, δειλαία χάρις ἐπέμπετ' C. 511. καὶ δὴ πέπεμπτ' οὐ κόμπον ἐν χεροῖν ἔχων T. 455.

Πέμπτος. πέμπτη γέννα V. 855. πέμπται πύλαι T. 509. πέμπτον αὖ λέγω T. 508.

Πέμφιξ. ἃς οὔτε πέμφιξ ἡλίου προσδέρκεται Xantr. 4. 1. μηδ' αἵματος πέμφιγα πρὸς πέδῳ βάλῃς Penth. 1. μή σ' ἀναρπάσῃ δυσχειμέρῳ πέμφιγι συστρέψας ἄφνω, ἐξευλαβοῦ δὲ μή σε προσβάλλῃ στόμα πέμφιξ Fragm. 5. 3.

Πένεσθαι. πῶς δή; δίδαξον, τῶν σοφῶν γὰρ οὐ πένῃ E. 409.

Πένθεια. τὸ πᾶν δ' ἀφ' Ἑλλάδος αἴας συνορμένοις πένθεια τλησικάρδιος δόμων ἑκάστου πρέπει A. 419.

Πενθεῖν. πενθεῖ νέον οἶκτον ἠθέων S 63. χλιδανῆς ἥβης τέρψιν ἀφεῖσαι; πενθοῦσι γόοις ἀκορεστοτάτοις P. 537. πενθεῖ δ' ἄνδρα δόμος στερηθεὶς P. 571. τί ταῦτα πενθεῖν δεῖ; A. 553. τίς οὐ τέθνηκε, τίνα δὲ καὶ πενθήσομεν τῶν ἀρχελάων; P. 288. τράγος γένειον ἆρα πενθήσεις σύ γε Fragm. Pr. Ign. 3. ἐχθροὶ γὰρ οἷς προσῆκε πενθῆσαι τριχὶ C. 172.

Πενθεύς. λάγω δίκην Πενθεῖ καταρράψας μόρον E. 26.

Πένθημα. ἄνευ δὲ πενθημάτων ἔτλης ἀνοίμωκτον ἄνδρα θάψαι C. 426.

Πενθήμων. ὀνειρόφαντοι δὲ πενθήμονες πάρεισι δόξαι φέρουσαι χάριν ματαίαν A. 410.

Πενθητήρ. ἥσω τοι καὶ πάνδυρτον, λαοπαθῆ σεβίζων, ἀλίτυπα βάρη, πολέως γέννας πενθητῆρος P. 908. σύ γε μὴν πολλῶν πενθητήρων τεύξῃ T. 1054.

Πενθητήριος. πλόκαμον Ἰνάχῳ θρεπτήριον τὸν δεύτερον δὲ, τόνδε πενθητήριον C. 9.

Πένθιμος. δακρύων δ' ἀποστάζει πένθιμον αἰδῶ S. 574.

Πένθος. Ἀριόμαρδος Σάρδεσι πένθος παρασχὼν P. 314. ἄστυ τὸ Σούσων ἠδ' Ἐκβατάνων πένθει δνοφερῷ κατέκρυψας P. 528. καὶ γὰρ Ἠλέκτραν δοκῶ στείχειν ἀδελφὴν τὴν ἐμὴν πένθει λυγρῷ πρέπουσαν C. 17. πολλοὶ γὰρ εἰς ἓν συμπιτνοῦσιν ἵμεροι, θεοῦ τ' ἐφετμαί, καὶ πατρὸς πένθος μέγα C. 298. κρυφαίοις πένθεσιν παχνουμένη C. 80. κλῦθί νυν, ὦ πάτερ, ἐν μέρει, πολυδάκρυτα πένθη C. 330.

Πεντάκις. Θάρυβίς τε πεντήκοντα πεντάκις νεῶν ταγὸς P. 315.

Πεντήκοντα. Θάρυβίς τε πεντήκοντα πεντάκις νεῶν ταγὸς P. 315. Δέσποινα πεντήκοντα Νηρεΐδων χοροῦ Fragm. Arm. Jud. 4.

Πεντηκοντάπαις. πέμπτη δ' ἀπ' αὐτοῦ γέννα πεντηκοντάπαις πάλιν πρὸς Ἄργος οὐχ ἑκοῦσ' ἐλεύσεται V. 855.

Πεντηκοστόπαις. ἀδελφὸς δ' ἐστὶ πεντηκοστόπαις S. 316.

Πεπαίτερος. πεπαίτερον γὰρ μοῖρα τῆς τυραννίδος A. 1338. ἀνὴρ δ' ἐκεῖνος ἦν πεπαίτερος μόρων Fragm. Phr. 3.

Πέπλος. πέπλον δ' ἐπιρρήξ' ἐπὶ ξυμφορᾷ κακοῦ P. 987. πέπλον δ' ἔρεικε κολπίαν ἀκμῇ χερῶν P. 1017. ἐν δ' ἀτέρμονι κόπτει πεδήσασ' ἄνδρα δαιδάλῳ πέπλῳ E. 605. στόλον πέπλοισι βαρβάροισι καὶ πυκνώμασιν χλίοντα προσφωνοῦμεν S. 232. πέπλων ἐπιλαβὰς ἐμῶν S. 427. ἔχω στρόβους ζώνας, συλλαβὰς πέπλων S. 452. πέπλων καὶ στεφέων πότ', εἰ μὴ νῦν, ἀμφὶ λιτὰν ἕξομεν T. 97. ὕπερθε βωμοῦ πέπλοισι περιπετῆς A. 225. ταῦρον ἐν πέπλοισι μελάγκερων λαβοῦσα μηχανήμασι τύπτει A. 1097. ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐριννύων τὸν ἄνδρα τόνδε κείμενον A. 1562. πρόστερνοι στολμοὶ πέπλων ἀγελάστοις ξυμφοραῖς πεπληγμένων C. 30. ἄρκυν δ' ἂν εἴποις καὶ ποδιστῆρας πέπλους C. 994. παλλεύκων πέπλων ἄμοιρος E. 332. ἐν μανοστήμοις πέπλοις Fragm. 171.

Πέπλωμα. τάφον γὰρ αὐτῷ καὶ κατασκαφὰς ἐγὼ, γυνή περ οὖσα, τῷδε

μηχανήσομαι κόλπῳ φέρουσα βυσσίνου πεπλώματος T. 1030. *πρέπουσι δ' ἄνδρες νήϊοι μελαγχίμοις γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν* S. 701.

Πέπρωται. *οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος κρᾶναι πέπρωται* V. 510. *τί γὰρ πέπρωται Ζηνὶ πλὴν ἀεὶ κρατεῖν;* V. 517. *οὗ δὴ τὴν μακρὰν ἀποικίαν; Ἰὼ, πέπρωται σοί τε καὶ τέκνοις κτίσαι* V. 817. *πέπρωται γάρ σε καὶ βέλη λιπεῖν* Fragm. Pr. Sol. 6. *τὴν πεπρωμένην δὲ χρὴ αἶσαν φέρειν ὡς ῥᾷστα* V. 103. *οὔκουν ἂν ἐκφύγοι γε τὴν πεπρωμένην* V. 516. *ὅτῳ θανεῖν μέν ἐστιν οὐ πεπρωμένον* V. 755. *τελεῖται δ' ἐς τὸ πεπρωμένον* A. 68. *προνοίαισι τοῦ πεπρωμένου* A. 670. *στείχετ' ἤδη δ', ὦ γέροντες, πρὸς δόμους πεπρωμένους* A. 1642. *οὐδ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ φεύγει τι μᾶλλον τὸν πεπρώμενον μόρον* Fragm. 28.

Περ. *μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενὶ* A. 1504.

Πέρα. *βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης* V. 30. *μὴ νῦν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα* V. 505.

Περαίνειν. *τί σοι περαίνει μηχανὴ συζωμάτων;* S. 465. *Ἔρις περαίνει μῦθον ὑστάτη θεῶν* T. 1042. *εἰπὲ, καὶ πέραινε πάντα, τὴν ἐμὴν αἰδῶ μεθεὶς* P. 685. *δι' ὤτων φρενός τε δαμίας περαῖνον νῦν ἀφίσταται* C. 55. *περαίνων ἐπίμομφον ἄταν* C. 817. *περαίνεται δὲ, κοὐ ματᾷ τοὔργον τόδε* V. 57.

Πέραν. *Χαλκίδος πέραν παλιρρόθοις ἐν Αὐλίδος τόποις* A. 183. *πόντου πέραν τραφεῖσα* A. 1173.

Περᾶν. *περᾷ δὲ Τεύθραντος ἄστυ Μυσῶν* S. 544. *περᾷ κρυσταλλοπῆγα διὰ πόρον* P. 493. *βαρβάρων στρατὸς περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο* P. 785. *πῶς δὲ καὶ στρατὸς τοσόσδε πεζὸν ἤνυσεν περᾶν;* P. 707. *πόρον δ' Ἰσμηνὸν οὐκ ἐᾷ περᾶν ὁ μάντις* T. 360. *κελεύων τόνδε κίνδυνον περᾶν* C. 268. *ἀλλά με τὰν τάλαιναν ἐξ ἐνέρων περῶν κυνηγετεῖ* V. 572. *πόντου περῶσα φλοῖσβον* V. 794. *κεῖτ' ἀμπλάκημα τῷ περῶντι τὴν θέμιν* Fragm. 270. *ὃν μὴ περάσῃς, οὐ γὰρ εὔβατος περᾶν* V. 720. *ὅταν περάσῃς ῥεῖθρον ἠπείρων ὅρων* V. 792. *Θρῄκην περάσαντες μόλις πολλῷ πόνῳ* P. 501. *πεπέρακεν μὲν ὁ περσέπτολις ἤδη βασίλειος στρατὸς εἰς ἀντίπορον γείτονα χώραν* P. 65.

Πέρας. *εἰ γάρ τι κακῶν ἄκος οἶδε πλέον, μόνος ἂν θνητῶν πέρας εἴποι* P. 624.

Πέργαμα. *νέον νέοι κρατεῖτε, καὶ δοκεῖτε δὴ ναίειν ἀπενθῆ πέργαμ'* V. 958.

Πέρθειν. *καί μοι γενείου πέρθε λευκήρη τρίχα* P. 1013. *Ἰαόνων γῆν οἴχεται πέρσαι θέλων* P. 174. *πόλιν—ὑπ' ἀνδρὸς Ἀχαιοῦ περθομέναν ἀτίμως* T. 307.

Περί. *μαχοῦνται περὶ σέθεν* S. 721. *εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρινόμεν πέρι* P. 221. *τοιῶνδέ γ' ἀρχῶν νῦν ὑπεμνήσθην πέρι* P. 321. *οὐκοῦν ἔμ' ἀρκεῖ τῶνδε βουλεύειν πέρι* T. 230. *εἴτ' οὖν θανόντος, εἴτε καὶ ζῶντος πέρι λέγω* A. 817. *τοῦ δρῶντός ἐστι καὶ τὸ βουλεῦσαι πέρι* A. 1332. *σάφ' εἰδότας χρὴ τῶνδε μυθεῖσθαι πέρι* A. 1341. *γένεσθε τῶνδε σύμβουλοι πέρι* C. 84. *τερασκόπον δὲ τῶνδέ σ' αἱροῦμαι πέρι* C. 544. *οὐ σπανίζοντες φίλων βουλευσόμεσθα τῆσδε συμφορᾶς πέρι* C. 707. *μέλει θεοῖσιν ὧνπερ ἂν μέλῃ πέρι* C. 769. *οὐδὲν ἀγγέλων σθένος ὡς αὐτὸς αὐτῶν ἄνδρα πεύθεσθαι πέρι* C. 837. *ἔλεξα τῆς ἐμῆς περὶ ψυχῆς* E. 114. *οὐκ ἀνδρὸς, οὐ γυναικὸς, οὐ πόλεως πέρι εἶπον* E. 587. *οἵ τ' ἐφήμενοι ψήφῳ διαιρεῖν τοῦδε πράγματος πέρι* E. 600. *ἀστῶν δὲ πᾶσι τοῖσδε κοινώσας πέρι* S. 364. *τί τάδε δύνατα δύνατα περὶ τᾷ σᾷ διδύμᾳ διάγοιεν ἁμάρτια πάσᾳ γᾷ σᾷ τᾷδε;* T. 662. *σέβομαι δ' ἀντία λέξαι σέθεν ἀρχαίῳ περὶ τάρβει* T. 682. *μαντεῖα περὶ δέρῃ στέφη* A. 1238. *περὶ φόβῳ βαρὺς πιτνὼν* C. 35. *περὶ βρέτει πλεχθεὶς θεᾶς* E. 248. *περὶ δ' ἐμῷ κάρᾳ κατάγνυται τὸ τεῦχος* Arg. 15. 3. *οὓς πέρι πᾶσα χθὼν Ἀσιῆτις θρέψασα, πόθῳ στένεται μαλερῷ* P. 61. *περὶ πύργον* P. 852. *κῦμα γὰρ περὶ πτόλιν δοχμολόφων ἀνδρῶν καχλάζει* T. 109. *κῦμα περὶ πρύμναν πόλεως καχλάζει* T. 742. *τοῦ περὶ πᾶσαν εἱλισσομένου χθόνα—Ὠκεανοῦ* V. 138. *οἱ δ' αὐτοῦ περὶ τεῖχος θήκας Ἰλιάδος γᾶς εὔμορφοι κατέχουσιν* A.

440. φρνολιβῆ θρόνον περὶ πόδα περὶ κάρα πάρεστι γᾶς ὀμφαλὸν προσδρακεῖν, αἱμάτων βλοσυρὸν αἱρούμενον ἄγος ἔχειν E. 159. Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν Fragm. Psych. 2. ἅ τε χάρις λάμπει περὶ σὰν πτέρυγα χρύσεον Fragm. Inc. 23.

Περιβάλλειν. οὔκουν ἐπείξῃ δεσμὰ τῷδε περιβαλεῖν V. 52. πέδαις σφυρηλάτοις περιβαλὼν P. 734. Τροίᾳ περιβαλὼν ζευκτήριον A. 515. Ἰφιγένεια πατέρ' ἀντιάσασα περὶ χεῖρε βαλοῦσα φιλήσει A. 1540. νεκρὸν θήσω, ποδωκεῖ περιβαλὼν χαλκεύματι C. 569. ἰὼ δυσαδελφόταται πασῶν ὅποσαι στρόφον ἐσθῆσι περιβάλλονται P. 853. περιβάλοντο γάρ οἱ πτεροφόρον δέμας θεοὶ A. 1118.

Περίβαρυς. τὸ περίβαρυ κρύος ἔχειν E. 154.

Περιγραφή. καὶ γὰρ δύ' ἐστὸν τώδε περιγραφὰ πόδοιν C. 205.

Περίδρομος. ἴδε με τὰν ἱκέτιν φυγάδα περίδρομον S. 343. ὀφέων δὲ πλεκτάναισι περίδρομον κύτος προσηδάφισται κοιλογάστορος κύκλου T. 477.

Περίθυμος. τελέσαι τὰς περιθύμους κατάρας βλαψίφρονος Οἰδιπόδα T. 706.

Περιθύμως. μέμφεσθαι τοὺς γὰς νέρθεν περιθύμως C. 40.

Περίκλυστος. Αἴαντος περικλύστα νᾶσος P. 588. νᾶσοί θ' αἱ κατὰ πρῶν' ἅλιον περίκλυστοι P. 856.

Περιναίειν. οἷς χεῦμ' Ἐρασίνου περιναίεται παλαιὸν S. 1000.

Πέριξ. ἄλλαι τε κύκλῳ νῆσον Αἴαντος πέριξ P. 360. Ἑλληνικαί τε νᾶες οὐκ ἀφραδμόνως κύκλῳ πέριξ ἔθεινον P. 410.

Περιόργως. πανσανέμου γὰρ θυσίας, παρθενίου θ' αἵματος ὀργᾷ περιόργως ἐπιθυμεῖν θέμις A. 209.

Περίπεμπτος. τίνος ἀγγελίας πειθοῖ περίπεμπτα θυοσκινεῖς; S. 87.

Περιπετής. δίκαν χιμαίρας ὕπερθε βωμοῦ πέπλοις περιπετῆ A. 225.

Περίρρυτος. ὑπέρ τε πόντον καὶ περιῤῥύτους πόλεις E. 77.

Περιῤῥήγνυμι. ἄγεσθαι ἱππηδὸν πλοκάμων περιῤῥηγνυμένων φάρεων T. 311.

Περίσεπτος. καὶ τιμαῖς καὶ θύσιαις περίσεπτοι E. 990.

Περισσός. αὐδῶ σε μὴ περισσὰ κηρύσσειν ἐμοὶ T. 1034. μόχθον περισσὸν κουφόνουν τ' εὐηθίαν V. 383.

Περισσόφρων. ἦ οὐκ οἶσθ' ἀκριβῶς, ὢν περισσόφρων, ὅτι γλώσσῃ ματαίᾳ ζημία προστρίβεται; V. 328.

Περιστέλλειν. τὸ μήτ' ἄναρχον μήτε δεσποτούμενον ἀστοῖς περιστέλλουσα βουλεύω σέβειν E. 667.

Περιστιχίζειν. ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων περιστιχίζω, πλοῦτον εἵματος κακὸν A. 1356.

Περίφυβος. περίφοβόν μ' ἔχει τάρβος ἐτητύμως πολυδρόμου φυγᾶς ὄφελος εἴ τί μοι S. 717.

Περίφρων. περίφρονες δ' ἄγαν ἀνιέρῳ μένει μεμαργωμέναι κυνοθρασεῖς S. 738.

Περιχριμπτός. περιχριμπτὰ βρυάζεις, ὃς ἐρωτᾷς S. 856.

Περιώδυνος. φεῦ τίς ἂν ἐν τάχει, μὴ περιώδυνος, μηδὲ δεμνιοτήρης, μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν μοῖρ' ἀτέλευτον ὕπνον A. 1424.

Πέῤῥαιβος. ὁρίζομαι δὲ τήνδε Πεῤῥαίβων χθόνα S. 259.

Περσέπτολις. πεπέρακε μὲν ἡ περσέπτολις ἤδη βασίλειος στρατὸς εἰς ἀντίπορον γείτονα χώραν P. 66.

Περσεύς. Περσέως τε ἐν φρεσὶν καρδίαν σχέθων C. 818.

Πέρσης. τάδε μὲν Περσῶν τῶν οἰχομένων Ἑλλάδ' ἐς αἶαν πιστὰ καλεῖται P. 1. οὔτε τις ἱππεὺς ἄστυ τὸ Περσῶν ἀφικνεῖται P. 15. ταγοὶ Περσῶν P. 23. ἀπρόσοιστος γὰρ ὁ Περσῶν στρατὸς P. 91. ἐπέσκηψε δὲ Πέρσαις πολέμους ἀνδροδαΐκτους διέπειν P. 104. ἄγε, Πέρσαι, φροντίδα κεδνὴν καὶ βαθύβουλον θώμεθα P. 136. θεοῦ μὲν εὐνήτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς P. 153. σύμβουλοι λόγου τοῦδέ μοι γένεσθε, Πέρσαι P. 167. τὸ Περσῶν δ' ἄνθος οἴχεται πεσὸν P. 248. ὅμως δ' ἀνάγκη πᾶν ἀναπτύξαι πάθος, Πέρσαι P. 251. διαίνεσθε, Πέρσαι, τόδ' ἄχος κλύοντες P. 253. παρών γε, κοὐ λόγους ἄλλων κλύων, Πέρσαι, φράσαιμ' ἂν P. 259. ἰύζ' ἄποτμον βοὰν δυσαιανῆ Πέρσαις δαΐοις P. 273. αἴσχη τε Πέρσαις καὶ λιγέα κωκύματα P. 324. κακῶν

δὴ πέλαγος ἔῤῥωγεν μέγα Πέρσαις τε καὶ πρόπαντι βαρβάρων γένει P. 426. Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν P. 433. ὡς ἄρ' ἔψευσας φρενῶν Πέρσας P. 465. ὡς στένειν πόλιν Περσῶν P. 504. ἃ Πέρσαις ἐγκατέσκηψεν θεὸς P. 506. ὦ Ζεῦ, Περσῶν τῶν μεγαλαύχων καὶ πολυάνδρων στρατιὰν ὀλέσας P. 525. αἱμαχθεῖσα δ' ἄρουραν Αἴαντος περικλύστα νᾶσος ἔχει τὰ Περσῶν P. 589. βασίλεια γύναι, πρέσβος Πέρσαις P. 615. τί ἐστὶ Πέρσαις νεοχμὸν ἐμβριθὲς κακόν; P. 679. Περσᾶν Σουσιγενὴς θεὸς P. 635. θεομήστωρ δ' ἐπικλήσκετο Πέρσαις P. 646. ὦ πιστὰ πιστῶν ἥλικές θ' ἥβης ἐμῆς Πέρσαι γεραιοὶ P. 668. ζηλωτὸς ὢν βίοτον εὐαιῶνα Πέρσαις P. 697. διαπεπόρθηται τὰ Περσῶν πράγμαθ' P. 700. ὡς ὠμοφρόνως δαίμων ἐνέβη Περσῶν γενεᾷ P. 876. γᾶ δ' αἰάζει τὰν ἐγγαίαν ἥβαν Ξέρξᾳ κταμέναν, Ἅιδου σάκτορι Περσῶν P. 888. Πέρσαις ἀγανοῖς κακὰ πρόκακα λέγεις P. 946. δυσπόλεμον δὴ γένος τὸ Περσῶν P. 974. ὄλωλεν μεγάλως τὰ Περσῶν P. 976.

Περσικός. Περσικοῦ στρατεύματος φόβῳ P. 117. πέπλοισι Περσικοῖς ἠσκημένη P. 178. τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν P. 243. Περσικῷ στρατεύματι μάχην ξυνάψαι P. 328. τὰ πρῶτα μὲν δὴ ῥεῦμα Περσικοῦ στρατοῦ ἀντεῖχε P. 403. ὡς ἄγαν βαρὺς ποδοῖν ἐνήλλου παντὶ Περσικῷ γένει P. 508. πῶς ἂν ἐκ τούτων ἔτι πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς; P. 775.

Περσίς. ἄνθος Περσίδος αἴας P. 59. ὦ Περσὶς αἶα P. 245. Περσίδος γλώσσης ῥόθος P. 398. πέμπετε δ' ἄνω οἷον οὔπω Περσὶς αἶ' ἐκάλυψεν P. 637. ἰώ, Περσὶς αἶα δύσβατος P. 1026. 1030. Περσίδες ἀκροπενθεῖς P. 132. ὦ βαθυζώνων ἄνασσα Περσίδων P. 151. ὡς πολλᾶς Περσίδων μάτην ἔκτισαν εὔνιδας ἠδ' ἀνάνδρους P. 281. Περσίδες ἀνδρῶν ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν P. 533.

Περσονομεῖσθαι. τοὶ δ' ἀνὰ γᾶν Ἀσίαν δὴν οὐκ ἔτι Περσονομοῦνται P. 577. ὀτοτοὶ βασιλεῦ στρατιᾶς ἀγαθῆς καὶ Περσονόμου τιμῆς μεγάλης P. 883.

Πέσημα. ἀλλὰ πολλὰ γίνεται πάρος πεσήματ' ἀνδρῶν κἀπολακτισμοὶ βίου S. 915.

Πεσσονομεῖν. Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος, καὶ στασίαρχος, τάδε πεσσονομῶν κύδιστ' ἀχέων ἐπέκρανεν S. 13.

Πέτασμα. αἷς ἐπέσταλται τέλος πέδον κελεύθου στρωννύναι πετάσμασιν A. 883.

Πετεινός. οὕτω πετεινῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ ταφέντ' ἀτίμως τουπιτίμιον λαβεῖν T. 1011.

Πέτρα. λισσὰς αἰγίλιψ ἀπρόσδεικτος οἰόφρων ἐρημὰς γυπίας πέτρα S. 777. ὄρθιον δ' ἅμα ἀντηλάλαξε νησιώτιδος πέτρας ἠχὼ P. 382. ἀνθ' ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν V. 31. σιδηρόφρων τε, κἀκ πέτρας εἰργασμένος, ὅστις, Προμηθεῦ, σοίσιν οὐ συνασχαλᾷ μόχθοισιν V. 242. κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ, ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον V. 970. ἔνθα Κωρυκὶς πέτρα κοίλη E. 22. ἔνθεν ἔστ' ἐπώνυμος πέτρα, πάγος τ' Ἄρειος E. 660. φέρ' ὡς τάχος κνημῖδας, αἰχμήν, καὶ πετρῶν προβλήματα T. 658. τόνδε πρὸς πέτραις ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι V. 4. λαβών νιν, ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις V. 56. σὸν δέμας εἰσιδούσῃ πέτραις προσαναινόμενον ταῖς ἀδαμαντοδέτοισι λύμαις V. 147. οὐ μήν τι ποιναῖς γ' ᾠόμην τοίαισί με κατισχανεῖσθαι πρὸς πέτραις πεδαρσίοις V. 269. ἔῤῥιψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας V. 750. Σκύλλαν τινα, οἰκοῦσαν ἐν πέτραισι A. 1207. ὑπηρετεῖ δ' αὐτῷ θάλασσα, καὶ πέτραι Fragm. Inc. 168. 6.

Πετραῖος. πετραία δ' ἀγκάλη σε βαστάσει V. 1021. τήκει πετραίαν χιόνα Fragm. Inc. 31. 6. τραχὺς πετραῖος ὄρνις Fragm. Inc. 32. 4.

Πετρηρεφής. λιπὼν ἐπώνυμόν τε ῥεῦμα, καὶ πετρηρεφὲς ἄντρον V. 300.

Πέτρινος. τίνα φῶ λεύσσειν τόνδε χαλινοῖς ἐν πετρίνοισιν χειμαζόμενον; V. 561.

Πέτρον. πολλὰ μὲν γὰρ ἐκ χερῶν πέτροισιν ἠράσσοντο P. 452. νεφέλην ὑποσχὼν νιφάδι στρογγύλων πέτρων ὑπόσκιον θήσει χθόνα Fragm. Pr. Sol. 6. 7.

Πεύθεσθαι. Μενέλεων δὲ πεύθομαι, εἰ νόστιμός γε καὶ σεσωσμένος πάλιν ἥξει A. 603. πεύθομαι δ' ἀπ' ὀμμάτων νόστον αὐτόμαρτυς ὢν A. 961. πεύθομαι γὰρ ἐν λόγῳ C. 663. τεθνηκότος δὲ νῦν τάλαινα πεύθομαι C. 752. νέαν φάτιν δὲ πεύθομαι λέγειν τινας ξένους C. 826. οὐδὲν ἀγγέλων σθένος, ὡς αὐτὸς αὐτῶν ἄνδρα πεύθεσθαι πέρι C. 837. σαφεῖ δὲ μύθῳ πᾶν ὅπερ προσχρῄζετε πεύσεσθε V. 645. πεύσῃ γὰρ οὐδὲν ὧν ἀνιστορεῖς ἐμὲ V. 964. πεύσῃ δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν A. 257. ἄνακτος αὐτοῦ πάντα πεύσομαι λόγον A. 585. σιγᾶθ', ὅπως μὴ πεύσεταί τις C. 263. πεύσῃ τὰ πάντα συντόμως E. 393. τιμάς γε μέντοι τὰς ἐμὰς πεύσῃ τάχα E. 397. γένος δὲ τοὐμὸν ὡς ἔχει πεύσῃ E. 432. πεύσεται δ' ἄλλος ἄλλοθεν E. 479. ἦ καὶ πέπυσθε τοὔναρ; ὥστ' ὀρθῶς φράσαι C. 519. τάχ' ἂν ὀπτῆρες εἶεν ἀγγέλων πεπυσμένοι S. 188. εἴτε κεδὸν, εἴτε μὴ, πεπυσμένη, εὐαγγέλοισιν ἐλπίσιν θυηπολεῖς κλύοιμ' ἂν εὔφρων A. 253. ἥμεν κλέος σοῦ μαντικὸν πεπυσμένοι A. 1069. τοῦτ' οὐκ ἂν οὖν πύθοιο, μηδὲ λιπάρει V. 518. πάντα γὰρ πύθοιό μου V. 619. μὴ πόλις πύθηται P. 117. μὴ νῦν, ἐὰν θνήσκοντας ἢ τετρωμένους πύθησθε, κωκυτοῖσιν ἁρπαλίζετε T. 225. ὡς σαφέστερον ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν ἐλθὼν πύθηται τήνδε C. 726. εὖτ' ἂν πύθηται μῦθον C. 732. πυθέσθαι δ' οὐδέν ἐστ' ἔξω δρόμου C. 507. εἰ προσδοκᾷς ἐμοῦ τι πευσεῖσθαι πάρα V. 990.

Πεύκη. πεύκη τὸ χρυσοφεγγὲς, ὥς τις ἥλιος, σέλας παραγγείλασα Μακίστου σκοπαῖς A. 279. κάμακες πεύκης οἱ πυρίφλεκτοι Fragm. Xant. 3.

Πευκήεις. ἐφυμνῆσαι γένοιτό μοι πευκήεντ' ὀλολυγμὸν ἀνδρὸς θεινομένου C. 381.

Πῆ. πῆ ποτε μόχθων χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι; V. 99. πῆ μ' ἄγουσι τηλέπλανοι πλάναι; V. 577.

Πηγασταγών. Πηγασταγὼν Αἰγυπτογενὴς P. 35.

Πηγή. χεροῖν καλλιρρόου ἔψαυσα πηγῆς P. 198. ἀργύρου πηγή τις αὐτοῖς ἐστὶ, θησαυρὸς χθονὸς P. 234. λιβάσιν ὑδρηλαῖς παρθένου πηγῆς μέτα P. 605. νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι φίλοις P. 729. μητρός τε πηγὴν τίς κατασβέσει δίκη; T. 566. πηγαῖς τε Νείλου γειτονῶν Αἰγυπτίου Ἀρκτεὺς P. 303. Δίρκης τε πηγαὶ T. 255. ὦ Διὸς αἰθὴρ καὶ ταχύπτεροι πνοαὶ ποταμῶν τε πηγαὶ V. 89. θηρῶμαι πυρὸς πηγὴν κλοπαίαν V. 110. πηγαὶ δ' ἁγνορρύτων ποταμῶν στένουσιν ἄλγος V. 432. οἱ πρὸς ἡλίου ναίουσι πηγαῖς V. 811. ἐμοί γε μὲν δὴ κλαυμάτων ἐπίσσυτοι πηγαὶ κατεσβήκασι A. 863. πλείστου τε πηγὰς, καὶ Ποσειδῶνος κράτος καλοῦσα, καὶ τέλειον ὕψιστον Δία E. 27.

Πῆγμα. καὶ πῶς ἂν ὅρκος, πῆγμα γενναίως παγὲν, παιώνιον γένοιτο; A. 1172.

Πηγνύναι. πήγνυσίν τε πᾶν ῥέεθρον ἁγνοῦ Στρυμόνος P. 488. δι' αἷματ' ἐκποθένθ' ὑπὸ χθονὸς τροφοῦ, τίτας φόνος πέπηγεν, οὐ διαῤῥυδᾶν C. 64. καὶ πῶς ἂν ὅρκος, πῆγμα γενναίως παγὲν, παιώνιον γένοιτο A. 1171. λευσμόν τε καὶ μύζουσιν οἰκτισμὸν πολὺν ὑπὸ ῥάχιν παγέντες E. 181.

Πηδάλιον. σύριγγες ἔκλαγξαν ἑλίτροχοι, ἱππικῶν τ' ἀΰπνων πηδαλίων διαστόμια πυριγενετᾶν χαλινῶν T. 188.

Πηδᾷν. τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος ἐξ ὑπτίου πήδησεν εὐχάλκου κράνους T. 441.

Πήδημα. τίς ὁ κραιπνῷ ποδὶ πηδήματος εὐπετέος ἀνάσσων; P. 96. πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο P. 297. πήδημ' ὀρούσας ἀμφὶ Πλειάδων δύσιν A. 800.

Πηλόπλαστος. τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνὴ Fragm. 1. 84.

Πηλός. μαρτυρεῖ δέ μοι κάσις πηλοῦ ξύνουρος διψία κόνις τάδε A. 481.

Πῆμα. ἀκούειν τόδε πῆμ' ἄελπτον P. 257. κατεῖδον δὲ πῆμ' ἄελπτον P. 985. δίαινε, δίαινε πῆμα P. 995. ἰὼ πῆμα πατρὶ πάρευνον T. 995. τό τ' ἐπερχόμενον πῆμα στενάχω V. 99. οὐδέ μοι ποταίνιον πῆμ' οὐδὲν ἥξει V. 103. μηδέ ποτ' εἴπηθ', ὡς Ζεὺς ὑμᾶς εἰς ἀπρόοπτον πῆμ' εἰσέβαλεν V. 1077. ἐγρηγορὸς τὸ πῆμα τῶν ὀλωλότων γένοιτ' ἂν A. 337. πῆμα δ' οὐκ ἀντιῤῥέπει A. 560. μακρὸν δὲ πῆμα ξυντόμως

ἐφημίσω A. 615. πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου A. 824. τὸν μὲν εἰπεῖν, τὸν δ' ἐπεισφέρειν κακοῦ κάκιον ἀλλὸ πῆμα, λάσκοντας δόμοις A. 839. ὥστε κύματος δίκην κλύζειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ μεῖζον A. 1155. ἀλλ' οὔτι πω τοιόνδε πῆμ' ἀνεσχόμην C. 736. μηδ' ἀγνοήσῃς πῆμα μαλθαχθεῖσ' ὕπνῳ E. 129. γνώμης δ' ἀπούσης πῆμα γίνεται μέγα E. 720. δίκας ἄτερ πημάτων διδοῖεν S. 684. τοσόνδε πλῆθος πημάτων ἐπέσπασε P. 468. ἀνθρώπεια δ' ἄν τοι πήματ' ἂν τύχοι βροτοῖς P. 692. οὐκ ἂν φανεῖμεν πήματ' ἔρξαντες τόσα P. 772. ἦ πολλὰ καὶ πάροντα καὶ μέλλοντ' ἔτι ἤλγησ' ἀκούσας βαρβάροισι πήματα P. 830. ἦλθε δ' αἰακτὰ πήματ' οὐ λόγῳ T. 829. ἠὲ ἠὲ δυσθέατα πήματα T. 963. δίυγρα τριπάλτων πημάτων T. 972. ὅστις πημάτων ἔξω πόδα ἔχει V. 263. ζήτει δὲ τῶνδε πημάτων ἀπαλλαγὰς V. 316. σοῖς πήμασιν συγκάμνουσιν θνητοὶ V. 412. τοῖς βροτοῖς δὲ πήματα ἀκούσαθ' V. 440. πέπονθ' ἀεικὲς πῆμ' ἀποσφαλεὶς φρενῶν V. 470. ὧδε δυσθέατα καὶ δύσοιστα πήματα V. 693. ἦ γάρ τι λοιπὸν τῇδε πημάτων ἐρεῖς; V. 747. αὕτη γὰρ ἦν ἂν πημάτων ἀπαλλαγὴ V. 757. ὅταν δ' ἀπευκτὰ πήματ' ἄγγελος πόλει στυγνῷ προσώπῳ πτωσίμου στρατοῦ φέρῃ A. 624. τοιῶνδε μέντοι πημάτων σεσαγμένον πρέπει λέγειν παιᾶνα τόνδ' Ἐριννύων A. 630. τοῖς τ' αὐτὸς αὑτοῦ πήμασιν βαρύνεται A. 810. ἀμφίλεκτα πήματα ἐμοὶ προφωνῶν A. 856. ἄκος τομαῖον ἐλπίσασα πημάτων C. 532. εἴκασεν δέ τις τὸ δεινὸν αὖ Λημνίοισι πήμασιν C. 625. φίλου πῶλον εὖνιν ζυγέντ' ἐν ἅρματι πημάτων C. 783. τίς ἂν σωζόμενον ῥυθμὸν τοῦτ' ἰδεῖν δάπεδον, ἀνομένων πημάτων ὄρεγμα C. 788. τόξῳ γὰρ οὔτις πημάτων προσίξεται C. 1029. οὐκ εἴσι δόξαι τῶνδε πημάτων ἐμοὶ C. 1049. ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει C. 1056.

Πημαίνειν. πάπταινε δ' αὐτός, μή τι πημανθῇς ὁδῷ V. 334.

Πημονή. δεῖ κάρτα θύειν, καὶ θεοῖς χρηστήρια θεοῖσι πολλοῖς πολλά, πημονῆς ἄκος S. 453. ἀμήχανον βόσκημα πημονῆς πέλει S. 615. ὅσπερ Ἰὼ πημονᾶς ἐλύσατ', εὖ χειρὶ παιωνίᾳ κατασχὼν S. 1051. ταῦτά τοι πλανωμένη πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει V. 276. οὐκ ἔχω σόφισμ' ὅτῳ τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ V. 469. δόμος πημονᾶς γέμων A. 984. πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ πορσύνων, φίλοις δοκοῦσιν εἶναι, πημονὴν ἀρκύστατον φράξειεν A. 1348. πημονῆς δ' ἅλις γ' ὑπάρχει A. 1641. ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν· P. 285. τοιαῖσδε πημοναῖσι κάμπτομαι V. 237. οἵαις ὑπ' αὐτοῦ πημοναῖσι κάμπτομαι V. 306. ἐγὼ γὰρ οὐκ εἰ δυστυχῶ, τοῦδ' εἵνεκα θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν V. 346. μυρίαις δὲ πημοναῖς δύαις τε καμφθείς, ὧδε δεσμὰ φυγγάνω V. 505. τί ποτέ μ' ἐνέζευξας εὑρὼν ἁμαρτοῦσαν ἐν πημοναῖσι V. 580. οὐδ' ἔχω μαθεῖν, ὅπῃ πημονὰς ἀλύξω V. 588. τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας V. 967. τόλμησόν ποτε πρὸς τὰς παρούσας πημονὰς ὀρθῶς φρονεῖν V. 1002.

Πημοσύνη. ἀλλ' οὖν ὑμεῖς γ' αἱ πημοσύναις συγκάμνουσαι ταῖς τοῦδε, τόπων μετά που χωρεῖτ' ἐκ τῶνδε θοῶς V. 1060.

Πιαίνειν. ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις; A. 267. ἔγωγε μὲν δὴ τήνδε πιανῶ χθόνα, μάντις κεκευθὼς πολεμίας ὑπὸ χθονὸς T. 569. πράσσε, πιαίνου μιαίνων τὴν δίκην A. 1654.

Πίασμα. ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς ἄρδει, φίλον πίασμα Βοιωτῶν χθονὶ P. 792.

Πιέζειν. τοὺς δ' ἀπωρφανισμένους νῆστις πιέζει λιμὸς C. 248.

Πιθανός. πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται ταχύπορος A. 473.

Πιθεῖν. πιθήσασα δώροισι Μίνω C. 609.

Πικρόγλωσσος. τέκνοις δ' ἀραίας ἐφῆκεν ἐπικότους τροφάς, αἶ, αἶ, πικρογλώσσους ἀρὰς T. 769.

Πικρόκαρπος. ὠμοδακής σ' ἄγαν ἵμερος ἐξοτρύνει πικρόκαρπον ἀνδροκτασίαν τελεῖν αἵματος οὐ θεμιστοῦ T. 675.

Πικρός. πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρὸν, ἄνδρας γυναικῶν οὕνεχ' αἱμάξαι πέδον S. 479. πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν κλεινῶν Ἀθηνῶν εὗρε

P. 465. κτεάνων χρηματοδαίτας πικρὸς ὠμόφρων σίδηρος Τ. 712. ἤκουσ' ἐπὶ πρᾶγος πικρὸν Τ. 844. δόμων ἐρειψίτοιχοι, καὶ πικρὰς μοναρχίας ἰδόντες Ρ. 863. πικρὸς λυτὴρ νεικέων ὁ πόντιος ξεῖνος Τ. 923. πικρὸς δὲ χρημάτων κακὸς δατητὰς Ἄρης ἀρὰν πατρὸς τιθεὶς ἀληθῆ Τ. 925. σὺ μὲν θρασύς τε, καὶ πικραῖς δύαισιν οὐδὲν ἐπιχαλᾷς V. 178. πικροῦ δ' ἔκυρσας, ὦ κόρη, τῶν σῶν γάμων μνηστῆρος V. 741. πικρὸν χεῖμα Α. 191. παρακλίνουσ' ἐπέκρανεν γάμου πικρὰς τελευτὰς Α. 725. ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ' ὄμφακος πικρᾶς οἶνον, τότ' ἤδη ψῦχος ἐν δόμοις πέλει Α. 944. πικρὸν φρενῶν στύγος C. 78. τοὺς φιλτάτους γὰρ οἶδα νῷν ὄντας πικροὺς C. 232. τὸν ἱκέταν σέβων ἄθεον ἄνδρα καὶ τοκεῦσι πικρὸν Ε. 147. κοίμα κελαινοῦ κύματος πικρὸν μένος Ε. 796. πικροὶ γάρ, κοὐ διὰ ζωῆς ἀτμοὶ Prom. Sol. 5. 6. ἴυζε καὶ βόα πικρότερ' ἀχέων S. 853.

Πικρῶς. καί μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐκτενεῖς φίλους πικρῶς ἤκουσαν αὐτανεψίους S. 962. οὕτως ἀτίμως καὶ πικρῶς μ' αἰκίζεται V. 195. τὸν πικρῶς ὑπερπικρὸν V. 946.

Πίμπλημι. ὁ μὲν ἐν χερσὶ βόμβυκας ἔχων τόρνου κάματον δακτυλόδεικτον πίμπλησι μέλος Ed. 50. βασιλεὺς γὰρ ἦς, ὄφρ' ἔζης, μόριμον λάχος πιμπλάντων χεροῖν, πεισίμβροτόν τε βάκτρον C. 356. λέκτρα δ' ἀνδρῶν πόθῳ πίμπλαται δακρύμασιν Ρ. 131.

Πίμπρημι. οὐ θεῶν βρέτη ᾐδοῦντο συλᾶν, οὐδὲ πιμπράναι νεὼς Ρ. 796. πρήσω πόλιν Τ. 416.

Πίναξ. νέοις πίναξι βρέτεα κοσμῆσαι τάδε S. 458. ταῦτ' οὐ πίναξίν ἐστιν ἐγγεγραμμένα S. 924.

Πίνδος. Πίνδου τε τἀπέκεινα S. 260.

Πίνειν. ἄρσενάς τοι τῆσδε γῆς οἰκήτορας εὑρήσετ' οὐ πίνοντας ἐκ κριθῶν μέθυ S. 931. ἐκ τῶνδ' ἔπινε βρύτον ἰσχναίνων χρόνῳ Lycurg. 1. 1. βασιλέοιν δ' ὁμοσπόροιν πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ Τ. 803. καὶ μὴν πεπωκώς γ', ὡς θρασύνεσθαι πλέον, βρότειον αἷμα κῶμος ἐν δόμοις μένει, δύσπεμπτος ἔξω, συγγόνων Ἐρινύων Α. 1161. ἐπειδὰν χθονία κόνις πίῃ μελαμπαγὲς αἷμα φοίνιον Τ. 718. πιοῦσα κόνις μέλαν αἷμα πολιτᾶν Ε. 935. φόνου δ' Ἐρινὺς οὐχ ὑπεσπανισμένη ἄκρατον αἷμα πίεται τρίτην πόσιν C. 572.

Πίνος. τὰ χρυσόπαστα δ' ἐσθλὰ σὺν πίνῳ χεροῖν παλιντρόποισιν ὄμμασιν λιποῦσ', ὅσια προσέβα, δύναμιν οὐ σέβουσα πλούτου παράσημον αἴνῳ Α. 752.

Πινύσκειν. πρὸς ταῦτ' ἐκεῖνον, σωφρονεῖν κεχρημένοι πινύσκετ' εὐλόγοισι νουθετήμασιν Ρ. 816.

Πιπράσκειν. διχῶς ἐπράθην ὢν ἐλευθέρου πατρὸς C. 902. καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ πραθέντα τλῆναι Α. 1011.

Πίπτειν. πίπτει δ' ἀσφαλὲς οὐδ' ἐπὶ νώτῳ, κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλειον S. 86. πίπτει δ' ἐμὸς παῖς, καὶ πατὴρ παρίσταται Δαρεῖος οἰκτείρων σφε Ρ. 193. ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι σταγόνες ἄφραστοι δυσχίμου πλημμυρίδος C. 183. πίπτων δ' οὐκ οἶδεν τόδ' ὑπ' ἄφρονι λύμᾳ Ε. 355. πῖπτον δ' ἐπ' ἀλλήλοισι Ρ. 498. πέπτωκεν ἀνδρῶν ὀμβρίμων κομπάσματα Τ. 776. ἐξ ἀρκύων πέπτωκεν, οἴχεται δ' ὁ θὴρ Ε. 142. ἵππους δ' ἐν ἀμπυκτῆρσιν ἐμβριμωμένας δινεῖ, θελούσας πρὸς πύλαις πεπτωκέναι Τ. 444. ἀπὸ σμικροῦ δ' ἂν ἄρειας μέγαν δόμον, δοκοῦντα κάρτα νῦν πεπτωκέναι C. 261. ἀμφὶ σώμασιν πεπτωκότες ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων C. 317. πεπτωκότι τρίτην ἐπενδίδωμι (πληγὴν) Α. 1359. τὸ γὰρ σκοτεινὸν τῶν ἐνερτέρων βέλος ἐκ προστροπαίων ἐν γένει πεπτωκότων, κινεῖ, ταράσσει C. 285. οἵδε ναὸς ἐκ μιᾶς πέσον Ρ. 305. εἰ θανόντι νὺξ ἐπ' ὀφθαλμοῖς πέσοι Τ. 385. εἴ τις ἐς νόσον πέσοι, οὐκ ἦν ἀλέξημ' οὐδὲν V. 476. βυσσίνοις δ' ἐν πέπλοις πέσῃ λακὶς Ρ. 123. ὅταν γυνὴ γυναικὸς ἀντ' ἐμοῦ θάνῃ, ἀνήρ τε δυσδάμαρτος ἀντ' ἀνδρὸς πέσῃ Α. 1292. δεῖ πεσεῖν χρηστήρια θεοῖσι πολλοῖς S. 445. οὐδὲν γὰρ αὐτῷ ταῦτ' ἐπαρκέσει τὸ μὴ οὐ πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετὰ V. 921. εὔχομαι δ' ἀπ' ἐμᾶς τι ἐλπίδος ψύθη πεσεῖν Α. 971. τοῦθ' ὅμως αἱρούμεθα ὀφθαλμὸν οἴκων μὴ πανώλεθρον πεσεῖν C. 922. τὸ Περσῶν δ' ἄνθος οἴχεται πεσὸν Ρ. 248. οἷον ἔργον οὐδέπω τόδ' ἄστυ

Σούσων ἐξεκείνωσεν πεσὸν P. 747. βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν αὔειν T. 167. παντοδαπὸς δὲ καρπὸς χαμάδις πεσὼν ἀλγύνει κυρήσας E. 340. κακὸς δ' ἰατρὸς ὥς τις, ἐς νόσον πεσὼν ἀθυμεῖς V. 472. τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι A. 32. ἐν φόνοις καλῶς πεσὼν A. 435. εὖτε πόντος ἐν μεσημβριναῖς κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσὼν A. 552. ὥστε σύγγονον βροτοῖσι, τὸν πεσόντα λακτίσαι πλέον A. 859. τὸ δ' ἐπὶ γᾶν πεσόνθ' ἅπαξ θανάσιμον προπάροιθ' ἀνδρὸς μέλαν αἷμα τίς ἂν πάλιν ἀγκαλέσαιτ' ἐπαείδων; A. 989. τὰ δ' ἄλλ' ἀκούσας, ἐκ δρόμου πεσὼν τρέχω A. 1218. ἴτ' ἐς φθόρον πεσόντ' A. 1240. ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα A. 1585. τί γὰρ λυγρὸν πεσόντος αἵματος πέδῳ; C. 47. ὕπνῳ πεσὼν E. 68. πέδῳ πεσὼν ἄφερτος αἰανὴς νόσος E. 457. ὄμβρος δ' ἀπ' εὐνάεντος οὐρανοῦ πεσὼν ἔλυσε γαῖαν Fragm. Dan. 1. 3. τύχᾳ δ' εὐπροσωποκοίτᾳ τὸ πᾶν ἰδεῖν θρεομένοις μέτοικοι δόμων πεσοῦνται πάλιν C. 965. ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας αὐχὴν πεσεῖσθαι, πρὸς δίκην πεπληγμένης C. 871.

Πίσσα. λίναδες καὶ πίσσα Fragm. Pr. Ign. 2.

Πισσήρης. οὓς ἴδοιμ' ἐγώ ποτε θανόντας ἐν κηκῖδι πισσήρει φλογὸς C. 266.

Πισσοκώνητος. πισσοκωνήτῳ πυρὶ et πισσοκώνητον μόρον Fragm. Cress. 4.

Πιστεύειν. εἴ τι πιστεῦσαι θεῶν χρὴ θεσφάτοισι P. 786.

Πίστευμα. ἐμῶν τε καὶ σῶν κύριος πιστευμάτων, ὡς χρῆν Ὀρέστης A. 852.

Πίστις. ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν, αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις ἀεὶ P. 435. οὐκ ἀνδρὸς ὅρκοι πίστις, ἀλλ' ὅρκων ἀνὴρ Fragm. 171.

Πιστός (bibendus). εἴ τις ἐς νόσον πέσοι οὐκ ἦν ἀλέξημ' οὐδὲν, οὐδὲ βρώσιμον, οὐ χριστὸν, οὐδὲ πιστὸν V. 478.

Πιστός. τά τε νῦν ἐπιδείξω πιστὰ τεκμήρια S. 53. ξὺν φρονοῦντι δ' ἥκετε πιστῷ γέροντι S. 174. εἰ μή τι πιστὸν τῷδ' ὑποστήσει στόλῳ S. 456. ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις πιστοῖσι πιστὰ ξυμφέρειν βουλεύματα P. 520. ὦ πιστὰ πιστῶν, ἥλικές θ' ἥβης ἐμῆς, Πέρσαι γεραιοὶ P. 677. τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν Βατανώχου παῖδ' Ἄλπιστον P. 941. ἐθρέψατ' οἰκιστῆρας ἀσπιδηφόρους πιστοὺς T. 20. κἀγὼ τὰ λοιπὰ πιστὸν ἡμεροσκόπον ὀφθαλμὸν ἕξω T. 66. κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον V. 971. τί γὰρ τὸ πιστόν ἐστι τῶνδέ σοι τέκμαρ A. 263. ἀκούσας πιστά σου τεκμήρια A. 343. γυναῖκα πιστὴν δ' ἐν δόμοις εὕροι μολὼν A. 592. ξυνώμοσαν γὰρ, ὄντες ἔχθιστοι τὸ πρὶν, πῦρ καὶ θάλασσα, καὶ τὰ πίστ' ἐδειξάτην A. 637. ἡμῖν γε μὲν δὴ πιστὰ θεσπίζειν δοκεῖς A. 1186. θεσφατηλόγος πιστὴ ξύνευνος A. 1417. πιστὸς δ' ἀδελφὸς ἦσθα C. 241. φεῦ, φεῦ, κάρανα δαΐξας πιστὰ γένοιτο χώρᾳ C. 391. ποῦ δὴ τὰ λοιπὰ Λοξίου μαντεύματα, τὰ πυθόχρηστα, πιστὰ δ' εὐορκώματα C. 888. λεὼν πιστὸν δικαίως, ἐς τὸ πᾶν τε σύμμαχον E. 281. ὅπως γένοιτο πιστὸς ἐς τὸ πᾶν χρόνου E. 640. καὶ τάδ' αἰανῶς μένοι στέργειν τὰ πιστὰ τῶνδε τοὺς ξυνεμπόρους E. 643. τὸ γὰρ βρότειον σπέρμ' ἐφήμερα φρονεῖ, καὶ πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιὰ Fragm. Inc. 11. (fretus) τοξουλκῷ λήματι πιστοὶ P. 55. πρὸς ταῦτα νῦν θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις πιστὸς V. 917.

Πίστωμα. τοὐδέ μοι γένεσθε, Πέρσαι, γηραλέα πιστώματα P. 167. ὅρκος τ' ἐμμένει πιστώμασιν C. 917. καὶ παρ' οὐδὲν ἠρκέσω Ἥρας τελείας καὶ Διὸς πιστώματα E. 205.

Πίσυνος. ἀλκᾷ πίσυνος μέμυκε φράζουσα βοτῆρι μόχθους S. 348. πίσυνοι λεπτοδόμοις πείσμασι, λαοπόροις τε μηχαναῖς P. 112. θεοῖσι πίσυνος T. 193.

Πιτνεῖν. ἐκ τῶνδέ τοι ταραγμὸς ἐς φρένας πιτνεῖ C. 1052. ἐπειδὴ πιτνεῖ δόμος δίκας E. 490. κακῶν δ' ὥσπερ θάλασσα κῦμ' ἄγει, τὸ μὲν πιτνὸν, ἄλλο δ' ἐγείρει T. 741. ἀμηχανῶ, φροντίδων στερηθεὶς, ὅπα τράπωμαι πιτνόντος οἴκου A. 1514. περὶ φόβῳ γυναικείοισιν ἐν δώμασιν βαρὺς πιτνῶν C. 36.

Πίτυλος. ἰὼ ἰὼ μοί μοι, τὰς ὠγυγίους κατιδόντες Ἀθάνας στυγνὰς, πάντες

ἐνὶ πιτύλῳ P. 937. ἀλλὰ γόων, ὦ φίλαι, κατ' οὖρον ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν πίτυλον T. 838.

Πιφαύσκειν. βουλῇ πιφαύσκω δ' ὔμμ' ἐπίσπεσθαι πατρὸς E. 590. βασιλείου τιήρας Φάλαρον πιφαύσκων P. 652. ὦ χαῖρε λαμπτὴρ νυκτὸς ἡμερήσιον φάος πιφαύσκων A. 22. τὰ μὲν γὰρ ἐκ γῆς δυσφρόνων μειλίγματα βροτοῖς πιφαύσκων εἶπε C. 276.

Πίων. συνθνήσκουσα δὲ σποδὸς προπέμπει πίονας πλούτου πνοὰς A. 794.

Πλαγά. δμαθέντες μεγάλως πλαγαῖσι ποντίαισι P. 872. οἱ στονόεσσα πλάγὰ P. 1010. διανταίαν λέγεις πλαγὰν T. 876. Διὸς πλαγὰν ἔχουσιν εἰπεῖν A. 358. παράμουσος ἄτης αἱματόεσσα πλαγὰ A. 461.

Πλαγκτός. φίλων ἀλίδονα σώματα πολυβαφῆ κατθανόντα λέγεις φέρεσθαι πλαγκτοῖς ἐν διπλάκεσσι P. 268. λόγοις τοιούτοις πλαγκτὸς οὖσ' ἐφαινόμην A. 578.

Πλάζειν. πατροφόνῳ χερὶ κρεισσοτέκνων ἀπ' ὀμμάτων ἐπλάγχθη T. 766.

Πλάθειν. πόντιαί τ' ἀγκάλαι κνωδάλων ἀνταίων βροτοῖσι πλάθουσι C. 582. μηδὲ πλασθείην γαμετᾷ τινὶ τῶν ἐξ οὐρανοῦ V. 899.

Πλανᾶν. ἀλλά με τὰν τάλαιναν ἐξ ἐνέρων περῶν κυνηγετεῖ, πλανᾷ τε νῆστιν ἀνὰ τὰν παραλίαν ψάμμον V. 573. ἀποσφαλεὶς φρενῶν πλανᾷ, κακὸς δ' ἰατρὸς ὥς τις, ἐς νόσον πεσὼν ἀθυμεῖς V. 471. ταὐτά τοι πλανωμένη πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει V. 275. σήμηνον, ὅπη γῆς ἡ μογερὰ πεπλάνημαι V. 565.

Πλάνη. πῆ μ' ἄγουσι τηλέπλανοι πλάναι; V. 577. ἅδδην με πολύπλανοι πλάναι γεγυμνάκασ' V. 587. τέρμα τῆς ἐμῆς πλάνης δεῖξον, τίς ἔσται τῷ ταλαιπώρῳ χρόνος V. 625. τῇδε γὰρ θνητῇ θεὸς θέλων μιγῆναι, τάσδ' ἐπέῤῥιψεν πλάνας V. 740. τῇδε μὲν γέγωνε τὴν λοιπὴν πλάνην V. 786. σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω V. 790. εἰ μέν τι τῇδε λοιπὸν ἢ παρειμένον ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης, λέγ' V. 822.

Πλάνημα. πρὸς αὐτὸ δ' εἶμι τέρμα σῶν πλανημάτων V. 830.

Πλανοστιβής. τὴν πλανοστιβῆ χθόνα βεβῶτα E. 76.

Πλάξ. κενώσας πᾶσαν ἠπείρου πλάκα P. 704. Ἰαόνων ναύφρακτος Ἄρης ἑτεραλκὴς νυχίαν πλάκα κερσάμενος δυσδαίμονά τ' ἀκτὰν P. 915. Φλεγραίαν πλάκα, θρασὺς ταγοῦχος ὡς ἀνὴρ, ἐπισκοπεῖ E. 285.

Πλάσσειν. ὡς ὅδ' οὐ πεπλασμένος ὁ κόμπος, ἀλλὰ καὶ λίαν εἰρημένος V. 1032.

Πλάστιγξ. καὶ διώκεται πόλεως χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας C. 287. καὶ τὸ τεᾷ πλάστιγγι δοθὲν μακαριστότατον τελέθει Fragm. I. 23. 6.

Πλαστός. ῥέγκουσι δ' οὐ πλαστοῖσι φυσιάμασιν E. 53.

Πλάτη. πλάτα μὲν οὖν λινοῤῥαφής τε δόμος ἅλα στέγων, δορὸς ἀχείματόν μ' ἔπεμπε σὺν πνοαῖς S. 127. κυναγοὶ κατ' ἴχνος πλάταν ἄφαντον κελσάντων Σιμόεντος ἐπ' ἀκτὰς A. 679.

Πλατύῤῥους. ὃς καρπώσεται ὅσην πλατύῤῥους Νεῖλος ἀρδεύει χθόνα V. 854.

Πλατύς. Ἕλλας ἀμφὶ πόρον πλατὺν (νᾶσοι) P. 854.

Πλειάς. ἀμφὶ Πλειάδων δύσιν A. 800.

Πλεῖν. πλέουσι δ' ὡς ἕκαστος ἦν τεταγμένος P. 373. ὅσπερ οὐχ ἑκὼν ἔπλει A. 815. ἔπλευσαν ὧδ' ἐπιτυχεῖ κότῳ S. 725. ἐκ τῶν ἀβροτίμων ἔπλευσε προκαλυμμάτων Ζεφύρου γίγαντος αὔρα A. 676.

Πλεισθένης. ἐπεύχεται, οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος A. 1584.

Πλεισθενίδης. ἐθέλῳ δαίμονι τῷ Πλεισθενιδᾶν ὅρκους θεμένη, τάδε μὲν στέργειν A. 1550.

Πλειστήρης. χώρᾳ τῇδε, καὶ τῷ σῷ στρατῷ τὸ λοιπὸν εἰς ἅπαντα πλειστήρη χρόνον ὁρκωμοτήσας, νῦν ἄπειμι πρὸς δόμους E. 733.

Πλειστηρίζομαι. καὶ φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι τὸν πυθόμαντιν Λοξίαν C. 1025.

Πλέκειν. δόλον τιν', ὦ ξέν', ἀμφ' ἐμοὶ πλέκεις C. 218. δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι Fragm. 41. περὶ βρέτη πλεχθεὶς θεᾶς ἀμβρότου E. 248.

Πλεκτανᾶν. αἵδε Γοργόνων δίκην φαιοχίτωνες, καὶ πεπλεκτανημέναι πυκνοῖς δράκουσιν C. 1045.

Πλεκτάνη. ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος προσηδάφισται κοιλογάστορος κύκλου T. 478. μίαν παρείρας

πλεκτάνην χειμάῤῥοον στέγην πυρώσω Orith. 1. 4.

Πλεκτός. *ἄνθη τε πλεκτὰ, παμφόρου γαίας τέκνα* P. 610. *οἱ πλεκτὰς στέγας πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις* V. 711. *πλεκτοῖσιν ἐν σπειράμασιν δεινῆς ἐχίδνης* C. 246.

Πλέος. *ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν* P. 595.

Πλευρά. *ἀλλ' ἀμφὶ πλευραῖς μασχαλιστῆρας βάλε* V. 71. *τίς μ' ὑποδύεται πλευρὰς ὀδύνα;* E. 806.

Πλεύμων. *τὸ δ' ἄγχι πλευμόνων ξίφος διανταίαν ὀξυπευκὲς οὐτᾷ διαὶ δίκας* C. 832.

Πλευρόν. *φάβα μέσην τὰ πλευρὰ πρὸς πτύοις πεπληγμένην* Prot. 1. 2.

Πλεύρωμα. *τετυμμένοι δῆθ' ὁμοσπλάγχνων διὰ πλευρωμάτων* T. 872. *νῦν γὰρ λέβητος χαλκέου πλευρώματα σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου* C. 675.

Πλέων. *διδαχθεὶς δ' ἂν τόδ' εἰδείην πλέον* S. 286. *τὸ σωφρονεῖν τιμῶσα τοῦ βίου πλέον* S. 991. *εἴ τι κακῶν ἄκος οἶδε πλέον* P. 623. *εἰ στράτευμα πλεῖον ἢ τὸ Μηδικὸν* P. 777. *παπαῖ παπαῖ. Καὶ πλέον ἢ παπαῖ μὲν οὖν* P. 989. *καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ* T. 23. *κρατοῦσα μὲν γὰρ, οὐχ ὁμιλητὸν θράσος, δείσασα δ', οἴκῳ καὶ πόλει πλέον κακὸν* T. 172. *οὐ τοῦτο δειμαίνεις πλέον;* V. 41. *τὰ λοιπά μου κλύουσα θαυμάσῃ πλέον* V. 475. *σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι* V. 819. *πλέον καίουσα τῶν εἰρημένων* A. 292. *Πάρις γὰρ, οὔτε συντελὴς πόλις ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον* A. 519. *τὰ δ' αὖτε χέρσῳ καὶ προσῆν, πλέον στύγος* A. 544. *τὸ δυσσεβὲς γὰρ ἔργον μετὰ μὲν πλείονα τίκτει, σφετέρᾳ γ' εἰκότα γέννᾳ* A. 737. *τέτρωται δικτύου πλέω λέγειν* A. 842. *ὥστε σύγγονον βροτοῖσι τὸν πεσόντα λακτίσαι πλέον* A. 859. *ἀμφί σοι πάθη ὁρῶσα πλείω τοῦ ξυνεύδοντος χρόνου* A. 868. *τεταγμένη μοῖρα μοῖραν ἐκ θεῶν εἴργε μὴ πλέον φέρειν* A. 998. *οὐ μὴν πλέω ῥίψασ' ἀτιμωθήσομαι* A. 1038. *ὡς θρασύνεσθαι πλέον* A. 1161. *ἀβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον* A. 1178. *οὐκ ἔστ' ἄλυξις, ὦ ξένοι, χρόνῳ πλέων* A. 1272. *τὸ δ' εὐτυχεῖν, τόδ' ἐν βροτοῖς θεός τε, καὶ θεοῦ πλέον* C. 58. *ἅπαντας ἐχθροὺς τῶν θεῶν ἡγοῦ πλέον* C. 889. *τοιαῦτα δρῶσιν οἱ νεώτεροι θεοὶ, κρατοῦντες τὸ πᾶν δίκας πλέον* E. 156. *σὺ δ' οὖν δίωκε, καὶ πόνον πλέον τίθου* E. 217. *ὅρκος γὰρ οὔ τι Ζηνὸς ἰσχύει πλέον* E. 591. *καὶ τὸ καλὸν πλέον ἢ κακὸν ἐκ σέθεν* Fragm. I. 23. 4. *ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν* P. 276. *εἷς ἀνὴρ πλεῖστον πόνον ἐχθροῖς παρασχὼν* P. 319. *ἔνθα δὴ πλεῖστοι ᾽θανον δίψει λιμῷ τε* P. 482. *ὡς πλεῖστ' ἐπ' ἀνδρὶ τῷδ' ἰάπτεσθαι βέλη* T. 526. *καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασι* T. 781. *ἐγὼ γὰρ οὐδ' εἰ δυστυχῶ, τοῦδ' εἵνεκα θέλοιμ' ἂν ὡς πλείστοισι πημονὰς τυχεῖν* V. 345. *ὄχλον μὲν οὖν τὸν πλεῖστον ἐκλείψω λόγων* V. 829. *πλείστου τε πηγὰς καὶ Ποσειδῶνος κράτος καλοῦσα* E. 27. *τὰ πλεῖστ' ἄμεινων εὔφροσιν δεδεγμένη* E. 602.

Πλέως. *ἀεί τε δὴ νηλὴς σὺ, καὶ θράσους πλέως* V. 42. *πρό γε στενάζεις, καὶ φόβου πλέα τις εἶ* V. 698. *σεμνόστομός γε, καὶ φρονήματος πλέως ὁ μῦθός ἐστιν* V. 955.

Πληγή. *πληγῇ δορὸς πήδημα κοῦφον ἐκ νεὼς ἀφήλατο* P. 296. *ἐπεύχομαι δὲ καιρίας πληγῆς τυχεῖν* A. 1265. *πέπληγμαι καιρίαν πληγὴν* A. 1316. *τίς πληγὴν ἀϋτεῖ καιρίως οὐτασμένος,* A. 1317. *ἀντὶ δὲ πληγῆς φονίας φονίαν πληγὴν τινέτω* C. 310. *πόλις δ' ἐν εὐδίᾳ τε, καὶ κλυδωνίου πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο* T. 777. *ἰδοῦ δ' ὕφασμα τοῦτο, σῆς ἔργον χερὸς, σπάθης τε πληγὰς* C. 220. *ὅρα δὲ πληγὰς τάσδε καρδίας σέθεν* E. 103. *ὁ δὲ μὴ κύρσας βαρέων τούτων, οὐκ οἶδεν ὅθεν πληγαὶ βιότου* E. 893.

Πλήθειν. *πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων Σαλαμῖνος ἀκταὶ* P. 264. *θάλασσα δ' οὐκ ἔτ' ἦν ἰδεῖν, ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν* P. 412. *χεῖρας κρεῶν πλήθοντες οἰκείας βορᾶς* A. 1193.

Πλῆθος. *κακῶν δὲ πλῆθος, ποταμὸς ὡς, ἐπέρχεται* S. 464. *ναῶν ἐρέται δεινοὶ, πλῆθός τ' ἀνάριθμοι* P. 40. *μήτε χρημάτων ἀνάνδρων πλῆθος ἐν τιμῇ σέβειν* P. 162. *πόσον πλῆθος ἦν νεῶν Ἑλληνίδων;* P. 324. *πλήθους*

μὲν οὖν σάφ' ἴσθ' ἕκατι βαρβάρους ναυσὶν κρατῆσαι P. 329. Ξέρξῃ δὲ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν, ὧν ἦγε, πλῆθος P. 334. παῖς ἐμὸς πλήθει καταυχήσας νεῶν P. 343. πλῆθος ἐν στένῳ νεῶν ἤθροιστο P. 404. κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα στοιχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι P. 421. εὖ τάδ' ἴσθι, μήποτ' ἡμέρᾳ μιᾷ πλῆθος τοσουτάριθμον ἀνθρώπων θανεῖν P. 424. πλῆθος ἔκκριτον στρατοῦ λείπει P. 789.

Πληθύειν. ἄναξ Ἄπολλον, αἵδε πληθύουσι δὴ C. 1053. ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐπλήθυον P. 413. δήμου κρατοῦσα χεὶρ ὅποι πληθύεται S. 599.

Πληθύνειν. ὡς ἐπλήθυνον λόγοι A. 843. ταύτην ἐπαινεῖν πάντοθεν πληθύνομαι A. 1343.

Πλημμυρίς. ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι σταγόνες ἄφραστοι δυσχίμου πλημμυρίδος C. 184.

Πλήν. ἅπαντ' ἐπράχθη πλὴν θεοῖσι κοιρανεῖν, ἐλεύθερος γὰρ οὔτις ἐστι πλὴν Διὸς V. 49. πλὴν τοῦδ' ἂν οὐδεὶς ἐνδίκως μέμψαιτό μου V. 63. τοιῶνδε μόχθων ἐκτροπὴν οὐδεὶς θεῶν δύναιτ' ἂν αὐτῷ πλήν γ' ἐμοῦ δεῖξαι σαφῶς V. 916. οὐκ ἔχω προσεικάσαι πάντ' ἐπισταθμώμενος πλὴν Διὸς, εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος χρὴ βαλεῖν ἐτητύμως A. 161. τίς δὲ πλὴν θεῶν ἅπαντ' ἀπήμων τὸν δι' αἰῶνος χρόνον; A. 539. οὐκ ἔστιν ὅστις πλὴν ἐμοῦ κείραιτό νιν C. 170. τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά; E. 122. τὸ δ' ἄρσεν αἰνῶ πάντα πλὴν γάμου τυχεῖν E. 707.

Πλήρης. φοβερὰ δ' ἐμοῖσιν ὄσσοις ὁμίχλη προσῇξεν πλήρης δακρύων V. 145.

Πληροῦν. πληροῦτε θωρακεῖα T. 32. θανὼν τροφεῖα πληρώσει χθονὶ T. 459. τοιοίδ' ἕτοιμοι λαμπαδηφόρων νόμοι, ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι A. 304. τῷ δ' ἐναντίῳ κύτει ἐλπὶς προσήει χειρὸς οὐ πληρουμένῳ A. 791. σάλπιγξ, βροτείου πνεύματος πληρουμένη E. 538. πληρουμένου γὰρ τοῦδε βουλευτηρίου, σιγᾶν ἀρήγει E. 540. Αἴγυπτος ἁγνοῦ νάματος πληρουμένη τήκει πετραίαν χιόνα Fragm. 31. 6.

Πλησίον. κεῖται στενωποῦ πλησίον θαλασσίου V. 364.

Πλησίος. λέοντος ἄντρον αἱματοῤῥόφου οἰκεῖν τοιαύτας εἰκὸς, οὐ χρηστηρίοις ἐν τοῖσδε πλησίοισι τρίβεσθαι μύσος E. 186.

Πλήσσειν. ἐῤῥωδιὸς γὰρ ὕψοθεν ποτώμενος ὄνθῳ σε πλήξει Fragm. Psychag. 1. 2. Κύπριος χαρακτὴρ δ' ἐν γυναικείοις τύποις εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων S. 280. πεπλήγμεθ' οἵαι δι' αἰῶνος τύχαι P. 969. στρατὸν μὲν τοσοῦτον πέπληγμαι P. 975. πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ A. 1136. πέπληγμαι καιρίαν πληγὴν A. 1316. δόμοισι καὶ σώμασι πεπλαγμένους ἐννέπω T. 877. τῶν ἀντερώντων ἱμέρῳ πεπληγμένος A. 530. θεός περ ἱμέρῳ πεπληγμένος A. 1176. ᾤμοι μάλ' αὖθις, δευτέραν πεπληγμένος A. 1318. δαίμονος χολῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι A. 1645. συμφοραῖς πεπληγμένοι C. 31. ἔοικε νῦν αὐτῆς ἐπὶ ξυροῦ πέλας αὐχὴν πεσεῖσθαι πρὸς δίκης πεπληγμένης C. 871. φάβα μέσην τὰ πλευρὰ πρὸς πτύοις πεπληγμένην Fragm. Prot. 1. πληγεὶς θεοῦ μάστιγι παγκοίνῳ δάμη T. 591. περὶ δ' ἐμῷ κάρᾳ πληγεῖσ' ἐναυάγησεν ὀστρακουμένη Fr. Inc. 77. 4. ὧς ἐστι μύθων καὶ Λιβυστικῶν λόγος πληγέντ' ἀτράκτῳ τοξικῷ τὸν ἀετὸν εἰπεῖν Fragm. Myrm. 2.

Πλινθυφής. οὔτε πλινθυφεῖς δόμους προσείλους ἦσαν V. 448.

Πλοῖον. τῆσδ' ἀπὸ σκοπῆς ὁρῶ τὸ πλοῖον S. 695. ξυνεισβὰς πλοῖον εὐσεβὴς ἀνὴρ ναύτησι θερμοῖς T. 583. ἀνὴρ ἄφαντος ἐξ Ἀχαϊκοῦ στρατοῦ, αὐτός τε καὶ τὸ πλοῖον A. 611. ἦν ἄλλα πλοῖ' ἰδεῖν S. 702.

Πλόκαμος. ὁλκὴ γὰρ οὔτοι πλόκαμον οὐ δαμάζεται S. 861. πλόκαμον Ἰνάχῳ θρεπτήριον C. 8. πλόκαμον ἰδοῦσα τόνδε C. 185. ἱππηδὸν πλοκάμων ἄγεσθαι P. 310. χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς Fragm. 107.

Πλόκος. ἀλλ' εὖ σάφ' ἦν τόνδ' ἀποπτύσαι πλόκον C. 195.

Πλουταγαθής. οἵ τε ἔσωθεν δαιμάτων πλουτογαθῆ μυχὸν νομίζετε C. 790.

Πλουτίζειν. ἄλλην τιν' ἄτην ἀντ' ἐμοῦ πλουτίζετε A. 1241. δόμοις δὲ ταῦτα καὶ Κλυταιμνήστρᾳ μέλειν εἰκὸς μάλιστα, ξὺν δὲ πλουτίζειν ἐμὲ A. 572.

Πλοῦτος. μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀντρέψῃ ποδὶ ὄλβον P. 159. ἔστι γὰρ πλοῦτός γ' ἀμεμφὴς, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος P. 164. πλοῦτος ἐξαρκὴς δόμοις P. 233. ὦ Περσὶς αἶα, καὶ πολὺς πλούτου λιμὴν P. 245. δέδοικα, μὴ πολὺς πλούτου πόνος οὐμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγὴ P. 738. ὥς συ μὲν μέγαν τέκνοις πλοῦτον ἐκτήσω σὺν αἰχμῇ P. 741. τοῖς θανοῦσι πλοῦτος οὐδὲν ὠφελεῖ P. 828. ὑπὸ δὲ σώματι γᾶς πλοῦτος ἄβυσσος ἔσται T. 931. οἱ πλούτῳ διαθρυπτόμενοι V. 893. ἀκασκαῖον ἄγαλμα πλούτου A. 721. δύναμιν οὐ σέβουσα πλούτου παράσημον αἴνῳ A. 755. συνθνήσκουσα δὲ σποδὸς προπέμπει πίονας πλούτου πνοὰς A. 794. πολλὴ γὰρ αἰδὼς σωματοφθορεῖν πόσιν φθείροντα πλοῦτον, ἀργυρωνήτους θ' ὑφὰς A. 923. ἄπειρον ἀμφίβληστρον, ὥσπερ ἰχθύων περιστιχίζω, πλοῦτον εἵματος κακοῦ A. 1356. καὶ τότε δὴ πλοῦτον δωμάτων λυτήριον, θῆλυν οὐριοστάταν ὁμοῦ κρεκτὸν γοήτων νόμον μεθήσομεν πόλει C. 806. χαίρετε, χαίρετ' ἐν αἰσιμίαις πλούτου E. 950.

Πλοῦτος. οὐ γάρ ἐστιν ἔπαλξις Πλούτου πρὸς κόρον ἀνδρὶ λακτίσαντι μέγαν Δίκας βωμὸν, εἰς ἀφάνειαν A. 371.

Πλουτόχθων E. 907.

Πλούτων. οἳ χειμάῤῥοον οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου V. 808.

Πνεῖν. φόνον δόμοι πνέουσιν αἱματοσταγῆ A. 1282. πνέω τοι μένος ἅπαντά τε κότον E. 803. φρενὸς πνέων δυσσεβῆ τροπαίαν ἄναγνον A. 212. πέφανται δ' ἐκγόνους ἀτολμήτων Ἄρη πνεόντων μεῖζον ἢ δικαίως A. 366. ἔοικεν ἡλίου πρὸς ἀντολὰς πνέων ἐσήξειν A. 1154. ἀλλ' ἦν παλαιστὴς, κάρτ' ἐμοὶ πνέων χάριν A. 1179. ἄσπονδόν τ' Ἄρη φίλοις πνέουσα A. 1209. ἐξ ὕπνου κότον πνέων C. 34. νοσφίσασ' ἀπροβούλως ἃ κυνόφρων ὕπνῳ C. 612. ὀλέθριον πνέουσ' ἐν ἐχθροῖς κότον C. 940. ὅδε τοι μελάθροις τοῖς βασιλείοις τρίτος αὖ χείμων πνεούσας γονίας ἐτελέσθη C. 1063. ἀνέμων ἀήματα εὐηλίως πνέοντ' ἐπιστείχειν χθονὶ E. 866. χωρὶς μυρηρῶν τευχέων πνέουσ' ἐμοὶ Fr. Inc. 77. 4. σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων ἔπνει λεόντων ὡς Ἄρην δεδορκότων T. 53.

Πνεῦμα. δέξαιθ' ἱκέτην τὸν θηλυγενῆ στόλον αἰδοίῳ πνεύματι χώρας S. 30. χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμὼν S. 172. ἔμαθον δ' εὐρυπόροιο θαλάσσης πολιαινομένης πνεύματι λάβρῳ ἐσορᾶν πόντιον ἄλσος P. 109. εὐτυχὴς δέ τοι ὅστις τάχιστα πνεῦμ' ἀπέῤῥηξεν βίου P. 499. ἐπεὶ δαίμων λήματος τροπαίᾳ χρονίᾳ μεταλλακτὸς, ἴσως ἂν ἔλθοι θαλερωτέρῳ πνεύματι T. 690. σωθεὶς δὲ πνεῦμ' ἀπώλεσεν T. 966. ἔξω δὲ δρόμου φέρομαι, λύσσης πνεύματι μάργῳ V. 886. χθόνα δ' ἐκ πυθμένων αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι V. 1049. αἱματηρὸν πνεῦμ' ἐπουρίσασα E. 132. σάλπιγξ, βροτείου πνεύματος πληρουμένη E. 538. σκιρτᾷ δ' ἀνέμων πνεύματα πάντων V. 1088.

Πνεύμων. πεδία δ' ἀργηστὴς ἀφρὸς χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πνευμόνων T. 61.

Πνοή. δορὸς ἀχείματόν μ' ἔπεμπε σὺν πνοαῖς S. 135. φράξαι πόλισμα, πρὶν καταιγίσαι πνοὰς Ἄρεος T. 63. κῦμα γὰρ περὶ πτόλιν δοχμολόφων ἀνδρῶν καχλάζει πνοαῖς Ἄρεος ὀρόμενον T. 109. ὦ Διὸς αἰθὴρ καὶ ταχύπτεροι πνοαὶ V. 88. ἃς θνητὸς οὐδεὶς εἰσιδὼν ἕξει πνοὰς V. 802. ἀπὸ Στρυμόνος μολοῦσαι πνοαὶ A. 185. συνθνήσκουσα δὲ σποδὸς προπέμπει πίονας πλούτου πνοὰς A. 794. πρώτιστα μὲν Βορεάδας ἥξεις πρὸς πνοαῖς Prom. Sol. 5. Αἴγινα δ' αὕτη πρὸς Νότου κεῖται πνοὰς Fragm. I. 87.

Ποδαπός. ποδαπὸν ὅμιλον τόνδ' ἀνέλληνα στόλον χλίοντα προσφωνοῦμεν; S. 231. πρὶν αὐτὸν εἰπεῖν, Ποδαπὸς ὁ ξένος C. 568.

Ποδένδυτος. νεκροῦ ποδένδυτον δροίτης κατασκήνωμα C. 992.

Ποδήρης. ὑψηλῆς στέγης στύλον ποδήρη A. 872. τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρας κτένας ἔθρυπτ' ἄνωθεν ἀνδρακὰς καθήμενος A. 1576.

Ποδιστήρ. ἀρκὺν δ' ἂν εἴποις καὶ ποδιστῆρας πέπλους C. 994.

Ποδόψηστρον. χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων κληδὼν ἀΰτεῖ A. 900.

Ποδώκης. σάρκα γ' ἡβῶσαν φέρει, ποδῶκες ὄμμα T. 605. τό τοι κακὸν ποδῶκες ἔρχεται βροτοῖς Fragm. 3. ποδώκει περιβαλὼν χαλκεύματι C. 569.

Ποδωκία. οὐ ποδωκίᾳ σκελῶν τρέχω E. 37.

Ποθεῖν. καὶ μὴν ἄλλον γε ποθοῦμεν P. 945. τοῦτο γὰρ ποθῶ V. 787. ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ ποθεῖν ἃ μὴ χρὴ A. 334. ποθοῦμεν φιλτάτην ἥβην χθονὸς P. 504. ἀνδρῶν ποθέουσαι ἰδεῖν ἀρτιζυγίαν P. 534. ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις; A. 531.

Πόθεν. πόθεν δέ μοι γένοιτ' ἂν αἰθέρος θρόνος; S. 773. πόθεν ἐμοῦ συ πατρὸς ὄνομ' ἀπύεις; V. 595. πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στύγος στρατῷ A. 533. πόθεν χοὰς ἔπεμψεν, ἐκ τίνος λόγου; C. 508. νῦν δ' αὖ τρίτος ἦλθέ ποθεν σωτὴρ C. 1069.

Πόθος. οὓς περὶ πᾶσα χθὼν Ἀσιῆτις θρέψασα, πόθῳ στένεται μαλερῷ P. 62. λέκτρα δ' ἀνδρῶν πόθῳ πίμπλαται δακρύμασιν P. 130. ἑκάστα πόθῳ φιλάνορι τὸν αἰχμάεντα θοῦρον εὐνατῆρ' ἀποπεμψαμένα λείπεται μονόζυξ P. 133. ὡς ἂν τὸ Δῖον ὄμμα λωφήσῃ πόθου V. 657. πόθῳ δ' ὑπὲρ ποντίας φάσμα δόξει δόμων ἀνάσσειν A. 403.

Ποῖ. ποῖ τόδε κῦμ' ἀπάξει; S. 120. ποῖ φύγωμεν Ἀπίας χθονός; S. 758. πῶς τε δὴ καὶ ποῖ τελευτᾷ; P. 721. ποῖ καταστρέφεις λόγων τελευτήν; P. 773. ποῖ δ' ἐπὶ τέλος ἐπάγει θεός; T. 142. ἆ ποῖ ποτ' ἤγαγές με, πρὸς ποίαν στέγην; A. 1057. ποῖ, ποῖ δὴ νερτέρων τυραννίδες; C. 399. ποῖ δὴ πατεῖς, Κίλισσα, δωμάτων πύλας; C. 721. ποῖ δῆτα κρανεῖ, ποῖ καταλήξει μετακοιμισθὲν μένος ἄτης; C. 1071.

Ποιεῖν. οὗτος, τί ποιεῖς; S. 889. ὄρνιθα δ' οὐ ποιῶ σὲ τῆς ἐμῆς ὁδοῦ Fragm. Cab. 1. ὅδ' οὖν ποιείτω, πάντα προσδόκητά μοι V. 937. τἄλλα δ' ἐξηγοῦ φίλοις, τοὺς δ' ἔν τι ποῖειν, τοὺς δὲ μή τι δρᾶν, λέγων C. 546. σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σὸν E. 87. ὄξους σπανίζειν δῶμα μὲν ποιήσομεν Fragm. Cab. 2. τούτων ἐπῳδὰς οὐκ ἐποίησεν πατὴρ οὑμὸς E. 619.

Ποικιλείμων. ἀσμένῳ δέ σοι ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος V. 24.

Ποίκιλμα. πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος C. 1008.

Ποίκιλος. πάντα γὰρ κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι στημοῤῥαγοῦσι ποικίλων ἐσθημάτων P. 822. παραινέσαι γέ σοι θέλω τὰ λῷστα, καίπερ ὄντι ποικίλῳ V. 308. λοβοῦ τε ποικίλην εὐμορφίαν V. 493. ἐν ποικίλοισι θνητὸν ὄντα κάλλεσιν βαίνειν A. 897. χωρὶς ποδοψήστρων τε καὶ τῶν ποικίλων κληδὼν ἀΰτεῖ A. 900. ἐν ποικίλοις ἂν κάρτα μοι βῆναι δοκεῖ A. 910. ἀλλά νιν κελαινόφρων ἐμὴ μήτηρ κατέκτα, ποικίλοις ἀγρεύμασιν κρύψασα E. 438.

Ποικιλοῦν. τούτων δ' ἐπόπτην ἔποπα τῶν αὑτοῦ κακῶν πεποικίλωκε, κἀποδηλώσας ἔχει τραχὺν πετραῖον ὄρνιν ἐν παντευχίᾳ Fragm. 32, 2.

Ποιμαίνειν. τόνδε ποιμαίνων ἐμὴν ἱκέτην E. 91. χθονὸς γὰρ πᾶς πεποίμανται τόπος E. 240.

Ποιμανόριος. πολυάνδρου δ' Ἀσίας θούριος ἄρχων ἐπὶ πᾶσαν χθόνα ποιμανόριον θεῖον ἐλαύνει διχόθεν P. 75.

Ποιμάνωρ. τίς δὲ ποιμάνωρ ἔπεστι, κἀπιδεσπόζει στρατοῦ; P. 237.

Ποιμήν. ᾤχοντ' ἄφαντοι ποιμένος κακοῦ στρόβῳ A. 643. ἐν ἀγκυρουχίαις θαρσοῦσι ναῶν ποιμένες S. 748.

Ποίμνη. αἰδοῦνται δ' ἱκέτας Διὸς ποίμναν τάνδ' ἀμέγαρτον S. 632. ποίμνης τοιαύτης δ' οὔτις εὐφιλὴς θεῶν E. 188.

Ποινάτωρ. μητροκτόνον φίτυμα, ποινάτωρ πατρὸς A. 1254.

Ποινή. ἔμολε μὲν δίκα Πριαμίδαις χρόνῳ βαρύδικος ποινὴ C. 924. ἔμολε δ' ᾧ μέλει κρυπταδίου μάχης δολιόφρων ποινὰ C. 935. ποινὰ γὰρ ἐπέσται E. 514. λέξωμεν ἐπ' Ἀργείοις εὐχὰς ἀγαθὰς ἀγαθῶν ποινὰς S. 621. τοιάσδε ποινὰς ἀμπλακημάτων τίνω

V. 112. ποινὰς τίνειν τῆσδ' αἰκίας V. 176. κακαῖσι ποιναῖς ταῖσδέ μ' ἐξημείψατο V. 223. οὐ μήν τι ποιναῖς γ' ᾠόμην τοιαῖσδέ με κατισχανεῖσθαι πρὸς πέτραις πεδαρσίοις V. 268. τίνος ἀμπλακίης ποινὰς ὀλέκῃ; V. 563. ποινὰς δὲ ποίων ἀμπλακημάτων τίνεις; V. 623. ποινὰς βουλεύειν A. 1196. ἄλλων ποινὰς θανάτων ἄγαν ἐπικρανεῖ A. 1313. ἔχρησα ποινὰς τοῦ πατρὸς πέμψαι E. 194. ὦ μᾶτερ Νὺξ ἀλαοῖσι καὶ δεδορκόσιν ποινᾶν E. 312. ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι, ἀντικτόνοις ποιναῖσι φιλτάτου πατρὸς E. 442. δι' ὀργὰν ποινὰς ἁρπαλίσαι πόλεως E. 936.

Ποιόνομος. ἐν ποιονόμοις ματρὸς ἀρχαίας τόποις S. 49. ἰὼ πρόπυργοι θυσίαι πατρὸς πολυκανεῖς βοτῶν ποιονόμων A. 1142.

Ποῖος. ποῖον πανόπτην οἰοβουκόλον λέγεις; S. 300. ἐκ ποίου φρονήματος ἀνδρῶν Πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα; S. 889. ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις; S. 897. ποίῳ μόρῳ δὲ τούσδε φῂς ὀλωλέναι; P. 438. ποῖον δ' ἀμείψεσθε γᾶς πέδον τᾶσδ' ἄρειον; T. 286. ποίῳ λαβών σε Ζεὺς ἐπ' αἰτιάματι οὕτως ἀτίμως καὶ πικρῶς αἰκίζεται; V. 194. τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου; V. 249. ποινὰς δὲ ποίων ἀμπλακημάτων τίνεις; V. 623. ποίῳ τρόπῳ V. 765. ποίοιν; πρόδειξον, αἵρεσίν τ' ἐμοὶ δίδου V. 781. ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις; A. 269. ποίαν Ἐριννὺν τήνδε δώμασιν κέλῃ ἐπορθιάζειν; A. 1089. ποίᾳ ξυμφορᾷ προσεικάσω; C. 12. καὶ μὴν ὅδ' ἐστὶ κάρτ' ἰδεῖν ὁμόπτερος— Ποίαις ἐθείραις; C. 173. ποίοισι βωμοῖς χρώμενος τοῖς δημίοις, ποία δὲ χέρνιψ φρατόρων προσδέξεται; E. 625.

Ποίφυγμα. τοιαῦτ' ἐπεύχου μὴ φιλοστόνως θεοῖς, μηδ' ἐν ματαίοις κἀγρίοις ποιφύγμασιν T. 262.

Πολεῖν. θαλασσόπληκτον νῆσον Αἴαντος πολεῖ P. 299. ἀεὶ γὰρ ὄψεις ἔννυχοι πολεύμεναι ἐς παρθενῶνας τοὺς ἐμούς, παρηγόρουν λείοισι μύθοις V. 648.

Πολέμαρχος. τοὺς μογεροὺς καὶ δυσδαίμονας ἀτέκνους κλαύσω πολεμάρχους T. 810. λουτροδάϊκτος δ' ὤλετ' Ἀχαιῶν πολέμαρχος ἀνὴρ C. 1068.

Πολέμιος. πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας; P. 239. πύργον στέγειν εὔχεσθε πολέμιον δόρυ T. 198. ἀνδρῶν τάδ' ἐστὶ, σφάγια καὶ χρηστήρια θεοῖσιν ἔρδειν, πολεμίων πειρωμένων T. 212. λύουσα πολέμιον φόβον T. 252. θεοῖς ἐπεύχομαι θήσειν τρόπαια, πολεμίων δ' ἐσθήματα T. 259. εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ T. 398. ξυνοίσετον δὲ πολεμίους ἐπ' ἀσπίδι θεοὺς T. 492. πολεμίας ἐπ' ἀσπίδος T. 541. κεκευθὼς πολεμίας ὑπὸ χθονὸς T. 570.

Πολεμιστρία. ἔκοψε κομμὸν Ἄρειον, εἴτε Κισσίας νόμοισι πολεμιστρίας C. 418.

Πολεμόκραντος. Διόθεν πολεμόκραντον ἁγνὸν τέλος T. 147.

Πόλεμος. βαρέα σύ γ' εἶπας, πόλεμον αἵρεσθαι νέον S. 337. ἢ τοῖσιν ἢ τοῖς πόλεμον αἵρεσθαι νέον πᾶσ' ἔστ' ἀνάγκη S. 434. ἴσθι τάδ', ἤδη πόλεμον αἱρήσῃ νέον S. 928. πεζοί τε βάδην στῖφος πολέμου παρέχοντες P. 20. καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ T. 23. ἀπόλεμος ὅδε γ' ὁ πόλεμος V. 906. θυραῖος ἔστω πόλεμος, οὐ μόλις παρὼν E. 826. πολέμους θ' αἱματόεντας προφοβοῦμαι S. 1028. ἐπέσκηψε δὲ Πέρσαις πολέμους πυργοδαΐκτους διέπειν P. 104. νόστους ἐκ πολέμων ἀπόνους ἀπαθεῖς P. 846. νῦν δ' οὐκ ἀμφιβόλως θεότρεπτα τάδ' αὖ φέρομεν πολέμοισι δμαθέντες μεγάλως πλαγαῖσι ποντίαισι P. 871. ἔτλα δ' οὖν θυτὴρ γενέσθαι θυγατρὸς γυναικοποίνων πολέμων ἀρωγὰν καὶ προτέλεια ναῶν A. 219.

Πολεμοφθόρος. οὔτε γὰρ ἀνδρός ποτ' ἀπώλλυ πολεμοφθόροισιν ἄταις P. 644.

Πολιαίνεσθαι. ἔμαθον δ' εὐρυπόροιο θαλάσσης πολιαινομένης πνεύματι λάβρῳ ἐσορᾶν πόντιον ἄλσος P. 109.

Πολιήτης. ἀβλαβὴς ἐπῆν τόξαρχος πολιήταις P. 547.

Πολιός. ὃς πολιῷ νόμῳ αἶσαν ὀρθοῖ S. 658.

Πολιοῦχος. ἴτε μὰν ἀστυάνακτας μάκαρας θεοὺς γανάεντες πολιούχους τε S. 998. ὦ πολιοῦχοι θεοὶ T. 294. ὦ μεγάλε Ζεῦ, καὶ πολιοῦχοι δαίμονες T. 804.

Πολίπορθος. ἄγε δὴ, βασιλεῦ, Τροίας πολίπορθ' Ἀτρέως γένεθλον, πῶς σε προσείπω; A. 757.

Πόλις. ψῆφος πόλεως S. 8. ὧν πόλις, ὧν γῆ, καὶ λευκὸν ὕδωρ S. 23. πρός σε πότερον ὡς πόλεως ἀγὸν λέγω; S. 252. μακρὰν γὲ μὲν δὴ ῥῆσιν οὐ στέργει πόλις S. 270. αἰδοῦ σὺ πρύμναν πόλεως ὧδ' ἐστεμμένην S. 340. μηδ' ἐξ ἀέλπτων κἀπρομυθήτων πόλει νεῖκος γένηται S. 352. τὸ κοινὸν εἰ μιαίνεται πόλις S. 361. σύ τοι πόλις, σὺ δὲ τὸ δήμιον S. 365. νόμῳ πόλεως φάσκοντες ἐγγύτατα γένους εἶναι S. 383. ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν S. 396. ἄνατα ταῦτα μὲν πόλει S. 405. πρόφρων ὧν μήποτ' εἰσόπιν χρόνου πόλιν παχῦναι S. 613. μίασμα πρὸ πόλεως φανὲν S. 614. μήποτε πυρίφατον Πελασγίαν πόλιν τὰν ἄχορον κτίσαι βοὰν μάχλον Ἄρη S. 627. μήποτε λοιμὸς ἀνδρῶν τῶνδε πόλιν κενώσαι S. 645. ὡς πόλις εὖ νέμοιτο S. 655. τάνδε πόλιν δαΐζων S. 664. ἔπλευσαν ὧδ' ἐπιτυχεῖ κότῳ, πόλει μελαγχίμῳ ξὺν στρατῷ S. 726. ἄγγελον δ' οὐ μέμψεται πόλις γέροντα S. 756. λεῖφ' ἔδρανα, κἰ' ἐς δόρυ, ἀτίετ' ἀνὰ πόλιν εὐσεβῶν S. 833. ἰὼ πόλεως ἀγοὶ S. 881. ἢ γυναικῶν ἐς πόλιν δοκεῖς μολεῖν; S. 891. τοιάδε δημόπρακτος ἐκ πόλεως μία ψῆφος κέκρανται S. 919. στείχετ' εὐερκῆ πόλιν S. 933. οἴκησις δὲ καὶ διπλῆ πάρα, τὴν μὲν Πελασγὸς, τὴν δὲ καὶ πόλις διδοῖ S. 988. αἶνος δὲ πόλιν τήνδε Πελασγῶν ἐχέτω S. 1002. μὴ πόλις πύθηται P. 117. κακῶς δὲ πράξας οὐκ ὑπεύθυνος πόλει P. 209. τά τ' ἀγάθ' ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν, καὶ πόλει P. 215. ἵμειρ' ἐμὸς παῖς τήνδε θηράσαι πόλιν P. 229. θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς P. 339. ἔτ' ἀρ' Ἀθηνῶν ἔστ' ἀπόρθητος πόλις; P. 340. ὡς στένειν πόλιν Περσῶν P. 503. τίνα πόλις πονεῖ πόνον; P. 668. λοιμῷ τίς ἦλθε σκηπτὸς, ἢ στάσις πόλει P. 701. οὐ κακὸν τοσόνδε προσέβαλον πόλει P. 767. ἦσω τοι καὶ πάνδυρτον, λαοπαθῆ σεβίζων, ἀλίτυπα βάρη πόλεως γέννας πενθητῆρος P. 908. ἐν πρύμνῃ πόλεως οἴακα νωμῶν T. 2. πόλει τ' ἀρήγειν T. 94. ὧν Ζεὺς ἀλεξητήριος ἐπώνυμος γένοιτο Καδμείων πόλει T. 9. ἐπιβουλεύσειν πόλει T. 29. πόλει κατασκαφὰς θέντες T. 45. ἄνδρας ἐκκρίτους πόλεως πυλῶν ἐπ' ἐξόδοισι ταγεῦσαι τάχος T. 57. μή μοι πόλιν γ' ἐκθαμνίσητε δηάλωτον T. 71. ἐλευθέραν δὲ γῆν τε καὶ Κάδμου πόλιν ζυγοῖσι δουλείοισι μήποτε σχέθειν T. 74. πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει T. 77. ἐπὶ πόλιν διώκων T. 89. ὦ χρυσοπήληξ δαῖμον, ἔπιδ' ἔπιδε πόλιν T. 102. πόλιν φύλαξον T. 126. ὄττοβον ἁρμάτων ἀμφὶ πόλιν κλύω T. 136. ἐν μάχαισί τε μάκαιρ' ἄνασσ' Ὄγκα πρὸ πόλεως ἑπτάπυλον ἕδος ἐπιῤῥύου T. 149. πόλιν δορίπονον μὴ προδῷθ' ἑτεροφώνῳ στρατῷ T. 153. φιλοθύτων δέ τοι πόλεως ὀργίων μνήστορες ἔστε μοι T. 165. ἦ ταῦτ' ἄριστα, καὶ πόλει σωτήρια T. 165. οἴκῳ καὶ πόλει πλέον κακὸν T. 172. πόλεος ἵν' ὑπερέχοιεν ἀλκὰν T. 197. θεοὺς τοὺς τῆς ἁλούσης πόλεος ἐκλείπειν λόγος T. 200. μηδ' ἐπίδοιμι τάνδ' ἀστυδραμουμένην πόλιν T. 203. διὰ θεῶν πόλιν νεμόμεσθ' ἀδάμαστον T. 215. αὐτὴ σὺ δουλοῖς κἀμὲ καὶ σὲ καὶ πόλιν T. 236. ὧν ἀλῷ πόλις T. 239. πόλεως σεσωσμένης T. 256. πόλιν καὶ στρατὸν Καδμογενῆ ῥύεσθε T. 284. πόλεως ῥυτῆρες εὔεδροί τε στάθητε T. 300. οἰκτρὸν γὰρ πόλιν ὧδ' ὠγυγίαν Ἀΐδι προϊάψαι T. 303. βοᾷ δ' ἐκκενουμένα πόλις T. 312. πότι πόλιν δ' ὀρκάνα πυργῶτις T. 328. δικαίως πόλεως πρόμαχος ὄρνυται T. 400. θεοῦ τε γὰρ θέλοντος ἐκπέρσειν πόλιν καὶ μὴ θέλοντος φησὶν T. 409. πρήσω πόλιν T. 416. ὄλοιθ', ὃς πόλει μεγάλ' ἐπεύχεται T. 434. πόλεως ἀπείργειν τῆσδε δούλιον ζυγὸν T. 453. πόλεως ὄνειδος, Σφίγγα T. 521. τὸν πόλεως ταράκτορα T. 554. πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς πορθεῖν T. 564. τὴν μακρὰν πόλιν μολεῖν T. 595. τελεῖθ' ὡς πόλις εὐτυχῇ T. 609. πόλει οἵας γ' ἀρᾶται καὶ κατεύχεται τύχας T. 614. κατάξω τ' ἄνδρα τόνδε, καὶ πόλιν ἕξει T. 629. σὺ δ' αὐτὸς γνῶθι ναυκληρεῖν πόλιν T. 634. θνήσκοντα γέννας ἄτερ σώζειν πόλιν T. 731. κῦμα περὶ πρύμναν πόλεως καχλάζει T. 743. μὴ πόλις δαμασθῇ

T. 747. τίν' ἀνδρῶν γὰρ τόσον ἐθαύμασαν θεοὶ καὶ ξυνέστιοι πόλεως πουλύβοτός τ' αἰὼν βροτῶν; T. 756. πόλις πέφευγεν ἤδε δούλειον ζυγὸν T. 775. πόλις τ' ἐν ἐνδίᾳ τε, καὶ κλυδωνίου πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο T. 777. τί δ' ἐστὶ πρᾶγος νεόκοτον πόλει παρόν; T. 785. πόλις σέσωσται T. 786. πόλις μὲν εὖ πράσσουσα T. 797. ἀπολολύξω πόλεως ἀσινεῖ σωτῆρι T. 808. διήκει δὲ καὶ πόλιν στόνος T. 882. ἐπεὶ κατῆλθες ἐς πόλιν T. 980. δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν μὲ χρὴ δήμου προβούλοις τῆσδε Καδμείων πόλεως T. 997. εἴργων γὰρ ἐχθροὺς θάνατον εἵλετ' ἐν πόλει T. 1000. στράτευμ' ἐπακτὸν ἐμβαλὼν ᾕρει πόλιν T. 1010. οὐδ' αἰσχύνομαι ἔχουσ' ἄπιστον τήνδ' ἀναρχίαν πόλει T. 1021. αὐδῶ πόλιν σε μὴ βιάζεσθαι τάδε T. 1033. ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ T. 1037. δράτω πόλις, καὶ μὴ δράτω τοὺς κλαίοντας Πολυνείκην T. 1058. καὶ πόλις ἄλλως ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια T. 1062. ὅδε Καδμείων ἤρυξε πόλιν T. 1067. ἔστιν πόλις Κάνωβος ἐσχάτη χθονὸς V. 849. εἴπερ Ἰλίου πόλις ἑάλωκεν A. 29. χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος A. 126. Πριάμου γὰρ ἡρήκασιν Ἀργεῖοι πόλιν A. 258. ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις; A. 269. πόλει πρόστριμμ' ἄφερτον ἐνθεὶς A. 384. πόλιν διήκει θοὰ βάξις A. 464. ὅστις τάδ' ἄλλως τῇδ' ἐπεύχεται πόλει, αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν A. 487. Πάρις γὰρ οὔτε συντελὴς πόλις ἐξεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον A. 510. τοιαῦτα χρὴ κλύοντας εὐλογεῖν πόλιν A. 566. ταῦτ' ἀπάγγειλον πόσει ἥκειν ὅπως τάχιστ' ἐράσμιον πόλει A. 591. πόλει μὲν ἕλκος ἓν A. 624. πρὸς χαίρουσαν εὐεστοῖ πόλιν ἥκων A. 633. Πριάμου πόλις γεραιὰ A. 693. παραυτὰ δ' ἐλθεῖν ἐς Ἰλίου πόλιν θέλοιμ' ἂν A. 719. γνώσῃ δὲ χρόνῳ διαπευθόμενος τόν τε δικαίως καὶ τὸν ἀκαίρως πόλιν οἰκουροῦντα πολιτῶν A. 783. δικαίων ὧν ἐπραξάμην πόλιν Πριάμου A. 786. καπνῷ δ' ἁλοῦσα νῦν ἔτ' εὔσημος πόλις A. 792. πόλιν διημάθυνεν Ἀργεῖον δάκος A. 797. τὰ δ' ἄλλα πρὸς πόλιν τε καὶ θεοὺς, κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει, βουλευσόμεσθα A. 818. πόλιν νεαίρετον ἥκει λιποῦσα A. 1035. πᾶσα γὰρ πόλις βοᾷ A. 1077. ἰὼ πόνοι, πόνοι πόλεως ὀλομένας τὸ πᾶν A. 1140. ἄκος δ' οὐδὲν ἐπήρκεσαν, τὸ μὴ πόλιν μὲν ὥσπερ οὖν ἔχει παθεῖν A. 1144. θαυμάζω δέ σου πόντου πέραν τραφεῖσαν ἀλλόθρουν πόλιν κυρεῖν λέγουσαν, ὥσπερ εἰ παρεστάτεις A. 1174. ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν πράξασαν ὡς ἔπραξεν· οἱ δ' εἶχον πόλιν οὕτως ἀπαλλάσσουσιν ἐν θεῶν κρίσει A. 1260. καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν μάκαρες Πριάμου A. 1308. φροιμιάζονται γὰρ ὡς τυραννίδος σημεῖα πράσσοντες πόλει A. 1328. δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ A. 1386. ἠνδρηλάτησεν ἐκ πόλεως τε καὶ δόμων A. 1568. διώκεται πόλεως C. 287. καὶ τότε δὴ πλοῦτον δωμάτων λυτήριον θῆλυν οὐριοστάταν ὁμοῦ κρεκτὸν γοήτων νόμον μεθήσομεν πόλει C. 810. ἐλευθερώσας πᾶσαν Ἀργείην πόλιν C. 1042. ξὺν ᾧ σὺ Τροίαν ἄπολιν Ἰλίου πόλιν ἔθηκας E. 435. ὅμως δ' ἀμομφον ὄντα σ' αἱροῦμαι πόλει E. 453. τίς δὲ μηδὲν ἐν φάει καρδίας ἀνατρέφων, ἢ πόλις βροτός θ' ὁμοίως ἔτ' ἂν σέβοι δίκαν; E. 498. οὐπώποτ' εἶπον μαντικοῖσιν ἐν θρόνοις, οὐκ ἀνδρὸς, οὐ γυναικὸς, οὐ πόλεως πέρι, ὃ μὴ κελεύσῃ Ζεὺς Ὀλυμπίων πατὴρ E. 587. πόλιν νεόπτολιν ἦλθον E. 657. τὸ δεινὸν πᾶν πόλεως ἔξω βαλεῖν E. 668. ἔρυμά τε χώρας καὶ πόλεως σωτήριον E. 671. θυμοῦσθαι πόλει E. 703. πόλιν τὴν Παλλάδος τιμῶσιν E. 742. οὐκ ἂν δικαίως τῇδ' ἐπιρρέποις πόλει E. 848. οὐκ ἀνέξομαι τὸ μὴ οὐ τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν E. 875. οὐκ ἀτιμάσω πόλιν E. 877. ἦ τάδ' ἀκούετε, πόλεως φρούριον; E. 908. ποινὰς ἁρπαλίσαι πόλεως E. 938. καὶ γῆν καὶ πόλιν ὀρθοδίκαιον πρέψετε πάντες διάγοντες E. 948. τὸ κερδαλέον πέμπειν πόλεως ἐπὶ νίκῃ E. 963. ἄλλον ἄλλῃ πρὸς πόλει τεταγμένον Fragm. Inc. 70. πολέων ἀναστάσεις P. 107. τόσσας εἷλε πόλεις P. 848. Κυπρίας τε πόλεις ἐκράτυνε P. 863. ὑπέρ τε πόντον, καὶ περιῤῥύτας πόλεις E. 77.

Πόλισμα. τὸ Κίσσινον πόλισμα P. 119. Θεσσαλῶν πόλισμ' ὑπεσπανισμένους βορᾶς ἐδέξαντ' P. 481. φράξαι πόλισμα T. 63. στένει πόλισμα γῆθεν, ὡς κυκλουμένων T. 229. τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν E. 638. Ἀργεῖοι γὰρ πόλισμα Κάδμου κυκλοῦνται T. 113. καπνῷ χραίνεται πόλισμ' ἅπαν T. 324. δύ' ἄνδρε καὶ πόλισμ' ἐπ' ἀσπίδος ἑλὼν, λαφύροις δῶμα κοσμήσει πατρὸς T. 460. ὑψίκρημνόν θ' οἳ πόλισμα Καυκάσου πέλας νέμονται V. 419. ὦ γῆς ἁπάσης Ἀσιάδος πολίσματα P. 245.

Πολισσόνομος. ἢ μεγάλας ἀγαθᾶς τε πολισσονόμου βιοτᾶς ἐπεκύρσαμεν P. 839. ἀρχάς τε πολισσονόμους ἕξει C. 851.

Πολισσοῦχος. ὡς ἂν τῶν πολισσούχων θεῶν βωμοὺς προνάους καὶ πολισσούχους ἕδρας εὕρωμεν S. 488. ὦ Ζεῦ τε καὶ Γῆ, καὶ πολισσοῦχοι θεοὶ T. 69. θεοὶ πολισσοῦχοι χθονὸς T. 104. βρέτη πεσούσας πρὸς πολισσούχων θεῶν αὔειν T. 167. χώρας οἱ πολισσοῦχοι θεοὶ T. 253. εὐσεβοῦσι τοὺς πολισσούχους θεοὺς τοὺς τῆς ἁλούσης γῆς A. 329. χαῖρε καὶ σὺ, καὶ πολισσοῦχος λεὼς C. 745. ὡς μήποτ' εἴπῃς πρὸς νεωτέρας ἐμοῦ θεὸς παλαιὰ, καὶ πολισσούχων βροτῶν ἄτιμος ἔῤῥειν τοῦδ' ἀπόξενος πέδου E. 843. ὑμεῖς δ' ἡγεῖσθε, πολισσοῦχοι, παῖδες Κραναοῦ E. 965.

Πολίτης. ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ πάντες πολῖται S. 479. θεοὶ πολῖται, μή με δουλείας τυχεῖν T. 235. ἐπ' ἀμφιβόλοισιν ἰάπτουσι πολίταις χερμάδ' ὀκρυόεσσαν T. 280. ἄροισθε κῦδος τοῖσδε πολίταις T. 299. ὡς ἐρξάτην πολλὰ μὲν πολίτας, ξένων τε πάντων στίχας T. 906. ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι δεῖμα πολιτῶν T. 1053. παμπρόσθη πολύθρηνον αἰῶν' ἀμφὶ πολιτᾶν μέλεον αἷμ' ἀνατλᾶσα A. 698. διαπευθόμενος τόν τε δικαίως καὶ τὸν ἀκαίρως πόλιν οἰκουροῦντα πολιτῶν A. 783. ἄνδρες πολῖται A. 828. ἤδη πολίταις πάντ' ἐθέσπιζον κακὰ A. 1183. ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι ἄρχειν πολιτῶν A. 1623. εὐκλεέστατοι βροτῶν πολῖται C. 300. ἄνευ πολιτᾶν C. 425. αὐτῶν πολιτῶν μὴ 'πικαινούντων νόμους E. 663. δύσοιστα πολίταις πάθον E. 758. οὑπιῤῥέων γὰρ τιμιώτερος χρόνος ἔσται πολίταις τοῖσδε E. 815. τάδ' ἐγὼ προφρόνως τοῖσδε πολίταις πράσσω E. 887. πιοῦσα κόνις μέλαν αἷμα πολιτᾶν E. 935. ἐκ τῶν φοβερῶν τῶνδε προσώπων μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις E. 946. εἴη δ' ἀγαθῶν ἀγαθὴ διάνοια πολίταις E. 969.

Πολλάκις. πολλάκι δ' ἐμπιτνῶ ξὺν λακίδι S. 113. ἀνδρῶν ὀνείδη πολλάκις κλύων κακῶν P. 743. πολλάκι δ' ἐν κακοῖσι τὸν ἀμήχανον κἀκ χαλεπᾶς δύας ὕπερθ' ὀμμάτων κρημναμενᾶν νεφελᾶν ὀρθοῖ T. 209. πολλάκις πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους ἔμελψε A. 234.

Πολλαχῇ. καὶ πολλαχῇ γε δυσπάλαιστα πράγματα κακῶν τε πλῆθος, ποταμὸς ὣς ἐπέρχεται S. 463.

Πόλος. ὃς αἰὲν ὑπείροχον σθένος κραταιὸν, οὐράνιόν τε πόλον νώτοις ὑποστενάζει V. 427.

Πολυαίμων. πολυαίμων φόνιος ἀποκοπὰ κρατὸς S. 820.

Πολύανδρος. πολυάνδρου τ' Ἀσίας θούριος ἄρχων P. 73. Περσῶν τῶν μεγαλαύχων καὶ πολυάνδρων στρατιὰν ὀλέσας P. 526. πολυάνδρους Ἑλλήνων πόλεις P. 867. πολύανδροι φεράσπιδες κυναγοὶ A. 678.

Πολυάνωρ. πολυάνορος ἀμφὶ γυναικὸς A. 62.

Πολυβαφής. ἁλίδονα σώματα πολυβαφῆ P. 267.

Πολύβοτος. πουλύβοτός τ' αἰὼν βροτῶν T. 756.

Πολύγομφος. πολύγομφον ὅδισμα ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου P. 71.

Πολύγονος. πρόνομα δὲ βοτὰ τὼς πολύγονα τελέθοι, τὸ πᾶν τ' ἐκ δαιμόνων λαβοῖεν S. 673.

Πολυδάκρυτος. ἰὼ, ἰὼ πολυδάκρυτε σὺ T. 952. κλῦθι νῦν ἐν μέρει πολυδάκρυτα πένθη C. 330.

Πολύδακρυς. πέμψω πολύδακρυν ἰαχὰν P. 902. χαίρουσα πολύδακρυν γόον κεκρυμμένα C. 442.

Πολύδονος. πολύδονον πλάνην φράσω V. 790.

Πολύδρομος. περίφοβόν μ' ἔχει τάρβος πολυδρόμου φυγᾶς ὄφελος εἴ τί μοι S. 718.

Πολυεπής. πολυεπεῖς τέχναι A. 1105.
Πολύευκτος. ἐκ δ' ὑγιείας φρενῶν ὁ πᾶσι φίλος καὶ πολύευκτος ὄλβος E. 509.
Πολύθεος. ἐξ ἑδρῶν πολυθέων ῥυσιασθεῖσα S. 419.
Πολυθρέμμων. ὁ μέγας καὶ πολυθρέμμων Νεῖλος P. 33.
Πολύθρηνος. πολύθρηνον μέγα που στένει A. 694. πολύθρηνος αἰὼν A. 696.
Πολύθροος. φυγάδα μάταισι πολυθρόοις βίαια δίζηνται λαβεῖν S. 800.
Πολυκανής. θυσίαι πολυκανεῖς A. 1142.
Πολύκλαυτος. ὦ πολύκλαυτε φίλοισι θανὼν P. 658. τὴν πολυκλαύτην Ἰφιγένειαν ἀνάξια δράσας A. 1508.
Πολυκοίρανος. Ἀτρέως πολυκοίρανε, μάνθανέ μοι, παῖ Fragm. Iphig. 2.
Πολυκρατής. πολυκρατεῖς ἀραὶ φθιμένων C. 400.
Πολυκτόνος. τῶν πολυκτόνων γὰρ οὐκ ἄσκοποι θεοὶ A. 448. ἄμαχον ἄλγος οἰκέταις μέγα σίνος πολυκτόνον A. 716.
Πολύμιτος. ἀγόμενος ἀμπύκων πολυμίτων S. 427.
Πολύμναστος. πολύμναστον ἐπηνθίσω αἷμ' ἄνιπτον A. 1438.
Πολύμνηστος. τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν τίνειν A. 796.
Πολυμνήστωρ. γενοῦ πολυμνήστωρ, ἐφάπτωρ Ἰοῦς S. 530.
Πολυναύτης. πολύχειρ καὶ πολυναύτης P. 83.
Πολυνείκης. ἐξυπτιάζων ὄνομα Πολυνείκους βίαν T. 559. 623. Πολυνείκη λέγω T. 640. ἀδελφὸν τοῦδε Πολυνείκους νεκρὸν T. 1004. δράτω πόλις καὶ μὴ δράτω τοὺς κλαίοντας Πολυνείκην T. 1059.
Πολυνεικής. ὀρθῶς κατ' ἐπωνυμίαν καὶ πολυνεικεῖς ὤλοντ' ἀσεβεῖ διανοίᾳ T. 812.
Πολύξενος. τὸν πολυξενώτατον Ζῆνα τῶν κεκμηκότων ἱξόμεσθα σὺν κλάδοις S. 154.
Πολυπενθής. κἀγὼ δὴ μόρον τῶν οἰχομένων αἴρω δοκίμως πολυπενθῆ P. 539.
Πολύπλανος. ἄδδην με πολύπλανοι πλάναι γεγυμνάκασι V. 587.
Πολυπλάνητος. ἀπριγκτόπληκτα πολυπλάνητα δ' ἦν ἰδεῖν, ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα ἄνωθεν ἀνέκαθεν C. 419.
Πολύπλαγκτος. καὶ τότε δὴ τίς ἦν ὁ θέλξας πολύπλαγκτον ἀθλίαν οἰστροδόνητον Ἰώ; S. 567.
Πολύπονος. φύλακα πολυπόνων βροτῶν S. 377. Ἀμφιστρεύς τε πολύπονον δόρυ νωμῶν P. 312. ἰὼ πάντων πολυπονώτατοι T. 991.
Πολύπυρος. τᾶς Ἀφροδίτας πολύπυρος αἶα S. 548.
Πολύρρυτος. ἀνὰ πολύρρυτον ἁλμήεντα πόρον S. 823.
Πολύς. ἄλλα πόλλ' ἐπεικάσαι δίκαιον ἦν S. 241. δεῖ πεσεῖν χρηστήρια θεοῖσι πολλοῖς πολλὰ S. 446. πολλῶν ἄκουσον τέρματ' αἰδοίων λόγων S. 450. πολλῶν τάδ' ἡμῖν ἐστὶν ἠξιωμένα S. 485. πολλὰ βροτῶν διαμειβομένα φῦλα S. 537. πολλοὺς δέ γ' εὑρήσουσιν ἐν μεσημβρίᾳ θάλπει βραχίον' εὖ κατερρινημένους S. 727. βίᾳ τε πολλᾷ φροῦδα S. 842. πολλοὺς ἄνακτας, παῖδας Αἰγύπτου τάχα ὄψεσθε S. 887. πόλλ' ἁμαρτὼν οὐδὲν ὤρθωσας φρενὶ S. 893. πολλὰ γίνεται πάρος πεσήματ' ἀνδρῶν S. 914. πολλῶν μετ' ἄλλων S. 937. δώματ' ἐστὶ πολλὰ μὲν τὰ δήμια S. 935. πολλοῖσιν ἄλλοις σωφρονίσμασιν S. 970. μὴ πάθωμεν ὧν πολὺς πόνος S. 984. πολὺς δὲ πόντος οὐκ ἐκληρώθη δορὶ S. 985. μετὰ πολλῶν γάμων S. 1035. στρατιᾶς πολλῆς ἔφοροι P. 25. πολλοῖς ἅρμασιν ἐξορμῶσιν P. 46. πολλοῖς μὲν αἰεὶ νυκτεροῖς ὀνείρασιν ξύνειμι P. 172. μεγέθει τε τῶν νῦν εὐπρεπεστάτα πολὺ P. 180. ἔρξας πολλὰ δὴ Μήδους κακὰ P. 232. πολύν τε καὶ καλὸν φθεῖραι στρατὸν P. 240. ὦ Περσὶς αἶα, καὶ πολὺς πλούτου λιμήν, ὡς ἐν μιᾷ πληγῇ κατέφθαρται πολὺς ὄλβος P. 246. τὰ πολλὰ βέλεα παμμιγῆ P. 261. ὡς πολλὰς Περσίδων μάταν ἔκτισαν εὔνιδας ἠδ' ἀνάνδρους P. 281. πολλῶν παρόντων δ' ὀλίγ' ἀπαγγέλλω κακὰ P. 322. παρῆν ὁμοῦ κλύειν πολλὴν βοὴν P. 394. πολλὰ μὲν γὰρ ἐκ χεροῖν πέτροισιν ἠράσσοντο P. 451. πολλὰ θεοκλυτῶν στρατὸς P. 492. Θρήκην περάσαντες μόγις πολλῷ πόνῳ P. 501. οὐ πολλοί τινες P. 502. πολλὰ δ' ἐκλείπω λέγων κακῶν P. 505.

πολλαὶ—δάκρυσι κόλπους τέγγουσ' P. 529. πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ γίνεται θνητοῖς P. 693. οὐ πολλῶν μέτα P. 720. πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ P. 734. πολὺς πλούτου πόνος P. 737. ἐπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ P. 766. παῦροί γε πολλῶν P. 786. ἦ πολλὰ καὶ παρόντα καὶ μέλλοντ' ἔτι ἤλγησ' ἀκούσας βαρβάροισι πήματα P. 829. ὥς με πόλλ' ἐπέρχεται κακὰ ἄλγη P. 831. ἁδοβάται γὰρ πολλοὶ φῶτες P. 889. βαιά γ' ὡς ἀπὸ πολλῶν P. 982. Ἐτεοκλέης ἂν εἷς πολὺς κατὰ πτόλιν ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις T. 6. βλάστημον ἀλδαίνοντα σώματος πολὺν T. 12. ῥεῖ πολὺς ὅδε λεὼς πρόδρομος ἱππότας T. 80. πολλὰ γὰρ εὖτε πόλις δαμασθῇ, ἒ ἒ ἒ δυστυχῆ τε πράσσει T. 320. πολλὰ γᾶς δόσις T. 341. ἅλω δὲ πολλὴν, ἀσπίδος κύκλον λέγω, ἔφριξα δινήσαντος T. 471. κακοῖσι βάζει πολλὰ Τυδέως βίαν T. 553. κλυδωνίου πολλαῖσι πληγαῖς ἄντλον οὐκ ἐδέξατο T. 778. ἐρξάτην πολλὰ πολίτας T. 906. ἰὼ πολλοῖς ἐπανθίσαντες πόνοισί γε δόμους T. 938. σὺ γε μὴν πολλῶν πενθητήρων τεύξῃ T. 1054. πολλοὺς ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς φθέγξῃ V. 33. ὦ πολλὰ μισηθεῖσα χειρωναξία V. 45. Γαῖα, πολλῶν ὀνομάτων μορφὴ μία V. 210. πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς, ἢ σαυτὸν V. 330. τρόπους δὲ πολλοὺς μαντικῆς ἐστοίχισα V. 482. πολλοῦ γε καὶ τοῦ παντὸς ἐλλείπω V. 963. λέγων ἔοικα πολλὰ καὶ μάτην ἐρεῖν V. 1009. χορῶν κατάστασιν πολλῶν A. 24. πολλὰ παλαίσματα A. 63. πολλῶν γὰρ ἐσθλῶν τὴν ὄνησιν εἱλόμην A. 340. πολὺ δ' ἔστενον τόδ' ἐννέποντες δόμων προφῆται A. 396. πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ A. 421. πολλῶν ῥαγεισῶν ἐλπίδων A. 491. φαιδροῖσι τοῖσιδ' ὄμμασιν δέξασθε κόσμῳ βασιλέα πολλῷ χρόνῳ A. 507. ὡς πόλλ' ἀμαυρᾶς ἐκ φρενός μ' ἀναστένειν A. 532. ὡς νῦν τὸ σὸν δὴ, καὶ θανεῖν πολλὴ χάρις A. 536. πολλὰ χαίρειν ξυμφοραῖς καταξιῶ A. 558. οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χθόνα A. 607. πολλούς τε πολλῶν ἐξαγισθέντας δόμων A. 627. πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι προτίουσιν A. 762. πολλὰς κλύουσα κληδόνας παλιγκότους A. 837. πολλὰς ἄνωθεν ἀρτάνας ἐμῆς δέρης ἔλυσαν ἄλλοι A. 849. πολλὰ γὰρ τὰ πρὶν κακὰ ἠνειχόμεσθα A. 878. πολλὴ γὰρ αἰδὼς A. 922. αὐτὴ δὲ πολλῶν χρημάτων ἐξαίρετον ἄνθος A. 928. πολλὴ πορφύρα A. 933. πολλῶν πατησμὸν δ' εἱμάτων ἂν εὐξάμην A. 937. μάλα γάρ τοι τᾶς πολλᾶς ὑγιείας ἀκόρεστον τέρμα A. 975. πολλά τοι δόσις ἐκ Διὸς A. 986. πολλῶν μέτα δούλων A. 1007. ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις A. 1013. πολλὰ συνίστορα αὐτόφονα κακὰ A. 1061. τοῦδε πήματος πολὺ μεῖζον A. 1155. ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' αὖ σοφὴ γύναι A. 1268. πολλῶν πάροιθεν καιρίως εἰρημένων A. 1318. πολλὰ τλᾶσα γυνὴ A. 1428. μία τὰς πολλὰς τὰς πάνυ πολλὰς ψυχὰς ὀλέσασα A. 1431. μία πολλῶν ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασ' A. 1443. ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον θέρος A. 1640. σωφρονεστέραν πολὺ μητρὸς C. 138. σύνοιδ' Ὀρέστην πολλά σ' ἐκπαγλουμένην C. 215. ἐξορθιάζων πολλὰ C. 269. ἔχοντα πολλὰ δυστερπῆ κακὰ C. 275. πολλοὶ γὰρ εἰς ἓν συμπιτνοῦσιν ἵμεροι C. 297. πολλοὶ δ' ἀνῆλθον C. 529. ὡς πόλλ' ἐπωπᾷς, κἀκποδῶν εὖ κείμενα C. 682. πολλὰ καὶ μοχθήρ' ἀνωφέλητ' ἐμοὶ τλάσῃ C. 741. πολλὰ δ', οἴομαι, ψευσθεῖσα C. 747. πολλὰ δ' ἄλλα φανεῖ χρῄζων C. 802. πολλῶν αἱμάτων ἐπήκρισε τλήμων Ὀρέστης C. 920. πολὺν ἄγαν χρόνον χαμαιπετεῖς ἔκεισθ' ἀεὶ C. 957. τῷδέ τ' ἐν δολώματι πολλοὺς ἀναιρῶν C. 998. πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος C. 1008. ἴσχε, μὴ φόβου νικῶν πολὺ C. 1048. ἦ πολλὰ μὲν δὴ τῶν ἐμῶν ἐλείξατε E. 106. ἦ πολλὰ δὴ παθοῦσα, καὶ μάτην, ἐγὼ E. 139. μύζουσιν οἰκτισμὸν πολὺν E. 180. πολλοῖς δὲ μόχθοις ἀνδροκμῆσι φυσιᾷ σπλάγχνον E. 239. ἐπίσταμαι πολλοὺς καθαρμοὺς E. 267. πολὺς δέ μοι γένοιτ' ἂν ἐξ ἀρχῆς λόγος E. 274. πόλλ' ἔτυμα πάθεα E. 473. τὰ πολλὰ παντόφυρτ' ἄνευ δίκας E. 524. πολλαὶ μὲν ἐσμεν, λέξομεν δὲ συντόμως E.

554. καὶ κάρτα πολλὴ μηχανὴ λυτήριος E. 616. πολλῆς δὲ χώρας τῆσδ' ἔτ' ἀκροθίνια ἔχουσ' E. 798. πολλῶν γὰρ τόδ' ἐν βροτοῖς ἄκος E. 942. πολὺν οἰδματόεντα φερέδρομον πόρον Hel. 1. 4. ποῦ μοι τὰ πολλὰ δῶρα κἀκροθίνια; Perrh. ψευδόδειπνα πολλὰ μαργώσης γνάθου Phin. 1. ὁ χρήσιμ' εἰδὼς, οὐχ ὁ πόλλ' εἰδὼς, σοφὸς Fragm. 7. πολλὰ τρώματ' ἐν στέρνοις λαβὼν Fragm. 27. 1. θάνατος μέγιστον ἴαμα τῶν πολλῶν κακῶν Fragm. I. 28. πολλά γ' ἐν δόμοισιν εἴργασται κακὰ Fragm. 52.

Πολυστεφής. ἐγὼ μὲν ἕρπω πρὸς πολυστεφῆ μυχὸν E. 39.

Πολυστομεῖν. καὶ ξυμβόλοισιν οὐ πολυστομεῖν χρέων ναύτην ἄγοντας τόνδ' ἐφέστιον θεῶν S. 497.

Πολύστονος. ἰὼ πολύστονοι τόδ' εἰργάσασθ' ἄπιστον T. 827. καὶ δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος αὐδᾶται πολύστονος φάτις E. 359.

Πολύτεκνος. ποταμοί θ', οἳ διὰ χώρας θελεμὸν πῶμα χέουσιν, πολύτεκνοι S. 1008. τῆς πολυτέκνου Τηθύος ἔκγονα V. 137.

Πολύφθορος. πολυφθόρους ἐν δαΐδι T. 908. αὐτῆς λεγούσης τὰς πολυφθόρους τύχας V. 636. εἰ μέν τι τῇδε λοιπὸν ἢ παρειμένον ἔχεις γεγωνεῖν τῆς πολυφθόρου πλάνης V. 822.

Πολυφόντης. Πολυφόντου βία T. 430.

Πολύχειρ. πολύχειρ καὶ πολυναύτης P. 82.

Πολύχρυσος. ἀφνεῶν καὶ πολυχρύσων ἑδράνων φύλακες P. 3. πολύχρυσος στρατιὰ P. 9. πολύχρυσοι Σάρδεις P. 45. Βαβυλὼν ἡ πολύχρυσος P. 53.

Πολύχωστος. πολύχωστον ἂν εἶχες τάφον διαποντίας γῆς C. 346.

Πολυψάμαθος. χῶμα πολυψάμαθον S. 849.

Πομπαῖος. Ἑρμῆ, φύλασσε, κάρτα δ' ὢν ἐπώνυμος, πομπαῖος ἴσθι E. 91.

Πομπή. φρενῶν βίᾳ τείνουσι πομπήν, τὴν μακρὰν πόλιν μολεῖν T. 595. πομπᾷ Διὸς ξενίου A. 728. βᾶτ' ὑπ' εὐθύφρονι πομπᾷ E. 987. τὸ μαχαιροφόρον τ' ἔθνος ἐκ πάσης Ἀσίας ἕπεται, δειναῖς βασιλέως ὑπὸ πομπαῖς P. 58.

Πόμπιμος. σπουδῇ διώκων πομπίμους χνόας ποδῶν T. 353. ἀλλὰ γόων, ὦ φίλαι, κατ' οὖρον ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν πίτυλον T. 837.

Πομπός. ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω C. 145. ἡμεῖς δ' ὕμνοις αἰτησόμεθα φθιμένων πομποὺς εὔφρονας εἶναι κατὰ γαῖαν P. 618. ἐδάη λαγοδαίτας πομπούς τ' ἀρχὰς A. 123. ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοὶ πομποὶ C. 84. ἤγειρεν ἄλλην ἐκδοχὴν πομποῦ πυρὸς A. 290.

Πονεῖν. τίνα πόλις πονεῖ πόνον; P. 668. τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην V. 44. ἄταρ μηδὲν πόνει· μάτην γὰρ, οὐδὲν ὠφελῶν ἐμοὶ, πονήσεις, εἴ τι καὶ πονεῖν θέλεις V. 342. δίψει πονοῦντες P. 476. μὴ 'λεγχε τὸν πονοῦντ' ἔσω καθημένη C. 906. τῷ πονοῦντι δ' ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου, κλέος Fragm. 33. 1. τίς δ' ἐπιτύμβιος αἶνος ἐπ' ἀνδρὶ θείῳ σὺν δάκρυσιν ἰάπτων ἀληθείᾳ φρενῶν πονήσει; A. 1259.

Πονηρός. μήτ' ἐπιζευχθῇς στόμα φήμαις πονηραῖς C. 1041. βίου πονηροῦ θάνατος εὐκλεέστερος Fragm. Ix. 1. ζωῆς πονηρᾶς θάνατος εὐπορώτερος Fragm. 101.

Πόνος. πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταὐτὸν πτερὸν S. 324. κλάδους μὲν αὐτοῦ λεῖπε σημεῖον πόνου S. 501. πρὸς ταῦτα μὴ πάθωμεν ὧν πολὺς πόνος S. 984. εἷς ἀνὴρ πλεῖστον πόνον ἐχθροῖς παρασχὼν P. 319. Θρῄκην περάσαντες μόγις πολλῷ πόνῳ P. 501. τίνα πόλις πονεῖ πόνον; P. 668. δέδοικα μὴ πολὺς πλούτου πόνος οὖμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγὴ P. 738. ἰὼ ἰὼ πόνος T. 984. καὶ δὴ πέπρακται τοὔργον οὐ μακρῷ πόνῳ V. 75. πόνον ὀρταλίχων ὀλέσαντες A. 54. στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας μνησιπήμων πόνος A. 173. νυκτίπλαγκτος ἐκ μάχης πόνος A. 321. τί ταῦτα πενθεῖν δεῖ; παροίχεται πόνος A. 553. οὐδ' ἀφίλως εὔφρων τις πόνος τοῖς εὖ τελέσασιν A. 780. ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος στροβεῖ A. 1188. ὦ πόνος ἐγγενὴς C. 459. καὶ μὴ πρόκαμνε τόνδε βουκολούμενος πόνον E. 79. οὔποτ' ἐκλιπὼν πόνον E. 127. ἀνίστω, μή σε νικάτω πόνος E. 128. σὺ δ' οὖν δίωκε καὶ πόνον πλέον τίθου E. 217. λαῖφος ὅταν λάβῃ πόνος θραυομένας κεραίας E. 526. ὡς αὐ-

τοῖσι μεταμέλῃ πόνος E. 741. τῷ πονοῦντι δ' ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου, κλέος Fragm. I. 33. 2. Θάρσει· πόνου γὰρ ἄκρον οὐκ ἔχει χρόνον Fragm. 39. ὑψηλὸν ἠβάσασα τεκτόνων πόνον Fragm. I. 82. τῶν πρόσθε πόνων μνασαμένα S. 51. ἰὼ δυσάγκριτοι πόνοι S. 119. μαινομένα πόνοις ἀτίμοις S. 557. ὁρῶ τάδε φροίμια πρόξενα πόνων βιαίων ἐμῶν S. 810. ὦ πόνοι δόμων νέοι παλαιοῖσι συμμιγεῖς κακοῖς T. 722. τί δ' ἄλλο γ' ἢ πόνοι πόνων; T. 834. ἰὼ πολλοῖς ἐπανθίσαντες πόνοισί γε δόμους T. 933. πόνων γὰρ, ὡς ἁπλῷ λόγῳ, τῶν νῦν παρόντων οὐδὲν αἰτία τέχνη V. 46. σῶν ὑπερστένω πόνων V. 66. τί σοι οἷοί τε θνητοὶ τῶνδ' ἀπαντλῆσαι πόνων; V. 85. πόνων ἐμῶν θεωρὸς V. 118. πᾶ ποτε τῶνδε πόνων σε χρὴ τέρμα κέλσαντ' ἐσιδεῖν; V. 183. θνητοῖς ἀρήγων αὐτὸς εὑρόμην πόνους V. 267. τοὺς σοὺς δὲ πόνους χρῄζω διαπαντὸς ἀκοῦσαι V. 282. καὶ σὺ δὴ πόνων ἐμῶν ἥκεις ἐπόπτης V. 298. πειράσομαι, ἐὰν δύνωμαι, τῶνδέ σ' ἐκλῦσαι πόνων V. 326. ὥστε τῶνδέ σ' ἐκλῦσαι πόνων V. 339. ἐν πόνοις δαμέντ' ἀδαμαντοδέτοις V. 423. πέπαυμαι τοὺς ἐμοὺς θρηνῶν πόνους V. 618. εἰ δ' ἔχεις εἰπεῖν ὅ τι λοιπὸν πόνων, σήμαινε V. 687. τῶν πάντων πόνων ἀπηλλάγην V. 751. μηδὲ σαυτῆς ἐκμαθεῖν ζήτει πόνους V. 778. πόνων τὰ λοιπά σοι φράσω V. 782. ὃς πόνων ἐκ τῶνδ' ἐμὲ λύσει V. 874. ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν εἰσορῶσ' Ἰοῦς γάμῳ δαπτομέναν δυσπλάνοις Ἥρας ἀλατείαις πόνων V. 902. τῶνδέ γ' ἕξει δυσλοφωτέρους πόνους V. 933. πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων φανῇ V. 1029. θεοὺς μὲν αἰτῶ τῶνδ' ἀπαλλαγὴν πόνων A. 1. νῦν δ' εὐτυχὴς γένοιτ' ἀπαλλαγὴ πόνων A. 20. χάρις γαρ οὐκ ἄτιμος εἴργασται πόνων A. 345. ἰὼ πόνοι πόνοι πόλεος ὀλομένας τοπᾶν A. 1139. ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα C. 134. τῶνδε πόνων ἄπειρος C. 365. ἐπεμνησάμην ἀμειλίχων πόνων C. 615. θερμὰ λουτρὰ, καὶ πόνων θελκτήρια C. 659. οὐδ' ἥτις αἶα τοῦτ' ἐπεύχεται γένος τρέφουσ' ἀνατεὶ μὴ μεταστένειν πόνων E. 59. ὥστ' ἐς τὸ πᾶν σε τῶνδ' ἀπαλλάξαι πόνων E. 83. ὕπνος πόνος τε κύριοι συνωμόται δεινῆς δρακαίνης ἐξεκήραναν μένος E. 123. τῶνδε βουλευτὶς πόνων Xant. 1. πόνων ἐκδέκτωρ Prom. Sol. 4. 2.

Ποντίζειν. οὐδ' ἐπόντισε σκάφος A. 985.

Πόντιος. ἔμαθον—ἐσορᾷν πόντιον ἄλσος P. 111. ἣν ὁ φιλόχορος Πᾶν ἐμβατεύει, ποντίας ἀκτῆς ἔπι P. 441. Ξέρξης δὲ πάντ' ἐπέσπε δυσφρόνων βαρίδεσσι ποντίαις P. 545. δμαθέντες μεγάλως πλαγαῖσι ποντίαισι P. 872. φίλων ἆται πόντιαι P. 994. νεὼς καμούσης ποντίῳ πρὸς κύματι T. 192. ὁ πόντιος ξεῖνος, ἐκ πυρὸς συθεὶς πικρὸς σίδηρος T. 924. ποντίων τε κυμάτων ἀνήριθμον γέλασμα V. 89. βοᾷ δὲ πόντιος κλύδων ξυμπιτνῶν, στένει βυθὸς V. 429. ποντίοις δάκεσι δὸς βορὰν V. 584. πόντιος μυχὸς V. 841. Ἅιδην πόντιον πεφευγότες A. 653. πόντιοί τ' ἀγκάλαι κνωδάλων ἀνταίων βροτοῖσι πλάθουσι C. 580. γῆθεν, ἔκ τε ποντίας δρόσου E. 864. ἄκανθα ποντίου βοσκήματος σήψει παλαιὸν δέρμα καὶ τριχοῤῥύες Fragm. Psych. 1. 4.

Ποντομέδων. ὅ θ' ἵππιος ποντομέδων ἄναξ T. 122.

Πόντος. ξὺν ὄχῳ ταχυήρει πέμψατε πόντονδ' S. 33. πολὺς δὲ πόντος οὐκ ἐκληρώθη δορὶ S. 985. ζυγὸν ἀμφιβαλὼν αὐχένι πόντου P. 72. τραχεῖα πόντου Σαλμυδησία γνάθος V. 728. πόντου περῶσα φλοῖσβον V. 792. κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ συγχώσειεν V. 1050. ξυντετάρακται δ' αἰθὴρ πόντῳ V. 1090. πόντον ὥστε νωτίσαι A. 277. εὖτε πόντος ἐν μεσημβριναῖς κοίταις ἀκύμων νηνέμοις εὕδοι πεσὼν A. 551. πόντου πέραν τραφεῖσα A. 1173. ὑπέρ τε πόντον καὶ περιῤῥύτας πόλεις E. 77. ὑπέρ τε πόντον ἀπτέροις πωτήμασιν ἦλθον διώκουσ' E. 241. δελφινοφόρον πεδίον πόντου διαμειψάμενος Ner. 1. 1.

Ποντοστεφής Fragm. Prom. Sol. 3. (emend. Tyrwh.).

Ποντοτρεφής Fragm. Prom. Sol. 3 (emend. Schneid.).

Πόπαξ. ἰοὺ, ἰοὺ, πόπαξ E. 138.

Ποποῖ. Ξέρξης μὲν ἤγαγεν, ποποῖ, Ξέρξης δ' ἀπώλεσεν, τοτοῖ P. 542.

πεζούς τε καὶ θαλασσίους ὁμόπτεροι κυανώπιδες νᾶες μὲν ἤγαγον ποποῖ, νᾶες δ' ἀπώλεσαν, τοτοῖ P. 552. ἰὼ ἰώ, ποποῖ πῶ πῶ πῶ V. 576. ὀτοτοτοτοῖ ποποῖ δᾶ A. 1042. ἰὼ ποποῖ A. 1071.

Πόποι. ὦ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ P. 717. ὦ πόποι, ἦ μεγάλας ἀγαθᾶς τε πολισσονόμου βιοτᾶς ἐπεκύρσαμεν P. 838. ἐπάθομεν πάθος δυσαχὲς, ὦ πόποι E. 140.

Πόρεια. ἔσται δὲ θνητοῖς εἰσαεὶ λόγος μέγας τῆς σῆς πορείας V. 735. τὸ πᾶν πορείας ἦδε τέρμ' ἀκήκοεν V. 825. τῆς σῆς πορείας μνῆμα τοῖς πᾶσιν βροτοῖς V. 843.

Πορεῖν. μοῖραν δ' ἡδονῆς κἀμοὶ πόρε V. 634. τίς ἂν καθαρμοὺς πόροι; T. 720. οὔκουν πόροις ἂν τήνδε δωρεὰν ἐμοὶ V. 618. ἀλλ' ἆθλον ἄν σοι τοῦδέ γ' ἀλγίω πόροι V. 936. θνητοῖς γὰρ γέρα πορὼν ἀνάγκαις ταῖσδ' ὑπέζευγμαι τάλας V. 108. τὸν ἐξαμαρτόντ' εἰς θεοὺς ἐφημέροις πορόντα τιμὰς V. 947.

Πορεύεσθαι. ὁ δὲ πορεύεται δόλιον ὄμμ' ἔχων V. 569.

Πόρευμα. προστετριμμένον τε πρὸς ἄλλοισιν οἴκοις καὶ πορεύμασι βροτῶν E. 230.

Πορευτός. ἰσχὺς πορευτοῦ λαμπάδος A. 277.

Πορθεῖν. πόλιν πατρῴαν καὶ θεοὺς τοὺς ἐγγενεῖς πορθεῖν T. 565. αὐτοὶ δ' ὑφ' αὑτῶν ἔνδοθεν πορθούμεθα T. 176. οἳ ἐγώ, κατ' ἄκρας ἐνθάδ' ὡς πορθούμεθα C. 680. ἐκ δόμων πορθουμένων S. 438. ποίου χρόνου δὲ καὶ πεπόρθηται πόλις A. 269. Τροίαν νῦν πεπορθῆσθαι δοκεῖς A. 576.

Πορθήτωρ. χαμαὶ τιθεὶς τὸν σὸν πόδ', ὦ 'ναξ, 'Ιλίου πορθήτορα A. 881. ἴδεσθε χώρας τὴν διπλῆν τυραννίδα, πατροκτόνους τε δωμάτων πορθήτορας C. 968.

Πορθμεύειν. ἐφετμὰς τάσδε πόρθμευσον πάλιν C. 674.

Πόρθμευμα. πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον πόρθμευμ' ἀχέων A. 1539.

Πορθμός. λινοδέσμῳ σχεδίᾳ πορθμὸν ἀμείψας 'Αθαμαντίδος Ἕλλης E. 69. μηχαναῖς ἔζευξεν Ἕλλης πορθμὸν P. 708. οὐ γὰρ πᾶν στράτευμα βαρβάρων περᾷ τὸν Ἕλλης πορθμὸν Εὐρώπης ἄπο; P. 785. Σαρωνικοῦ πορθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλειν πρόσω A. 298.

Πόριμος. ἀπόλεμος ὅδε γε πόλεμος, ἄπορα πόριμος V. 906.

Πόρος. διχῇ δ' ἀντίπορον γαῖαν ἐν αἴσᾳ διατέμνουσα πόρον κυματίαν ὁρίζει S. 541. ἀνὰ πολύῤῥυτον ἁλμήεντα πόρον S. 824. οἱ χρυσόῤῥυτον οἰκοῦσιν ἀμφὶ νᾶμα Πλούτωνος πόρου V. 808. εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος ἐς δῶμ' ἄελπτον ὡς ἂν ἡγῆται δίκη A. 885. μηδ' εἵμασι στρώσας ἐπίφθονον πόρον τίθει A. 895. παρὰ Σκαμάνδρου πόρον τέθαψαι C. 361. Τρίτωνος ἀμφὶ χεῦμα γενεθλίου πόρου E. 283. οἰδματόεντα πόρον προφυγὼν Fragm. 59. 4. ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιῤῥόθους P. 359. φίλους τ' ὑπεκσῴζοιεν ἐναλίων πόρων P. 445. ἀφικόμεσθ' ἐπ' 'Αξίου πόρον P. 485. περᾷ κρυσταλλοπῆγα διὰ πόρον P. 493. ἡλίου κύκλος μέσον πόρον διῆκε P. 497. μηχαναῖς ἔζευξεν Ἕλλης πορθμὸν, ὥστ' ἔχειν πόρον P. 708. πόρον μετεῤῥύθμιζε P. 732. πόρον οὐ διαβὰς Ἅλυος ποταμοῖο P. 848. Ἕλλας ἀμφὶ πόρον πλατὺν P. 854. πόρον δ' 'Ισμηνὸν οὐκ ἐᾷ περᾶν ὁ μάντις T. 360. ἔοικεν οὐ καπηλεύσειν μάχην μακρᾶς κελεύθου δ' οὐ καταισχυνεῖν πόρον T. 528. αἰθέρα τ' ἁγνὸν, πόρον ὀρνίθων V. 281. παρ' 'Ωκεανοῖο πατρὸς ἄσβεστον πόρον V. 530. πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ βαίνοντες C. 70. πάλαι πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα οἴκοισι, καὶ βοτοῖσι, καὶ ῥυτοῖς πόροις E. 430. ὁδοὺς ἀθύμους καὶ παρόρνιθας πόρους τιθέντες E. 740.

Πόρος. πραπίδων πόροι S. 88. πόρον γάμου S. 788. δεινὸς γὰρ εὑρεῖν κἀξ ἀμηχάνων πόρους V. 59. ἡ διδάσκαλος τέχνης πάσης βροτοῖς πέφηνε, καὶ μέγας πόρος V. 111. οἵας τέχνας τε καὶ πόρους ἐμησάμην V. 476. σὺ δ' ἀμηχανίας πόρον εἶδες ἐν ἄλγεσι Fragm. I. 23. 10.

Πορπάζειν. καὶ τήνδε νῦν πόρπασον ἀσφαλῶς V. 61.

Πορσύνειν. πῶς γάρ τις ἐχθροῖς ἐχθρὰ

πορσύνων, φίλοις δοκοῦσιν εἶναι, πημονὴν ἀρκύστατον φράξειε A. 1347. καὶ τόνδε τοίνυν μοῖρ' ἐπόρσυνεν μόρον C. 898. ἐγὼ δὲ ταῦτα πορσυνῶν ἐλεύσομαι S. 517. τίνος πρὸς ἀνδρὸς τοῦτ' ἔπος πορσύνεται; A. 1224. πειθάρχῳ φρενὶ δεῖπνόν τ' ἐπορσύνοντο P. 367. φράσαιμ' ἂν οἷ' ἐπορσύνθη κακὰ P. 259. C. 1037.

Πόρτις. ἐπικεκλόμεναι δῖον πόρτιν ὑπερπόντιον τιμάορα S. 42. ὁ Δῖος πόρτις εὔχεται βοός; S. 309.

Πορφύρα. εἶμ' ἐς δόμων μέλαθρα, πορφύρας πατῶν A. 931. πορφύρας ἰσάργαρον κηκῖδα A. 933.

Πορφύρεος. ἀμείβων χρῶτα πορφυρέᾳ βαφῇ P. 309.

Πορφυροειδής. λίμνᾳ δ' ἔμβαλε πορφυροειδεῖ τὰν μελανόζυγ' ἄταν S. 524.

Πορφυρόστρωτος. εὐθὺς γενέσθω πορφυρόστρωτος πόρος A. 884.

Ποσειδῶν. καὶ Ποσειδῶνος κρατήσειν ᾤετ', οὐκ εὐβουλίᾳ P. 736. ποντομέδων ἄναξ Ποσειδῶν T. 123. εὐτρεφέστατον πωμάτων ὅσων ἵησι Ποσειδῶν ὁ γαιάοχος T. 291. αἰχμὴν τὴν Ποσειδῶνος σκεδᾷ V. 927. Ποσειδῶνος κράτος καλοῦσα E. 27.

Πόσις. αἰτοῦ τάδε σὸν πόσιν Δαρεῖον P. 217. παῖδα τὸν αὐτᾶς πόσιν αὐτᾷ θεμένα T. 912. ὅπως ἄριστα τὸν ἐμὸν αἰδοῖον πόσιν σπεύσω πάλιν μολόντα δέξασθαι A. 586. ταῦτ' ἀπάγγειλον πόσει A. 590. τὸν ὁμοδέμνιον πόσιν λουτροῖσι φαιδρύνουσα; A. 1079. οὗτός ἐστιν Ἀγαμέμνων, πόσις ἐμὸς A. 1378.

Πόσις. φόνου δ' Ἐρινὺς οὐχ ὑπεσπανισμένη ἄκρατον αἷμα πίεται τρίτην πόσιν C. 572.

Πόσος. πόσον τι πλῆθος ἦν νεῶν Ἑλληνίδων; P. 326.

Ποταίνιος. ποταίνιον κλύουσα πάταγον T. 221. οὐδέ μοι ποταίνιον πῆμ' οὐδὲν ἥξει V. 103. ποταίνιον γὰρ αἷμά σοι χεροῖν ἔτι C. 1051. ποταίνιον γὰρ ὂν πρὸς ἑστίᾳ θεοῦ Φοίβου, καθαρμοῖς ἠλάθη χοιροκτόνοις E. 272.

Ποτάμιος. βοᾷ πάρ' ὄχθαις ποταμίαις C. 374.

Ποταμός. κακῶν δὲ πλῆθος, ποταμὸς ὥς, ἐπέρχεται S. 464. πόρον οὐ διαβὰς Ἅλυος ποταμοῖο P. 848. ἥξεις δ' Ὑβριστὴν ποταμὸν οὐ ψευδώνυμον V. 719. ἔνθα ποταμὸς ἐκφυσᾷ μένος κροτάφων ἀπ' αὐτῶν V. 722. ἔνθα ποταμὸς Αἰθίοψ V. 811. ποταμὸς Κάϊκος Fragm. Mys. 1. Σπερχεῖε ποταμὲ, βούνομοί τ' ἐπιστροφαὶ Fragm. Philoct. 7. ἀπὸ χώρων ποταμῶν τ' εἰργομένα S. 60. πὰρ ποταμοὺς ἀενάους S. 548. ποταμοὺς σεβῶμεν ὕμνοις S. 1006. ποταμῶν τε πηγαὶ V. 89. ἔνθεν ἐκραγήσονταί ποτε ποταμοὶ πυρὸς V. 368. πηγαὶ δ' ἁγνοῤῥύτων ποταμῶν στένουσι μένος οἰκτρὸν V. 432. ἄνω ποταμῶν Fragm. I. 139.

Ποτανός. ἐπεὶ διώκει παῖς ποτανὸν ὄρνιν A. 383.

Ποτᾶσθαι. ὡσὶ χρίμπτεται βοὰ, ποτᾶται, βρέμει T. 84. τίπτε μοι τόδ' ἐμπέδως καρδίας τερασκόπου δεῖγμα προστατήριον ποτᾶται; A. 951. τί γὰρ κευθώφρενος θεῖον ἔμπας ποτᾶται; C. 385. τοιγὰρ ὑποσκίων ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχὰ S. 644. ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτώμενοι A. 562. ἐῤῥώδιος μὲν ὑψόθεν ποτώμενος Fragm. 257. 1. τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσος πεπόταται E. 356.

Ποτέ. πρίν ποτε S. 37. μνήμην ποτ' ἀντίμισθον εὕρετ' ἐν λιταῖς S. 273. κληδοῦχον Ἥρας φασὶ δωμάτων ποτε Ἰὼ γενέσθαι S. 294. ἀλκῆς λαθέσθαι τῆσδε μηδαμῶς ποτε S. 712. μαιμᾷ πέλας δίπους ὄφις ἔχιδνα δ' ὥς με τί ποτ' ἐνδακοῦσα S. 873. τί ποτε Δαρεῖος μὲν οὕτω τότ' ἐπῆν ἀβλαβὴς τόξαρχος πολιήταις P. 546. τιμὰς μὴ 'ξαλειφθῆναί ποτε T. 15. πέπλων καὶ στεφέων πότ', εἰ μὴ νῦν, ἀμφὶ λιτὰν ἕξομεν; T. 97. πρίν ποτ' ἐκλαπάξαι δόμον T. 437. ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτε V. 68. πῇ ποτε μόχθων χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι V. 99. τί ποτ' αὖ κινύθισμα κλύω πέλας οἰωνῶν; V. 124. πᾶ ποτε τῶνδε πόνων χρή σε τέρμα κέλσαντ' ἐσιδεῖν V. 183. εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα σπεύδων σπεύδοντί ποθ' ἥξει V. 191. οὐ γὰρ ποτ' ἐρεῖς, ὡς κ. τ. λ. V. 297. τὰ μὲν σ' ἐπαινῶ, κοὐδαμᾶ λήξω ποτὲ V. 340. ἔνθεν ἐκραγήσονταί ποτε ποταμοὶ πυρὸς V. 367. τί ποτέ μ', ὦ Κρόνιε

παῖ, τί ποτε ταῖσδ' ἐνέζευξας εὑρὼν ἁμαρτοῦσαν ἐν πημοναῖσι; V. 578. *οὐ γάρ ποτ' ηὔχουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ θανὼν μεθέξειν φιλτάτου τάφου μέρος* A. 497. *οὐδὲν ἐπελπομένα ποτε καίριον ἐκτολοπεύσειν* A. 1002. *καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ πραθέντα τλῆναι* A. 1010. *ἆ ποῖ ποτ' ἄγαγές με;* A. 1057. *ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες οὐδέν ποτ' εἰ μὴ ξυνθανουμένην;* A. 1110. *τίς ποθ' ἥδ' ὁμήγυρις* C. 10. *οὐδὲν ποτ' ἄλλο* C. 16. *οὓς ἴδοιμ' ἐγώ ποτε θανόντας ἐν κηκῖδι πισσήρει φλογὸς* C. 265. *καί ποτ' ἂν ἀμφιθαλὴς Ζεὺς ἐπὶ χεῖρα βάλοι;* C. 388. *πότε δὴ στομάτων δείξομεν ἰσχὺν ἐπ' Ὀρέστῃ;* C. 708. *θανόντα δ' οὔτι μὴ προδῷς ποτὲ* C. 882. *τὸν ἄνδρ' ἐκεῖνον οὔ τι μὴ λείψω ποτὲ* E. 216. *τίνες ποτ' ἐστε* E. 386. *τί ποτ' οὐ πελάθεις ἐπ' ἀρωγάν;* Myrm. 4. 4. *ποτὲ μὲν ὡς πῦρ φαίνεται, ἄπλαστον ὁρμῇ, ποτὲ δ' ὕδωρ, ποτὲ δὲ γνόφος* Fragm. I. 168. 4.

Πότερον. *πρός σε πότερον ὡς ἔτην λέγω;* S. 244. *πότερα κατ' ἔχθραν, ἢ τὸ μὴ θέμις λέγεις;* S. 331. *πότερον τόξου ῥῦμα τὸ νικῶν, ἢ δορικράνου λόγχης ἰσχὺς κεκράτηκε* P. 143. *πότερα γὰρ τοξοῦλκος αἰχμὴ διὰ χερός γ' αὐτοῖς πρέπει;* P. 235. *τίνες κατῆρξαν, πότερον Ἕλληνες μάχης, ἢ παῖς ἐμός;* P. 343. *πότερα δῆτ' ἐγὼ ποτιπέσω βρέτη δαιμόνων* T. 91. *πότερον χαίρω κἀπολολύξω πόλεως ἀσινεῖ σωτῆρι, ἢ τοὺς μογεροὺς καὶ δυσδαίμονας ἀτέκνους κλαύσω πολεμάρχους* T. 807. *πότερα δ' ὀνείρων φάσματ' εὐπειθῆ σέβεις;* A. 265. *πότερον ἀναχθεὶς ἐμφανῶς ἐξ Ἰλίου;* A. 612. *πότερα γὰρ αὐτοῦ ζῶντος, ἢ τεθνηκότος φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο* A. 616. *πότερα δόμοισι πτῶμα προσκυρεῖ νέον;* C. 13. *πότερα λέγουσα παρὰ φίλης φίλῳ φέρειν γυναικὸς ἀνδρί;* C. 87. *πότερα δικάστην, ἢ δικηφόρον λέγεις;* C. 118. *πότερα γυνή τις Αἰθίοψ φανήσεται* Fragm. 314.

Ποτί. *ποτὶ πύργους στείχουσιν* T. 277. *ποτὶ πτόλιν δ' ὀρκάνα πυργῶτις* T. 328. *φαιδρωπὸς ποτὶ χεῖρα* A. 707. *Παλλάδος ποτὶ πτόλιν μολὼν* E. 79. *ποτί με μηδ' ἀτιμάσῃς μολεῖν* Fr. Philoct. l. 1.

Ποτινίσσεσθαι. *μηδ' ἐλιννύσαιμι θεοὺς ὁσίαις θοίναις ποτινισσομένα βρουνόμοις* V. 528.

Ποτιπίπτειν. *πότερα δῆτ' ἐγὼ ποτιπέσω βρέτη δαιμόνων;* T. 91.

Ποτιτρόπαιος. *ποτιτρόπαιον αἰδόμενος* S. 357. *ποτιτρόπαιος ὢν δ' ἕτερον ἐν κάρᾳ μιάστορ' ἐκείνου πάσεται* E. 168.

Πότμος. *ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμῳ* P. 695. *πεπλαγμένοι διχόφρονι πότμῳ* T. 881. *οἴκων γὰρ εὐθυδίκων καλλίπαις πότμος αἰεὶ* A. 740. *καὶ πότμος εὐθυπορῶν ἀνδρὸς ἔπαισε—* A. 978. *αὐτορέγμονος πότμου ἑαυτορέγμονος* Fragm. I. 78.

Πότνιος. *ὦ πότνι' Ἥρα* T. 137. *πότνι' Ἐριννὺς* T. 868. *Οἰδίπου πότνια σκιὰ* T. 964. *ὦ πότνια χθὼν, καὶ πότνι' ἀκτὴ χώματος* C. 711. *μέγα γὰρ δύναται πότνι' Ἐριννὺς* E. 911.

Ποτόν. *οὗ Σπερχεῖος ἄρδει πεδίον εὐμενεῖ ποτῷ* P. 479. *ἀκήρατόν τε μητρὸς ἀγρίας ἄπο ποτὸν παλαιᾶς ἀμπέλου γάνος τόδε* P. 607. *ἰὼ Σκαμάνδρου πάτριον ποτὸν* A. 1129. *οὗ ποθ' εὑρήσεις ποτὸν* E. 665.

Ποτός. *κακόν τι χθονοτρεφὲς ἐδανὸν ἢ ποτὸν πασαμένα* A. 1381.

Που. *δαιμόνων δέ που χάρις* A. 175. *εἴ που πάλαι, φαιδροῖσι τοῖσιδ' ὄμμασιν δέξασθε* A. 505. *Ὀρέστης ἆρά που βλέπει φάος* A. 1630. *οὔπω τις εἶδε Ζῆνά που νικώμενον* T. 496. *μή που τι προὔβης τῶνδε καὶ περαντέρω* V. 247.

Ποῦ. *ποῦ τὰς Ἀθάνας φασὶν ἱδρῦσθαι χθονός;* P. 227. *ποῦ δὲ φίλων ἄλλος ὄχλος, ποῦ δέ σοι παραστάται;* P. 917. *ποῦ δέ σοι Φαρνοῦχος, ποῦ δὲ Σευάλκης ἄναξ;* P. 927. *ποῦ σφε θήσομεν χθονός;* T. 993. *ποῦ δὴ τὰ λοιπὰ Λοξίου μαντεύματα;* C. 887. *ποῦ δῆθ' ὁ τιμὸς ὄντιν' ἀντεδεξάμην;* C. 903. *καὶ τῷ κτανόντι ποῦ τὸ τέρμα τῆς φυγῆς;* E. 400. *ποῦ γὰρ τοσοῦτο κέντρον ὡς μητροκτονεῖν;* E. 405. *ποῦ μοι τὰ πολλὰ δῶρα, κἀκροθίνια, ποῦ χρυσότευκτα κἀργυρᾶ σκυφώματα* Perrh. *ποῦ δ' ἐστιν Ἀργοῦς ἱερὸν, αὔδασον, ξύλον;* Fragm. Inc. 54.

Πούς. πρὶν πόδα χέρσῳ τῇδ' ἐν ἀσώδει θεῖναι S. 31. τίς ὁ κραιπνῷ ποδὶ πηδήματος εὐπετέος ἀνάσσων; P. 95. μὴ μέγας πλοῦτος κονίσας οὖδας ἀντρέψῃ ποδὶ ὄλβον P. 159. κροκόβαπτον ποδὸς εὔμαριν ἀείρων P. 651. σπουδὴ δὲ καὶ τοὐδ' οὐκ ἀπαρτίζει πόδα T. 356. πημάτων ἔξω πόδα ἔχει V. 263. ἐλαφρῷ ποδὶ κραιπνόσυτον θῶκον προλιποῦσ' V. 279. χαμαὶ τιθεὶς τὸν σὸν πόδ' A. 881. ὑπαί τις ἀρβύλας λύοι τάχος πρόδουλον ἔμβασιν ποδὸς A. 919. εἰ τῆσδε χώρας μήποτε ψαύσει ποδὶ C. 180. ἔξω κομίζων ὀλεθρίου πηλοῦ πόδα C. 686. φονολιβῆ θρόνον περὶ πόδα, περὶ κάρα πάρεστι γᾶς ὀμφαλὸν προσδρακεῖν E. 159. ὀρθὸν ἢ κατηρεφῆ πόδα τίθησιν E. 284. μάλα γὰρ οὖν ἁλομένα ἀνέκαθεν βαρυπεσῆ καταφέρω ποδὸς ἀκμὰν σφαλερὰ τανυδρόμοις κῶλα δύσφορον ἄταν E. 348. ὀρχησμοῖς ἐπιφθόνοις ποδὸς E. 354. ἔνθεν διώκουσ' ἦλθον ἄτρυτον πόδα E. 381. μηδέ νιν ἀθέῳ ποδὶ λὰξ ἀτίσῃς E. 514. κεκμῆτι μαλακίων ποδὶ Fragm. Lai. 2. φαγέδαινα ἥ μου σάρκας ἐσθίει ποδὸς Fragm. Phil. 4. ὦ πούς, ἀφήσω σε Philoct. Phil. 6. δεινήν γε στόματος ἔκφυσιν ποδὸς λαβὼν Philoct. 8. ὦ δυσπόνητε δαῖμον, ὡς ἄγαν βαρὺς ποδοῖν ἐνήλλου παντὶ Περσικῷ γένει P. 508. καὶ γὰρ δύ' ἔστον τώδε περιγραφὰ ποδοῖν C. 205. ἴδεσθε δεσμὸν ἀθλίῳ πατρί, πέδας τε χειροῖν καὶ ποδοῖν ξυνωρίδα C. 976. σοῦσθε, σοῦσθ' ἐπὶ βᾶριν ὅπως ποδῶν S. 817. σπουδῇ διώκων πομπίμους χνόας ποδῶν T. 353. ἁλιστόνοις πόδας χρίμπτουσα ῥαχίαισιν V. 714. σταθῶμεν ἐκ ποδῶν C. 20. στίβοι ποδῶν ὅμοιοι C. 204. ὥσπερ δεῦρ' ἀπεζύγην πόδας C. 665. ἐκ ποδῶν δ' ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα Xant. 1. νίπτρα δὴ χρὴ θεοφόρων ποδῶν φέρειν Sis. 1.

Πρᾶγμα. κορυφᾷ Διὸς εἰ κρανθῇ πρᾶγμα τέλεειν S. 86. εἴη δ' ἄνατον πρᾶγμα τοῦτ' ἀστοξένων S. 351. ἐπεὶ τὸ πρᾶγμα κάρτ' ἐπισπέρχει θεὸς T. 671. ἐμοί γ' ὅπως τάχιστά γ' ἐμπεσεῖν δοκεῖ, καὶ πρᾶγμ' ἐλέγχειν ξὺν νεορρύτῳ ξίφει A. 1324. δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει βλάβης A. 1517. τοιόνδε πρᾶγμα—καταινέσας C. 694. ἀποσταθῶμεν πράγματος τελουμένου C. 859. τί σοι πέπρακται πρᾶγμα, πλὴν τεύχειν κακά; E. 122. ἐν δὲ τῷδε πράγματι φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου E. 268. τὸ πρᾶγμα μεῖζον εἴ τις οἴεται τόδε βροτὸς δικάζειν E. 448. μὴ τυχοῦσαι πράγματος νικηφόρου E. 455. ἐπεὶ δὲ πρᾶγμα δεῦρ' ἐπέσκηψεν τόδε E. 460. διαιρεῖν τοῦτο πρᾶγμ' ἐτητύμως E. 466. τί τοὐδέ σοι μέτεστι πράγματος; λέγε E. 545. ὁ γὰρ διώκων, πρότερος ἐξ ἀρχῆς λέγων, γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος E. 554. ἐφήμενοι ψήφῳ διαιρεῖν τοῦδε πράγματος πέρι E. 600. βοᾶς τοιοῦδε πράγματος θεωρὸς ὢν Fragm. 97. εἴπερ γ' ἀπ' ἀρχῆς πραγμάτων κοινωνὸς ἦν S. 339. καὶ πολλαχῇ γε δυσπάλαιστα πράγματα, κακῶν τε πλῆθος, ποταμὸς ὡς ἐπέρχεται S. 463. πρὸς πράγματα σοφῶς ὁρῶσα S. 706. διαπεπόρθηται τὰ Περσῶν πράγμαθ', ὡς εἰπεῖν ἔπος P. 700. αὐτὸς κατόπτης δ' εἰμ' ἐγὼ τῶν πραγμάτων T. 41. χλιδᾶν ἔοικας τοῖς παροῦσι πράγμασιν V. 973. σωτηρίων δὲ πραγμάτων εὐάγγελος ἥκων A. 632. ἰὼ βρότεια πράγματ' A. 1300. ξένοισιν ὧδ' εὐδαίμοσιν κεδνῶν ἕκατι πραγμάτων ἂν ἤθελον γνωστὸς γενέσθαι C. 690. ἀλλ' αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις E. 685.

Πρᾶγος. ὅπως ἂν ὑμῖν πρᾶγος εὖ νικᾷ τόδε S. 230. καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν P. 245. ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως T. 2. τί δ' ἐστὶ πρᾶγος νεόκοτον πόλει παρόν; T. 785. ἀλλὰ γὰρ ἤκουσ' αἶδ' ἐπὶ πρᾶγος πικρὸν T. 843.

Πρακτήριος. πειθὼ δ' ἕποιτο, καὶ τύχη πρακτήριος S. 518.

Πράκτωρ. Δῖον ἐπιδόμενοι πράκτορά τε σκοπὸν δυσπολέμητον S. 636. σὺν δορὶ καὶ χερὶ πράκτορι A. 111. πράκτορες αἵματος αὐτῷ τελέως ἐφάνημεν E. 309.

Πρᾶξις. φεῦ, ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις P. 725. πέφρικ' εἰσιδοῦσα πρᾶξιν Ἰοῦς V. 697. ξυλλάβοι δ' ἐνδίκως παῖς ὁ Μαίας ἐπιφορώτατος, πρᾶξιν οὐρίαν θέλων C. 801.

Πράπις. δαυλοὶ γὰρ πραπίδων δάσκιοί

τε τείνουσιν πύροι S. 88. ὥστε καταρκεῖν εὖ πραπίδων λαχόντα A. 370. οὐδ' εὖ πραπίδων οἴακα νέμων A. 776.

Πράσσειν. πῶς ἄρα πράσσει Ξέρξης βασιλεὺς P. 140. πολλὰ γὰρ εὖτε πόλις δαμασθῇ, δυστυχῆ τε πράσσει V. 321. τάδ' ἐγὼ προφρόνως τοῖσδε πολίταις πράσσω E. 888. καὶ τοῦ θανόντος ἡ Δίκη πράσσει κότον Phryg. 2. 5. πρᾶσσε, πιαίνου, μιαίνων τὴν Δίκην A. 1654. ἄγγελλ' ἰοῦσα, πρᾶσσε τἀντεταλμένα C. 768. εἰδὼς δ' ἀμὸν ἀρχαῖον γένος, πράσσοις ἂν ὡς Ἀργεῖον ἀνστήσας στόλον S. 319. εἴης φορητὸς οὐκ ἄν, εἰ πράσσοις καλῶς V. 981. πῶς ἂν ἐκ τούτων ἔτι πράσσοιμεν ὡς ἄριστα Περσικὸς λεώς; P. 775. εἰ πάντα δ' ὡς πράσσοιμ' ἄν, εὐθαρσὴς ἐγὼ A. 904. τὸν φθιμένον γὰρ προλέγω βελτίω τῶνδε πράσσειν T. 319. τί χρὴ δρῶντ', ἢ λέγοντα, δαίμοσιν πράττειν φίλα V. 662. ἀλλ' ἐπηνάγκαζέ νιν Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε V. 675. τὸ μὲν εὖ πράττειν ἀκόρεστον ἔφυ πᾶσι βροτοῖσιν A. 1304. αἰνῶ δὲ πράσσειν ὡς ὑπευθύνῳ τάδε C. 704. σὺ δ' εὐπειθὴς ἐμοὶ γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα καρπὸν, φέροντα πάντα μὴ πράσσειν καλῶς E. 795. σὺ καὶ λέγων εὔφραινε καὶ πράσσων φρενὶ S. 510. εὖ πράσσοντες οἴκοι P. 847. πόλις γὰρ εὖ πράσσουσα δαίμονας τίει T. 77. πόλις μὲν εὖ πράσσουσα T. 797. παραινεῖν, νουθετεῖν τε τοὺς κακῶς πράσσοντας V. 265. ἁβρύνεται γὰρ πᾶς τις εὖ πράσσων πλέον A. 1178. φροιμιάζονται γὰρ ὡς τυραννίδος σημεῖα πράσσοντες πόλει A. 1328. τοὐφειλόμενον πράσσουσα δίκη μέγ' ἀϋτεῖ C. 309. τὰ μὲν γὰρ οἶδα κάρτα σ' ἐνθυμουμένην, τὰ δ' ἐμφανῶς πράσσουσαν ἡσυχαιτέραν E. 214. οἴκοι μένειν δεῖ τὸν καλῶς εὐδαίμονα καὶ τὸν κακῶς πράσσοντα Fragm. Inc. 9. κακοὶ γὰρ εὖ πράσσοντες οὐκ ἀνασχετοὶ Fragm. Inc. 10. τὸ μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι κρεῖσσον κακῶς πράσσοντα Fragm. Inc. 401. ἄτερ γνώμης τὸ πᾶν ἔπρασσον V. 495. ἔπρασσε δ' ᾗπέρ νιν, ὧδε θάπτει C. 434. ἰοῦσα πράξω A. 1263. αὐτοὶ γὰρ ἡμεῖς ὄντες ἐν τάφοις τότε τοῖς τἀμὰ παρβαίνουσι νῦν ὁρκώματα ἀμηχάνοισι πράξομεν δυσπραξίαις E. 739. σὺ τοῦτο πράξεις, ὥστε με σθένειν τόσον; E. 856. ὧν ἀντίποινα παῖς ἐμὸς πράξειν δοκῶν τοσόνδε πλῆθος πημάτων ἐπέσπασε P. 468. εἰκὸς δὲ πράξειν ἄνδρας ὧδ' ἀντιστάτας T. 499. τί ποτ' εὔπλοιαν ἔπραξαν ταχυπόμποισι διωγμοῖς; S. 1030. ἔπραξεν, ὡς ἔκρανεν A. 360. οὕτω δ' ἔπραξα, καὶ τάδ' οὐκ ἀρνήσομαι A. 1353. ἄτιμα δ' οὐκ ἐπραξάτην A 1418. ἀξύστατον ἄλγος ἔπραξεν A. 1446. ἔρξαντα καιρὸν χρῆν τάδ' ὡς ἐπράξαμεν A. 1643. ἀλλ' εὖ γ' ἔπραξας, μηδ' ἐπιζευχθῇς στόμα φήμαις πονηραῖς C. 1040. ἀλλ' εἰς τὸ πᾶν ἔπραξας, ὡς παναίτιος E. 191. οὐκ ἄνευ δήμου τάδε πράξαιμ' ἂν S. 394. μηδ' αἶσχος ἡμῖν ἡδονὴν δ' ἐχθροῖς ἐμοῖς πράξωμεν S. 987. εἰ μὲν γὰρ εὖ πράξωμεν, αἰτία θεῶν T. 4. ἄλλο πρᾶξαι δεῖ τι C. 661. κλύειν δικαίως μᾶλλον ἢ πρᾶξαι θέλεις E. 408. πράξας τάδε S. 226. τούτων ἄκη τομαῖα καὶ λυτήρια πράξας ἀμέμπτως Ἆπις Ἀργείᾳ χθονὶ S. 266. σὺ δὲ φρόνει μὲν ὡς ταρβοῦσα μὴ 'μελεῖν θεῶν πράξασ' ἀρωγήν S. 755. πράξας μὲν εὖ, θαυμαστὸς ἂν γένοιτ' ἀνὴρ, κακῶς δὲ πράξας οὐχ ὑπεύθυνος πόλει P. 208. καὶ τί δὴ πράξασιν αὐτοῖς ὧδ' ἐπιστενάζετε; P. 713. ὁ τάδε πράξας Ἀλέξανδρος A. 354. εἶδον Ἰλίου πόλιν πράξασαν ὡς ἔπραξεν A. 1262. χρήσας ἐμοὶ πράξαντι μὲν ταῦτ', ἐκτὸς αἰτίας κακῆς εἶναι C. 1027. πράξας γὰρ ἔν σοι πανταχῇ τάδ' αἰνέσω E. 447. τὸν πατρὸς φόνον πράξαντα, μητρὸς μηδαμοῦ τιμὰς νέμειν E. 594. καὶ δὴ πέπρακται τοὔργον οὐ μακρῷ πόνῳ V. 75. εὖ γὰρ πέπρακται A. 537. τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά; E. 122. ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις, πιστοῖσι πιστὰ ξυμφέρειν βουλεύματα P. 519. ἐς τὰ νῦν πεπραγμένα βλέψας P. 787. καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων A. 1158. πεπραγμένοι γὰρ νῦν γέ πως ἁλώμεθα πρὸς τῆς τεκούσης C. 130. τῶν πάλαι πεπραγμένων λύσασθ' αἷμα προσφάτοις δίκαις C. 792. ἅπαντ'

ἐπράχθη πλὴν θεοῖσι κοιρανεῖν V. 49. καί μου τὰ μὲν πραχθέντα πρὸς τοὺς ἐκτενεῖς φίλους πικρῶς ἤκουσαν αὐτανεψίους S. 961. κλύεις τὰ πραχθέντ' V. 686. τραπέζας ἀτιμῶσιν ὑστέρῳ χρόνῳ καὶ ξυνεστίου Διὸς πρασσομένα τὸ νυμφότιμον μέλας ἐκφάτως τίοντας ὑμέναιον A. 687. δικαίων, ὧν ἐπραξάμην πόλιν Πριάμου A. 786. ἐπείπερ καὶ πάγας ὑπερκότους ἐπραξάμεσθα A. 797.

Πραΰνειν. παῖς δ' ἐμὸς μαθὼν κατεῖχε, κἀπράϋνεν P. 186. ἀλλ' αὐτὸν εὐφρόνως συ πράϋνον λόγοις P. 833.

Πρέπειν. τὰ χρεῖ' ἔπη ξένους ἀμείβεσθ' ὡς ἐπήλυδας πρέπει S. 192. θρασυστομεῖν γὰρ οὐ πρέπει τοὺς ἥσσονας S. 200. πρέπουσι δ' ἄνδρες νήϊοι μελαγχίμοις γυίοισι λευκῶν ἐκ πεπλωμάτων ἰδεῖν S. 700. καὶ γὰρ πρέπει κήρυκ' ἀπαγγέλλειν τορῶς ἕκαστα S. 909. πότερα γὰρ τοξοῦλκος αἰχμὴ διὰ χεροῖν αὐτοῖς πρέπει; P. 235. τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν P. 243. λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει, πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμὸς πρέπει T. 648. ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει A. 29. οὐκ ἐκρύφθη, πρέπει δὲ, φῶς αἰνολαμπὲς, σίνος A. 378. τὸ πᾶν δ' ἀφ' Ἑλλάδος αἴας συνορμένοις πένθεια τλησικάρδιος δόμων ἑκάστου πρέπει A. 420. γυναικὸς αἰχμᾷ πρέπει πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι A. 470. εὔφημον ἦμαρ οὐ πρέπει κακαγγέλῳ γλώσσῃ μιαίνειν A. 622. τοιῶνδε μέντοι πημάτων σεσαγμένον πρέπει λέγειν παιᾶνα τόνδ' Ἐρινύων A. 631. τοῖς δ' ὀλβίοις γε καὶ τὸ νικᾶσθαι πρέπει A. 915. ὅμοιος ἀτμὸς, ὥσπερ ἐκ τάφου, πρέπει A. 1284. πρέπει παρῇς φοινίοις ἀμυγμοῖς C. 24. πρέπει δ' ἀκάμπτῳ μένει καθήκειν C. 448. οὔτοι δόμοισι τοῖσδε χρίμπτεσθαι πρέπει E. 176. μιξοβόαν πρέπει διθύραμβον ὁμαρτεῖν σύγκωμον Διονύσῳ Fragm. 98. ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ E. 985. οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν A. 312. πρέποντα βουθόρῳ ταύρῳ δέμας S. 297. ἑπτ' ἀγήνορες πρέποντες στρατοῦ δορυσσόοις σάγαις T. 117. ὡς ἐν γραφαῖς πρέπουσα A. 233. εἰ δ' ἦν πρεπόντων ὥστ' ἐπισπένδειν νεκρῷ, τάδ' ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν A. 1368. τίς ποθ' ἥδ' ὁμήγυρις στείχει γυναικῶν φάρεσιν μελαγχίμοις πρέπουσα; C. 12. καὶ γὰρ Ἠλέκτραν δοκῶ στείχειν ἀδελφὴν τὴν ἐμὴν πένθει λυγρῷ πρέπουσαν C. 18. πρέποντ' ἀρχαῖς βίου C. 77. ὅστις μὴ φίλος τῷδ' ἀνδρὶ τούτῳ, μηδὲ τιμᾷ τὸ πρέπον Fragm. 305. καὶ πόλιν ὀρθοδίκαιον πρέψετε πάντες διάγοντες E. 949. πρέψαι Fragm. 154.

Πρεπόντως. ἐπεὶ πρεπόντως Ἑλένας, ἕλανδρος, ἑλέπτολις, ἐκ τῶν ἁβροτίμων προκαλυμμάτων ἔπλευσε Ζεφύρου γίγαντος αὔρᾳ A. 673.

Πρεπτός. σῶν ἀρειφάτων δ' ἐγὼ πρεπτῶν ἀγώνων οὐκ ἀνέξομαι τὸ μὴ οὐ τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν E. 975.

Πρέσβεια. κατὰ πρέσβειαν εἵλετο χώρας ἐφορεύειν P. 4.

Πρεσβεύειν. πρῶτον μὲν εὐχῇ τῇδε πρεσβεύω θεῶν τὴν πρωτόμαντιν Γαῖαν E. 1. πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον C. 481. ὁ δ' ὕστατός γε τοῦ χρόνου πρεσβεύεται A. 1273. κακῶν δὲ πρεσβεύεται τὸ Λήμνιον λόγῳ C. 622. Πάλλας προναία δ' ἐν λόγοις πρεσβεύεται E. 21.

Πρέσβος. βασίλεια γύναι, πρέσβος Πέρσαις P. 615. ἄνδρες πολῖται, πρέσβος Ἀργείων A. 829. ὡς ὧδ' ἐχόντων, πρέσβος Ἀργείων τόδε, χαίροιτ' ἄν, εἰ χαίροιτ', ἐγὼ δ' ἐπεύχομαι A. 1366.

Πρέσβυς. ὦ χαῖρε, πρέσβυ, φίλτατ' ἀγγέλλων ἐμοὶ S. 597. ἴσως γὰρ ἢ κήρυξ τις ἢ πρέσβυς μόλοι S. 708. ἡγεμὼν ὁ πρέσβυς νεῶν Ἀχαιῶν A. 177. ἄναξ ὁ πρέσβυς τόδ' εἶπε φωνῶν A. 197. ἄναξ Ἀτρείδης πρέσβυς εὐδαίμων ἀνὴρ ἥκει A. 516. ὑμεῖς δὲ πρέσβεις χαίρετ', ἐν κακοῖς ὅμως P. 826. λαμπρὰ δὲ πανσέληνος, ἐν μέσῳ σάκει, πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμὸς, πρέπει T. 372.

Πρεσβῦτις. ἐπεὶ καθιππάζῃ με πρεσβῦτιν νέος E. 701. στόλος πρεσβυτίδων E. 981.

Πρεσβυτοδόκος. καὶ γεραροῖσι πρεσβυτοδόκοι γεμόντων θυμέλαι S. 654.

Πρευμενής. τελευτὰς ὁ πατὴρ πρευμενεῖς κτίσειεν S. 132. ἴδοιτο πρευμε-

νοῦς ἀπ' ὄμματος S. 208. παιδὸς πατρὶ πρευμενεῖς χοὰς φέρουσα P. 601. χοὰς δὲ πρευμενεῖς ἐδεξάμην P. 671. δοκοῦντες εἶναι κάρτα πρευμενεῖς ἐμοὶ A. 814. κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ A. 1631. ἐγείρω πρευμενεῖς τοὺς νυμφίους Dan. 1. 2.

Πρευμενῶς. πρευμενῶς αἰτοῦ τάδε P. 216. ταῦτα θυμόμαντις ὢν σοὶ πρευμενῶς παρῄνεσα P. 220. τὴν ξένην δὲ πρευμενῶς τήνδ' ἐσκόμιζε A. 924. δέχου δὲ πρευμενῶς ἀλάστορα E. 227. θεσπίσασα πρευμενῶς E. 883.

Πριαμίδης. διπλᾶ δ' ἔτισαν Πριαμίδαι θἀμάρτια A. 523. παρακλίνουσ' ἐπέκρανεν δὲ γάμου πικρὰς τελευτὰς, δύσεδρος καὶ δυσόμιλος, συμένα Πριαμίδαισιν A. 727. ἔμολε μὲν δίκα Πριαμίδαις χρόνῳ C. 923.

Πρίαμος. Πριάμου μέγας ἀντίδικος A. 41. χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος A. 125. Πριάμου γὰρ ᾑρήκασιν Ἀργεῖοι πόλιν A. 258. μεταμανθάνουσα δ' ὕμνον Πριάμου πόλις γεραιὰ πολύθρηνον μέγα που στένει A. 693. ὧν ἐπραξάμην πόλιν Πριάμου A. 787. τί δ' ἂν δοκεῖ σοι Πρίαμος, εἰ τάδ' ἤνυσεν; A. 909. καὶ τῷδε πόλιν μὲν ἑλεῖν ἔδοσαν μάκαρες Πριάμου A. 1309.

Πρίν. πρὶν πόδα χέρσῳ τῇδ' ἐν ἀσώδει θεῖναι S. 31. πρίν ποτε λέκτρων, ὧν θέμις εἴργει, σφετεριξάμενον πατραδελφείαν τήνδ' ἀεκόντων, ἐπιβῆναι S. 37. ἐπεὶ τίς ηὔχει τήνδ' ἀνέλπιστον φυγὴν κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς τὸ πρὶν S. 326. εἶπον δὲ καὶ πρίν, οὐκ ἄνευ δήμου τάδε πράξαιμ' ἂν S. 393. πρὶν ἐξοπλίζειν Ἄρη S. 683. πρὶν ὅρμῳ ναῦν θρασυνθῆναι S. 753. πρὶν δαΐκτορος βίᾳ καρδίας γάμου κυρῆσαι S. 779. θεοὺς δέ τις τὸ πρὶν νομίζων οὐδαμοῦ, τότ' εὔχετο λιταῖσι P. 490. πρὶν σκεδασθῆναι θεοῦ ἀκτῖνας P. 494. νῦν τέ σε ζηλῶ θανόντα, πρὶν κακῶν ἰδεῖν βάθος P. 698. κεραυνοῦ δέ μιν βέλος ἐπισχέθοι, πρὶν ἐμὸν ἐσθορεῖν δόμον T. 435. τὰ πρὶν δὲ πελώρια νῦν ἀΐστοῖ V. 151. ἀκούσαθ', ὡς σφᾶς, νηπίους ὄντας τὸ πρὶν ἔννους ἔθηκα V. 441. τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα κούφως V. 702. πρὶν ἂν πρὸς Καύκασον μόλῃς V. 721. οὐ δῆτα, πρὶν ἔγωγ' ἂν ἐκ δεσμῶν λυθῶ V. 772. τοιοῖσδε μέντοι καὶ πρὶν αὐθαδίσμασιν ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας V. 967. οὐδὲν ἂν λέξαι πρὶν ὧν A. 164. πρὶν αἱματηρὸν ἐξαφρίζεσθαι μένος A. 1037. σέβας ἄμαχον, ἀδάματον ἀπόλεμον τὸ πρὶν C. 53. ἄναξ Ἀπόλλων μάντις ἀψευδὴς τὸ πρὶν C. 552. πρὶν αὐτὸν εἰπεῖν, Ποδαπὸς ὁ ξένος, νεκρὸν θήσω C. 568. τὸν πρὶν ὄλβον ἕρματι προσβαλὼν δίκας E. 533.

Πρό. πρὸ τειχέων διὰ μάχης ἥξω τέλους S. 470. ξενικὸν ἀστικόν θ' ἅμα λέγων διπλοῦν μίασμα πρὸ πόλεως φανὲν S. 614. ἐλθέτω μόρος πρὸ κοίτας γαμηλίου τυχὼν S. 785. τῶν πρὸ μάρπτι κάμνοις, ἰόφ, ὄμ αὖθι κάκκας νο δΰϊαν βοὰν ἀμφαίνω S. 807. οἶ, οἶ, οἶ, οἶ, λύμασις ἡ πρὸ γᾶς ὑλάσκει S. 855. ἐν μάχαισί τε μάκαιρ' ἄνασσ' Ὄγκα πρὸ πόλεως ἑπτάπυλον ἕδος ἐπιῤῥύου T. 148. δυσδαίμων σφὶν ἁ τεκοῦσα πρὸ πασῶν γυναικῶν T. 910. ἰὼ ἰὼ κακὰ δώμασι καὶ χθονὶ, πρὸ πάντων δ' ἐμοὶ T. 987. οἰστρόπληξ δ' ἐγὼ μάστιγι θείᾳ γῆν πρὸ γῆς ἐλαύνομαι V. 685. αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισιν A. 135. στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας μνησιπήμων πόνος A. 172. ὅπως ἂν μήτε πρὸ καιροῦ μήθ' ὑπὲρ ἄστρων βέλος ἠλίθιον σκήψειεν A. 356. γυναικὸς αἰχμᾷ πρέπει, πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι A. 471. πρὸ χρημάτων κτησίων ὄκνος βαλὼν A. 980. σὲ μὲν πρὸ μοίρας τῆς ἐμῆς διαφθερῶ A. 1239. σὺ δέ νιν φυλάσσοις, ἒ, ἒ, πρὸ δὲ δῃχθρῶν τῶν ἔσω μελάθρων, ὦ Ζεῦ, θὲς C. 779. ἄσκοπον δ' ἔπος λέγων νύκτα, πρό τ' ὀμμάτων σκότον φέρει C. 804. τὸν πρὸ τοῦ φυγὼν χρόνον E. 440. πολλῆς δὲ χώρας τῆσδ' ἔτ' ἀκροθίνια, θύη πρὸ παίδων καὶ γαμηλίου τέλους E. 799. πρὸ τῶν τοιούτων χρῆ λόγων δάκνειν στόμα Fr. Inc. 8. πρό γε στενάζεις, καὶ φόβου πλέα τις εἶ V. 698.

Προβαίνειν. ὅποι δὲ καὶ προβαίνων πάχνᾳ κουροβόρῳ παρέξει A. 1492. μή που τι προὔβῃς τῶνδε καὶ περαιτέρω; V. 247.

Προβατογνώμων. ὅστις δ' ἀγαθὸς προβατογνώμων, οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς A. 769.

Πρόβλημα. ἐν χαλκηλάτῳ σάκει, κυκλωτῷ σώματος προβλήματι T. 522. φέρ' ὡς τάχος κνημῖδας, αἰχμὴν, καὶ πετρῶν προβλήματα T. 658.

Προβουλόπαις. βιᾶται δ' ἁ τάλαινα πειθὼ, προβουλόπαις ἄφερτος ἄτας A. 376.

Πρόβουλος. δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ δήμου προβούλοις τῆσδε Καδμείας πόλεως T. 997.

Πρόγονος. Ἶνιν ἀνθονομούσας προγόνου βοὸς S. 43. ἐλευθεροῦτε δὲ παῖδας, γυναῖκας, θεῶν τε πατρῴων ἕδη, θῆκας τε προγόνων P. 397. Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν Fragm. Psych. 2. γένος φιλίας προγόνου S. 528.

Προδεικνύναι. ποίοιν πρόδειξον, αἵρεσίν τ' ἐμοὶ δίδου V. 781.

Προδέρκεσθαι. θνητοὺς ἔπαυσα μὴ προδέρκεσθαι μόρον V. 248.

Προδιδόναι. τὰν φυγάδα μὴ προδῷς S. 415. πόλιν δορίπονον μὴ προδῶθ' ἑτεροφώνῳ στρατῷ T. 153. ὦ ξυντέλεια, μὴ προδῷς πυργώματα T. 233. θανόντα δ' οὔτι μὴ προδῷς ποτε C. 822. δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει τοῦ προστροπαίου μῆνις, εἰ προδῷ σφ' ἑκὼν E. 225. οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν P. 837. τί ῥέξεις, προδώσεις, παλαίχθων Ἄρης, τὰν σὰν γᾶν; T. 100. οὔτοι προδώσει Λοξίου μεγασθενὴς χρησμὸς C. 267. οὔτοι προδώσω E. 64. τὸ σὸν θνητοῖσι προὔδωκεν γέρας V. 38.

Πρόδικος. φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει προδίκοις Ἀτρείδαις A. 439.

Προδότης. τοὺς προδότας γὰρ μισεῖν ἔμαθον V. 1070.

Πρόδουλος. ὑπαί τις ἀρβύλας λύοι τάχος πρόδουλον ἔμβασιν ποδὸς A. 919.

Πρόδρομος. ῥεῖ πολὺς ὅδε λεὼς πρόδρομος ἱππότας T. 80. ἐπὶ δαιμόνων πρόδρομος ἦλθον ἀρχαῖα βρέτη T. 193. δέσποιν' Ἑκάτη τῶν βασιλείων πρόδρομος μελάθρων Fragm. Inc. 94.

Προθεσπίζειν. τὸ μέλλον, ᾗ κραίνοιτο, προὐτεθεσπίκει V. 211.

Προθυμεῖσθαι. ἐπεὶ προθυμῇ, χρὴ λεγειν· ἄκουε δὴ V. 633. ἐπεὶ προθυμεῖσθ', οὐκ ἐναντιώσομαι τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅσον προσχρῄζετε V. 788. ἐν τῷ προθυμεῖσθαι δὲ καὶ τολμᾶν τινα ὁρᾷς ἐνοῦσαν ζημίαν V. 381.

Προθυμία. προθυμίας γὰρ οὐδὲν ἐλλείπεις V. 341.

Προθύμως. προθύμως μᾶλλον ἢ φίλως A. 1573.

Πρόθυρον. ταχὺ δὲ παντελὴς χρόνος ἀμείψεται πρόθυρα δωμάτων C. 960.

Προϊάπτειν. οἰκτρὸν γὰρ, πόλιν ὧδ' ὠγυγίαν Ἀΐδι προϊάψαι, δορὸς ἄγραν T. 305.

Προιτίς. πρὸς πύλαισι Προιτίσι βρέμει T. 359.

Προῖτος. τίς Προίτου πυλῶν, κλείθρων λυθέντων, προστατεῖν φερέγγυος; T. 377.

Προκακοπαθεῖν. προκακοπαθῶν S. 844.

Πρόκακος. Πέρσαις ἀγαυοῖς κακὰ πρόκακα λέγεις P. 948. ἄλαστα στυγνὰ πρόκακα λέγων P. 951.

Προκάλυμμα. ἐκ τῶν ἀβροτίμων προκαλυμμάτων ἔπλευσε Ζεφύρου γίγαντος αὔρᾳ A. 675.

Προκάμνειν. καὶ μὴ πρόκαμνε τόνδε βουκολούμενος πόνον E. 78.

Προκεῖσθαι. στέρεσθαι κρατὸς ἦν προκείμενον P. 363. πρόκεισαι T. 948. οὐδ' ἔστιν ἄθλου τέρμα σοι προκείμενον; V. 257. οὐδέν ἐστι τέρμα μοι προκείμενον μόχθων V. 757.

Προκήδεσθαι. μή μου προκήδου μᾶσσον ὡς ἐμοὶ γλυκὺ V. 632.

Προκλύειν. τὸ δὲ προκλύειν, ἐπεὶ γένοιτ' ἂν ἤλυσις, προχαιρέτω A. 243.

Πρόκωπος. εἶα δὴ, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω. Ἀλλὰ κἀγὼ μὴν πρόκωπος οὐκ ἀναίνομαι θανεῖν A. 1636.

Προλέγειν. τὸν φθιμένον γὰρ προλέγω βελτίω τῶνδε πράσσειν T. 319. ἀλλ' οὖν μέμνησθ' ἅτ' ἐγὼ προλέγω V. 1073.

Προλείπειν. μόνην δὲ μὴ πρόλειπε S. 728. ἐλαφρῷ ποδὶ κραιπνόσυτον θῶκον προλιποῦσ' V. 280. καὶ τὸ παλαιὸν Κίσσινον ἕρκος προλιπόντες ἔβαν P. 18.

Πρόλεσχος. καὶ μὴ πρόλεσχος, μηδ' ἐφολκὸς ἐν λόγῳ γένῃ S. 197.

Προμαθεύς. φυλάσσοι τ' ἀτιμίας τιμὰς τὸ δήμιον, τὸ πτόλις κρατύνει προμαθεὺς εὐκοινόμητις ἀρχὰ S. 681.

Πρόμαντις. τούτων πρόμαντις οὖσα C. 747.

Προμάτωρ. Κύπρις, ἅτε γένους προμάτωρ T. 127.

Πρόμαχος. δικαίως πόλεως πρόμαχος ὄρνυται T. 401. ἰὼ πρόμαχ' ἐμῶν δόμων T. 464.

Προμηθεύς. αἶ αἶ Προμηθεῦ, σῶν ὑπερστένω πόνων V. 66. ψευδωνύμως σε δαίμονες Προμηθέα καλοῦσιν, αὐτὸν γάρ σε δεῖ Προμηθέως V. 85. λεύσσω, Προμηθεῦ V. 144. σιδηρόφρων ὅστις, Προμηθεῦ, σοῖσιν οὐ συνασχαλᾷ μόχθοις V. 243. οὐκ ἀκούσαις ἐπεθώϋξας τοῦτο, Προμηθεῦ V. 278. πρός σε, Προμηθεῦ, ἥκω V. 285. ὁρῶ, Προμηθεῦ, καὶ παραινέσαι γέ σοι θέλω τὰ λῷστα V. 307. τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίγνεται V. 319. οὔκουν, Προμηθεῦ, τοῦτο γινώσκεις; V. 377. ἡ σὴ, Προμηθεῦ, ξυμφορὰ διδάσκαλος V. 391. στένω σε τὰς οὐλομένας τύχας, Προμηθεῦ V. 398. πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως V. 503. σέβῃ θνητοὺς ἄγαν, Προμηθεῦ V. 543. σὰς προσιδοῦσ' ὀλοὰς τύχας, Προμηθεῦ V. 553. πυρὸς βροτοῖς δοτῆρ' ὁρᾷς Προμηθέα V. 615. τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε; V. 617. μηδέ μοι διπλᾶς ὁδοὺς Προμηθεῦ, προσβάλῃς V. 953. τοὺς σοὺς ἄθλους τούσδε, Προμηθεῦ, δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι Prom. Sol. 1. 3.

Προμήθεια. τἀπὶ χέρσου νῦν προμήθειαν λαβεῖν αἰνῶ φυλάξαι S. 175.

Πρόμνος. ἰὼ πόλεως ἀγοὶ πρόμνοι, δάμναμαι S. 882.

Πρόμος. ἐπεὶ δὲ καὶ πικροῦ χείματος ἄλλο μῆχαρ βριθύτερον πρόμοισι μάντις ἔκλαγξεν A. 193. ἰὼ ἰὼ δῶμα, δῶμα καὶ πρόμοι A. 398. Ἀχαιῶν ἄκτορές τε καὶ πρόμοι E. 377.

Προναία. Παλλὰς προναία δ' ἐν λόγοις πρεσβεύεται E. 21.

Πρόναος. πολισσούχων θεῶν βωμοὶ πρόναοι S. 488.

Πρόνοια. τὰν ἁ παιδολύμας τάλαινα Θεστιὰς μήσατο πυρδαῆ τινα πρόνοιαν C. 598. προνοίαισι τοῦ πεπρωμένου γλῶσσαν ἐν τύχᾳ νέμων A. 669.

Πρόνομος. πρόνομα δὲ βοτά τως πολύγονα τελέθοι S. 672.

Πρόνοος. πέμψον δὲ πρόφρων δεῦρ' ἡμέτερον πατέρ' εὐθαρσῆ Δαναὸν πρόνοον, καὶ βούλαρχον S. 947.

Προνωπής. παντὶ θυμῷ προνωπῆ λαβεῖν ἀέρδην A. 226.

Πρόξενος. γενοῦ πανδίκως εὐσεβὴς πρόξενος S. 414. πολλῶν τάδ' ἡμῖν ἐστιν ἠξιωμένα, αἰδοῖον εὖ ῥέοντα πρόξενον λαβεῖν S. 486. ὁρῶ τάδε φροίμια πρόξενα πόνων S. 810. ποίοισιν εἰπὼν προξένοις ἐγχωρίοις; Ἑρμῇ μεγίστῳ προξένῳ μαστηρίῳ S. 897.

Προοίμιον. οὓς γὰρ νῦν ἀκήκοας λόγους εἶναι δοκεῖ σοι μηδέπω 'ν προοιμίοις A. 743.

Πρόπαρ. πρόπαρ θανούσας δ' Ἀΐδας ἀνάσσοι S. 772.

Προπάροιθεν. κλαυτὸν δ' ἀρτιτρόποις, ὠμοδρόπων νομίμων προπάροιθεν διαμεῖψαι δωμάτων στυγερὰν ὁδὸν T. 316. τὸ δ' ἐπὶ γᾶν πεσόνθ' ἅπαξ θανάσιμον προπάροιθ' ἀνδρὸς μέλαν αἷμα τίς ἂν πάλιν ἀγκαλέσαιτ' ἐπαείδων; A. 991.

Πρόπας. κακῶν δὴ πέλαγος ἔῤῥωγεν μέγα Πέρσαις τε καὶ πρόπαντι βαρβάρων γένει P. 426. νῦν γὰρ πρόπασα μὲν στένει γαῖ' Ἀσίας ἐκκενουμένα P. 540. πρόπασα δ' ἤδη στονόεν λέλακε χώρα V. 405. οὐκ ἔδυ πρόπας δόμος πημονῆς γέμων ἄγαν A. 983. καί μοι πρόπαντος ἐγγύην θήσῃ χρόνου; E. 858.

Προπέμπειν. δόμων μάλ' ἀχὼ ἐπ' αὐτοὺς προπέμπει δαϊκτὴρ γόος T. 899. συνθνήσκουσα δὲ σποδὸς προπέμπει πίονας πλούτου πνοὰς A. 794. καὶ παῖδ', ἐάν περ δεῦρ' ἐμοῦ πρόσθεν μόλῃ, παρηγορεῖτε, καὶ προπέμπετ' ἐς δόμους P. 522. πῶς τολμήσω μήτε σε κλαίειν, μήτε προπέμπειν ἐπὶ τύμβον; T. 1051. γαπότους δ' ἐγὼ τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς P. 614.

Προπίνειν. μόχθους οὓς προπέπωκας Fragm. 115.

Προπιτνεῖν. οὔτ' ἐς γὰν προπιτνοῦντες ἄρξονται P. 580.

Πρόπολος. πρόπολος τῶν μεγίστων χθονίων ἐκεῖ τυράννων C. 353.

Προπομπός. γυμνός εἰμι προπομπῶν P. 993. ἡμεῖς μὲν ἴμεν, καὶ συνθάψομεν αἵδε προπομποὶ T. 1061. ἰαλτὸς ἐκ δόμων ἔβην, χοὰς προπομπὸς ὀξύχειρι σὺν κτύπῳ C. 23. καὶ τὰς προπομποὺς δῆτα τάσδε λοιδορεῖς; E. 197.

πρὸς φῶς ἱερὸν τῶνδε προπομπῶν ἴτε E. 959.

Προποντίς. μυχία τε Προποντὶς, καὶ στόμωμα Πόντου P. 854.

Προπράσσων. τοῖς ἄνωθεν προπράσσων χάριτος ὀργὰς λυπρὰς C. 821.

Πρόπρυμνος. πρόπρυμνα δ' ἐκβολὰν φέρει ἀνδρῶν ἀλφηστῶν ὄλβος ἄγαν παχυνθεὶς T. 751.

Πρόπυργος. ἰὼ πρόπυργοι θυσίαι πατρὸς πολυκανεῖς βοτῶν ποιονόμων A. 1141.

Πρόῤῥιζος. δαιμόνων θ' ἱδρύματα πρόῤῥιζα φύρδην ἐξανέστραπται βάθρων P. 798.

Πρός. ὤλετο πρὸς χειρὸς ἔθεν S. 65. Στρυμών τε πρὸς δύνοντος ἡλίου S. 252. Κύπριος χαρακτὴρ τ' ἐν γυναικείοις τύποις εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων S. 280. ξύμμαχον δ' ἑλόμενος δίκαν κρῖνε σέβας τὸ πρὸς θεῶν S. 391. τὸ πρὸς γυναικῶν ἐπιδὼν S. 526. τἄλλ' εὐτυχοῖμεν πρὸς θεῶν Ὀλυμπίων S. 992. γναμπτόμενοι δ' ἀλὶ δεινᾷ, φεῦ, σκύλλονται πρὸς ἀναύδων, ἠὲ, παίδων τᾶς ἀμιάντου P. 568. οὔκουν τάδ' ἐστὶ πρὸς θεῶν T. 199. πρὸς ἀνδρὸς δ' ἀνὴρ ὑπὸ δορὶ καίνεται T. 329. πρὸς τῶν κρατούντων δ' ἐσμὲν, οἱ δ' ἡσσωμένων T. 498. εἰ γὰρ τύχοιεν, ὧν φρονοῦσι, πρὸς θεῶν T. 532. οἷα πρὸς θεῶν πάσχω θεὸς V. 92. ὅπῃ μέλλει τις οἴσεσθαι δάκρυ πρὸς τῶν κλυόντων V. 642. Ζεὺς γὰρ ἱμέρου βέλει πρὸς σοῦ τέθαλπται V. 653. οἷα χρὴ πάθη τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα V. 706. πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεται; V. 763. πρὸς ὧν ἐκεῖνος ἐκπίπτει κράτους V. 950. πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος V. 998. οὐκ οἶδα τέρψιν, οὐδ' ἐπίψογον φάτιν ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφὰς A. 598. πότερα γὰρ αὐτοῦ ζῶντος, ἢ τεθνηκότος φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο A. 617. ὀπταί τε σάρκες πρὸς πατρὸς βεβρωμέναι A. 1068. τίνος πρὸς ἀνδρὸς τοῦτ' ἄχος πορσύνεται; A. 1224. πρὸς γυναικὸς δ' ἀπέφθισεν βίον A. 1429. πρὸς ἡμῶν κάππεσε, κάτθανε A. 1531. τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς A. 1601. τὸ μόρσιμον γὰρ τόν τ' ἐλεύθερον μένει, καὶ τὸν πρὸς ἄλλης δεσποτούμενον χερὸς C. 102. πεπραγμένοι γὰρ νῦν γέ πως ἀλώμεθα πρὸς τῆς τεκούσης C. 131. εἰ γὰρ ὑπ' Ἰλίῳ πρός τινος Λυκίων, πάτερ, δορίτμητος κατηναρίσθης C. 342. πάθομεν ἄχεα πρός γε τῶν τεκομένων C. 413. πρὸς δυσσεβείας ἦν ἐμοὶ τόδ' ἐν φρεσὶν τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις C. 693. παθοῦσα δεινὰ πρὸς τῶν φιλτάτων E. 100. οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται κατασφαγείσης πρὸς χερῶν μητροκτόνων E. 102. ἐν δὲ τῷδε πράγματι φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου E. 269. ἐν θεαῖσι πρὸς θεῶν ὁρωμέναις E. 389. ἔστ' ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου σφαγαὶ καθαιμάξωσι νεοθήλου βοτοῦ E. 427. πρὸς τοῦ δ' ἐπείσθης καὶ τίνος βουλεύμασιν; E. 563. τί γάρ; πρὸς ὑμῶν πῶς τιθεῖσ' ἄμομφος ὦ; E. 648. κλάδοι κεῖνται παρ' ὑμῖν πρὸς θεοῖς ἀγωνίοις S. 239. ταῦτα μὲν γράψεσθε πρὸς γεγραμμένοις πολλοῖσιν ἄλλοις σωφρονίσμασιν πατρὸς S. 969. τῆλε πρὸς δυσμαῖς ἄνακτος Ἡλίου φθινασμάτων P. 228. καὶ τί πρὸς τούτοισιν ἄλλο; πλοῦτος ἐξαρκὴς δόμοις; P. 233. τοιάνδε σοι πρὸς τῇ πάροιθε συμφορᾷ πάρα στένειν P. 463. μή καί τι πρὸς κακοῖσι πρόσθηται κακὸν P. 523. τόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς πρὸς γῇ Πλαταιῶν Δωρίδος λόγχης ὕπο P. 803. νεὼς καμούσης ποντίῳ πρὸς κύματι T. 192. πρὸς πύλαισι Προιτίσιν βρέμει T. 359. τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις λέξω T. 439. πρὸς πύλαις πεπτωκέναι T. 444. ὁ σηματοῦργος δ' οὔ τις εὐτελὴς ἄρ' ἦν, ὅστις τόδ' ἔργον ὤπασεν πρὸς ἀσπίδι T. 474. φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται T. 482. Ὁμολωΐσιν δὲ πρὸς πύλαις τεταγμένος, κακοῖσι βάζει πολλὰ Τυδέως βίαν T. 552. δήσας βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ V. 15. λαβών νιν, ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει ῥαιστῆρι θεῖνε, πασσάλευε πρὸς πέτραις V. 56. πρὸς τοῖσδε μέντοι πῦρ ἐγώ σφιν ὤπασα V. 252. οὐ μήν τι ποιναῖς γ' ᾠόμην τοίαισί με κατισχανεῖσθαι πρὸς πέτραις πεδαρσίοις V. 269. οὐδ' εἴκεις κακοῖς, πρὸς τοῖς παροῦσι δ' ἄλλα προσλαβεῖν θέλεις V. 321. καὶ πρός γε τούτοις τέρμα τῆς ἐμῆς πλάνης δεῖξον τίς ἔσται τῇ ταλαιπώρῳ χρόνος V. 625. τρίτος γε

γένναν πρὸς δέκ' ἄλλαισιν γοναῖς V. 776. οἱ πρὸς ἡλίου ναίουσι πηγαῖς V. 810. Νείλου πρὸς αὐτῷ στόματι V. 849. θολεροὶ δὲ λόγοι παίουσ' εἰκῆ στυγνῆς πρὸς κύμασιν ἄτης V. 888. πταίσας δὲ τῷδε πρὸς κακῷ, μαθήσεται, ὅσον τό τ' ἄρχειν, καὶ τὸ δουλεύειν δίχα V. 928. εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι A. 486. εὐναὶ γὰρ ἦσαν δηΐων πρὸς τείχεσιν A. 545. ναῦς γὰρ πρὸς ἀλλήλῃσιν Θρήκιαι πνοαὶ ἤρεικον A. 640. σπλάγχνα δ' οὔτι ματάζει πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις A. 968. δίκην δ' ἐπ' ἄλλο πρᾶγμα θηγάνει βλάβης, πρὸς ἄλλαις θηγάναισι μοῖρα A. 1518. τόνδε δ' αἴδεσαι, τέκνον, μαστὸν, πρὸς ᾧ σὺ πολλὰ δὴ βρίζων ἅμα, οὔλοισιν ἐξήμελξας εὐτραφὲς γάλα C. 885. πρὸς δὲ καρδίᾳ φόβος ᾄδειν ἕτοιμος, ἠδ' ὑπορχεῖσθαι κότῳ C. 1020. προστετριμμένος τε πρὸς ἄλλοισιν οἴκοις E. 229. ποταίνιον γὰρ ὂν πρὸς ἑστίᾳ θεοῦ Φοίβου, καθαρμοῖς ἠλάθη χοιροκτόνοις E. 272. οὐδὲ πρὸς βωμῷ σφαγεὶς E. 295. πρὸς χειρὶ τῇ 'μῇ E. 423. πάλαι πρὸς ἄλλοις ταῦτ' ἀφιερώμεθα οἴκοις E. 429. τιμίαν ἕδραν ἔχουσα πρὸς δόμοις Ἐρεχθέως E. 817. μηδ' αἵματος πέμφιγα πρὸς πέδῳ βάλῃς Pentheus 169. Βορεάδος ἥξεις πρὸς πνοαῖς Prom. Sol. 5. 2. φάβα μέσην τὰ πλευρὰ πρὸς πτύοις πεπληγμένην Prot. 1. 2. ἄλλον ἄλλῃ πρὸς πόλει τεταγμένον Fragm. 70. τάχ' ἂν πρὸς ἡμᾶς τῆσδε γῆς ἀρχηγέται ὀπτῆρες εἶεν ἀγγέλων πεπυσμένοι S. 181. φρονούντως πρὸς φρονοῦντας ἐννέπεις S. 201. ἐγὼ δὲ πρός σε πότερον ὡς ἔτην λέγω; S. 244. πρὸς ταῦτ' ἀμείβου καὶ λέγ' εὐθαρσῶς ἐμοὶ S. 246. τί δῆτα πρὸς ταῦτ' ἄλοχος ἰσχυρὰ Διός; S. 298. πῶς οὖν πρὸς ὑμᾶς εὐσεβὴς ἐγὼ πέλω; S. 334. πρὸς ταῦτα μίμνε καὶ θεοὺς ἐγχωρίους λιταῖς παραιτοῦ S. 515. σεσωφρονισμένως πρὸς πρᾶγμ' ὁρῶσαι S. 706. λέγω πρὸς εἰδότα S. 723. πρὸς ὃν νέφη δ' ὑδρηλὰ γίγνεται χιὼν S. 774. βαῖνε φυγᾷ πρὸς ἀλκὰν S. 812. πῶς φῶ, πρὸς τίνος τ' ἀφαιρεθεὶς S. 910. καί μου τα μὲν πραχθέντα πρὸς τοὺς ἐκτενεῖς φίλους πικρῶς ἤκουσαν αὐτανεψίους S. 961. πρὸς ταῦτα μὴ πάθωμεν ὧν πολὺς πόνος S. 984. πρὸς τάδ' ὡς τούτων ἐχόντων ὧδε, σύμβουλοι λόγου τοῦδέ μοι γένεσθε P. 166. ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχαρὰν Φοίβου P. 201. λειφθέντες πρὸς ἀναγκὰν P. 561. πρὸς ἤπειρον σεσῶσθαι P. 722. πρὸς ταῦτ' ἐκεῖνον, σωφρονεῖν κεχρημένοι πινύσκετ' εὐλόγοισι νουθετήμασιν P. 815. πρὸς δόμους δ' ἴθι P. 995. ὅπως γένοισθε πρὸς χρέος τόδε T. 20. μνημεῖά θ' αὐτῶν τοῖς τεκοῦσιν ἐς δόμους πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον T. 50. ὡς πάλῳ λαχὼν ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον T. 56. πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως πυλῶν ἐπ' ἐξόδοισι ταγεῦσαι τάχος T. 57. βρέτη πεσοῦσαι πρὸς πολισσούχων θεῶν T. 167. ἦρθην φόβῳ πρὸς μακάρων λιτὰς T. 197. πρὸς τάδ' ἄροισθε κῦδος τοῖσδε πολίταις T. 294. στείχει πρὸς ἐχθρῶν πύργον T. 449. ἔνθεος δ' Ἄρει βακχᾷ πρὸς ἀλκὰν, Θυιὰς ὡς, φόβον βλέπων T. 480. Ὑπερβίῳ τε, πρὸς λόγον τοῦ σήματος, σωτὴρ γένοιτο Ζεὺς ἐπ' ἀσπίδος τυχὼν T. 501. δορίπονα κάκ' ἐκτρέποντες γᾶς πρὸς ἐπιμόλους T. 610. μὴ πρὸς ἁγνὰν σπειρὰς ἄρουραν T. 735. ἀμοχθεὶ πρὸς βίαν τε δεσπόσειν V. 208. ὡς οὐ κατ' ἰσχὺν, οὐδὲ πρὸς τὸ καρτερὸν χρείη, δόλῳ δὲ τοὺς ὑπερέχοντας κρατεῖν V. 211. ταῦτά μοι πλανωμένη πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει V. 276. ἥκω δολιχῆς τέρμα κελεύθου διαμειψάμενος πρός σε, Προμηθεῦ V. 285. πρὸς κέντρα κῶλον ἐκτενεῖς V. 323. πρὸς ἑσπέρους τόπους ἕστηκε V. 349. πρὸς βίαν χειρούμενος V. 353. πρὸς ἀλλήλους τίνες ἐχθραί τε, καὶ στέργηθρα καὶ συνεδρίαι V. 489. χροιὰν τίνα ἔχοντ' ἂν εἴη δαίμοσι πρὸς ἡδονὴν V. 492. καὶ νῦν τοὺς ὑπερμηκεὶς δρόμους Ἥρα στυγητὸς πρὸς βίαν γυμνάζεται V. 594. πρὸς φίλους οἴγειν στόμα V. 614. ἔξελθε πρὸς Λέρνης βαθὺν λειμῶνα, ποίμνας βουστάσεις τε πρὸς πατρὸς V. 655. ἦσσον πρὸς εὔποτόν τε Κεγχρείας ῥέος Λέρνης ἄκρην τε V. 679. ἡλίου πρὸς ἀντολὰς στρέψασα σαυτὴν V. 709. ὅταν περάσῃς ῥεῖθρον ἠπείρων ὅρον, πρὸς ἀντολὰς φλογῶπας ἡλιοστιβεῖς V. 793. ἔστ' ἂν ἐξίκῃ πρὸς Γοργόνεια πέδια Κισθήνης V. 795. πρὸς αὐτὸ

δ' εἶμι τέρμα σῶν πλανημάτων V. 830. πάλιν πρὸς Ἄργος οὐχ ἕκουσ' ἐλεύσεται V. 856. πρὸς ταῦτα νῦν θαρσῶν καθήσθω τοῖς πεδαρσίοις κτύποις πιστὸς V. 917. πρὸς ταῦτα ῥιπτέσθω μὲν αἰθαλοῦσα φλὸξ V. 994. τόλμησόν ποτε πρὸς τὰς παρούσας ξυμφορὰς ὀρθῶς φρονεῖν V. 1002. βιάζῃ καὶ πρὸς ἡνίας μάχῃ V. 1012. πάντα δὲ πύργων κτήνη πρόσθε τὰ δημιοπληθῆ μοῖρ' ἀλαπάξει πρὸς τὸ βίαιον A. 129. Ἴδη μὲν πρὸς Ἑρμαῖον λέπας ἔπεμπε Λήμνου A. 274. πρὸς Κιθαιρῶνος λέπας ὑπερθοροῦσα πεδίον Ἀσωποῦ A. 289. πρὸς οὐδὲν ἐν μέρει τεκμήριον A. 323. δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας A. 334. οὐ γὰρ ἔστιν ἔπαλξις Πλούτου πρὸς κόρον ἀνδρὶ λακτίσαντι μέγαν δίκας βωμὸν, εἰς ἀφάνειαν A. 372. πολλὰ γοῦν θιγγάνει πρὸς ἧπαρ A. 421. ἥκοντα πρὸς χαίρουσαν εὐεστοῖ πόλιν A. 633. ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα A. 652. ἐλπίς τις αὐτὸν πρὸς δόμους ἥξειν πάλιν A. 665. τὰ δ' ἄλλα, πρὸς πόλιν τε καὶ θεοὺς, κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει, βουλευσόμεσθα A. 818. οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους λέξαι πρὸς ὑμᾶς A. 831. ὡς πρὸς οἶκον ὠχετεύετο φάτις A. 841. πολλὰς ἄνωθεν ἀρτανὰς ἐμῆς δέρης ἔλυσαν ἄλλοι πρὸς βίαν λελημμένης A. 850. ἕστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρὸς A. 1027. ποῖ ποτ' ἤγαγές με, πρὸς ποίαν στέγην; Πρὸς τὴν Ἀτρειδῶν A. 1057. λαμπρὸς δ' ἔοικεν ἡλίου πρὸς ἀντολὰς πνέων ἐσήξειν, ὥστε κύματος δίκην κλύζειν πρὸς αὐγὰς τοῦδε πήματος πολὺ μεῖζον A. 1153. θεηλάτου βοὸς δίκην, πρὸς βωμὸν εὐτόλμως πατεῖς A. 1271. ἡλίῳ δ' ἐπεύχομαι, πρὸς ὕστατον φῶς A. 1297. πρὸς δῶμα δεῦρ' ἀστοῖσι κηρύσσειν βοὴν A. 1321. ἐγὼ δ' ἀτρέστῳ καρδίᾳ πρὸς εἰδότας λέγω A. 1375. πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον πορθμὸν A. 1537. πρὸς κέντρα μὴ λάκτιζε A. 1607. στείχετ' ἤδη δ', ὦ γέροντες, πρὸς δόμους πεπρωμένους A. 1642. ἵετε δάκρυ καναχὲς ὀλόμενον ὀλομένῳ δεσπότᾳ πρὸς ἔρυμα τόδε C. 152. γλώσσης χάριν δὲ πάντ' ἀπαγγείλῃ τάδε πρὸς τοὺς κρατοῦντας C. 265. σπλάγχνα δέ μου κελαινοῦται πρὸς ἔπος κλυούσῃ C. 408. ὅταν δ' αὖτ' ἐπαλκὲς θρασέ', ἀπέστασεν ἄχος, πρὸς τὸ φανεῖσθαί μοι καλῶς C. 411. ξὺν δὲ γενοῦ πρὸς ἐχθροὺς C. 453. πρὸς οὕσπερ ἥκω C. 648. εἰπὲ θαρσήσας ἀνὴρ πρὸς ἄνδρα C. 656. ἁγνὼς πρὸς ἁγνῶτ' εἶπε C. 666. πρὸς τοὺς τεκόντας, πανδίκως μεμνημένος τεθνεῶτ' Ὀρέστην εἰπὲ C. 670. πρὸς μὲν οἰκέτας θέτο σκυθρωπὸν ἔντος ὀμμάτων γέλων C. 726. θροοῦσα πρός σε πατρὸς αὐδὰν C. 816. πρὸς δίκην πεπληγμένη C. 871. πρὸς αὐτὸν τόνδε σε σφάξαι θέλω C. 891. ἔοικα θρηνεῖν ζῶσα πρὸς τύμβον μάτην C. 913. θελούσης, οὐδὲ πρὸς βίαν E. 5. ἕρπω πρὸς πολυστεφῆ μυχὸν E. 38. κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα φέρειν δίκαιος E. 55. τετραυματισμένον γὰρ, ὡς κυὼν νεβρὸν, πρὸς αἷμα καὶ σταλαγμὸν ἐκμαστεύομεν E. 238. τί πρὸς τάδ' εἰπεῖν, ὦ ξέν', ἐν μέρει θέλεις; E. 414. πρὸς τάδε τις τοκέων σέβας εὖ προτίων, καὶ ξενοτίμους ἐπιστροφὰς δωμάτων αἰδόμενός τις ἔστω E. 516. ἔπος δ' ἀμείβου πρὸς ἔπος ἐν μέρει τιθεὶς E. 556. ξιφούλκῳ χειρὶ πρὸς δέρην τεμὼν E. 562. ἄπειμι πρὸς δόμους E. 734. μηδ' ἐμοῖς ἀστοῖσιν ἱδρύσῃς Ἄρη ἐμφύλιόν τε καὶ πρὸς ἀλλήλους θρασὺν E. 825. τὰ γὰρ ἐκ προτέρων ἀμπλακήματά νιν πρὸς τάσδ' ἀπάγει E. 895. ὅτι μοι γλῶσσαν καὶ στόμ' ἐπωπᾷ πρὸς τάσδ' ἀγρίως ἀπανηναμένας E. 929. πρὸς φῶς ἱερὸν τῶνδε προπομπῶν ἴτε E. 959. Αἰγίνα δ' αὐτὴ πρὸς Νότου κεῖται πνοὰς Fragm. I. 87. ἦ μὴν κελεύσω, κἀπιθωΰξω γε πρὸς V. 73. ἅπερ τελεῖται, πρὸς δ', ἃ βούλομαι, λέγω V. 931.

Προσάγειν. σκάφος στρέβλαισι ναυτικαῖσιν ὡς προσηγμένον S. 436.

Προσαΐσσειν. ὅσσοις ὀμίχλη προσῆξεν P. 145.

Προσαγορεύειν. Δίκαν δέ νιν προσαγορεύομεν βροτοὶ C. 937. προσηγορεύθης ἡ Διὸς δάμαρ V. 836.

Προσαιτεῖν. ἀλλὰ νόμος μὲν, φονίας σταγόνας χυμένας ἐς πέδον, ἄλλο προσαιτεῖν αἷμα C. 395.

Προσάμβασις. ἀνὴρ ὁπλίτης κλίμακος προσαμβάσεις στείχει T. 448.

Προσάπτειν. θέσμιον γὰρ τίς ἂν γονὰν ἀραῖον ἐκβάλῃ δόμων; κεκόλληται γένος προσάψαι A. 1547.

Προσαυαίνειν. σὸν δέμας εἰσιδοῦσα πέτραις προσαυαινόμενον ταῖς ἀδαμαντοδέτοισι λύμαις V. 147.

Προσαυδᾶν. τοὺς δ' ἀγωνίους θεοὺς πάντας προσαυδῶ A. 500. καὶ παμφθόγγοις δὲ χρεὼν αὐτὴν πάντας μύθοισι προσαυδᾶν P. 150. προσαυδᾶν δ' ἔστ' ἀναγκαίως ἔχον πατέρα C. 237. σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ' ὑπηρέτην V. 986.

Προσβαίνειν. φιλία γὰρ ἥδε τάξις πτερύγων θοαῖς ἁμίλλαις προσέβα τόνδε πάγον V. 130. τὰ χρυσόπαστα δ' ἐσθλὰ σὺν πίνῳ χεροῖν παλιντρόποισιν ὄμμασιν λιποῦσ', ὅσια προσέβα, δύναμιν οὐ σέβουσα πλούτου παράσημον αἴνῳ A. 754.

Προσβάλλειν. ἀλλ' οὐ κακὸν τοσόνδε προσέβαλον πόλει P. 767. μηδέ μοι διπλᾶς ὁδοὺς, Προμηθεῦ, προσβάλῃς V. 953. πύλαισι προσβαλεῖν λόχον T. 442. δοκῶ σφε προσβαλεῖν πύλαις οὐχ ὡς ἄθυμος, οὐδὲ λήματος κάκῃ T. 597. δι' αἰῶνος δὲ τὸν πρὶν ὄλβον ἕρματι προσβαλὼν δίκας ὤλετ' ἄκλαυστος E. 534. ἀργυρηλάτοις κέρασι χρυσᾶ στόμια προσβεβλημένοις Perrh. 1. ἐξευλαβοῦ δὲ μή σε προσβάλλῃ στόμα πέμφιξ Prom. Sol. 5. 1.

Προσβλέπειν. τοιαῦτ' ἐμοῦ λόγοισιν ἐξηγουμένου, οὐκ ἠξίωσαν οὐδὲ προσβλέψαι τὸ πᾶν V. 214.

Προσβολή. λέγει μεγίστην προσβολὴν Ἀχαΐδα νυκτηγορεῖσθαι T. 28. τρίβῳ τε καὶ προσβολαῖς μελαμπαγὴς πέλει δικαιωθεὶς A. 380. ἄλλας τε φωνεῖ προσβολὰς Ἐριννύων ἐκ τῶν πατρῴων αἱμάτων τελουμένας C. 281. δυοῖν γὰρ εἶχε προσβολὰς μιασμάτοιν E. 570.

Προσγελᾶν. ὀσμὴ βροτείων αἱμάτων με προσγελᾷ E. 243.

Προσδέρκειν. πάρεστι γᾶς ὀμφαλὸν προσδρακεῖν E. 160. ἃς οὐχ ἥλιος προσδέρκεται ἀκτῖσι V. 798. τὸν κρατοῦντα μαλθακῶς θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται A. 926. ἃς οὐδὲ πέμφιξ ἡλίου προσδέρκεται Fragm. Xantr. 4. οὐ δέδια μηδὲ κρεισσόνων θεῶν ἔρως ἄφυκτον ὄμμα προσδέρκοιτό με V. 905. ὡς μή σ' ἐλιννύοντα προσδερχθῇ πατὴρ V. 53.

Προσδέχεσθαι. ποία δὲ χέρνιψ φρατόρων προσδέξεται; E. 626.

Προσδοκᾶν. εἰ προσδοκᾷς ἐμοῦ τι πευσεῖσθαι πάρα V. 990. τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα V. 1027. Μενέλεων γὰρ οὖν πρῶτόν τε καὶ μάλιστα προσδόκα μολεῖν A. 661. καὶ προσδοκᾶν χρὴ δεσπόζειν Ζηνός τινα; V. 932.

Προσδοκητός. ὅδ' οὖν ποιείτω· πάντα προσδοκητά μοι V. 937.

Προσεδαφίζω. ὄφεων δὲ πλεκτάναισι περίδρομον κύτος προσηδάφισται κοιλογάστορος κύκλου T. 478.

Προσείδειν. σὰς προσιδοῦσ' ὀλοὰς τύχας V. 553. μάλιστ' ἐκείνου βοστρύχοις προσείδεται C. 176. φοβερὰν ὄψιν προσιδέσθαι P. 48. σέβομαι μὲν προσιδέσθαι P. 680.

Προσεικάζω. κακῷ δέ τῳ προσεικάζω τάδε A. 1102. ποίᾳ ξυμφορᾷ προσεικάσω; C. 12. τὰς δ' ἀστραπάς τε καὶ κεραυνίους βολὰς μεσημβρινοῖσι θάλπεσιν προσείκασε T. 413. οὐκ ἔχω προσεικάσαι, πάντ' ἐπισταθμώμενος A. 158.

Πρόσειλος. οὔτε πλινθυφεῖς δόμους προσείλους ἦσαν V. 449.

Προσεῖναι. τὰ δ' αὖτε χέρσῳ καὶ παρῆν, πλέον στύγος A. 544.

Προσεῖναι (adire). Πρόσειμι δῶμα καὶ βρέτας τὸ σὸν, θεὰ E. 233.

Προσειπεῖν. οὔτε νιν Δίκη προσεῖπε T. 649. πῶς σε προσείπω; πῶς σε σεβίζω; A. 759. τί νιν προσείπω; C. 991. θεοὺς προσειπεῖν εὖ παρασκευάζομαι A. 344. πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους δίκη προσειπεῖν A. 785.

Προσεννέπειν. τοῦτό νιν προσεννέπω A. 157. διχοστατοῦντ' ἂν οὐ φίλως προσεννέποις A. 314. Αΐδου πύλας δὲ τάσδ' ἐγὼ προσεννέπω A. 1264. τίνας δὲ τούτους τῶν φίλων προσεννέπω; C. 108. ὡς ὄντ' Ὀρέστην τάδε σ' ἐγὼ προσεννέπω C. 222. προσεννέπειν θέλουσα A. 233.

Προσέρπειν. πᾶν μοι φοβερὸν τὸ προσέρπον V. 127. πεδοῖ δὲ βᾶσαι τὰς προσερπούσας τύχας ἀκούσατ' V. 272.

Προσέρχεσθαι. ἄλλως τε καὶ σὺ μὲν κατηρτυκὼς ὅμως ἱκέτης προσῆλθες καθαρὸς ἀβλαβὴς δόμοις E. 452.

Προσεύχεσθαι. σέβου, προσεύχου, θῶ-

πτε τῶν κρατοῦντ' ἀεὶ V. 939. θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι A. 308.
Προσέχειν. αὐτὴ προσέσχε μαζὸν ἐν τὠνείρατι C. 524.
Προσήγορος. αἱ προσήγοροι δρύες V. 834.
Προσήκει. οὔ σε προσήκει τὸ μέλημα λέγειν τοῦτο A. 1530. ἡ δ' αὖτε δυσφημοῦσα τὸν θεὸν καλεῖ οὐδὲν προσήκοντ' ἐν γόοις παραστατεῖν A. 1049. εἰ δὲ τυγχάνω τοῖς κυρίοισι καὶ προσήκουσιν λέγων, οὐκ οἶδα C. 678.
Προσήκειν. χρεία δὲ προσήκει P. 139.
Προσῆμαι. τοῖς πέλας προσήμενοι S. 378. τᾷδε γᾷ προσήμεναι νῆσοι P. 857. ἰὸς καρδίαν προσήμενος A. 808. ὑμνοῦσι δ' ὕμνον δώμασιν προσήμεναι πρώταρχον ἄτην A. 1164. σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος κώπῃ A. 1600.
Πρόσθε. τῶν πρόσθε πόνων μνησαμένα S. 52. πρῷρα πρόσθεν ὄμμασιν βλέπουσ' ὁδὸν S. 697. ἴχνος τὸ πρόσθεν οὐ διαστρέψω φρενὸς S. 994. νῆσός τίς ἐστι πρόσθε Σαλαμῖνος τόπων P. 439. οὓς πρόσθε Μαραθὼν βαρβάρων ἀπώλεσε P. 467. ἐάν περ δεῦρ' ἐμοῦ πρόσθεν μόλῃ P. 521. πρόσθε πυλᾶν κεφαλὰν ἰάψαι T. 506. μόνον δὴ πρόσθεν ἄλλον ἐν πόνοις δαμέντ' εἰσιδόμην V. 423. πάντα τε πύργων κτήνη πρόσθε τὰ δημιοπληθῆ μοῖρ' ἀλάπαξει πρὸς τὸ βίαιον A. 128. χρονισθεὶς δ' ἀπέδειξεν ἔθος τὸ πρόσθε τοκήων A. 710. ὃς τὸ πρόσθεν εὖ φρονῶν ἐμοὶ A. 1411. ὀλοίμην πρόσθεν ἐκ θεῶν ἄπαις C. 1000. πρόσθεν δὲ τἀνδρὸς τοῦδε θαυμαστὸς λόχος εὕδει γυναικῶν ἐν θρόνοισιν ἥμενος E. 46.
Προσθήκη. εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι A. 486.
Προσθιγγάνειν. Λοξίου δὲ προσθιγὼν ἐλεύθερόν σε τῶνδε πημάτων κτίσει C. 1055.
Προσθόδομος. χάριτες δ' ὁμοίως κέκτηνται γόος εὐκλεὴς προσθοδόμοις Ἀτρείδαις C. 319.
Προσθροεῖν. τίς ἄρα μ', ὦ τάλας, τὸν ταλαίπωρον ὧδ' ἐτήτυμα προσθροεῖς V. 598.
Προσιέναι. τῷ δ' ἐναντίῳ κύτει ἐλπὶς προσῄει χειρὸς οὐ πληρουμένη A. 792.
Προσιζάνειν. ἀρὰ πατρὸς ξηροῖς ἀκλαύστοις ὄμμασιν προσιζάνει T. 678. ταύτα τοι πλανωμένῃ πρὸς ἄλλοτ' ἄλλον πημονὴ προσιζάνει V. 277.
Προσίζειν. ἄμεινόν ἐστι παντὸς εἵνεκ', ὦ κόραι, πάγον προσίζειν τῶνδ' ἀγωνίων θεῶν S. 186.
Προσικνεῖσθαι. δῆγμα δὲ λύπης οὐδὲν ἐφ' ἧπαρ προσικνεῖται A. 766. τόξῳ γὰρ οὔτις πημάτων προσίξεται C. 1029. ξὺν τῷδε θάλλῳ καὶ στέφει προσίξομαι μεσόμφαλόν θ' ἵδρυμα, καὶ Φοίβου πέδον C. 1031.
Προσίκτωρ. φίλοις γάρ εἰσιν οὐκ ἐμοῖς προσίκτορες E. 118. βρέτας τόδε ἧσαι φυλάσσων ἑστίας ἐμῆς πέλας σεμνὸς προσίκτωρ E. 419.
Προσίπτασθαι. τίς ὀδμὰ προσέπτα μ' ἀφεγγής; V. 115. τὸ διαμφίδιον δέ μοι μέλος προσέπτα τόδ' V. 554. ὅθεν μοι σχετλίᾳ προσέπτατο V. 647.
Προσιστάναι. πύλαις προσίστανται T. 119. γοργὸν ὄμμ' ἔχων προσίσταται T. 519. σὺν θυηπόλῳ χερὶ βωμὸν προσέστην P. 199. κἀμοὶ προσέστη καρδίας κλυδώνιον χολῆς C. 181.
Προσκυνεῖν. εὔχετο λιταῖσι, γαῖαν οὐρανόν τε προσκυνῶν P. 491. οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοὶ V. 938.
Προσκυρεῖν. πότερα δόμοισι πτῶμα προσκυρεῖ νέον; C. 13.
Προσλαμβάνειν. κράτιστα δή μοι τῶν παρεστώτων τότε ἐφαίνετ' εἶναι προσλαβόντι μητέρα ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν V. 218. οὐδ' εἴκεις κακοῖς, πρὸς τοῖς παροῦσι δ' ἄλλα προσλαβεῖν θέλεις V. 321.
Προσμανθάνειν. ἐπίσχες, ἔστ' ἂν καὶ τὰ λοιπὰ προσμάθῃς V. 699.
Προσμένειν. πολλὰ δ' ἔτυμα παιδότρωτα πάθεα προσμένει τοκεῦσι E. 474.
Προσμηχανεύειν. σάκει Σφίγγ' ὠμόσιτον προσμεμηχανευμένην γόμφοις ἐνώμα T. 523. ἔχει δὲ καινοπηγὲς εὔθετον σάκος, διπλοῦν τε σῆμα προσμεμηχανευμένον T. 625.

Πρόσμορος. τὸν σὸν πρόσμορον ἀδελφεὸν T. 558.

Προσνέμειν. τοὺς μὲν καθαρὰς χεῖρας προσνέμοντας οὔτις ἀφ' ἡμῶν μῆνις ἐφέρπει E. 303.

Πρόσπαιος. εἰ πρόσπαια μὴ τύχοι κακὰ A. 338.

Προσπασσαλεύειν. ἄκοντά σ' ἄκων δυσλύτοις χαλκεύμασιν προσπασσαλεύσω τῷδ' ἀπανθρώπῳ πάγῳ V. 20.

Προσπιέζειν. προσπιέζει χρημάτων ἀχηνία C. 299.

Προσπιτνεῖν. ἀλλ' ἥδε θεῶν ἴσον ὀφθαλμοῖς φάος ὁρμᾶται μήτηρ βασιλέως, βασίλεια δ' ἐμή, προσπιτνῶ P. 148. τοξικῆς δ' ἀπὸ θώμιγγος ἰοὶ προσπιτνόντες ὤλλυσαν P. 453.

Πρόσπλαστος. ἀνήμεροι γὰρ, οὐδὲ πρόσπλαστοι ξένοις V. 718.

Πρόσπολος. πρόσπολος φόνου T. 556. ξὺν προσπόλοισι πέμψω E. 978.

Προσπορπατός. οἵῳ δεσμῷ προσπορπατὸς V. 141.

Προσσαίνειν. τῶν δὲ προσσαίνει σέ τι; V. 837. οὐκ ἂν Ἀργείων τόδ' εἴη, φῶτα προσσαίνειν κακὸν A. 1650.

Προσσέβειν. ὀξυμόλποις προσσέβειν οἰμώγμασιν T. 1014.

Προστάσσειν. ἀλλ' ἔστιν ἡμῖν τοῦτο προστεταγμένον E. 199. τὸν δὲ πέμπτον αὖ λέγω πέμπταισι προσταχθέντα Βοῤῥέαις πύλαις T. 509.

Προστατεῖν. τίς Προίτου πυλῶν, κλείθρων λυθέντων, προστατεῖν φερέγγυος; T. 378.

Προστατήριος. φερέγγυον φρούρημα προστατηρίαις Ἀρτέμιδος εὐνοίαισι, σύν τ' ἄλλοις θεοῖς T. 431. τίπτε μοι τόδ' ἐμπέδως δεῖγμα προστατήριον καρδίας τερασκόπου ποτᾶται; A. 950.

Προστάτης. προστάτης δ' ἐγὼ S. 942. τόνδ' ἀντιτάξω προστάτην πυλωμάτων T. 390. πύλας φερεγγύοις ἐφραξάμεσθα μονομάχοισι προστάταις T. 780. ἐγὼ δὲ Καδμείων γε προστάταις λέγω T. 1017.

Προστέλλεσθαι. Δίκη δ' ὁμαίμων κάρτα νιν προστέλλεται εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ T. 397.

Προστένειν. τὸ δὲ προκλύειν ἐπεὶ γένοιτ' ἂν ἤλυσις, προχαιρέτω· ἴσον δὲ τῷ προστένειν A. 244.

Πρόστερνος. πρόστερνοι στόλμοι πέπλων C. 26.

Προστιθέναι. ἐὰν δὲ προστιθῇ τὸ καρτερὸν S. 607. ἐνταῦθα νῦν ὕβριζε, καὶ θεῶν γέρα συλῶν, ἐφημέροισι προστίθει V. 83. ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὖνιν ζυγέντ' ἐν ἅρματι πημάτων, ἐν δρόμῳ, προστιθεὶς μέτρον C. 785. σκέψαι τομῇ προσθεῖσα βόστρυχον τριχὸς C. 227. κἀγὼ τοιάνδε σου, πάτερ, χρείαν ἔχω, φεύγειν μέγαν προσθεῖσαν Αἰγίσθῳ μόρον C. 475. ψῆφον δ' Ὀρέστῃ τήνδ' ἐγὼ προσθήσομαι E. 705.

Προστόμιον. ἀπὸ προστομίων Νείλου S. 3.

Προστρέπεσθαι. καὶ προστραπέσθαι τούσδ' ἐπέστελλον δόμους E. 196.

Προστρέφειν. ἐκ θεῶν δ' ἱερεύς τις ἄτας δόμοις προσεθρέφθη A. 718.

Προστρίβειν. γλώσσῃ ματαίᾳ ζημία προστρίβεται V. 329. ἀμβλὺς ἤδη, προστετριμμένος τε πρὸς ἄλλοισιν οἴκοις καὶ πορεύμασιν βροτῶν E. 229.

Πρόστριμμα. πόλει πρόστριμμ' ἄφερτον ἐνθεὶς A. 384.

Προστρόπαιος. καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν τλήμων Θυέστης, μοῖραν εὗρετ' ἀσφαλῆ A. 1569. σκοτεινὸν τῶν ἐνερτέρων βέλος ἐκ προστροπαίων ἐν γένει πεπτωκότων C. 285. ἐπ' ὀμφαλῷ ἕδραν ἔχοντα, προστρόπαιον E. 41. δεινὴ γὰρ ἐν βροτοῖσι κἀν θεοῖς πέλει τοῦ προστροπαίου μῆνις, εἰ προδῶ σφ' ἑκὼν E. 225. δέχου δὲ πρευμενῶς ἀλάστορα οὐ προστρόπαιον, οὐδ' ἀφοίβαντον χέρα E. 228. οὐκ εἰμὶ προστρόπαιος E. 423.

Προστροπή. ὡς ἂν σαφῶς μάθω γυναικῶν ἥτις ἥδε προστροπὴ C. 21. ἐπεὶ πάρεστε τῆσδε προστροπῆς ἐμοὶ πομποὶ C. 83. προστροπαῖς ἱκνουμένη θεοὺς P. 212. ἦ καὶ πατὴρ τι σφάλλεται βουλευμάτων, πρωτοκτόνοισι προστροπαῖς Ἰξίονος; E. 688.

Πρόσφαγμα. βωμοῦ πατρῴου δ' ἀντ' ἐπίξηνον μένει θερμῷ κοπείσης φοινίῳ προσφάγματι A. 1251.

Πρόσφατος. τῶν πάλαι πεπραγμένων λύσασθ' αἷμα προσφάτοις δίκαις C. 793.

Προσφέρειν. *οὐ γὰρ ἐντελὴς θήραν πατρῴαν προσφέρειν σκηνήμασι* C. 248. *ἀνάγκαν γὰρ ἀμφίπτολιν θεοὶ προσήνεγκαν* C. 74.

Προσφερής. *ὀνείρων προσφερεῖς μορφώμασιν* A. 1192. *αὐτοῖσιν ἡμῖν κάρτα προσφερὴς ἰδεῖν* C. 174.

Πρόσφθεγμα. *τοιοῖσδέ τοί νιν ἀξιῶ προσφθέγμασιν, φθόνος δ' ἀπέστω* A. 877. *οἴμοι μάλ' αὖθις ἐν τρίτοις προσφθέγμασιν* C. 863.

Προσφθόγγος. *καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν πάντας μύθοισι προσαυδᾶν* P. 149. *πρόσφθογγόν σοι νόστου βοὰν πέμψω* P. 898.

Προσφίλεια. *τοιάδε μέντοι προσφίλεια δαιμόνων* T. 497.

Προσφιλής. *ἦ τοῖον ἔργον καὶ θεοῖσι προσφιλὲς, καλόν τ' ἀκοῦσαι καὶ λέγειν μεθυστέροις;* T. 562.

Πρόσφορος. *ἀλλ' ἔσθ' ὁ καιρὸς, ἡμερεύοντας ξένους μακρᾶς κελεύθου τυγχάνειν τὰ πρόσφορα* C. 700. *ἐκεῖ κυρούντων δώμασιν τὰ πρόσφορα* C. 703. *οὐ γὰρ δόμοισι τοῖσδε πρόσφορον μολεῖν* E. 198.

Προσφύειν. *καὶ ταῦτ' ἀληθῆ πάντα προσφύσω λόγῳ* S. 279.

Προσφωνεῖν. *ποδαπὸν ὅμιλον τόνδε προσφωνοῦμεν;* S. 233. *θυμός με προσφωνεῖ τάδε* Niobe 2. *νῦν ἀποιμώζω παρὼν, πατροκτόνον θ' ὕφασμα προσφωνῶν τόδε* C. 1010.

Προσχαίνειν. *μηδὲ, βαρβάρου φωτὸς δίκην, χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοὶ* A. 894.

Προσχρῄζειν. *πᾶν ὅπερ προσχρῄζετε πεύσεσθε* V. 645. *οὐκ ἐναντιώσομαι τὸ μὴ οὐ γεγωνεῖν πᾶν ὅπερ προσχρῄζετε* V. 789.

Πρόσχωμα. *Νείλου πρὸς αὐτῷ στόματι καὶ προσχώματι* V. 849.

Πρόσχωρος. *πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων Σαλαμῖνος ἀκταὶ, πᾶς τε πρόσχωρος τόπος* P. 265.

Πρόσω. *γένος τ' ἂν ἐξεύχοιο καὶ λέγοις πρόσω* S. 269. *ὁ μάσσων βίοτος ἦν ταθῇ πρόσω* P. 694. *ἰὼ κακὰ δώμασι καὶ χθονὶ καὶ πρόσω γ' ἐμοὶ* T. 988. *οἱ δ' ἀντέλαμψαν καὶ παρήγγειλαν πρόσω* A. 285. *πρῶν' ὑπερβάλλει πρόσω φλὸξ* A. 298. *πρόσω πέμψαντες, ἤγαγον πάλιν* A. 827. *θανατηφόρον αἶσαν πρόσω πυνθάνεσθαι τῶνδε πόνων* C. 363. *φύλαξ ἐγγὺς προσεστὼς, καὶ πρόσω δ' ἀποστατῶν* E. 65. *ἀνὴρ δ' οἴχεται φεύγων πρόσω* E. 117. *λέγειν δ' ἄμομφον ὄντα τοὺς πέλας κακῶς πρόσω δικαίων, ἠδ' ἀποστατεῖ θέμις* E. 392. *ἡμῖν γὰρ ἔρρειν ἢ πρόσω τιμὰς νέμειν* E. 717.

Πρόσωθεν. *θεῶν μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος* A. 921. *τὸν κρατοῦντα μαλθακῶς θεὸς πρόσωθεν εὐμενῶς προσδέρκεται* A. 926. *τόξοις πρόσωθεν εὐσκόποις χειρουμένη* C. 683. *κλύει δὲ καὶ πρόσωθεν ὢν θεὸς* E. 287. *πρόσωθεν ἐξήκουσα κληδόνος βοὴν* E. 375.

Πρόσωπον. *τὸ μὴ μάταιον δ' ἐκ μετωποσωφρόνων ἴτω προσώπων, ὄμματος παρ' ἡσύχου* C. 196. *ἄπευκτα πήματ' ἄγγελος φέρει στυγνῷ προσώπῳ* A. 625. *καὶ ξυγχαίρουσιν ὁμοιοπρεπεῖς ἀγέλαστα πρόσωπα βιαζόμενοι* A. 768. *ἐκ τῶν φοβερῶν τῶνδε προσώπων μέγα κέρδος ὁρῶ τοῖσδε πολίταις* E. 945.

Προταρβεῖν. *βαρείας τοι τύχας προταρβῶ* T. 314.

Προτάσσεσθαι. *ἄναξ, προτάσσου* S. 815.

Προτείνειν. *προτείνει δὲ χεὶρ ἐκ χειρὸς ὀρεγομένα* A. 1082. *μή μοι προτείνων κέρδος, εἶτ' ἀποστέρει* V. 779.

Προτέλειον. *ἐν προτελείοις διακναιομένη* A. 65. *ἐν βιότου προτελείοις ἄμερον* A. 702.

Πρότερος. *τοῦ γὰρ προτέρα μῆτις* S. 948. *μετὰ πολλῶν δὲ γάμων ἅδε τελευτὰ πρότερον πέλοι γυναικῶν* S. 1036. *λέγουσα κέρδος πρότερον ὑστέρου μόρου* T. 679. *ἡμᾶς δὲ δίκη πρότερον φήμης τὸν δυσκέλαδόν θ' ὕμνον Ἐριννύος ἰαχεῖν* T. 848. *ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ ποθεῖν ἃ μὴ χρὴ* A. 333. *ἑπόμενα προτέροισι τάδ' ἐφημίσω* A. 1146. *παρὰ τῶν προτέρων φθιμένων ἄτην ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ* C. 397. *ὁ γὰρ διώκων, πρότερος ἐξ ἀρχῆς λέγων, γένοιτ' ἂν ὀρθῶς πράγματος διδάσκαλος* E. 553. *τὰ γὰρ ἐκ προτέρων ἀμπλακήματά νιν πρὸς τάσδ' ἀπάγει* E. 894. *προτέραν δέ με χρὴ στείχειν* E. 957.

Προτίειν. *πολλοὶ δὲ βροτῶν τὸ δοκεῖν εἶναι προτίουσιν* A. 763. *τοκέων σέβας εὖ προτίων καὶ ξενοτίμους ἐπιστροφὰς δωμάτων αἰδόμενος* E. 516.

Προτιθέναι. θνητοὺς δ' ἐν οἴκτῳ προθέμενος, τούτου τυχεῖν οὐκ ἠξιώθην V. 239.

Προτιμᾶν. πατρὸς προτιμᾷ Ζεὺς μόρον E. 610. οὐ προτιμῶν, ὡσπερεὶ βοτοῦ μόρον, ἔθυσεν αὑτοῦ παῖδα A. 1389. οὕτω γυναικὸς οὐ προτιμήσω μόρον E. 709. μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων A. 1657.

Πρότονος. σταθμῶν κύνα, σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης στῦλον ποδήρη A. 871.

Προτοῦ. προτοῦ μὲν αἰδὼς ἦν ἐμοὶ λέγειν τάδε A. 1177.

Προτρέπεσθαι. οὐκ ἔστιν αἴκισμ', οὐδὲ μηχάνημ', ὅτῳ προτρέψεταί με Ζεὺς γεγωνῆσαι τάδε V. 992.

Προτύπτειν. οἷον μήτις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας στρατωθὲν A. 131.

Προὐμνύναι. ἐκμαρτύρησον προὐμόσας τό μ' εἰδέναι λόγῳ παλαιὰς τῶνδ' ἁμαρτίας δόμων A. 1169.

Προὐννέπω. προὐννέπω δ' ὑμῖν ὅτι ἔχω μεγίστην αἰτίαν κείνων ὕπο E. 98. ὑμεῖς δ' ἐς ἀλλόφυλον ἐλθοῦσαι χθόνα, γῆς τῆσδ' ἐρασθήσεσθε, προὐννέπω τάδε E. 814.

Προὐξεπίστασθαι. πάντα προὐξεπίσταμαι σκεθρῶς τὰ μέλλοντ' V. 101. τοῖς νοσοῦσί τοι γλυκὺ τὸ λοιπὸν ἄλγος προὐξεπίστασθαι τορῶς V. 701.

Προὖπτος. τάδ' αὐτόδηλα, προὖπτος ἀγγέλου λόγος T. 830.

Προυσελεῖσθαι. ὁρῶν ἐμαυτὸν ὧδε προυσελούμενον V. 436.

Προφέρειν. δόμοισι προὐνεχθέντος ἐν χρηστηρίοις A. 938.

Προφερέστατος. προφερεστάτα θεῶν Fragm. Inc. 23. 11.

Προφεύγειν. προφυγὼν εἰς οἰδματόεντα πόρον Fragm. Heliad. 1.

Προφήτης. μέγας προφήτης T. 593. Διὸς προφήτης δ' ἐστὶ Λοξίας πατρὸς E. 19. πολὺ δ' ἔστενον τόδ' ἐννέποντες δόμοις προφῆται A. 397. ἦμεν κλέος σου μαντικὸν πεπυσμένοι, ἦμεν, προφήτας δ' οὔτινας μαστεύομεν A. 1070.

Προφθάνειν. εἰ δὲ μὴ τεταγμένα μοῖρα μοῖραν ἐκ θεῶν εἶργε μὴ πλέον φέρειν, προφθάσασα καρδία γλώσσης ἂν τάδ' ἐξέχει A. 999.

Προφοβεῖσθαι. πολέμους αἱματόεντας προφοβοῦμαι S. 1029.

Προφρόνως. ἐπίδοι προφρόνως στόλον ἡμέτερον Ζεὺς S. 1. Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων, τεύξεται φρενῶν τὸ πᾶν A. 167. πέμπετ' ἀρωγὴν παισὶν προφρόνως ἐπὶ νίκαν C. 471. τάδ' ἐγὼ προφρόνως τοῖσδε πολίταις πράσσω E. 887. τάδε τοι χώρᾳ τῇ μὴ προφρόνως ἐπικραινομένων γάνυμαι E. 926.

Πρόφρων. ξύγγνοιτο δῆτα, καὶ παρασταίη πρόφρων S. 213. κλῦθί μου πρόφρονι καρδίᾳ S. 344. ἱκεσίου Διὸς κότον μέγαν πρόφρων ὢν μήποτ' εἰσόπιν χρόνου πόλιν παχῦναι S. 612. πέμψον δὲ πρόφρων δεῦρ' ἡμέτερον πατέρα Δαναὸν S. 946. ἀλλ' εὐτυχοίης, καί σ' ἐποπτεύων πρόφρων θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς C. 1059.

Προφωνεῖν. πᾶσιν προφωνεῖ τόνδε ναυάρχοις λόγον P. 355. ἀμφίλεκτα πήματα ἐμοὶ προφωνῶν A. 855. ἄλγη προφωνῶν ἀντίκεντρα καρδίᾳ E. 444. πεύσεται δ' ἄλλος ἄλλοθεν, προφωνῶν τὰ τῶν πέλας κακὰ E. 479.

Προχαίρειν. τὸ δὲ προκλύειν ἐπεὶ γένοιτ' ἂν ἤλυσις, προχαιρέτω A. 243.

Προχαλκεύειν. προχαλκεύει δ' Αἶσα φασγανουργὸς C. 637.

Πρόχειρος. καὶ δὴ πρόχειρα ψάλια δερκέσθαι πάρα V. 54.

Προχοή. Νείλου προχοὰς σέβωμεν ὕμνοις S. 1005. κάματόν θ' ἵππων θερμαῖς ὕδατος μαλακοῦ προχοαῖς ἀναπαύει Fragm. Pr. Sol. 3. 8.

Πρύμνη. αἰδοῦ σὺ πρύμναν πόλεος ὧδ' ἐστεμμένην S. 340. φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως T. 2. (κῦμα) περὶ πρύμναν πόλεως καχλάζει T. 742.

Πρύμνηθεν. ὁ ναύτης ἆρα μὴ 'ς πρῷραν φυγὼν πρύμνηθεν εὗρε μηχανὴν σωτηρίας; T. 191.

Πρυμνήσιον. χρόνος δ' ἐπεὶ πρυμνησίων ξυνεμβόλοις ψαμμίας ἀκάτας παρήβησε A. 956.

Πρυμνήτης. χώρας τῆσδε πρυμνήτης ἄναξ E. 16. ἄνδρα πρυμνήτην χθονὸς E. 736.

Πρύμνοθεν. μή μοι πόλιν γε πρύμνοθεν πανώλεθρον ἐκθαμνίσητε T. 71.

Πρύτανις. σύ τοι πόλις, σύ τοι τὸ δήμιον, πρύτανις ἄκριτος ὢν S. 374. ἔτ' ἐμοῦ χρείαν ἕξει μακάρων πρύτανις

V. 169. Σφίγγα δυσαμερίαν πρύτανιν κύνα πέμπει Sphinx 2.
Πρών. ἀμφοτέρας ἅλιον πρῶνα κοινὸν αἴας P. 129. νᾶσοί θ' αἱ κατὰ πρῶν' ἅλιον περίκλυστοι P. 856. πορθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλειν A. 298.
Πρῷρα. πρῷρα πρόσθεν ὄμμασιν βλέπουσ' ἐδὸν S. 697. πρῷραν φυγὼν πρύμνηθεν T. 191. πάροιθεν δὲ πρῴρας δριμὺς ἧσται καρδίας θυμὸς C. 386.
Πρώταρχος. ὑμνοῦσι δ' ὕμνον δώμασιν προσήμεναι πρώταρχον ἄτην A. 1165.
Πρωτοκτόνος E. 678.
Πρωτόμαντις. τὴν πρωτόμαντιν Γαῖαν E. 2.
Πρωτόμορος. τοὶ δ' ἄρα πρωτόμοροι, φεῦ, λειφθέντες πρὸς ἀνάγκαν P. 560.
Πρωτοπήμων. βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις τάλαινα παρακοπὰ πρωτοπήμων A. 216.
Πρῶτος. φθογγὴ δ' ἐπέσθω, πρῶτα μὲν τὸ μὴ θρασὺ S. 194. ὅπως ἄνατα ταῦτα, πρῶτα μὲν πόλει, ἀστοῖσί θ' ἡμῖν ἐκτελευτήσει καλῶς S. 405. ξένος μὲν εἶναι πρῶτον οὐκ ἐπίστασαι S. 985. φιλόφρων γὰρ σαίνουσα τὸ πρῶτον, παράγει βροτὸν εἰς ἀρκύστατα P. 98. ἀλλὰ μὴν εὔνους γ' ὁ πρῶτος τῶνδ' ἐνυπνίων κριτὴς P. 222. κακὸν μὲν πρῶτον ἀγγέλλειν κακὰ P. 249. Συέννεσίς τε πρῶτος εἰς εὐψυχίαν P. 318. πρῶτον μὲν ἠχῇ κέλαδος Ἑλλήνων πάρα μόλπηδον εὐφήμησεν P. 380. τὸ δέξιον μὲν πρῶτον εὔτακτον κέρας ἡγεῖτο κόσμῳ P. 391. τὰ πρῶτα μὲν δὴ ῥεῦμα Περσικοῦ στρατοῦ ἀντεῖχε P. 404. αὐτῷ τ' ἄνακτι πίστιν ἐν πρώτοις P. 435. θεοῖς μὲν πρῶτον εὔξασθαι θέλω ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα ἥξω λαβοῦσα P. 514. Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ P. 751. πρῶτα μὲν εὐδοκίμου στρατιᾶς ἀποφαινόμεθ' P. 843. πρῶτον μὲν Ὄγκα Παλλὰς—εἴρξει T. 483. οἱ πρῶτα μὲν βλέποντες ἔβλεπον μάτην, κλύοντες οὐκ ἤκουον V. 445. ἔζευξα πρῶτος ἐν ζυγοῖσι κνώδαλα V. 460. ἔκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ ὕπαρ γενέσθαι V. 483. τὴν τῆσδε πρῶτον ἱστορήσωμεν νόσον V. 635. μαθεῖν γὰρ τῆσδε πρῶτ' ἐχρῄζετε V. 703. πρῶτον μὲν ἔνθενδ' ἡλίου πρὸς ἀντολὰς στρέψασα σαυτὴν στεῖχ' ἀνηρότους γύας V. 709. σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω V. 790. ὃς πρῶτος ἐν γνώμᾳ τόδ' ἐβάστασε V. 890. πρῶτα μὲν γὰρ ὀκρίδα πατὴρ σπαράξει τήνδε V. 1017. νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμὼν A. 305. ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρὸς A. 574. Μενέλεων γὰρ οὖν πρῶτόν τε καὶ μάλιστα προσδόκα μολεῖν A. 661. πρῶτον μὲν Ἄργος καὶ θεοὺς ἐγχωρίους δίκη προσειπεῖν A. 784. θεοῖσι πρῶτα δεξιώσομαι A. 826. τὸ μὲν γυναῖκα πρῶτον ἄρσενος δίχα ἧσθαι δόμοις ἔρημον, ἔκπαγλον κακὸν A. 835. ἐπεὶ τὸ πρῶτον εἶδον Ἰλίου πόλιν πράξασαν ὡς ἔπραξε A. 1260. πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον C. 481. παιδοβόροι μὲν πρῶτον ὑπῆρξαν μόχθοι τάλανες C. 1064. πρῶτον μὲν εὐχῇ τῇδε πρεσβεύω θεῶν τὴν πρωτόμαντιν Γαῖαν E. 1. πρῶτον ἐκ τῶν ὑστάτων τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα E. 421. τὴν μητέρ' εἰπὲ πρῶτον εἰ κατέκτονας E. 557. πρώτας δίκας κρίνοντες αἵματος χυτοῦ E. 652. εὐοδίαν μὲν πρῶτ' ἀπὸ στόματος χέομεν Glauc. Potn. 2. λοιβὰς, Διὸς μὲν πρῶτον—τὴν δευτέραν δὲ κρᾶσιν Ἥρωσιν νέμω Epig. 1. ποταμὲ Κάϊκε, χαῖρε πρῶτος Mys. 1. ἐν πρώτῃ χαρᾷ Phin. 1. πρώτιστα Fragm. Inc. 70.
Παίειν. πταίσας δὲ τῷδε πρὸς κακῷ, μαθήσεται V. 928. πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς A. 1607.
Πτανός. πτανοὶ κύνες A. 134.
Πτάξ. αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισιν A. 135.
Πτέρνη. πτέρναι, τενόντων θ' ὑπογραφαὶ μετρούμεναι ἐς ταυτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις C. 207.
Πτερόεις. βέλος βουκόλου πτερόεντος S. 552. κνώδαλα πτεροῦντα καὶ πεδοστιβῆ S. 979.
Πτερόν. πόνου δ' ἴδοις ἂν οὐδαμοῦ ταυτὸν πτερὸν S. 324. διαπάλλει πτερὸν κίρκου λεπάργου Fragm. Inc. 32. 4. κίρκον εἰσορῶ δρόμῳ πτεροῖς ἐφορμαίνοντα P. 203. λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς τετρασκελὴς οἰωνὸς V. 395. διὰ χερῶν

βέβακεν ὄψις πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις A. 414. πτερῶν ἄτερ E. 382. Παλλάδος δ' ὑπὸ πτεροῖς ὄντας ἅζεται πατὴρ E. 955. τάδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὐτῶν πτεροῖς ἁλισκόμεσθα Myrm. 2. 3.

Πτεροφόρος. περιβάλοντο γάρ οἱ πτεροφόρον δέμας θεοὶ A. 1118.

Πτερυγωκής. τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν γνώμῃ στομίων ἄτερ εὐθύνων V. 286.

Πτέρυξ. αἰθὴρ δ' ἐλαφραῖς πτερύγων ῥιπαῖς ὑποσυρίζει V. 126. ἀμπτᾶσα δ' ὡσεὶ κόνις ἄτερθε πτερύγων ὀλοίμαν S. 761. πτερύγων θοαῖς ἁμίλλαις προσέβα V. 128. πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι A. 52. ἅ τε χάρις λάμπει περὶ σὰν πτέρυγα χρύσεον Fragm. Inc. 23. 6.

Πτέρωμα. ἰδόντα μηχανὴν πτερώματος Myrm. 2. 3.

Πτερωτός. οὔτοι πτερωτῶν ἁρπαγαῖς σ' ἐκδώσομεν S. 505. σύθην δ' ἀπέδιλος ὄχῳ πτερωτῷ V. 135.

Πτηνός. Διὸς δέ τοι πτηνὸς κύων δάφοινος αἰετὸς λάβρως διαρταμήσει σώματος μέγα ῥάκος V. 1024. βλαστοῦσι δὲ καὶ πεδαίχμιοι λαμπάδες πεδάμεροι πτηνά τε καὶ πεδοβάμονα C. 584.

Πτῆσις. γαμψωνύχων τε πτῆσιν ὀρνίθων σκεθρῶς διώρισ' V. 486.

Πτήσσειν. ὁ δ' οὐδὲν ἄλλο γ' ἢ πτήξας δέμας παρεῖχε P. 205. στερεὰς οὔποτ' ἀπειλὰς πτήξας V. 174.

Πτοεῖσθαι. ἐξ ὕπνου κέκραγεν ἐπτοημένη C. 528.

Πτόλεμος. ἔστι δὲ κἀκ πτολέμου τειρομένοις βωμὸς Ἄρης φυγάσιν ῥῦμα, δαιμόνων σέβας S. 77.

Πτόλις. φυλάσσοι τ' ἀτιμίας πικρᾶς τὸ δήμιον, τὸ πτόλιν κράτυνει S. 680. Ἐτεοκλέης ἂν εἷς πολὺς κατὰ πτόλιν ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις T. 6. κῦμα γὰρ περὶ πτόλιν δοχμολόφων ἀνδρῶν καχλάζει T. 108. μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν T. 232. πολλὰ γὰρ εὖτε πτόλις δαμασθῇ, ἒ ἒ ἔ, δυστυχῆ τε πράσσει T. 320. ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει μαινομένᾳ φρενὶ T. 465. πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν T. 543. μέριμνα δ' ἀμφὶ πτόλιν T. 825. ὀλολυγμὸν ἄλλος ἄλλοθεν κατὰ πτόλιν ἔλασκον A. 581. Παλλάδος κατὰ πτόλιν μολὼν E. 79. πάντες οἱ κατὰ πτόλιν E. 969.

Πτύον. φάβα μέσην τὰ πλευρὰ πρὸς πτύοις πεπληγμένην Prot. 2. 2.

Πτώξ. ὁ Λατοῦς γὰρ ἶνίς μ' ἄτιμον τίθησιν τόνδ' ἀφαιρούμενος πτῶκα, ματρῷον ἅγνισμα κύριον φόνου E. 315.

Πτῶμα. βαθὺ πτῶμα S. 778. πότερα δόμοισι πτῶμα προσκυρεῖ νέον; C. 13. ἐπιχωρίοις πτώμασιν αἱματίσαι πέδον γᾶς S. 648. οὐδὲν γὰρ αὐτῷ ταῦτ' ἐπαρκέσει τὸ μὴ οὐ πεσεῖν ἀτίμως πτώματ' οὐκ ἀνασχετὰ V. 921.

Πτωσίμος. ἄπευκτα πτωσίμου στρατοῦ πήματα A. 648. ἅτε καὶ δορία πτώσιμος ξυνανύτει βίου δύντος αὐγαῖς A. 1094.

Πτωχός. πτωχὸς, τάλαινα, λιμόθνης A. 1247.

Πύθιος. ὁ Πύθιος ἄναξ A. 496.

Πυθικός. Ἀπόλλωνος βίᾳ, τρὶς εἰπόντος ἐν μεσομφάλοις Πυθικοῖς χρηστηρίοις T. 728.

Πυθμήν. οἷα νεάζει πυθμὴν δι' ἁμὸν γάμον τὸ θάλλος δυσπαραβούλοισι φρεσὶν S. 105. σμικροῦ γένοιτ' ἂν σώματος μέγας πυθμὴν C. 202. οὔτ' ἀρχικός σοι πᾶς ὅδ' αὐανθεὶς πυθμὴν βωμοῖς ἀρήξει C. 258. Δικὰς δ' ἐρείδεται πυθμὴν C. 636. γενειάδος πυθμὴν Glauc. Mar. 5. χθόνα δ' ἐκ πυθμένων αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι V. 1048.

Πυθόκραντος. τὰ πυθόκραντα δυσμαθῆ A. 1228.

Πυθόμαντις. ὁ πυθόμαντις Λόξιας C. 1026.

Πυθόχρηστος. Λοξίου μαντεύματα τὰ πυθόχρηστα C. 888. ἔλαχε δ' ἐς τὸ πᾶν ὁ πυθόχρηστος φυγὰς C. 928.

Πυθώ. ἔς τε Πυθὼ, κἀπὶ Δωδώνης πυκνοὺς θεοπρόπους ἴαλλεν V. 661.

Πυκάζεσθαι. τόξον εὖ πυκάζου T. 134.

Πυκνός. πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν T. 543. ἔς τε Πυθὼ, κἀπὶ Δωδώνης πυκνοὺς θεοπρόπους ἴαλλεν V. 661. πυκνοῖς ὄσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους V. 681. πεπλεκτανημέναι πυκνοῖς δράκουσιν C. 1046. ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων Myrm. 6. 2.

Πύκνωμα. *στόλον πέπλοισι βαρβάροισι καὶ πυκνώμασι χλίοντα* S. 233.

Πυλάδης. Πυλάδη C. 20. 555. 886.

Πύλη. *ἔς τ' ἐπάλξεις καὶ πύλας πυργωμάτων ὁρμᾶσθε πάντες* T. 30. *πυλῶν ἐπ' ἐξόδοις στάθητε* T. 33. *ὡς πάλῳ λαχὼν ἕκαστος αὐτῶν πρὸς πύλας ἄγοι λόχον* T 56. *ἄνδρας ἐκκρίτους πόλεως πυλῶν ἐπ' ἐξόδοισι ταγεῦσαι* T. 58. *πύλαις ἑβδόμαις προσίστανται* T. 118. *κόναβος ἐν πύλαις χαλκοδέτων σακέων* T. 145. *νιφάδος ὅτ' ἀλοᾶς νιφομένης βρόμος ἐν πύλαις* T. 195. *ἀραγμὸς ἐν πύλαις ὀφέλλεται* T. 231. *ὡς ἐν πύλαις ἕκαστος εἴληχεν πάλον* T. 358. *πρὸς πύλαισι Προιτίσι βρέμει* T. 359. *τίς Προίτου πυλῶν, κλείθρων λυθέντων προστατεῖν φερέγγυος;* T. 378. *Καπανεὺς ἐπ' Ἠλέκτραισιν εἰλήχει πύλαις* T. 405. *λέγ' ἄλλον ἄλλαις ἐν πύλαις εἰληχότα* T. 433. *τὸν ἐντεῦθεν λαχόντα πρὸς πύλαις λέξω* T. 438. *πύλαισι Νηΐτησι προσβαλεῖν λόχον* T. 442. *ἵπποι, θέλουσαι πρὸς πύλαις πεπτωκέναι* T. 444. *ἐκ πυλῶν χωρήσεται* T. 458. *γείτονας πύλας ἔχων Ὄγκας Ἀθάνας* T. 468. *φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται* T 482. *πύλαισι γείτων* T. 484. *πρόσθε πυλᾶν κεφαλὰν ἰάψειν* T. 506. *πέμπταισι προσταχθέντα Βοῤῥέαις πύλαις* T. 509. *οὐ μὴν ἀκόμπαστός γ' ἐφίσταται πύλαις* T. 520. *ἔσω πυλῶν ῥέουσαν (γλῶσσαν)* T. 539. *πρὸς πύλαις τεταγμένος Ὁμολωΐσιν* T. 552. *προσβαλεῖν πύλαις οὐχ ὡς ἄθυμον* T. 597. *τὸν ἕβδομον δὴ τόνδ' ἐφ' ἑβδόμαις πύλαις λέξω* T. 613. *μὴ Ἅιδης ὀδοὺς σὺ τάσδ' ἐφ' ἑβδόμαις πύλαις* T. 696. *πύλας φερεγγύοις ἐφραξάμεσθα μονομάχοισι προστάταις* T. 779. *ἔστακε δ' ἄτας τρόπαιον ἐν πύλαις* T. 937. *ἐπ' αὐταῖς στενοπόροις λίμνης πύλαις* V. 731. *βέβακεν ῥίμφα διὰ πυλῶν* A. 396. *πύλας ἀνοῖξαι* A. 590. *Αἴδου πύλας δὲ τάσδ' ἐγὼ προσεννέπω* A. 1264. *ἥξω ξὺν ἀνδρὶ τῷδ' ἐφ' ἑρκείους πύλας* C. 554. *τί δὴ πύλῃσι τὸν ἱκέτην ἀπείργεται Αἴγισθος;* C. 562. *εἰ δ' ἀμείψω βηλὸν ἕρκειον πυλῶν* C. 564. *ποῖ δὴ πατεῖς, Κίλισσα, δωμάτων πύλας;* C. 721. *γυναικείας πύλας μοχλοῖς χαλᾶτε* C. 865.

Πύλωμα. *τόνδ' ἀντιτάξω προστάτην πυλωμάτων* T. 390. *καλῶς ἔχει τὰ πλεῖστ' ἐν ἓξ πυλώμασι* T. 781.

Πυλωρός. *ἐχθρόξενον πυλωρὸν ἀντιτάξομεν* T. 603.

Πυνθάνεσθαι. *ὅταν τὰ λοιπὰ πυνθάνῃ κακὰ* V. 746. *πυνθάνου δὲ τῶν ξένων* C. 835. *πάρος δ', οἱ κτανόντες νιν, οὕτως δαμῆναι, θανατηφόρον αἶσαν πρύσσω τινὰ πυνθάνεσθαι τῶνδε πόνων ἄπειρον* C. 364.

Πῦρ. *ἐν ὠσὶ νωμῶν, καὶ φρεσὶν, πυρὸς δίχα χρηστηρίους ὄρνιθας ἀψευδεῖ τέχνῃ* T. 25. *στράτευμ' ἁπτόμενον πυρὶ δαΐῳ (πόλιν)* T. 204. *λιγνὺν μέλαιναν, αἰόλην πυρὸς κάσιν* T. 476. *ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθεὶς θηκτὸς σίδαρος* T. 924. *παντέχνου πυρὸς σέλας* V. 7. *πυρὸς πηγὴ κλοπαία* V. 109. *πῦρ ἐγώ σφιν ὤπασα* V. 252. *ἔνθεν ἐκραγήσονταί ποτε ποταμοὶ πυρὸς* V. 368. *πυρὶ φλέξον, ἢ χθονὶ κάλυψον* V. 582. *πυρὸς βροτοῖς δοτῆρ' ὁρᾷς Προμηθέα* V. 615. *τὸν πυρὸς κλέπτην λέγω* V. 948. *πρὸς ταῦτ' ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν πυρὸς ἀμφήκης βόστρυχος* V. 1046. *αὐγὴ πυρὸς* A. 9. *εὐαγγέλου φανέντος ὀρφναίου πυρὸς* A. 21. *φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς ἔπεμπεν* A. 273. *Γραίας ἐρείκης θωμὸν ἅψαντες πυρὶ* A. 286. *ἐκδοχὴ πομποῦ πυρὸς* A. 290. *ὤτρυνε θεσμὸν μὴ χαρίζεσθαι πυρὸς* A. 295. *φάος τόδ' οὐκ ἄπαππον Ἰδαίου πυρὸς* A. 303. *πυρὸς δ' ὑπ' εὐαγγέλου πόλιν διήκει θοὰ βάξις* A. 462. *φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγὰς* A. 476. *σημανεῖ καπνῷ πυρὸς* A. 483. *ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρὸς* A. 574. *ξυνώμοσαν γὰρ, ὄντες ἔχθιστοι τὸ πρὶν, πῦρ καὶ θάλασσα* A. 637. *ἔστηκεν ἤδη μῆλα πρὸς σφαγὰς πυρὸς* A. 1207. *παπαῖ, οἷον τὸ πῦρ· ἐπέρχεται δέ μοι* A. 1229. *ἕως ἂν αἴθῃ πῦρ ἐφ' ἑστίας ἐμῆς Αἴγισθος* A. 1410. *πυρὸς μαλερὰ γνάθος* C. 322. *πῦρ καὶ φῶς ἐπ' ἐλευθερίᾳ δαίων* C. 850. *φθέγγος ἄφθιτον πυρὸς* C. 1033. *ἐπ' ἐσχαρᾷ πυρὸς* E. 108. *σὺ δ' αἱματηρὸν πνεῦμ' ἐπουρίσασά τῳ, ἀτμῷ κατισχναίνουσα, νηδύος πυρὶ, ἕπου, μάραινε δευτέροις διώγμασι* E. 133. *τὸ φέγγος ὁρμάσθω πυρὸς* E. 983. *λέβης ἀεὶ φυλάσσων*

τὴν ὑπὲρ πυρὸς στάσιν Ath. 1. 2. ποτὲ μὲν ὡς πῦρ φαίνεται Fragm. Inc. 168. 1. παῦ' ὕδωρ δίκην πυρὸς Fragm. Inc. 34. ἕψου πυρὶ Fragm. Inc. 52. ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας κύκλῳ παρίστατ' Fragm. Inc. 108.

Πυραύστης. δέδοικα μῶρον κάρτα πυραύστου μόρον Fragm. Inc. 30.

Πυργηρεῖσθαι. πυργηρουμένοις καλῶς τὰ πλείω πόλεμος ἐκ θεῶν κυρεῖ T. 22. στρατῷ τε τῷδε πυργηρουμένῳ θάρσος T. 166.

Πύργινος. ἠδὲ νομίσματα πύργινα πάντ' ἐπεύθυνον P. 844.

Πυργοδάϊκτος. ἐπέσκηψε δὲ Πέρσαις πολέμους πυργοδαΐκτους διέπειν P. 105.

Πύργος. κρεῖσσον δὲ πύργου βωμὸς S. 187. κατὰ χέρσον ἐληλαμέναι περὶ πύργον τοῦδ' ἄνακτος ἄϊον P. 852. πύργον στέγειν εὔχεσθε πολέμιον δόρυ T. 198. δυσμενέων δ' ὄχλον πύργος ἀποστέγει T. 216. στείχει πρὸς ἐχθρῶν πύργον, ἐκπέρσαι θέλων T. 449. μεταξὺ δ' ἀλκὰ δι' ὀλίγου τείνει πύργος ἐν εὔρει T. 745. στέγει δὲ πύργος T. 779. πύργον ὠμηστὴς λέων ὑπερθορὼν A. 801. πόλις πύργων βαθείᾳ μηχανῇ κεκλείμενη S. 934. ἐπὶ σέλμασι πύργων στάθητε T. 33. τοὶ μὲν γὰρ ποτὶ πύργους στείχουσιν T. 277. οἱ ἔξω πύργων T. 296. πύργοις ἀπειλεῖ δεινὰ T. 408. πύργοις ἀπειλεῖ τοῖσδ' ἃ μὴ κραίνῃ θεὸς T. 531. πύργων δ' ἔκτοθεν βαλὼν Ζεύς σφε κάνοι κεραυνῷ T. 611. πύργοις ἐπεμβὰς T. 616. στένουσι πύργοι T. 883. πάντα δὲ πύργων κτήνη μοῖρ' ἀλαπάξει A. 127. ἐπὶ Τροίας πύργοις ἔβαλες στεγανὸν δίκτυον A. 348.

Πυργοῦσθαι. ἡ μὲν τῇδ' ἐπυργοῦτο στολῇ P. 188.

Πυργοφύλαξ. ἰὼ γᾶς τᾶσδε πυργοφύλακες T. 152.

Πύργωμα. ἐς πύλας πυργωμάτων ὁρμᾶσθε T. 30. μὴ προδῷς πυργώματα T. 233. ὡς οὐδ' ἂν Ἄρης σφ' ἐκβάλοι πυργωμάτων T. 451.

Πυργῶτις. ποτὶ πόλιν δ' ὀρκάνα πυργῶτις T. 328.

Πυρδαής. τὰν ἁ παιδολύμας τάλαινα Θεστιὰς μήσατο πυρδαῆ τινα πρόνοιαν C. 598.

Πυριγενέτης. πυριγενέται χαλινοὶ T. 189.

Πυρίδαπτος. πυριδάπτῳ λαμπάδι τερπόμεναι E. 993.

Πυρίφατος. μήποτε πυρίφατον Πελασγίαν πόλιν τὸν ἄχορον βοὰν κτίσαι μάχλον Ἄρη S. 627.

Πυρίφλεκτος. κάμακες πεύκης οἱ πυρίφλεκτοι Xantr. 3.

Πυρόν. ἄτιμος ἐν πυροῖσι κνισσωτοῖς χθονὸς C. 478.

Πυροῦν. στέγην πυρώσω Orith. 267. 4. μακρὰν ὀσφὺν πυρώσας V. 495. πυρωθὲν ἐξ Ἰλίου φίλοισι πέμπει βαρὺ ψῆγμα A. 428. φλογὸς παραγγέλμασιν νέοις πυρωθέντα καρδίαν A. 468.

Πυρπνόος. Τυφῶν' ἱέντα πυρπνόον διὰ στόμα λιγνὺν μέλαιναν T. 475. ὁ μὲν γὰρ πυρπνόον Τυφῶν' ἔχει T. 493. τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον θερμοῖς ἀπλήστου βέλεσι πυρπνόου ζάλης V. 371. τινάσσων χερσὶ πυρπνόον βέλος V. 919.

Πυῤῥός. πυῤῥὰν ζαπληθῆ δάσκιον γενειάδα ἔτεγγον P. 308.

Πυρσοκόρσος. πυρσοκόρσου λέοντος Fragm. Præc. 3.

Πυρφορεῖν. ἄλλος δ' ἄλλον ἄγει, φονεύει, τὰ δὲ καὶ πυρφορεῖ T. 323.

Πυρφόρος. ἔχει δὲ σῆμα, γυμνὸν ἄνδρα πυρφόρον V. 414. πέποιθα δ' αὐτῷ ξὺν δίκῃ τὸν πυρφόρον ἥξειν κεραυνὸν T. 426. δόμους Ἀμφίονος καταιθαλώσω πυρφόροισιν αἰετοῖς Niobe 6.

Πυρωπός. ἐν ᾗ πυρωπὸν μηνὸς ἐκλάμψαι φλόγα Fragm. Inc. 31. 4. πυρωπὸν ἐκ Διὸς μολεῖν κεραυνὸν V. 670.

Πύστις. καὶ τῶνδε πύστις οὐκ ὄκνῳ χρονίζεται T. 53.

Πω. ἀλλ' οὔτι πω τοιόνδ' ἐναργὲς εἰδόμην P. 175. ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω V. 28. ἀλλ' οὔτι πω τοιόνδε πῆμ' ἀνεσχόμην C. 736. νῦν δ' οὐ κέκραγά πω τὸ γενναῖον μέλος Fragm. Or. 1.

Πῶ. ἰὼ ἰώ, ποποῖ, πῶ πῶ πῶ· πῇ μ' ἄγουσι τηλέπλανοι πλάναι V. 577. τίς ὁ μαρτυρήσων; πῶ πῶ A. 1489.

Πώγων. ἀνδαίοντες ἀφθόνῳ μένει φλογὸς μέγαν πώγωνα A. 297.

Πωλικός. πρὶν πωλικῶν ἑδωλίων ὑπερκόπῳ δορί ποτ' ἐκλαπάξαι T. 437.

Πῶλος. δακὼν δὲ στόμιον ὡς νεοζυγὴς πῶλος, βιάζῃ καὶ πρὸς ἡνίας μάχῃ V. 1012. τὸν δὲ μὴ πειθάνορα ζεύξω βαρείαις οὔτι μὴ σειραφόρον κριθῶντα πῶλον A. 1625. ἀνδρὸς φίλου πῶλον εὔνιν ζυγέντ' ἐν ἅρματι πημάτων C. 783. πώλοις ἀκμαίοις τόνδ' ἐπιζεύξασ' ὄχον E. 383. ὃς εἶχε πώλους τέτταρας ζυγηφόρους φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας Fragm. 73. ἐν διῤῥυμίᾳ πῶλοι Fragm. 74.

Πῶμα. ποταμοὶ διὰ χώρας θελεμὸν πῶμα χέουσι S. 1007. ἀπὸ δὲ σοῦ βοσκὰν φεροίμαν πώματος δυσπότου E. 256. ὕδωρ τε Διρκαῖον εὐτρεφέστατον πωμάτων T. 290.

Πῶς. ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών; πῶς δ' ἂν γαμῶν ἄκουσαν ἄκοντος πάρα ἁγνὸς γένοιτ' ἄν; S. 223. πῶς οὖν τελευτᾷ βασιλέων νείκη τάδε; S. 294. ἀλλὰ πῶς πατρῷα δώματα λιπεῖν ἔτλητε; S. 322. πῶς οὖν πρὸς ὑμᾶς εὐσεβὴς ἐγὼ πέλω; S. 335. πῶς οὐχὶ τἀνάλωμα γίγνεται πικρόν; S. 471. ἐγὼ δὲ πῶς δρῶ; S. 500. καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με; S. 504. τέλεα δέ μοι πῶς, πελόμενά μοι λύσιμα; S. 791. πῶς δ' οὐχί; S. 896. πῶς φῶ, πρὸς τίνος τ' ἀφαιρεθεὶς ἥκειν γυναικῶν αὐτανέψιον στόλον; S. 910. πῶς ἄρα πράσσει Ξέρξης βασιλεύς; P. 140. πῶς ἂν οὖν μένοιεν ἄνδρας πολεμίους ἐπήλυδας; P. 239. πῶς τε δὴ καὶ ποῖ τελευτᾷ; P. 721. πῶς τάδ' οὐ νόσος φρενῶν εἶχε παῖδ' ἐμόν; P. 735. πῶς ἂν ἐκ τούτων ἔτι πράσσοιμεν ὡς ἄριστα; P. 774. πῶς τοῦτ' ἔλεξας; P. 779. πῶς εἶπας; P. 784. πῶς δ' εὖ; P. 975. πῶς σοι σύμμαχος γενήσεται; T. 548. ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων οἷόν τε πῶς; V. 41. πῶς λιπόναυς γένωμαι; A. 205. πῶς φῄς; A. 259. πῶς δὴ διδαχθεὶς τοῦδε δεσπόσω λόγου; A. 529. πῶς σε προσείπω; A. 759. πῶς φράσω τέλος; A. 1081. καὶ πῶς; τόδ' ὄζει θυμάτων ἐφεστίων A. 1283. βασιλεῦ, βασιλεῦ, πῶς σε δακρύσω; A. 1469. πῶς εὔφρον' εἴπω; C. 86. πῶς δ' οὐ τὸν ἐχθρὸν ἀνταμείβεσθαι κακοῖς; (εὐσεβὲς) C. 121. τὸ μὴ φρονοῦν γάρ, ὡσπερεὶ βοτόν, τρέφειν ἀνάγκη, πῶς γὰρ οὔ; C. 743. ἔα, ἔα μάλα, πῶς ἔχει; πῶς κέκρανται δόμοις; C. 858. πῶς δή; E. 192. πῶς δή; δίδαξον E. 409. ὦ Φοῖβ' Ἄπυλλον, πῶς ἀγὼν κριθήσεται; E. 714.

Πως. τό τ' εἰπεῖν εὐπετὲς μύσαγμά πως S. 973. θεοῖς μὲν ἤδη πως παρημελήμεθα T. 684. ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι νόσημα V. 224. ἀλλὰ μὴ γένοιτό πως A. 1222. πεπραγμένοι γὰρ νῦν γέ πως ἁλώμεθα πρὸς τῆς τεκούσης C. 130.

Πώτημα. ὑπέρ τε πόντον ἄπτεροις πτερώμασιν ἦλθον διώκουσ' E. 241.

Ρ.

Ῥάβδος. ἐγὼ δὲ πρός σε πότερον ὡς ἔτην λέγω, ἢ τηρὸν ἱεροῦ ῥάβδον, ἢ πόλεως ἀγόν; S. 245.

Ῥαδινός. ῥαδινὸν λειβομένα ῥέος παρειὰν νοτίοις ἔτεγξα παγαῖς V. 399.

Ῥαίειν. ἀλλ' ἔμπας μαλακογνώμων ἔσται ποθ', ὅταν ταύτῃ ῥαισθῇ V. 188.

Ῥαίνειν. ἀκτὰς ἀμφὶ Κυχρείας ἔῤῥανται P. 563.

Ῥαιστήρ. ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει ῥαιστῆρι θεῖνε V. 56.

Ῥάκος. αἰετὸς διαρταμήσει σώματος μέγα ῥάκος V. 1025.

Ῥαντήριος. ἀνδρὸς σφαγεῖον καὶ πέδον ῥαντήριον A. 1062.

Ῥάων. τὴν πεπρωμένην δὲ χρὴ αἶσαν φέρειν ὡς ῥᾷστα V. 103.

Ῥαφεύς. ἐγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεὺς A. 1586.

Ῥαχία. ἁλιστόνοις πόδας χρίμπτουσα ῥαχίαισιν ἐκπερᾶν χθόνα V. 715.

Ῥαχίζειν. θραύσμασίν τ' ἐρειπίων ἔπαιον, ἐῤῥάχιζον P. 418.

Ῥάχις. ὑπὸ ῥάχιν παγέντες E. 181.

Ῥέα. τὴν παρακτίαν κέλευθον ἦξας πρὸς μέγαν κόλπον Ῥέας V. 839.

Ῥέγκειν. ῥέγκουσι δ' οὐ πλαστοῖσι φυσιάμασιν E. 53.

Ῥέεθρον. πήγνυσιν δὲ πᾶν ῥέεθρον ἁγνοῦ Στρυμόνος P. 489. μιαίνων παρθενοσφάγοισιν ῥεέθροις πατρῴας χέρας A. 203.

Ῥέζειν. τί ῥέξεις; προδώσεις τὰν σὰν γᾶν; T. 100. τί ῥέξω; E. 758. τί σοι φάμενος, ἢ τί ῥέξας, τύχοιμ' ἀνέκαθεν οὐρίσας C. 314.

Ῥεῖν. αἰδοῖον εὖ ῥέοντα πρόξενον λαβεῖν S. 486. Ἑλλήσποντον ἱερὸν, δοῦλον ὥς, δεσμώμασιν ἤλπισε σχέθειν ῥέοντα P. 732. ὃς οὐκ ἐάσει γλῶσσαν, ἐργμάτων ἄτερ, ἔσω πυλῶν ῥέουσαν, ἀλδαίνειν κακὰ T. 539. Βακτρίων δ' ἔῤῥει πανώλης δῆμος P. 718. ῥεῖ πολὺς ὅδε λεὼς πρόδρομος ἱππότας T. 81.

Ῥεῖθρον. ὅταν περάσης ῥεῖθρον V. 792.

Ῥέος. δακρυσιστάκτων δ' ἀπ' ὄσσων ῥαδινὸν λειβομένα ῥέος παρειὰν νοτίοις ἔτεγξα παγαῖς V. 399. ἦσσον πρὸς εὔποτόν τε Κεγχρείας ῥέος, Λέρνης ἄκρην τε V. 679. ἔνθα Βυβλίνων ὀρῶν ἄπο ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος V. 814.

Ῥέπειν. καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει στέργηθρον C. 237. κάτω γὰρ ἁγναῖς παρθένοις γαμηλίων λέκτρων ἀγεύστοις, βλεμμάτων ῥέπει βολὴ Fragm. Sag. 1. τίν' αὖ φῇς τήνδε συμφορὰν στρατῷ ἐλθεῖν κακῶν ῥέπουσαν ἐς τὰ μάσσονα P. 432. ἐς τόδ' ἦμαρ εὖ ῥέπει θεὸς T. 21. τί, τῶνδ' ἐξ ἴσου ῥεπομένων, μεταλλαγεῖς τὸ δίκαιον ἔρξαι; S. 400.

Ῥεῦμα. δόκιμος δ' οὔτις ὑποστὰς μεγάλῳ ῥεύματι φώτων P. 88. τὰ πρῶτα μὲν δὴ ῥεῦμα Περσικοῦ στρατοῦ ἀντεῖχε P. 404. τοῦ περὶ πᾶσάν θ' εἱλισσομένου χθόν' ἀκοιμήτῳ ῥεύματι παῖδες πατρὸς Ὠκεανοῦ V. 139. ῥεῦμ' ἐπώνυμον λιπὼν V. 300. Νεῖλος ἑπτάρους γαῖαν κυλίνδων ῥευμάτων ἐπομβρίαις Fragm. Inc. 31. 3.

Ῥηγνύναι. πέπλους ῥήγνυσιν ἀμφὶ σώματι P. 195. ῥήξας τε πέπλους, κἀνακωκύσας λιγὺ P. 460. πολλῶν ῥαγεσῶν ἐλπίδων μιᾶς τυχὼν A. 491. αἶ αἶ, κακῶν δὴ πέλαγος ἔῤῥωγεν μέγα Πέρσαις τε, καὶ πρόπαντι βαρβάρων γένει P. 425.

Ῥήγιον. ἀφ' οὗ δὴ Ῥήγιον κικλήσκεται Prom. Sol. 12.

Ῥῆσις. μακράν γε μὲν δὴ ῥῆσιν οὐ στέργει πόλις S. 276. τοιάνδ' ἔπειθε ῥῆσιν ἀμφ' ἡμῶν λέγων ἄναξ Πελασγῶν S. 610. ἅπαξ ἔτ' εἰπεῖν ῥῆσιν ἢ θρῆνον θέλω ἐμὸν τὸν αὐτῆς A. 1295. Ἰωνικὴν ῥῆσιν ἐκτείνας Fragm. Inc. 68.

Ῥητός. εἰ ῥητὸν, φράσον V. 767. οὐ γὰρ ῥητὸν αὐδᾶσθαι τάδε V. 768.

Ῥίζα. ῥίζαν αἱματόεσσαν ἔτλα T. 737. ῥίζης γὰρ οὔσης, φυλλὰς ἵκετ' ἐς δόμους A. 940. ῥίζῃσιν Αἰτναίαις ὕπο V. 365. χθόνα δ' ἐκ πυθμένων αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι V. 1049.

Ῥίζωμα. σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο, ῥίζωμ' ἀνεῖται T. 395.

Ῥίμφα. βέβακεν ῥίμφα διὰ πυλᾶν A. 395.

Ῥινηλατεῖν. καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων A. 1158.

Ῥιπή. τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ διόθεν τεύχουσα φόβον στείχει φανερῶς V. 1091. αἰθὴρ δ' ἐλαφραῖς πτερύγων ῥιπαῖς ὑποσυρίζει V. 126. ἐν δ' ὀνείρασιν λεπταῖς ὑπαὶ κώνωπος ἐξηγειρόμεν ῥιπαῖσι θωΰσσοντος A. 867. ῥιπαὶ μὲν δὴ πατρὸς Hel. 61.

Ῥίπτειν. τραχεῖς καὶ τεθηγμένους λόγους ῥίψεις V. 313. ἔῤῥιψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας V. 750. τεκοῦσα γάρ μ' ἔῤῥιψας ἐς τὸ δυστυχὲς C. 900. ἔς τε κελαινὸν Τάρταρον ἄρδην ῥίψειε δέμας τοὐμὸν V. 1053. οὐ μὴν πλέω ῥίψασ' ἀτιμωθήσομαι A. 1038. ῥιπτέσθω μὲν αἰθαλοῦσα φλὸξ V. 995. ἐπ' ἐμοὶ ῥιπτέσθω μὲν πυρὸς ἀμφήκης βόστρυχος V. 1044.

Ῥίψοπλος. τοῖς ἔξω πύργων ῥίψοπλον ἄτην ἐμβαλόντες T. 297.

Ῥόδος. Λῆμνον, Ἰκάρου θ' ἕδος, καὶ Ῥόδον P. 863.

Ῥοὴ (malum Punicum) Fragm. 61.

Ῥοή. ἔνθα πεδίον Ἀσωπὸς ῥοαῖς ἄρδει P. 761. ἐπ' Εὐρίπου ῥοὰς A. 283.

Ῥοθιάς. κώπης ῥοθιάδος ξυνεμβολῇ ἔπαισαν ἅλμην βρύχιον P. 388.

Ῥόθιον. πολλὰ δ' ἀκριτόφυρτος γᾶς

δόσις οὐτιδανοῖς ἐν ῥοθίοις φορεῖται T. 344. κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ συγχώσειε V. 1050.

'Ρόθος. καὶ μὴν παρ' ἡμῶν Περσίδος γλώσσης ῥόθος ὑπηντίαζε P. 398. τέλος δ' ἐφορμηθέντες ἐξ ἑνὸς ῥόθου παίουσι P. 454.

'Ροιβδεῖν. πτερῶν ἄτερ ῥοιβδοῦσα κόλπον αἰγίδος E. 382.

'Ρόος. Βόσπορος ῥόος θεοῦ P. 732.

'Ροπή. τοιάδ' ἐπ' αὐτοὺς ἦλθε συμφορὰ πάθους, ὡς τοῖσδε καὶ δὶς ἀντισηκῶσαι ῥοπῇ P. 429. ῥοπὴ δ' ἐπισκοπεῖ δίκαν C. 59.

'Ρόσαται S. 863.

'Ροφεῖν. ἀπὸ ζῶντος ῥοφεῖν ἐρυθρὸν ἐκ μελέων πέλανον E. 254.

'Ρύεσθαι. οἱ δὴ Κάδμου πύργους τούσδε ῥύεσθε T. 806. στρατὸν Καδμογενῆ ῥύεσθε T. 285. καὶ πῶς βέβηλον ἄλσος ἂν ῥύοιτό με; S. 504. τίς ἄρα ῥύσεται; T. 90. ἐγὼ δ' ἀρήξω τὸν ἱκέτην τε ῥύσομαι E. 223.

'Ρυθμίζειν. ἀνηλεῶς ὧδ' ἐῤῥύθμισμαι, Ζηνὶ δυσκλεὴς θέα V. 241.

'Ρυθμός. τίς ἂν σωζόμενον ῥυθμὸν τόδ' ἰδεῖν δάπεδον ἀνομένων πημάτων ὄρεγμα; C. 787. τρίγωνοι ῥυθμοὶ Fragm. Thal. 1.

'Ρῦμα. ἔστι δὲ κἀκ πτολέμου τειρομένοις βωμὸς Ἄρης φυγάσιν ῥῦμα S. 77. πότερον τόξου ῥῦμα τὸ νικῶν; P. 143.

'Ρύπαι. Βοῦραν δ' ἱεράν τε, καὶ κεραυνίας 'Ρύπας Fragm. I. 56.

'Ρυσιάζειν. μήτ' ἴδῃς μ' ἐξ ἑδρῶν πολυθέων ῥυσιασθεῖσαν S. 419.

'Ρυσίβωμος. ῥυσίβωμον ἄγαλμα E. 880.

'Ρύσιον. Ἔπαφος ἀληθῶς ῥυσίων ἐπώνυμος S. 310. μήτε δῆρις ῥυσίων ἐφάψεται S. 407. ῥυσίων ἐφάπτορες S. 709. ὀφλὼν γὰρ ἁρπαγῆς τε καὶ κλοπῆς δίκην, τοῦ ῥυσίου θ' ἥμαρτε, καὶ πανώλεθρον αὐτόχθονον πατρῷον ἔθρισεν δόμον A. 521.

'Ρύσιος. διωγμοῖσι δὲ, ἀσφαλίας ἀδμήτας ἀδμήτα ῥύσιος γενέσθω S. 141.

'Ρυσίπτολις. ῥυσίπτολις γενοῦ T. 121.

'Ρυτήρ. πόλεως ῥυτῆρες, εὔεδροί τε στάθητε T. 300.

'Ρυτός. ῥυτᾶς ἁλὸς A. 1382. ῥυτοὶ πόροι E. 430.

'Ρώμη. λέλυται γὰρ ἐμῶν γυίων ῥώμη P. 877.

'Ρῶπος. ὅστις ῥῶπον ἐξάγει χθονὸς Fragm. Phr. 1. 2.

Σ.

Σάγη. παντελῆ σάγην ἔχων C. 552. αὐτόφορτος οἰκείᾳ σάγῃ στείχων C. 664. ἔγχη σταδαῖα, καὶ φεράσπιδες σάγαι P. 236. ἑπτὰ δ' ἀγήνορες πρέποντες στρατοῦ, σάγαις δορυσσόοις, πύλαις ἑβδόμαις προσίστανται T. 118. τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σάγαις βοᾷ παρ' ὄχθαις ποταμίαις T. 373.

Σαίνειν. τί οὖν ἔτ' ἂν σαίνοιμεν ὀλέθριον μόρον; T. 686. σαίνειν μόρον τε καὶ μάχην ἀψυχίᾳ T. 365. τὰ δοκοῦντ' εὐφρόνως ἐκ διανοίας ὑδαρεῖ σαίνειν φιλότητι A. 772. πάρεστι σαίνειν, τὰ δ' οὐχὶ θέλγεται C. 414. φιλόφρων γὰρ σαίνουσα τὸ πρῶτον, παράγει βροτὸν εἰς ἀρκύστατα P. 97. φαιδρωπὸς σαίνων τε γαστρὸς ἀνάγκαις A. 708. σαίνομαι δ' ὑπ' ἐλπίδος C. 192.

Σάκος. κρεῖσσον δὲ πύργου βωμὸς, ἄῤῥηκτον σάκος S. 187. ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος T. 43. πανσέληνος ἐν μέσῳ σάκει λαμπρὰ T. 371. ἔχοντ' ἄφιλον ἐν σάκει τοῦ χθονίου δέμας δαίμονος T. 504. φέρει πόλεως ὄνειδος ἐν χαλκηλάτῳ σάκει, κυκλωτῷ σώματος προβλήματι T. 521. ἔχει δὲ καινοπηγὲς εὔθετον σάκος T. 624. κόναβος ἐν πύλαις χαλκοδέτων σακέων T. 145.

Σάκτωρ. γᾶ δ' αἰάζει τὰν ἐγγαίαν ἥβαν Ξέρξᾳ κταμέναν, Αἴδου σάκτορι Περσῶν T. 888.

Σάλα Fragm. I. 155.

Σαλαμινιάς. ἐπ' ἀκταῖς Σαλαμινιάσι P. 926.

Σαλαμίς. πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων Σαλαμῖνος ἀκταὶ P. 265. ὦ πλεῖστον ἔχθος ὄνομα Σαλαμῖνος κλύειν P. 276. νῆσός τις ἐστὶ πρόσθεν Σαλαμῖνος τόπων P. 438.

Σαλαμίς (urbs Cypri). Σαλαμῖνά τε, τᾶς νῦν ματρόπολις τῶνδ' αἰτία στεναγμάτων P. 864.

Σαλεύειν. καὶ μὴν ἔργῳ κοὐκ ἔτι μύθῳ χθὼν σεσάλευται V. 1083.

Σαλμυδήσιος. τραχεῖα πόντου Σαλμυδησία γνάθος V. 728.

Σάλπιγξ. σάλπιγξ δ' ἀϋτῇ πάντ' ἐκεῖν' ἐπέφλεγε P. 387. ἵππος βοὴν σάλπιγγος ὁρμαίνει μένων T. 376. διάτορος Τυρσηνικὴ σάλπιγξ βροτείου πνεύματος πληρουμένη E. 538.

Σάμος. Λέσβος, ἐλαιόφυτός τε Σάμος P. 858.

Σαργάνη. θέλοιμι δ' ἂν μορσίμου βρόχου τυχεῖν ἐν σαργάναις S. 769.

Σάρδεις. καὶ πολύχρυσοι Σάρδεις ἐπόχους πολλοῖς ἅρμασιν ἐξορμῶσιν P. 45. Σάρδεσι πένθος παρασχὼν P. 308.

Σάρκινος. μὴ θεὸν δόκει ὅμοιον αὐτῷ σάρκινον καθεστάναι Fragm. I. 168. 2.

Σάρξ. γέροντα τὸν νοῦν, σάκρα δ' ἡβῶσαν φέρει T. 604. ἡμεῖς δ' ἀτίται σαρκὶ παλαιᾷ τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες μίμνομεν A. 72. τούτου δὲ σάρκας οὐδὲ κοιλογάστορες λύκοι πάσονται T. 1026. κλαιομένα τάδε βρέφη σφαγῆς, ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας A. 1068. νόσους σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις C. 278. φαγέδαινα, ἥ μου σάρκας ἐσθίει ποδὸς Philoct. 4.

Σαρπηδόνιος. κατὰ Σαρπηδόνιον χῶμα S. 848.

Σαρωνικός. Σαρωνικοῦ πορθμοῦ κάτοπτον πρῶν' ὑπερβάλλειν A. 297.

Σάσσειν. τοιῶνδε μέντοι πημάτων σεσαγμένον πρέπει λέγειν παιᾶνα τόνδ' Ἐριννύων A. 630.

Σαύρα. σαύρας, ὑποσκίοισιν ἐν ψυκτηρίοις Fragm. Juv. 1.

Σαυτοῦ. ὅπως μὴ σαυτὸν οἰκτιεῖς ποτε V. 68. πολλῷ γ' ἀμείνων τοὺς πέλας φρονεῖν ἔφυς, ἢ σαυτὸν V. 337. γίνωσκε σαυτὸν V. 309. ἀλλ' ἡσύχαζε, σαυτὸν ἐκποδὼν ἔχων V. 344. μὴ νῦν βροτοὺς μὲν ὠφέλει καιροῦ πέρα, σαυτοῦ δ' ἀκήδει δυστυχοῦντος V. 506. ἡλίου πρὸς ἀντολὰς στρέψασα σαυτὴν V. 710. μηδὲ σαυτῆς ἐκμαθεῖν ζήτει πόνους V. 778. ἐς τάσδε σαυτὸν πημονὰς καθώρμισας V. 967. ἰδοῦσα κουρὰν τήνδε κηδείου τριχὸς σαυτῆς ἀδελφοῦ συμμέτρου τῷ σῷ κάρᾳ C. 225.

Σάφα. σάφ' οἶδ' ἐγὼ S. 721. πλῆθος μὲν οὖν σάφ' ἴσθ' ἕκατι βαρβάρους ναυσὶν κρατῆσαι P. 330. τίς φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ; οὐδείς, σάφ' οἶδα V. 542. σάφ' εἰδότας χρὴ τῶνδε μυθοῦσθαι πέρι, τὸ γὰρ τοπάζειν τοῦ σάφ' εἰδέναι δίχα A. 1341. σάφ' ἴσθι A. 1599. ἀλλ' εὖ σάφ' ἦν ἢ τόνδ' ἀποπτύσαι πλόκον C. 195. ἐρεῖ, σάφ' ἴσθι C. 567. ἔνθ' οὗ μάχης, σάφ' οἶδα, καὶ θοῦρός περ ὤν, μέμψῃ Prom. Sol. 6. 3.

Σαφήνεια. σαφηνείᾳ λόγου εἰδὼς τὰ τῶν θύραθεν, ἀβλαβὴς ἔστῃ T. 67.

Σαφηνής. σαφηνῆ βάγματα P. 626. λόγος κρατεῖ σαφηνὴς P. 724.

Σαφηνίζειν. τοῦτο δὴ σαφηνιῶ V. 227. τοσοῦτον ἀρκῶ σοι σαφηνίσαι μόνον V. 624. ἐξιστορήσας καὶ σαφηνίσας ὁδὸν C. 667.

Σαφηνῶς. τὰ λοιπά σοι φράσω σαφηνῶς V. 783.

Σαφής. σαφῆ δ' ἀκούεις, ἐξ ἐλευθεροστόμου γλώσσης S. 925. φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν P. 245. σαφές τί μοι λέξον P. 691. ἥκω σαφῆ τακεῖθεν ἐκ στρατοῦ φέρων T. 40. ἄναυδος, σαφής, ἔτυμος ἄγγελος T. 85. σαφεῖ δὲ μύθῳ πᾶν ὅπερ προσχρῄζετε πεύσεσθε V. 644. σοί τοι λέγουσα παύεται σαφῆ λόγον A. 1017. ὠμμάτωσα γὰρ σαφέστερον S. 462. εἰδὼς ἐννέπω σαφέστερον S. 908. ὡς σαφέστερον ἐλθὼν πύθηται ταῦτα C. 724. λέγ' αὖθις, ὡς μάθω σαφέστερον C. 756. οἶκος δ' αὐτὸς, εἰ φθογγὴν λάβοι, σαφέστατ' ἂν λέξειεν A. 38.

Σαφῶς. ὡς κάρτα μοι σαφῶς ἐδήλωσας

κακὰ P. 510. εὖ γὰρ σαφῶς τόδ' ἴστε P. 770. σαφῶς μ' ἐς οἶκον σὸς λόγος στέλλει πάλιν V. 387. ἐναργὴς βάξις ἦλθεν Ἰνάχῳ σαφῶς ἐπισκήπτουσα V. 667. σαφῶς ἐκμάνθανε V. 819. σαφῶς ἐπίσπασ' V. 842. 969. δείξας σαφῶς V. 916. τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς A. 1619. ὡς ἂν σαφῶς μάθω C. 20. αἰσχύνομαί σοι τοῦτ' ὀνειδίσαι σαφῶς C. 904. σαφῶς γὰρ αἵδε μητρὸς ἔγκοτοι κύνες C. 1050.

Σεαυτοῦ. σεαυτὸν σῶζε V. 374. σεαυτὸν οὐκ ἔχεις εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος V. 472. σύ τοι σεαυτὴν, οὐκ ἐγὼ, κατακτενεῖς C. 910.

Σέβας. ἔστι δὲ καὶ πτολέμου τειρομένοις βωμὸς Ἄρης φυγάσιν ῥῦμα, δαιμόνων σέβας S. 79. ξύμμαχον δ' ἑλόμενος δίκαν κρῖνε σέβας τὸ πρὸς θεῶν S. 391. τὸ γὰρ τεκόντων σέβας τρίτον τόδ' ἐν θεσμίοις δίκας γέγραπται μεγιστοτίμου S. 687. ἰὼ γᾶ βουνῖτι, ἔνδικον σέβας S. 757. ὦ μητρὸς ἐμῆς σέβας V. 1092. Ἑρμῆν φίλον κήρυκα, κηρύκων σέβας A. 501. σέβας ἄμαχον, ἀδάματον, ἀπόλεμον τὸ πρὶν C. 53. ἐμοὶ σέβας φέρων C. 241. τὸ πᾶν Διὸς σέβας παρεκβάντες C. 634. σέβει τοι Ζεὺς τόδ' ἐκ νόμων σέβας E. 92. τοκέων σέβας εὖ προτίων E. 516. σέβας ἀστῶν E. 659. τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας E. 670. σέβας δὲ μηρῶν ἁγνὸν οὐκ ἐπηδέσω Myrm. 6.

Σέβειν. οὗ τινος ἄνωθεν ἡμένου σέβει κάτω S. 592. δεινὸς ὃς θεοὺς σέβει T. 577. πότερα δ' ὀνείρων φάσματ' εὐπειθῆ σέβεις; A. 265. Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω A. 1594. σέβει γὰρ οὔτις τὸ δυσφιλὲς θεοῖς C. 629. σέβω δὲ νύμφας E. 22. αἱματηρὰ πράγματ' οὐ λαχὼν σέβεις E. 685. Ζῆνα μέγαν σεβόντων S. 656. τίς ἔτ' ἂν σέβοι δίκην; E. 499. Νείλου προχοὰς σέβωμεν ὕμνοις S. 1005. μήτε χρημάτων ἄνανδρον πλῆθος ἐν τιμῇ σέβειν P. 162. μᾶλλον θεοῦ σέβειν πεποιθὼς T. 512. φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν A. 805. λέγω κατ' ἄνδρα, μὴ θεὸν, σέβειν ἐμὲ A. 899. ἄξιον δ' οὐρανοῦχον ἀρχὰν σέβειν C. 995. τὸ μήτ' ἄναρχον μήτε δεσποτούμενον ἀστοῖς περιστέλλουσα βουλεύω σέβειν E. 667. δύναμιν οὐ σέβουσα A. 755. τὸν ἱκέτην σέβων E. 146. σέβουσαί τ' ἀξίαν τ' ἐπ' ἀξίων E. 413. οὔκουν δίκαιον τὸν σέβοντ' εὐεργετεῖν E. 695. τὸ μὴ 'δικεῖν σέβοντες E. 719. τῷ γὰρ σέβοντι συμφορὰς ὀρθώσομεν E. 857. μετοικίαν ἐμὴν εὖ σέβοντες E. 972. τοὺς θεοὺς οὐδὲν σέβῃ S. 899. σέβομαι μὲν προσιδέσθαι, σέβομαι δ' ἀντία λέξαι P. 680. ἰδίᾳ γνώμῃ σέβῃ θεοὺς ἄγαν V. 542. πάντων ἀνάκτων τῶνδε κοινοβωμίαν σέβεσθε S. 226. σέβου, προσεύχου, θῶπτε τὸν κρατοῦντ' ἀεὶ V. 939. τοιῶνδε τυγχάνοντας, εὐπρυμνῆ φρενὸς χάριν σέβεσθαι τιμιωτέραν ἐμοῦ S. 968.

Σεβίζειν. πῶς σε προσείπω; πῶς σε σεβίζω; A. 759. πέμπουσιν αὐτὸν καὶ σεβίζουσιν μέγα E. 12. ἥκω σεβίζων σὸν, Κλυταιμνήστρα, κράτος A. 249. ἥσω τοι καὶ πάνδυρτον, λαοπαθῆ σεβίζων ἀλίτυπα βάρη, πόλεως γέννας πενθητῆρος P. 907. τοὺς ἀμφὶ Νεῖλον δαίμονας σεβίζομαι S. 900. οὐδὲν σεβίζῃ γενεθλίους ἀρὰς, τέκνον C. 899. σεβίζου δ' ἱκέτας σέθεν S. 795.

Σέβος. θεῶν σέβη δείσαντες S. 736.

Σείραμα. ἰδοῦ δὲ γένναν εὖνιν αἰετοῦ πατρὸς θανόντος ἐν πλεκταῖσι καὶ σειράμασιν δεινῆς ἐχίδνης C. 246.

Σειραφόρος. μόνος δ' Ὀδυσσεὺς, ὅσπερ οὐχ ἑκὼν ἔπλει, ζευχθεὶς ἕτοιμος ἦν ἐμοὶ σειραφόρος A. 816. τὸν δὲ μὴ πειθάνορα ζεύξω βαρείαις οὔτι μὴ σειραφόρον κριθῶντα πῶλον A. 1624.

Σείριος. ῥίζης γὰρ οὔσης φυλλὰς ἵκετ' ἐς δόμους σκιὰν ὑπερτείνασα σειρίου κυνὸς A. 941.

Σείειν. τρεῖς κατασκίους λόφους σείει T. 367.

Σεισάμης. Σεισάμης ὁ Μύσιος P. 313.

Σέλας. παντέχνου πυρὸς σέλας θνητοῖσι κλέψας ὤπασεν V. 7. ἐξ ὀμμάτων δ' ἤστραπτε γοργῶπον σέλας V. 356. Ἴδης λαμπρὸν ἐκπέμπων σέλας A. 272. σέλας παραγγείλασα Μακίστου σκοπαῖς πεύκη A. 280. φαιδρὸν

ἁλίου σέλας E. 886. σέλας καμίνου Fragm. Orith. 1. ὑμεῖς δὲ βωμὸν τόνδε καὶ πυρὸς σέλας κύκλῳ παρίστατ' Fragm. Inc. 108.

Σελασφόρος. φέγγη λαμπάδων σελασφόρων E. 976.

Σελήνη. δίκην φαιδρᾶς σελήνης A. 289.

Σέλμα. δαιμόνων δέ που χάρις, βιαίως σέλμα σεμνὸν ἡμένων A. 176. σέλμασι ναῶν ἐπενθορόντες P. 350. πληροῦτε θωρακεῖα, κἀπὶ σέλμασιν στάθητε πύργων T. 33. πιστὴ ξύνευνος, ναυτικῶν δὲ σελμάτων ἰστοτρίβης A. 1417.

Σεμνοκόπτειν. σεμνοκόπτει τοῦτ' ἐν ἀνδρείᾳ στέγῃ Lyc. 107.

Σεμνός. σπέρμα σεμνᾶς μέγα ματρὸς S. 133. ἔχουσα σέμν' ἐνώπι' ἀσφαλὲς S. 138. παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες P. 385. ὁ σεμνὸς ἑβδομαγέτας ἄναξ Ἀπόλλων T. 782. ἤπου τι σεμνόν ἐστιν ὁ ξυναμπέχεις V. 519. σέλμα σεμνὸν ἥμενοι A. 176. φίλαι στέγαι σεμνοί τε θᾶκοι A. 505. φθέγγου χέουσα σεμνὰ τοῖσιν εὔφροσιν C. 108. σεμνοὶ μὲν ἦσαν ἐν θρόνοις τόθ' ἥμενοι C. 967. κακῶν τε μνήμονες σεμναὶ E. 361. ἦσαι φυλάσσων ἑστίας ἀμῆς πέλας σεμνὸς προσίκτωρ E. 419. σφαγίων τῶνδ' ὑπὸ σεμνῶν κατὰ γῆς σύμεναι E. 960. δεῦρ' ἴτε σεμναὶ E. 992. σεμνοὺς Παλίκους Ζεὺς ἐφίεται καλεῖν Ath. 5. ὄργανα σεμνὰ Edon. I. 1.

Σεμνόστομος. σεμνόστομός γε καὶ φρονήματος πλέως ὁ μῦθός ἐστιν V. 955.

Σεμνότιμος. σεμνότιμος ἀνάκτωρ C. 352. ὡς σεμνότιμος καὶ ξυνοικήτωρ ἐμοὶ E. 797.

Σεμνῶς. ἀγάλματ' Ἰδαίου Διὸς σεμνῶς ἔχουσαι διὰ χερῶν συνωνύμων S. 190.

Σεπτός. ἔνθα Βυβλίνων ὀρῶν ἄπο ἵησι σεπτὸν Νεῖλος εὔποτον ῥέος V. 814.

Σευάλκης. ποῦ δὲ Σευάλκης ἄναξ; P. 924.

Σεύειν. συμένα Πριαμίδαισιν πομπᾷ Διὸς ξενίου A. 727. σφαγίων τῶνδ' ὑπὸ σεμνῶν κατὰ γῆν σύμεναι E. 961. σύθην δ' ἀπέδιλος ὄχῳ πτερωτῷ V. 135. ἀφ' ἑστίας συθεὶς P. 859. ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθεὶς πικρὸς σίδαρος T. 924.

Σῆμα. ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε T. 369. φέροντα σῆμ' ὑπέρκομπον T. 386. ἔχει δε σῆμα γυμνὸν ἄνδρα πυρφόρον T. 414. Ὑπερβίῳ δὲ, πρὸς λόγον τοῦ σήματος, σωτὴρ γένοιτο Ζεὺς ἐπ' ἀσπίδος τυχὼν T. 501. σῆμα δ' οὐκ ἐπῆν κύκλῳ T. 574. ἔχει δὲ καινοπηγὲς εὔθετον σάκος διπλοῦν τε σῆμα προσμεμηχανευμένον T. 624. καὶ φλογωπὰ σήματα ἐξωμμάτωσα V. 496. σήματ' εὐπειθῆ βροτοῖς C. 257.

Σημαίνειν. Ἀγαμέμνονος γυναικὶ σημαίνω τορῶς A. 26. φῶς ἐπ' Εὐρίπου ῥοὰς Μεσαπίου φύλαξι σημαίνει μολὸν A. 284. θάλπος μὲν ἐν χειμῶν' σημαίνεις μολὼν A. 943. σήμαιν' ὅτι σοι χρὴ ξυμπράττειν V. 295. εἰ δ' ἔχεις εἰπεῖν ὅ τι λοιπὸν πόνων, σήμαινε V. 687. εἶπε θαρσήσας ἀνὴρ πρὸς ἄνδρα, κἀσέμηνεν ἐμφανὲς τέκμαρ C. 656. θῖνες νεκρῶν δὲ καὶ τριτοσπόρῳ γονῇ ἄφωνα σημανοῦσιν ὄμμασιν βροτῶν P. 805. σημανεῖ καπνῷ πυρὸς A. 483. εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν S. 242. σήμηνον, ὅπη γῆς ἡ μογερὰ πεπλάνημαι V. 563. σήμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασε V. 621. ποίῳ τρόπῳ; σήμηνον, εἰ μή τις βλαβὴ V. 765. οἶσθα σημῆναι τορῶς; P. 471.

Σημαντήριον. τἄλλ' ὁμοίαν πάντα, σημαντήριον οὐδὲν διαφθείρασαν ἐν μήκει χρόνου A. 595.

Σηματοῦργος. ὁ σηματοῦργος δ' οὔ τις εὐτελὴς ἄρ' ἦν T. 473.

Σημεῖον. ὁρῶ τρίαιναν τήνδε, σημεῖον θεοῦ S. 215. κλάδους μὲν αὐτοῦ λεῖπε, σημεῖον πόνου S. 501. σημεῖά σοι τάδ' ἐστὶ τῆς ἐμῆς φρενὸς V. 844. φροιμιάζονται γὰρ ὡς τυραννίδος σημεῖα πράσσοντες πόλει A. 1328.

Σήπειν. μύραινά γ' εἴτ' ἔχιδν' ἔφυ σήπειν θιγοῦσ' ἂν ἄλλον, οὐ δεδηγμένον C. 987. ἐκ τοῦδ' ἄκανθα ποντίου βοσκήματος σήψει παλαιὸν δέρμα Psych. I. 4.

Σησάμας. Ἄλπιστον τὸν Σησάμα P. 945.

Σθένειν. αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς αὐτὴ καθ' αὑτὴν οὐδένος μεῖζον σθένει V. 1014. φήμη γε μέντοι δημόθρους μέγα σθένει A. 912. τὸ μὲν δίκαιον τοῦθ', ὅσον σθένει, μάθε

E. 589. λαμπραῖσιν ἀστραπαῖσι λαμπάδων σθένει Fragm. 92. σὺ τοῦτο πράξεις, ὥστε με σθένειν τόσον; E. 856. σθένουσα λαμπὰς οὐδέπω μαυρουμένη A. 286.

Σθένος. σθένος μὲν οὕτως μεῖζον αὔξεται βροτοῖς S. 333. βία δ' ἀπημάντῳ σθένει καὶ θείαις ἐπιπνοίαις παύεται S. 571. ὅσον σθένος πάρα P. 163. ἀκάματον δὲ παρῆν σθένος ἀνδρῶν τευχεστήρων P. 869. καὶ σθένος γ' ἐκολούσθη P. 992. λαβών νιν ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει ῥαιστῆρι θεῖνε V. 55. τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος V. 105. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς ἐφεψαλώθη κἀξεβροντήθη σθένος V. 362. ὃς αἰὲν ὑπείροχον σθένος κραταιὸν οὐρανιόν τε πόλον νώτοις ὑποστενάζει V. 426. οὐδὲν ἀγγέλων σθένος, ὡς αὐτὸς αὐτῶν ἄνδρα πεύθεσθαι πάρα C. 836. σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σὸν E. 87. οὔτοι σ' Ἀπόλλων, οὐδ' Ἀθηναίας σθένος ῥύσαιτ' ἂν E. 289.

Σῖγα. τάδε σῖγά τις βαΰζει A. 438. οὐ σῖγα; μηδὲν τῶνδ' ἐρεῖς κατὰ πτόλιν T. 232. σῖγα, τίς πληγὴν ἀϋτεῖ καιρίως οὐτασμένος; A. 1317. σῖγ', ἀτίμως ἐγχέουσα γάποτον χύσιν C. 94.

Σιγᾶν. σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι S. 178. σιγῶ πάλαι δύστηνος ἐκπεπληγμένη κακοῖς P. 282. ἀλλ' αὐτὰ σιγῶ V. 439. τὰ δ' ἄλλα σιγῶ· βοῦς ἐπὶ γλώσσῃ μέγας βέβηκε A. 36. ὦ παῖδες, ὦ σωτῆρες ἑστίας πατρὸς, σίγαθ' C. 262. σὸν δ' αὖ τὸ σιγᾶν, καὶ μένειν εἴσω δόμων T. 214. ἀλλ' οὔτε σιγᾶν, οὔτε μὴ σιγᾶν τύχας οἷόν τε μοι τάσδ' ἐστὶ V. 106. μή τι χλιδῇ δοκεῖτε μήτ' αὐθαδίᾳ σιγᾶν με V. 435. πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω A. 534. σιγᾶν ὅπου δεῖ, καὶ λέγειν τὰ καίρια C. 575. λέγειν ὅπου δίκη, σιγᾶν θ' ὁμοίως E. 268. πληρουμένου γὰρ τοῦδε βουλευτηρίου, σιγᾶν ἀρήγει E. 541. οὐχ ἐς φθόρον σίγῶσ' ἀνασχήσῃ τάδε; T. 234. οὐδὲ σιγώσῃ φθόνος A. 254. σιγῶν ὄλεθρος E. 895. σίγησον, ὦ τάλαινα, μὴ φίλους φόβει. Σιγῶ· σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον T. 244.

Σιδαρόπλακτος. σιδαρόπλακτοι δὲ τοὺς μένουσι τάχ' ἄν τις εἴποι τίνες T. 894. σιδαρόπλακτοι μὲν ὧδ' ἔχουσι T. 895.

Σιδαρόνομος. σιδαρονόμῳ διὰ χερὶ λαχεῖν κτήματα T. 770.

Σιδηρομήτωρ. τὴν σιδηρομήτορα ἐλθεῖν ἐς αἶαν V. 301.

Σίδηρος. κτεάνων χρηματοδαίτας πικρὸς, ὠμόφρων σίδαρος T. 712. διέλαχον σφυρηλάτῳ Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν T. 799. διήλλαχθε σὺν σιδήρῳ T. 865. πικρὸς λυτὴρ νεικέων ὁ πόντιος ξεῖνος ἐκ πυρὸς συθεὶς, πικρὸς σίδαρος T. 925. χαλκὸν, σίδηρον, ἄργυρον, χρυσόν τε τίς φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ; V. 500.

Σιδηροτέκτων. λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες οἰκοῦσι Χάλυβες V. 716.

Σιδηρόφρων. σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων T. 52. σιδηρόφρων τε, κἀκ πέτρας εἰργασμένος V. 242.

Σιδόνιος. πολλάκι δ' ἐμπιτνῶ ξὺν λακίδι, λίνοισιν, ἢ Σιδονίᾳ καλύπτρᾳ S. 115.

Σικελία. τῆς καλλικάρπου Σικελίας λευραὶ γύαι V. 369.

Σιμόεις. Σιμόεντος ἀκτὰς ἐπ' ἀεξιφύλλους κέλσαντες A. 680.

Σίνις. ἔθρεψεν δὲ λέοντα σίνιν δόμοις ἀγάλακτον οὕτως ἀνὴρ φιλόμαστον A. 700.

Σίνος. οὐκ ἐκρύφθη, πρέπει δὲ, φῶς αἰνολαμπὲς, σίνος A. 378. δρόσοι κατεψέκαζον, ἔμπεδον σίνος ἐσθημάτων A. 547. ἄμαχον ἄλγος οἰκέταις μέγα σίνος πολυκτόνον A. 716.

Σίπυλος. Σίπυλον, Ἰδαίαν ἀνὰ χθόνα Niob. 4.

Σισύρνη. τῆς σισύρνης τῆς λεοντείας δορᾶς Fragm. Præc. 2.

Σίσυφος. Ἀντικλείας ασσον ἦλθε Σίσυφος Fragm. Neptr. 1.

Σιτεῖσθαι. σιτουμένην δύστηνον ἀθλίαν Prot. 18. οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους A. 1653.

Σῖτον. σῖτον δ' εἰδέναι διώρισα Fragm. Pal. 2.

Σκαιός. τὸ σκαιὸν ὄμμα παραβαλὼν θύννου δίκην Fragm. 24.

Σκαλμός. ναυβάτης δ' ἀνὴρ τροποῦτο κώπην σκαλμὸν ἀμφ' εὐήρετμον P. 368.

Σκάμανδρος. ἅλις πάρα Σκάμανδρον ἦλθες ἀνάρσιος A. 497. ἰὼ Σκαμάν-

δρου πάτριον πότον A. 1129. παρὰ Σκαμάνδρου πόρον τέθαψαι C. 361. ἀπὸ Σκαμάνδρου—πρόσωθεν ἐξήκουσα E. 376.

Σκάφος. σκάφυς στρέβλαισι ναυτικαῖσιν ὡς προσηγμένον S. 436. ἡμᾶς γε, ναῦν τ', ἀκήρατον σκάφος, τις ἐξέκλεψε A. 647. οὐδ' ἐπόντισε σκάφος A. 985. ὑπτιοῦτο δὲ σκάφη νεῶν P. 411.

Σκάφη. λεοντοβάμων που σκάφη χαλκήλατος; Fragm. Sis. 1.

Σκεδάζειν. πάχνην δ' ἔφαν ἥλιος σκεδᾷ πάλιν V. 25. αἰχμὴν τὴν Ποσειδῶνος σκεδᾷ V. 927. πρὶν σκεδασθῆναι θεοῦ ἀκτῖνας P. 494.

Σκεθρῶς. πάντα προὐξεπίσταμαι σκεθρῶς τὰ μέλλοντ' V. 102. γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς διώρισ' V. 486.

Σκέλος. σκέλη τε κίρκωσον βίᾳ V. 74. τρέχω δὲ χερσὶν, οὐ ποδωκίᾳ σκελῶν E. 37.

Σκεπαστὸς Fragm. Sis. 5.

Σκέπτειν. σκέψαι δ', ἐὰν μὴ τοῖς ἐμοῖς πεισθῇς λόγοις, οἷός σε χειμὼν καὶ κακῶν τρικυμία ἔπεισ' ἄφυκτος V. 1015. σκέψαι τομῇ προσθεῖσα βόστρυχον τριχὸς C. 228.

Σκευοθήκη Fragm. Psych. 4.

Σκηνή. ἔταφον, ἔταφον, οὐκ ἀμφὶ σκηναῖς τροχηλάτοισιν, ὄπιθεν ἑπόμενοι P. 961. σκηνὰς ὅτ' ἦλθον Θησέως E. 656.

Σκήνημα. οὐ γὰρ ἐντελὴς θήραν πατρῴαν προσφέρειν σκηνήμασιν C. 248.

Σκήπτειν. ἔπειτ' Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος φάος A. 301. λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος A. 293. εἶτ' ἔσκηψεν, εἶτ' ἀφίκετο Ἀραχναῖον αἶπος A. 299. οὐδὲ τὴν Διὸς ἔριν πέδῳ σκήψασαν ἐκποδὼν σχέθειν T. 411. πέδῳ σκήψασα, τῶν πάντων πόνων ἀπηλλάγην V. 751. μήτε πρὸ καιροῦ, μήθ' ὑπὲρ ἄστρων βέλος ἠλίθιον σκήψειεν A. 357. ὑμεῖς δὲ τῇδε τῇ γῇ μὴ βαρὺν κότον σκήψησθε E. 768.

Σκηπτός. λοιμοῦ τις ἦλθε σκηπτὸς, ἢ στάσις πόλει; P. 701.

Σκηπτουχία. ἐπὶ σκηπτουχίᾳ ταχθεὶς P. 289.

Σκῆπτρον. ἔχοντα σκῆπτρον εὐθυντήριον P. 750. ὑφ' ὅτου σκῆπτρον τιμάς τ' ἀποσυλᾶται V. 171. πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεται; V. 751. ἰσχὺν ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις A. 75. τί δῆτ' ἐμαυτῆς καταγέλωτ' ἔχω τάδε, καὶ σκῆπτρα, καὶ μαντεῖα περὶ δέρῃ στέφη; A. 1238. διοσδότοις σκήπτροισι τιμαλφούμενος E. 596.

Σκῆψις. τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει A. 860.

Σκιά. Οἰδίπου πότνια σκιὰ T. 961. εἴδωλον σκιᾶς A. 813. ῥίζης γὰρ οὔσης, φυλλὰς ἵκετ' ἐς δόμους, σκιὰν ὑπερτείνασα Σειρίου κυνὸς A. 941. ἰὼ βρότεια πράγματ', εὐτυχοῦντα μὲν σκιά τις ἂν τρέψειε A. 1301. ἐῤῥειν, τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν, ἀναίματον βόσκημα δαιμόνων, σκιὰν E. 292. τὸ γὰρ βρότειον σπέρμ' ἐφήμερα φρονεῖ, καὶ πιστὸν οὐδὲν μᾶλλον ἢ καπνοῦ σκιὰ Fragm. Inc. 11.

Σκιρτᾶν. σκιρτᾷ δ' ἀνέμων πνεύματα πάντων V. 1087.

Σκίρτημα. ἐμμανεῖ σκιρτήματι ἧσσον πρὸς εὔποτον ῥέος V. 678. σκιρτημάτων τε νήστισιν αἰκίαις ἦλθον λαβρόσυτος V. 601.

Σκληρός. σκληρᾶς μέτοικος γῆς P. 311.

Σκοπεῖν. σκοπεῖτε, κἀμείβεσθε τόνδε τὸν τόπον S. 229.

Σκόπελος. τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις φρουρὰν ἄζηλον ὀχήσω V. 142.

Σκόπευμα. παλαιῶν τῶνδέ σοι σκοπευμάτων Fragm. Th. 1.

Σκοπή. τῆσδ' ἀπὸ σκοπῆς ὁρῶ τὸ πλοῖον S. 694. ματρὸς σκοπαὶ δέ μ' εἷλον S. 767. σέλας παραγγείλασα Μακίστου σκοπαῖς A. 280. ἀφίκετ' ἀστυγείτονας σκοπὰς A. 300.

Σκοπός. τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει S. 384. Δῖον ἐπιδόμενοι πράκτορά τε σκοπὸν δυσπολέμητον S. 636. σκοποὺς δὲ κἀγὼ καὶ κατοπτῆρας στρατοῦ ἔπεμψα T. 36. ἔκυρσας ὥστε τοξότης σκοποῦ A. 614. τοῦ δ' ἀγκυλήτου κότταβος σκοπὸς Fragm. Oss. 1.

Σκόρπιος. κέντημα γλώσσης σκορπίου βέλος λέγω Fragm. Xantr. 1.

Σκότος. πάντα τοι φλέγεθει κἂν σκότῳ S. 83. τοὔμπαλιν δὲ τῶνδε γαίᾳ κάτοχ' ἀμαυροῦσθαι σκότῳ P. 219. φυγόντα μητρόθεν σκότον T. 646. ὑπὸ σκότῳ βρέμει A. 1001. ὁ δυσφιλὴς

σκότῳ λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται A. 1625. τὰ δ' ἐν μεταιχμίῳ σκότου μένει χρονίζοντα βρύει C. 60. ὁρῶντα λαμπρὸν ἐν σκότῳ νωμῶντ' ὀφρὺν C. 283. σκότῳ φάος ἰσόμοιρον C. 317. ἐκτυφλωθέντες σκότῳ C. 529. νύκτα πρό τ' ὀμμάτων σκότον φέρει C. 804. κακὸν σκότον νέμονται E. 72. λαμπρὸν φάος ἄγαγες ἐν σκότῳ Fragm. Inc. 23. ἐν σκότοισι νηδύος τεθραμμένη E. 635. πάλιν γὰρ ἥκουσ' ἐκ σκότου τόδ' ἐς φάος Ætn. 1.

Σκύθης. ξένος δὲ κληροὺς ἐπενώμα Χάλυβος Σκυθῶν ἄποικος T. 710. διέλαχον σφυρηλάτῳ Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν T. 799. ἥκομεν Σκύθην ἐς οἶμον V. 2. Σκύθης ὅμιλος V. 415. Σκύθας δ' ἀφίξῃ νομάδας V. 711. ἀναλύτηρ δόμων, Σκύθης C. 158. οὔτ' ἐν Σκύθῃσιν, οὔτε Πέλοπος ἐν τόποις E. 672. δῆμος ἐνδικώτατος Σκυθῶν Fragm. Pr. S. 7. ἱππάκης βροτῆρες εὔνομοι Σκύθαι Fragm. Pr. S. 13.

Σκυθρωπός. πρὸς μὲν οἰκέτας θέτο σκυθρωπὸν ἐντὸς ὀμμάτων γέλων C. 727.

Σκύλλα. ἀμφίσβαιναν, ἢ Σκύλλαν τινα οἰκοῦσαν ἐν πέτραισιν A. 1206. ἄλλαν τιν' ἐν λόγοις στυγεῖν δεῖ φοινίαν Σκύλλαν C. 605.

Σκύλλεσθαι. γναπτόμενοι δ' ἀλὶ δεινᾷ σκύλλονται πρὸς ἀναύδων παίδων τᾶς ἀμιάντου P. 567.

Σκύμνος. λέοντος σκύμνος Fragm. ap. Arist. Ran. 1458.

Σκύφωμα. ποῦ χρυσότευκτα κἀργυρᾶ σκυφώματα; Fragm. Perrh. 3.

Σμερδνός. σμερδναῖσι γαμφηλῇσι συρίζων φόνον V. 355.

Σμῆνος. πᾶς γὰρ ἱππηλάτας καὶ πεδοστιβὴς λεὼς, σμῆνος ὡς ἐκλέλοιπε μελισσῶν P. 126.

Σμικρός. δεδωμάτωμαι δ' οὐδ' ἐγὼ σμικρᾷ χερὶ S. 936. ἐσχημάτισται δ' ἀσπὶς οὐ σμικρὸν τρόπον T. 446. σμικρὰ κερδανῶ φυγῇ A. 1274. σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πυθμὴν C. 202. ἀπὸ σμικροῦ δ' ἂν ἄρειας μέγαν δόμον C. 260.

Σμίνθος. ἀλλ' ἀρουραῖός τίς ἐστι σμίνθος ὡς ὑπερφυὴς Sisyph. 3.

Σόλοι. Κυπρίας τε πόλεις, Πάφον ἠδὲ Σόλους Σαλαμῖνά τε P. 864.

Σός. ὅπως γένεθλον σπέρμα τ' Ἀργεῖον τὸ σὸν S. 287. σὸν δ' ἔπειτα ζύγον ταλάντου S. 802. σὸς πόσις Δαρεῖος P. 217. πᾶσα γᾶ σὰ P. 664. κάτωθεν ἦλθον σοῖς γόοις πεπεισμένος P. 683. τὸν σὸν πιστὸν πάντ' ὀφθαλμὸν Βατανώχου παῖδ' Ἄλπιστον P. 941. σὸν δ' αὖ τὸ σιγᾷν, καὶ μένειν εἴσω δόμων T. 214. τὸν σὸν αὖθις πρόσμορον ἀδελφεὸν ἐξυπτιάζων ὄνομα T. 558. τὸ σὸν γὰρ ἄνθος, παντέχνου πυρὸς σέλας θνητοῖσι κλέψας ὤπασεν V. 7. τὸ σὸν θνητοῖσι προὔδωκεν γέρας V. 38. σῶν ὑπερστένω πόνων V. 66. σὸν δέμας εἰσιδοῦσα πέτραις προσαυαινόμενον V. 146. ἥκω σεβίζων σὸν, Κλυταιμνήστρα, κράτος A. 249. καὶ πῶς ἀπόντων κοιράνων ἔτρεις τινας; Ὡς νῦν τὸ σὸν δὴ, καὶ θανεῖν πολλὴ χάρις A. 536. τὸν σὸν πόδ' Ἰλίου πορθήτορα A. 881. τότε μὲν ἀμφὶ σὰς ἀϊόνας τάλαιν' ἠνυτόμαν τροφαῖς A. 1130. ἰὼ, πάτερ, σοῦ, σῶν τε γενναίων τέκνων A. 1278. οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀρὰς A. 1598. ὅσπερ σοῦ φόνου μεταίτιος C. 132. ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα C. 135. ἀλλ' ἐν κακοῖσι τοῖς ἐμοῖς γελᾷν θέλεις. Κἂν τοῖς ἐμοῖς ἄρ', εἴπερ ἔν γε τοῖσι σοῖς C. 221. ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα C. 489. ἐχθροῖσι τοῖς σοῖς οὐ γενήσομαι πέπων E. 66. σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σὸν E. 87. λέξον δὲ χώραν καὶ γένος καὶ ξυμφορὰς τὰς σὰς E. 415. ἐκ τῶν ὑστάτων τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα E. 422. οὐδ' ἔχει μύσος πρὸς χειρὶ τῇ 'μῇ τὸ σὸν ἐφεζομένη βρέτας E. 424. εἰ δικαίως, εἴτε μὴ, τῇ σῇ φρενὶ δοκεῖ τόδ' αἷμα, κρῖνον E. 582. μηρῶν τε τῶν σῶν εὐσεβὴς ὁμιλία Myrm. 9. τοὺς σοὺς ἄθλους δεσμοῦ τε πάθος τόδ' ἐποψόμενοι Fragm. Pr. S. 1. ὦ Ζεῦ, πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος Fragm. Inc. 5. ἅ τε χάρις λάμπει περὶ σὰν πτέρυγα χρύσεον Fragm. 23. τῶν σῶν ἄξιος μυστηρίων Fragm. 99.

Σοῦσα. ἄστυ τε Σούσων P. 16. 527. 716. 747.

Σούσας. οἷος ἦν Φαρανδάκης, Σούσας P. 920.

Σοῦσθαι. βασιλῆς βασιλέως ὕποχοι μεγάλου σοῦνται P. 25. σοῦσθε, σοῦσθ' ἐπὶ βᾶριν ὅπως ποδῶν S. 816. σοῦσθε, σοῦσθ' ὀλόμεναι ὀλόμεν' ἐπ' ἀμίδα S. 822. σοῦσθε σὺν παντευχίᾳ T. 31.

Σουσιγενής. Περσᾶν Σουσιγενῆ θεὸν P. 635.

Σουσίδης. Σουσίδαις φίλος ἄκτωρ P. 549.

Σουσίς. κένανδρον μέγ' ἄστυ Σουσίδος P. 118.

Σουσισκάνης. Σουσισκάνης Αἰγυπτογενὴς P. 34. Σουσισκάνης τ' Ἀγβάταν' ἐκλιπὼν P. 921.

Σοφία. σὺ καὶ σοφίας τιμὰν βροτείοις ἐπέθηκας ἔργοις Fragm. Inc. 23. 2.

Σόφισμα. τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας βροτοῖσιν, αὐτὸς οὐκ ἔχω σόφισμ' ὅτῳ τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ V. 468. ἄταρ σφοδρύνῃ γ' ἀσθενεῖ σοφίσματι V. 1013. ἀριθμὸν ἔξοχον σοφισμάτων ἐξεῦρον αὐτοῖς V. 457.

Σοφιστής. ἵνα μάθῃ σοφιστὴς ὢν Διὸς νωθέστερος V. 62. σὲ τὸν σοφιστὴν —τὸν πυρὸς κλέπτην λέγω V. 946. σοφιστὴς καλὰ παραπαίων χελὺν Fragm. Inc. 50.

Σοφός. θέλω δ' ἄϊδρις μᾶλλον ἢ κακῶν σοφὸς εἶναι S. 448. φιλεῖ ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ σοφῷ S. 751. θένει δ' ὀνείδει μάντιν Ὀϊκλείδην σοφὸν T. 364. ἦ σοφὸς, ἦ σοφὸς ἦν V. 899. οἱ προσκυνοῦντες τὴν Ἀδράστειαν σοφοὶ V. 938. αὐθαδιὰν μεθέντ' ἐρευνᾷν τὴν σοφὴν εὐβουλίαν V. 1039. σοφῷ γὰρ αἰσχρὸν ἐξαμαρτάνειν V. 1041. ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' αὖ σοφὴ A. 1268. φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου E. 269. πῶς δὴ, δίδαξον, τῶν σοφῶν γὰρ οὐ πένῃ E. 409. ὁ χρήσιμ' εἰδὼς, οὐχ ὁ πόλλ' εἰδὼς σοφὸς Fragm. Inc. 7. ἁμαρτάνει τι καὶ σοφοῦ σοφώτερος Fragm. Inc. 8. καλὸν δὲ καὶ γέροντα μανθάνειν σοφὰ Fragm. Inc. 17. ἀνδρῶν γάρ ἐστιν ἐνδίκων τε καὶ σοφῶν ἐν τοῖς κακοῖσιν μὴ τεθυμῶσθαι θεοῖς Fragm. Inc. 79. καίτοι γεμὴν σὺ κάρτ' ἐμοῦ σοφωτέρα E. 811.

Σπάθη. ἰδοῦ δ' ὕφασμα τοῦτο, σῆς ἔργον χερὸς σπάθης τε πληγὰς C. 230.

Σπαθητός. σπαθητοῖς τριμιτίνοις ὑφάσμασι Fragm. Inc. 62.

Σπᾶν. ὡς ἕκαστος ἔσπασεν τύχης πάλον A. 324. ὥστ' ἐν γάλακτι θρόμβον αἵματος σπάσαι C. 526.

Σπανίζειν. ὄξους σπανίζειν δῶμα μὲν ποιήσομεν Fragm. Cab. 2. οὐ σπανίζοντες φίλων C. 706. ἐσπανίσμεθ' ἀρωγῶν P. 983.

Σπαραγμός. ἐκ ποδῶν δ' ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα Fragm. Xantr. 1.

Σπαράσσειν. φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ πατὴρ σπαράξει τήνδε V. 1020.

Σπάργανον. ἐμὲ συνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις A. 1588. ἐν σπαργάνοισι παιδὸς ὁρμῆσαι δίκην C. 522. ὄφις τε πᾶσιν σπαργάνοις ὡπλίζετο C. 537. οὐ γάρ τι φωνεῖ παῖς ἔτ' ὢν ἐν σπαργάνοις C. 744. παιδὸς σπαργάνων φαιδύντρια C. 748.

Σπαρνός. σπαρνὰς παρήξεις καὶ κακοστρώτους A. 542.

Σπαρτός. σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο, ῥίζωμ' ἀνεῖται T. 396. Μεγαρεὺς Κρέοντος σπέρμα, τοῦ σπαρτῶν γένους T. 456. οὐδενὶ σπαρτῶν γένει ὅμοιος E. 488.

Σπείρειν. μὴ πρὸς ἁγνὰν σπείρας ἄρουραν T. 736. σπείρω δ' ἄρουραν δώδεχ' ἡμερῶν ὁδὸν Βερέκυντα χῶρον Niobe 31.

Σπέρμα. σπέρμα σεμνᾶς μέγα ματρὸς S. 133. ὅπως γένεθλον σπέρμα τ' Ἀργεῖον τὸ σὸν S. 287. Μεγαρεὺς Κρεόντος σπέρμα T. 456. Ἰνάχειον σπέρμα V. 707. καὶ σπέρμα πάσης ἐξαπόλλυται χθονὸς A. 514. σμικροῦ γένοιτ' ἂν σπέρματος μέγας πυθμὴν C. 202. δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου C. 234. καὶ μὴ 'ξαλείψῃς σπέρμα Πελοπιδῶν τόδε C. 496. σπέρματός τ' ἀποφθοραὶ παίδων E. 178. τὸ γὰρ βρότειον σπέρμ' ἐφήμερα φρονεῖ Fragm. Inc. 11. τοῦ πηλοπλάστου σπέρματος θνητὴ γυνὴ Fragm. Inc. 84. σπέρματ' εὐτέκνου βοὸς S. 272. ἀφεῖσαι δαιμόνων σταλάγματα, βρωτῆρας αἰχμὰς σπερμάτων ἀνημέρους E. 770. τῶν βροτείων σπερμάτων σωτηρίαν E. 869.

Σπερχειός. οὗ Σπερχειὸς ἄρδει πεδίον εὐμενεῖ ποτῷ P. 479. Σπερχειὲ πο-

ταμὲ, βούνομοί τ' ἐπιστροφαὶ Philoct. 7.

Σπερχνός. πρὶν ἀγγέλους, σπερχνούς τε καὶ ταχυῤῥόθους λόγους ἱκέσθαι T. 267.

Σπεύδειν. ἀλλ' ὅταν σπεύδῃ τις αὐτὸς χὼ θεὸς ξυνάπτεται P. 728. εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα σπεύδων σπεύδοντί ποθ' ἥξει V. 192. οἱ δὲ τοὔμπαλιν σπεύδοντες, ὡς Ζεὺς μήποτ' ἄρξειεν θεῶν V. 203. πόσιν σπεύσω πάλιν μολόντα δέξασθαι A. 587. πάρεστι δ' ἔργον ὡς ἔπος σπεῦσαί τι τῶν δούλιος φέρει φρὴν S. 594. σπευδομένα θυσίαν ἑτέραν A. 147. ἀφελεῖν τινα τάσδε μερίμνας σπευδόμεναι E. 340.

Σπίδιος. σπίδιον πεδίον Fragm. Inc. 114. σπίδιον μῆκος ὁδοῦ Fragm. Inc. 65.

Σπλάγχνον. δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν T. 1022. πολλοῖς δὲ μόχθοις ἀνδροκμῆσι φυσιᾷ σπλάγχνον E. 240. σπλάγχνων τε λειότητα V. 491. σπλάγχνα δ' οὔτι ματάζει πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις δίναις κυκλούμενον κέαρ A. 967. σὺν ἐντέροις τε σπλάγχνα A. 1194. σπλάγχνα δέ μου κελαινοῦται πρὸς ἔπος κλυούσῃ C. 407. σπλάγχνων βλάβαι νέων E. 821.

Σπόγγος. βολαῖς ὑγρώσσων σπόγγος ὤλεσε γραφὴν A. 1301.

Σποδός. οἰκτρὸν γὰρ πόλιν ὧδ' ὠγυγίαν Ἀΐδι προϊάψαι, δορὸς ἄγραν, δουλείαν ψαφαρᾷ σποδῷ T. 305. ἀντὶ δὲ φωτῶν τεύχη καὶ σποδὸς εἰς ἑκάστου δόμους ἀφικνεῖται A. 424. ψῆγμα δυσδάκρυτον ἀντήνορος σποδοῦ A. 431. συνθνήσκουσα δὲ σποδὸς προπέμπει πίονας πλούτου πνοὰς A. 794. νῦν γὰρ λέβητος χαλκέου πλευρώματα σποδὸν κέκευθεν ἀνδρὸς εὖ κεκλαυμένου C. 676.

Σποδοῦν. στρατοῦ καμόντος καὶ κακῶς σποδουμένου A. 656.

Σπονδή. θύειν τε λείβειν θ', ὡς θεοῖς Ὀλυμπίοις, σπονδὰς S. 960. σπονδαί τ' ἐς τὸ πᾶν ἔνδαιδες οἴκων E. 996. νεοκράτας σπονδὰς Fragm. Inc. 335.

Σπορά. σπορᾶς γεμὴν ἐκ τῆσδε φύσεται θρασὺς, τόξοισι κλεινὸς V. 873.

Σπορητός. χαίρουσαν οὐδὲν ἧσσον, ἢ Διὸς νότῳ γανᾷ σπορητὸς κάλυκος ἐν λοχεύμασιν A. 1365.

Σπουδή. σπουδῇ διώκων πομπίμους χνόας ποδῶν T. 353. σπουδὴ δὲ καὶ τοῦδ' οὐκ ἀπαρτίζει πόδα T. 356. πατρίς τε γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ ἁλοῦσα, πῶς σοι σύμμαχος γενήσεται; T. 567.

Στάγμα. τῆς ἀνθεμούργου στάγμα P. 604.

Σταγών. ἐμοιγὲ μὲν δὴ κλαυμάτων ἐπίσσυτοι πηγαὶ κατεσβήκασιν, οὐδ' ἐνὶ σταγὼν A. 863. ἐπὶ δὲ καρδίαν ἔδραμε κροκοβαφὴς σταγὼν A. 1093. ἐξ ὀμμάτων δὲ δίψιοι πίπτουσί μοι σταγόνες ἄφραστοι δυσχίμου πλημμυρίδος C. 184. ἀλλὰ νόμος μὲν φοινίας σταγόνας χυμένας ἐς πέδον ἄλλο προσαιτεῖν αἷμα C. 394.

Σταδαῖος. ἔγχη σταδαῖα P. 236. Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδι σταδαῖος ἧσται T. 495.

Στάζειν. στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας μνησιπήμων πόνος A. 172. ἐξ ὀμμάτων στάζουσιν αἷμα δυσφιλὲς C. 1054. καρπώματα στάζοντα κηρύσσει Κύπρις S. 979. αἵματι στάζοντα χεῖρας E. 42.

Σταθερός. σταθεροῦ χρήματος Psych. 4.

Σταθευτός. σταθευτὸς δ' ἡλίου φοίβῃ φλογὶ V. 22.

Στάθμη. ὤμοί τε δούλοις πάντα, καὶ παρὰ στάθμην A. 1015.

Σταθμόν. ἄσμενος δέ τ' ἂν σταθμοῖς ἐν οἰκείοισι κάμψειεν γόνυ V. 396. τῶν σταθμῶν κύνα, σωτῆρα ναὸς πρότονον, ὑψηλῆς στέγης στῦλον A. 870.

Σταθμοῦχος. ἰδοῦ σταθμοῦχος ἐκκατήλλων φῶς ἀθρεῖ Fragm. Sis. 2.

Στάλαγμα. ἀφεῖσαι δαιμόνων σταλάγματα E. 769.

Σταλαγμός. τετραυματισμένον γὰρ ὡς κύων νεβρὸν, πρὸς αἷμα καὶ σταλαγμὸν ἐκμαστεύομεν E. 238. ἀντιπαθῆ μεθεῖσα κραδίας σταλαγμὸν E. 753. πεδία δ' ἀργηστὴς ἀφρὸς χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πνευμόνων T. 61.

Στασίαρχος. Δαναὸς δὲ πατὴρ καὶ βούλαρχος καὶ στασίαρχος τάδε πεσσονομῶν S. 12.

Στάσις. τούτῳ στάσιν τιν', ὡς ἐγὼ

δόκουν ὁρᾷν; τεύχειν ἐν ἀλλήλῃσιν P. 184. λοιμοῦ τις ἦλθε σκηπτὸς, ἢ στάσις πόλει; P. 701. λόγος κρατεῖ σαφηνὴς, τοῦτό γ' οὐκ ἔνι στάσις P. 724. στάσις τ' ἐν ἀλλήλοισιν ὠροθύνετο V. 200. σκιρτᾷ δ' ἀνέμων πνεύματα πάντων εἰς ἄλληλα στάσιν ἀντίπνουν ἀποδεικνύμενα V. 1089. στάσις δ' ἀκόρετος γένει κατολολυξάτω θύματος λευσίμου A. 1089. στάσις δὲ πάγκοινος ὧδ' ἐπιῤῥοθεῖ C. 451. μήποτ' ἐν πόλει στάσιν τᾷδ' ἐπεύχομαι βρέμειν E. 933. Στάσις (status). ὡς μήτε σωκεῖν μήτε μ' ἀκταίνειν στάσιν E. 36. λέξαι τε λάχη τὰ κατ' ἀνθρώπους ὡς ἐπινωμᾷ στάσις ἅμα E. 301. λέβης ἀεὶ φυλάσσων τὴν ὑπὲρ πυρὸς στάσιν Ath. 1.

Στάχυς. Ὕβρις γὰρ ἐξανθοῦσ' ἐκάρπωσε στάχυν Ἄτης P. 807. (γῆ) πᾶσα δ' εὐθαλὴς φερέσβιον Δήμητρος ἀγγέλλει στάχυν Fragm. 299. 7. νέας ὀπώρας ἡνίκ' αὐανθῇ σταχὺς Fragm. 23. 7.

Στεγανός. ἐπὶ Τροίας πύργοις ἔβαλες στεγανὸν δίκτυον A. 349.

Στέγαστρον. κύκλῳ παρασταδὸν στέγαστρον ἀνδρὸς δείξαθ' C. 978. ὀστέων στέγαστρον Fragm. 123.

Στέγειν. στέγει δὲ πύργος, καὶ πύλας φερεγγύοις ἐφραξάμεσθα μονομάχοισι προστάταις T. 779. πύργον στέγειν εὔχεσθε πολέμιον δόρυ T. 198. πλάτα, λινοῤῥαφής τε δόμος ἅλα στέγων S. 128.

Στέγη. ὑψηλῆς στέγης στύλον A. 871. ἆ ποῖ ποτ' ἤγαγές με, πρὸς ποίαν στέγην; A. 1057. τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χόρος σύμφθογγος, οὐκ εὔφωνος A. 1159. οἱ πλεκτὰς στέγας πεδάρσιοι ναίουσ' ἐπ' εὐκύκλοις ὄχοις V. 712. ἦν κοιμώμενος στέγαις Ἀτρειδῶν ἄγκαθεν A. 3. ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι A. 504. κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα φέρειν δίκαιος, οὔτ' ἐς ἀνθρώπων στέγας E. 56. καὶ σεμνοκόπτει τοῦτ' ἐπ' ἀνδρείᾳ στέγῃ Lycurg. 1. ἐνθουσιᾷ δὲ δῶμα, βακχεύει στέγη Lycurg. 16. στέγην πυρώσω Orith. I. 4. οὐδ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον Fragm. Inc. 27. 4.

Στέγος. τόδ' ἐνεζόμενοι στέγος ἀρχαῖον P. 137. Ἀτρειδῶν ἐς τόδε σκήπτει στέγος φάος A. 301.

Στείχειν. τοὶ μὲν γὰρ ποτὶ πύργους πανδημεὶ, πανομιλεὶ στείχουσιν T. 279. ἀνὴρ δ' ὁπλίτης κλίμακος προσαμβάσεις στείχει T. 449. στείχει δ' ἴουλος ἄρτι διὰ παρηΐδων T. 516. τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ δίοθεν τεύχουσα φόβον στείχει φανερῶς V. 1091. τρίποδας μὲν ὁδοὺς στείχει A. 51. τίς ποθ' ἥδ' ὁμήγυρις στείχει γυναικῶν φάρεσιν μελαγχίμοις πρέπουσα; C. 11. στείχω δ' ἐπ' ἄνδρα τόνδε λυμαντήριον C. 753. στείχετ' εὐερκῆ πόλιν S. 933. ἡλίου πρὸς ἀντολὰς στρέψασα σαυτὴν, στεῖχ' ἀνηρότους γύας V. 710. στείχετ' ἤδη δ', οἱ γέροντες, πρὸς δόμους πεπρωμένους A. 1642. στείχοιτ' ἂν, ἄνδρες, εὖ γὰρ ὁ ξένος λέγει S. 495. στείχωμεν, ὡς κώλοισιν ἀμφίβληστρ' ἔχει V. 81. καὶ γὰρ Ἠλέκτραν δοκῶ στείχειν ἀδελφὴν τὴν ἐμὴν C. 17. ἁπλοῦς ὁ μῦθος, τήνδε μὲν στείχειν ἔσω C. 547. προτέραν δὲ μὲ χρὴ στείχειν θαλάμους ἀποδείξουσαν E. 958. ἀσφάλεια δ' ᾖ δι' ἄστεος στείχουσιν S. 491. αὐτόφορτον οἰκείᾳ σάγῃ στείχοντα C. 664. ὁρᾷς δίκην ἄναυδον, οὐχ ὁρωμένην εὕδοντι καὶ στείχοντι καὶ καθημένῳ Fragm. 4. 1.

Στέλλειν. σαφῶς μ' ἐς οἶκον σὺς λόγος στέλλει πάλιν V. 387. στέλλειν ὅπως τάχιστα Fragm. Sac. 4. στέλλων στρατιὰν A. 773. ἐκ δόμων πάλιν ἔστειλα P. 601. αὐτὴ δ' ἡγεμὼν ὑπὸ χθόνα στείλασα λαῖφος παγκρότως ἐρέσσεται S. 704. παῖς ἐμὸς στείλας στρατὸν Ἰαόνων γῆν οἴχεται P. 172. πῶς οὖν κελεύει νιν μολεῖν ἐσταλμένον; C. 775. ἀπὸ δὲ θεσφάτων τίς ἀγαθὴ φάτις βροτοῖς στέλλεται; A. 1104. στέλλου, κομίζου, σῶζε τὸν παρόντα νοῦν V. 392.

Στεναγμός. Σαλαμῖνά τε, τᾶς νῦν ματρόπολις τῶνδ' αἰτία στεναγμῶν P. 865. ὅ τι στεναγμοὶ τῶν πόνων ἐρείσματα Fragm. 90.

Στενάζειν. πρό γε στενάζεις καὶ φόβου πλέα τις εἶ V. 698. στενάζω; τί ῥέξω E. 757. ἔρεσσ' ἔρεσσε, καὶ στέναζ' ἐμὴν χάριν P. 1003.

Στενάχειν. αἶ αἶ τὸ παρὸν τό τ' ἐπερχόμενον πῆμα στενάχω V. 99.

Στένειν. φεῦ τῶν Ἀθηνῶν ὡς στένω μεμνημένος P. 277. λέξον καταστὰς, κεἰ στένεις κακοῖς ὅμως P. 287. νῦν γὰρ πρόπασα μὲν στένει γαῖ' P. 540. Σούσων μὲν ἄστυ πᾶν κενανδρίαν στένει P. 716. στένει πόλισμα γῆθεν, ὡς κυκλούμενον T. 229. στένουσι πύργοι, στένει πέδον φίλανδρον T. 883. ἐντὸς δὲ καρδία στένει T. 951. σὺ δ' αὖ κατοκνεῖς, τῶν Διός τ' ἐχθρῶν ὕπερ στένεις; V. 67. στένω σε τὰς οὐλομένας τύχας, Προμηθεῦ V. 398. βοᾷ δὲ πόντιος κλύδων ξυμπιτνῶν, στένει βυθὸς V. 430. πηγαὶ δ' ἁγνορρύτων ποταμῶν στένουσιν ἄλγος οἰκτρὸν V. 433. στένουσι δ' εὖ λέγοντες ἄνδρα, τὸν μὲν ὡς μάχης ἴδρις A. 433. μεταμανθάνουσα δ' ὕμνον Πριάμου πόλις γεραιὰ πολύθρηνον μέγα που στένει A. 694. τὸν θυραῖον ὄλβον εἰσορῶν, στένει A. 811. στένε, καὶ δακνάζου P. 563. τοιάνδε σοι πρὸς τῇ πάροιθεν συμφορᾷ παρὰ στένειν P. 463. ὡς στένειν πόλιν Περσῶν P. 503. στένωμεν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν C. 919. Ἴτυν στένουσ' ἀηδὼν A. 1115. στένουσα τὰν σὰν ξυνομαιμόνων τε τιμὰν V. 407. τί δ' οὐ στένοντες, οὐ λαχόντες, ἤματος μέρος; A. 543. πολὺ δ' ἔστενον τόδ' ἐννέποντες δόμων προφῆται A. 396. κλαίω, στένομαι, καὶ δόλος οὐδεὶς μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν T. 854. οὓς περὶ πᾶσα χθὼν Ἀσιῆτις θρέψασα, πόθῳ στένεται μαλερῷ P. 62.

Στενωπός. καὶ νῦν ἀχρεῖον καὶ παρήορον δέμας κεῖται στενωποῦ πλησίον θαλασσίου ἰπούμενος ῥίζῃσιν Αἰτναίαις ὕπο V. 363.

Στέργειν. μακράν γε μὲν δὴ ῥῆσιν οὐ στέργει πόλις S 270. στέργω γὰρ, ἀνδρὸς φιτυποιμένος δίκην, τὸ τῶν δικαίων τῶνδ' ἀπένθητον γένος E. 871. στέργω δ' ὄμματα Πειθοῦς, ὅτι μοι γλῶσσαν στόμα τ' ἐπωπᾷ πρὸς τάσδ' ἀγρίως ἀπανηναμένας E. 927. οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος T. 699. ὡς ἂν διδαχθῇ τὴν Διὸς τυραννίδα στέργειν V. 11. ἐγὼ δ' οὖν ἐθέλω δαίμονι τῶν Πλεισθενιδῶν ὅρκους θεμένη τάδε μὲν στέργειν δύστλητά περ ὄνθ' A. 1551. καὶ τάδ' αἰανῶς μένοι στέργειν τὰ πιστὰ τῶνδε τοὺς ξυνεμπόρους E. 643. πείθου γυναιξὶ, καίπερ οὐ στέργων ὅμως T. 694.

Στέργηθρον. καὶ τὸ μητρὸς ἐς σέ μοι ῥέπει στέργηθρον C. 239. πρὸς ἀλλήλους τίνες ἐχθραί τε καὶ στέργηθρα καὶ συνεδρίαι V. 490. οἵας ἑορτῆς ἔστ' ἀπόπτυστοι θεοῖς στέργηθρ' ἔχουσαι E. 183.

Στέρειν. γυνὴ γὰρ ἄνδρ' ἕκαστον αἰῶνος στερεῖ V. 864. πᾶσιν στέρεσθαι κρατὸς ἦν προκείμενον P. 363. ἔτι σε χρὴ στερομέναν φίλων τύμμα τύμματι τῖσαι A. 1404. γῆς πατρῴας ἐστερημένον σύ τοι κατῴκισάς με E. 725. πενθεῖ δ' ἄνδρα δόμος στερηθεὶς P. 571. ἀμηχανῶ φροντίδων στερηθεὶς A. 1512.

Στερεύς. στερεὰς οὔποτ' ἀπειλὰς πτήξας V. 173.

Στέρνον. καὶ στέρν' ἄρασσε, περιβόα τὸ Μύσιον P. 1011. ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον στέρνων διαμπὰξ πασσάλευ' ἐῤῥωμένως V. 65. νεαρὸς μυελὸς στέρνων ἐντὸς ἀνάσσων A. 77. ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα C. 735. τρώματ' ἐν στέρνοις λαβὼν Fragm. I. 28. 1.

Στερνόφθαλμος Fragm. Pr. Sol. 12.

Στεροπή. βροντῇ στεροπῇ τ' ὀμβροφόροισίν τ' ἀνέμοις ἀγρίας ἅλος ἀντήσας S. 34. ἕλικες δ' ἐκλάμπουσιν στεροπῆς ζάπυροι V. 1086.

Στεῤῥός. ἔς τε κελαινὸν Τάρταρον ἄρδην ῥίψειε δέμας τοὐμὸν ἀνάγκης στεῤῥαῖς δίναις V. 1054.

Στεῦται. στεῦνται δ' ἱεροῦ Τμώλου πελάται ζυγὸν ἀμφιβαλεῖν δούλιον Ἑλλάδι P. 49.

Στέφανος. στέφανος, ἀρχαῖον στέφος, δεσμῶν ἄριστος Sphinx 1.

Στέφειν. μνημεῖά θ' αὐτῶν τοῖς τεκοῦσιν ἐς δόμους πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον T. 50. αἰδοῦ συ πρύμναν πόλεος ὧδ' ἐστεμμένην S. 340. λήνει μεγίστῳ σωφρόνως ἐστεμμένος E. 44.

Στέφος. ξὺν τῷδε θαλλῷ καὶ στέφει προσίξομαι μεσόμφαλόν θ' ἵδρυμα C. 1031. στέφανος ἀρχαῖον στέφος δεσμῶν ἄριστος Fragm. 214. πέπλων καὶ στεφέων πότ', εἰ μὴ νῦν, ἀμφὶ λιτὰν ἕξομεν; P. 97. μαντεῖα περὶ δέρῃ στέφη A. 1238. ἀν-

τιδοῦναι τοῖσι πέμπουσιν τάδε στέφη C. 93.

Στῆθος. ἱκνεῖται λόγος διὰ στηθέων T. 545. οἶμαί σφ' ἐρατῶν ἐκ βαθυκόλπων στηθέων ἥσειν ἄλγος ἐπάξιον T. 847.

Στημοῤῥαγεῖν. πάντα γὰρ κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι στημοῤῥαγοῦσι ποικίλων ἐσθημάτων P. 822.

Στίβος. πυκνοῖς ὅσσοις δεδορκὼς τοὺς ἐμοὺς κατὰ στίβους V. 682. ἰὼ λέχος καὶ στίβοι φιλάνορες A. 399. καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον ποδῶν ὅμοιοι C. 203. τενόντων θ' ὑπογραφαὶ μετρούμεναι ἐς ταὐτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις C. 208. ἐν στίβοισι τοῖς ἐμοῖς ἰχνοσκοποῦσα C. 226.

Στιγμός. οὔκουν, οὔκουν, τιλμοὶ τιλμοὶ καὶ στιγμοὶ, πολυαίμων φόνιος ἀποκοπὰ κρατὸς S. 819.

Στίξ. ὡς ἐρξάτην πολλὰ μὲν πολίτας ξένων τε πάντων στίχας T. 907.

Στῖφος. πεζοί τε βάδην πολέμου στῖφος παρέχοντες P. 20. τάξας νεῶν στῖφος μὲν ἐν στίχοις τρισὶν P. 358.

Στίχος. τάξας νεῶν στῖφος μὲν ἐν στίχοις τρισὶν P. 358.

Στοιχηγορεῖν. κακῶν δὲ πλῆθος, οὐδ' ἂν εἰ δέκ' ἤματα στειχηγοροίην, οὐκ ἂν ἐκπλήσαιμί σοι P. 422.

Στοιχίζειν. τρόπους δὲ πολλοὺς μαντικῆς ἐστοιχίσα V. 482.

Στολή. οὔτοι ταχεῖα ναυτικοῦ στρατοῦ στολὴ S. 745. ἡ μὲν τῇδ' ἐπυργοῦτο στολῇ P. 189. ὁρᾷς τὸ λοιπὸν τόδε τᾶς ἐμᾶς στολᾶς P. 977.

Στολμός. στολμοί τε λαίφους οὔ με λανθάνουσι S. 696. πρόστερνοι στολμοὶ πέπλων C. 29.

Στόλος. Ζεὺς μὲν ἀφίκτωρ ἐπίδοι προφρόνως στόλον ἡμέτερον S. 2. δέξαιθ' ἱκέτην τὸν θηλυγενῆ στόλον S. 29. τόνδ' ἐπόρνυται στόλον S. 184. ποδαπὸν ὅμιλον τόνδ' ἀνέλληνα στόλον πέπλοισι βαρβάροισι καὶ πεπλώμασιν χλίοντα προσφωνοῦμεν S. 231. 'Αργεῖον ἀνστήσας στόλον S. 319. εἰ μή τι πιστὸν τῷδ' ὑποστήσει στόλῳ S. 456. ὕβριν μὲν ἐχθήρειεν ἄρσενος στόλου S. 482. πῶς φῶ, πρὸς τίνος τ' ἀφαιρεθεὶς ἥκειν γυναικῶν αὐτανέψιον στόλον; S. 911. μήποτ' ἐκδοῦναι βίᾳ στόλον γυναικῶν S. 921. ἐπίδοι δ' Ἄρτεμις ἁγνὰ στόλον οἰκτιζομένα S. 1012. δεύτερον δ' ὁ πᾶς στόλος ἐπεξεχώρει P. 392. εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον ἔπαισε P. 400. ἔθραυον πάντα κωπήρη στόλον P. 408. ἀλλ' εὐσταλῆ καὶ λεκτὸν ἀροῦμεν στόλον P. 781. Τροίαν ἑλόντες δήποτ' 'Αργείων στόλος λάφυρ' ἐπασσάλευσαν ταῦτα A. 563. στόλος πρεσβυτίδων E. 981. τιμίαν ἕδραν τεύξῃ παρ' ἀνδρῶν καὶ γυναικείων στόλων E. 818.

Στόμα. Ζεὺς δ' ἐφορεύοι ξένιος ξενιόυ στόματος τιμὰς ἐπ' ἀληθείᾳ S. 623. ἐν ἡνίαισιν εἶχεν εὔαρκτον στόμα P. 189. οἶκτος δ' οὔτις ἦν διὰ στόμα T. 51. ἀπογυμνάζων στόμα πέμπει γεγωνὰ Ζηνὶ κυμαίνοντ' ἔπη T. 423. ἱέντα πυρπνόον διὰ στόμα λιγνὺν μέλαιναν T. 475. λέγει δὲ τοῦτ' ἔπος διὰ στόμα T. 561. ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα V. 614. Νείλου πρὸς αὐτῷ στόματι καὶ προσχώματι V. 849. ψευδηγορεῖν γὰρ οὐκ ἐπίσταται στόμα τὸ Δῖον V. 1034. στόματός τε καλλιπρώρου φυλακὰν κατασχεῖν φθόγγον ἀραῖον οἴκοις A. 226. εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα A. 1220. νῦν δ' ὤρθωσας στόματος γνώμην A. 1454. ἢ καὶ μολὼν ἔπειτά μοι κατὰ στόμα ἐρεῖ C. 566. μήτ' ἐπιζευχθῇς στόμα φήμαις πονηραῖς C. 1040. καὶ νῦν ἀφ' ἁγνοῦ στόματος εὐφήμως καλῶ χώρας ἄνασσαν τῆσδ' 'Αθηναίαν E. 278. στέργω δ' ὄμματα Πειθοῦς, ὅτι μοι γλῶσσαν καὶ στόμ' ἐπωπᾷ πρὸς τάσδ' ἀγρίως ἀπανηναμένας E. 929. εὐοδίαν μὲν πρῶτ' ἀπὸ στόματος χέομεν Glauc. Pot. 2. καὶ τούσδε κημοὺς στόματος Lycurg. 2. ἐξευλαβοῦ δὲ μή σε προσβάλλῃ στόμα πέμφιξ Prom. Sol. 5. 5. οὐ γὰρ δράκων ἐνῆκεν, ἀλλ' ἐνῴκισε δεινήν γε στόματος ἔκφυσιν ποδὸς λαβὼν Philoct. 7. καὶ ψευδόδειπνα πολλὰ μαργώσας γνάθου ἐρρυσίας οἷον στόματος ἐν πρώτῃ χαρᾷ Phin. 1. 2. κἀγὼ τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα ἤλπιζον εἶναι μαντικῇ βρύον τέχνῃ Fragm. Psych. 1. πρὸ τῶν τοιούτων χρὴ λόγων δάκνειν στόμα Fragm. I. 8. ὅ τι νῦν ἦλθ' ἐπὶ στόμα

Fragm. I. 69. ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα Fragm. 86. τοίγαρ ὑποσκίων ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχὰ S. 644. ἀγνῶν τ' ἐκ στομάτων φερέσθω φάμα φιλοφόρμιγξ S. 678.

Στόμιον. τὸν πτερυγωκῆ τόνδ' οἰωνὸν γνώμῃ στομίων ἄτερ εὐθύνων V. 287. δακὼν δὲ στόμιον, ὡς νεοζυγὴς πῶλος, βιάζῃ, καὶ πρὸς ἡνίας μάχῃ V. 1011. οἷον μήτις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας στρατωθὲν A. 131. ὦ μέγα ναίων στόμιον, εὖ δὸς ἀνιδεῖν δόμον ἀνδρὸς C. 796. ἀργυρηλάτοις κέρασι χρυσᾶ στόμια προσβεβλημένοις Fragm. Perrh. 1.

Στομίς Fragm. I. 115.

Στομοῦν. ὃς εἶχε πώλους τέτταρας ζυγηφόρους φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας Fragm. I. 73.

Στόμωμα. στόμωμα Πόντου P. 855.

Στονόεις. οἳ στονόεσσα πλαγὰ P. 1010. πρόπασα δ' ἤδη στονόεν λέλακε χωρὰ V. 405.

Στόνος. στόνων ἀῦταὶ T. 132. διήκει δὲ πόλιν στόνος T. 882.

Στόχος. μόνον τόδ' Ἑλλὰς χθὼν συνοίσεται στόχῳ S. 246.

Στράτεια. ἀπὸ στρατείας ἄνδρα σώσαντος θεοῦ A. 589. ἀπὸ στρατείας γάρ μιν ἡμποληκότα τὰ πλεῖστ' ἀμείνον' εὔφροσιν δεδεγμένη δροίτῃ E. 601.

Στρατεύειν. εἰ μὴ στρατεύοισθ' ἐς τὸν Ἑλλήνων τόπον P. 776.

Στράτευμα. ὀὰ, Περσικοῦ στρατεύματος τοῦδε P. 116. Περσικῷ στρατεύματι μάχην συνάψαι P. 328. ὅσαι περ ἦσαν βαρβάρου στρατεύματος νῆες P. 415. πεζῷ παραγγείλας ἄφαρ στρατεύματι P. 461. τήνδ' ἐβούλευσεν κέλευθον καὶ στράτευμ' ἐφ' Ἑλλάδα P. 744. εἰ στράτευμα πλεῖον ἢ τὸ Μηδικὸν P. 777. οὐ γὰρ πᾶν στράτευμα βαρβάρων περᾷ τὸν Ἕλλης πορθμόν; P. 784. πόλιν στράτευμ' ἁπτόμενον δαΐῳ πυρὶ T. 203. στράτευμ' ἐπακτὸν ἐμβαλὼν ἤρει πόλιν T. 1010. διπλοῦν μέτωπον ἦν δυοῖν στρατευμάτοιν P. 706.

Στρατηγεῖν. ἐξ οὗτε Βάκχαις ἐστρατήγησεν θεὸς E. 25.

Στρατηγός. οἱ δ' ἐπιστάται, δισσὼ στρατηγὼ, διέλαχον σφυρηλάτῳ Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν T. 798. τοιαῦτα χρὴ κλύοντας εὐλογεῖν πόλιν, καὶ τοὺς στρατηγοὺς A. 566. ἀνδρὶ στρατηγῷ τόνδ' ἐβούλευσας μόρον A. 1610.

Στρατηλατεῖν. τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει; φράσον P. 703. σκηνὰς ὅτ' ἦλθον Θησέως κατὰ φθόνον στρατηλατοῦσαι E. 657.

Στρατηλάτης. ἀνδρὸς μὲν ὑμῖν οὗτος εἴρηται μόρος τοῦ παντοσέμνου, τοῦ στρατηλάτου νεῶν E. 607.

Στρατία. νόστῳ τῷ βασιλείῳ καὶ πολυχρύσου στρατιᾶς P. 5. στρατιᾶς πολλῆς ἔφοροι P. 25. Περσῶν στρατιὰν ὀλέσας P. 526. πρῶτα μὲν εὐδοκίμου στρατιᾶς ἀποφαινόμεθ', ἠδὲ νομίσματα πύργινα πάντ' ἐπεύθυνον P. 843. ὀτοτοὶ βασιλεῦ στρατιᾶς ἀγαθῆς P. 882. στέλλων στρατιὰν Ἑλένης ἕνεκα A. 773.

Στρατιῶτις. στρατιῶτις ἀρωγὰ A. 47.

Στρατόμαντις. κεδνὸς δὲ στρατόμαντις —οὕτως εἶπε τεράζων A. 124.

Στρατόπεδον. μεθεῖται στρατὸς στρατόπεδον λιπὼν T. 79.

Στρατός. μελαγχίμῳ σὺν στρατῷ S. 726. οὔτοι ταχεῖα ναυτικοῦ στρατοῦ στολὴ S. 745. οὕτω γένοιτ' ἂν οὐδ' ἂν ἔκβασις στρατοῦ καλὴ S. 752. πεπέρακε γὰρ ὁ περσέπτολις ἤδη βασίλειος στρατὸς P. 67. ἀπρόσοιστος γὰρ ὁ Περσῶν στρατὸς P. 92. σὺν ὀρχάμῳ στρατοῦ P. 128. εἴ τι μὴ δαίμων παλαιὸς νῦν μεθέστηκε στρατοῦ P. 154. παῖς ἐμὸς στείλας στρατὸν Ἰαόνων γῆν οἴχεται P. 173. ὧδε τις πάρεστιν αὐτοῖς ἀνδροπλήθεια στρατοῦ; Καὶ στρατὸς τοιοῦτος ἔρξας πολλὰ δὴ Μήδους κακὰ P. 231. ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατὸν P. 240. στρατὸς γὰρ πᾶς ὄλωλε βαρβάρων P. 251. πᾶς δ' ἀπώλλυτο στρατὸς P. 271. αἶ αἶ στρατοῦ φθαρέντος P. 275. ὧδε δαίμων τις κατέφθειρε στρατὸν P. 327. ἀνὴρ γὰρ Ἕλλην ἐξ Ἀθηναίων στρατοῦ ἐλθὼν P. 347. οὐ μάλ' Ἑλλήνων στρατὸς κρυφαῖον ἔκπλουν οὐδαμοῦ καθίστατο P. 376. τὰ πρῶτα μὲν δὴ ῥεῦμα Περσικοῦ στρατοῦ ἀντεῖχεν P. 403. τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ ἐλθεῖν; P. 431. ὅπως κτείνοιεν

εὐχείρωτον Ἑλλήνων στρατὸν P. 444. ἕδραν γὰρ εἶχε παντὸς εὐαγῆ στρατοῦ P. 457. στρατός θ' ὁ λοιπὸς ἔν τε Βοιωτῶν χθονὶ διώλλυθ' P. 474. πολλὰ θεοκλυτῶν ἐπαύσατο στρατὸς P. 492. οἴ ἐγὼ τάλαινα διαπεπραγμένου στρατοῦ P. 509. ἐπεὶ στρατὸν εὖ ἐποδώκει P. 648. ἀλλ' ἀμφ' Ἀθήνας πᾶς διέφθαρται στρατὸς P. 702. πῶς δὲ καὶ στρατὸς τοσοῦτος πεζὸς ἤνυσεν περᾶν; P. 707. ναυτικὸς στρατὸς κακωθεὶς πεζὸν ὤλεσε στρατὸν P. 714. ὦ πόποι κεδνῆς ἀρωγῆς κἀπικουρίας στρατοῦ P. 717. πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ P. 734. Μῆδος γὰρ ἦν ὁ πρῶτος ἡγεμὼν στρατοῦ P. 751. Κύρου δὲ παῖς τέταρτος ἴθυνε στρατὸν P. 759. ἐπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ P. 766. ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις στρατὸς κυρήσει νοσ ιμου σωτηρίας P. 783. πλῆθος ἔκκριτον στρατοῦ ἔλειπε P. 789. βεβᾶσι γὰρ τοίπερ ἀγρόται στρατοῦ P. 963. στρατὸν μὲν τοσοῦτον τάλας πέπληγμαι P. 975. κατοίκτισαι στρατὸν P. 1019. ἥκω σαφῆ τακεῖθεν ἐκ στρατοῦ φέρων T. 36. ἐγγὺς γὰρ ἤδη πάνοπλος Ἀργείων στρατὸς χωρεῖ T. 59. βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ T. 64. μεθεῖται στρατὸς στρατόπεδον λιπὼν T. 80. ἑπτ' ἀγήνορες πρέποντες στρατοῦ T. 117. Λύκειος γενοῦ στρατῷ δαΐῳ T. 132. πόλιν δορίπονον μὴ προδῷθ' ἑτεροφώνῳ στρατῷ T. 154. ἢ ταῦτ' ἄριστα καὶ πόλει σωτήρια στρατῷ τε θάρσος; T. 166. πόλιν καὶ στρατὸν Καδμογενῆ ῥύεσθε T. 284. στρατοῦ κατόπτης T. 351. οἳ πόλισμα Καυκάσου πέλας νέμονται δάϊος στρατὸς V. 421. ἔνθ' Ἀμαζόνων στρατὸν ἥξεις V. 726. τόν τε μουνῶπα στρατὸν Ἀριμασπὸν ἱπποβάμον' V. 806. ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ ποθεῖν ἃ μὴ χρὴ A. 333. θεοῖς ἂν ἀμπλάκητος εἰ μόλοι στρατὸς A. 336. εὐμενεῖς πάλιν στρατὸν δέχεσθαι A. 503. κῆρυξ Ἀχαιῶν χαῖρε τῶν ἀπὸ στρατοῦ A. 524. ποθεῖν ποθοῦντα τήνδε γῆν στρατὸν λέγεις A. 531. πόθεν τὸ δύσφρον τοῦτ' ἐπῆν στύγος στρατῷ A. 534. ἡμῖν δὲ τοῖς λοιποῖσιν Ἀργείου στρατοῦ νικᾷ τὸ κέρδος A. 559. χεῖμα, κοινὸν ἄχθος, ἥρπασε στρατοῦ A. 613. ἀνὴρ ἄφαντος ἐξ Ἀχαϊκοῦ στρατοῦ A. 610. πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ ἐλθεῖν; A. 620. τὸν δύστηνον Ἀργείων στρατὸν φθείροντα A. 638. πῆμα πτωσίμου στρατοῦ A. 625. στρατοῦ δώρημα A. 929. εὖθ' ὑπ' Ἴλιον ὦρτο ναυβάτας στρατὸς A. 960. κήρυσσε, κῆρυξ, καὶ στρατὸν κατεργάθου E. 536. ὑπέρτονον γήρυμα φαινέτω στρατῷ E. 539. τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν E. 638. ἔσται δὲ καὶ τὸ λοιπὸν Αἰγείῳ στρατῷ ἀεὶ δικαστῶν τοῦτο βουλευτήριον E. 653. ἐγὼ δὲ χώρᾳ τῇδε καὶ τῷ σῷ στρατῷ ὁρκωμοτήσας, νῦν ἄπειμι πρὸς δόμους E. 732. οὔτ' ἂν δικαίως τῇδ' ἐπιῤῥέποις πόλει μῆνίν τιν', ἢ κότον τιν', ἢ βλάβην στρατῷ E. 849. ἀλλ' Ἄρης φιλεῖ γ' ἀεὶ τὰ λῷστα πάντ' ἀμᾶν στρατοῦ Eur. 1. καὶ ταξιάρχας καὶ ἑκατοντάρχας στρατῷ ἔταξα Palam. 2. 1. ἥξεις δὲ Λιγύων εἰς ἀτάρβητον στρατὸν Prom. Sol. 6. 1. δῃώσεις ῥαδίως Λιγὺν στρατὸν Fragm. 6. 9.

Στρατοῦν. οἷον μήτις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον μέγα Τροίας στρατωθὲν A. 132.

Στρέβλη. σκάφος στρέβλαισι ναυτικαῖσιν ὡς προσηγμένον S. 434.

Στρέφειν. τά τ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω στρέφων τίθησιν E. 621. ἡλίου πρὸς ἀντολὰς στρέψασα σαυτὴν V. 710.

Στροβεῖν. τίνες σε δόξαι, φίλτατ' ἀνθρώπων πατρὶ, στροβοῦσι; C. 1048. οἵοισιν ἐν χειμῶσι, ναυτίλων δίκην στροβούμεθ' C. 201.

Στρόβος. ᾤχοντ' ἄφαντοι, ποιμένος κακοῦ στρόβῳ A. 643. ἔχω στρόβους ζώνας τε, συλλαβὰς πέπλων S. 452.

Στρόγγυλος. νεφέλην δ' ὑποσχὼν νιφάδι στρογγύλων πέτρων ὑπόσκιον θήσει χθόνα Fragm. 6. 7.

Στρουθός. κατάμομφά τε φάσματα στρουθῶν A. 143.

Στροφοδινεῖσθαι. οἵ τ', ἐκπατίοις ἄλγεσι παίδων, ὕπατοι λεχέων, στροφοδινοῦνται, πτερύγων ἐρέτμοισιν ἐρεσσόμενοι A. 51.

Στροφή. δημηγόρους θ' ἤκουσεν εὐπειθεῖς στροφὰς δῆμος Πελασγῶν S. 618.

Στρόφιος. τρέφει γὰρ αὐτὸν εὐμενὴς δορύξενος Στρόφιος ὁ Φωκεὺς A. 855. εἶπε συμβαλὼν ἀνὴρ Στρόφιος ὁ Φωκεὺς C. 667.

Στρόφος. ἰὼ δυσαδελφόταται πασῶν, ὁπόσαι στρόφον ἐσθῆσιν περιβάλλονται T. 853.

Στρυμόνιος. Στρυμόνιον πέλαγος P. 850.

Στρυμών. καὶ πᾶσαν αἶαν ἧς δι' Ἄλγος ἔρχεται, Στρυμών τε πρὸς δύνοντος ἡλίου, κρατῶ S. 257. πήγνυσιν δὲ πᾶν ῥέεθρον ἁγνοῦ Στρυμόνος P. 489. ἀπὸ Στρυμόνος μολοῦσαι πνοαὶ A. 185.

Στρωμνή. θερμὰ λουτρὰ, καὶ πόνων θελκτήρια, στρωμνὴ, δικαίων τ' ὀμμάτων παρουσία C. 660.

Στρωννύναι. αἷς ἐπέσταλται τέλος πέδον κελεύθου στρωννύναι πετάσμασιν A. 883. μηδ' εἵμασι στρώσασ' ἐπίφθονον πόρον τίθει A. 895.

Στρωφᾶσθαι. λέοντ' ἄναλκιν ἐν λέχει στρωφώμενον οἰκουρὸν A. 1197.

Στυγάνωρ. 'Αμαζόνων στρατὸν ἥξεις στυγάνορ' V. 726.

Στυγεῖν. τί τάδε νέμεσις στυγεῖ; T. 217. ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ; T. 1037. τί τὸν θεοῖς ἔχθιστον οὐ στυγεῖς θεόν; V. 37. τί νιν στυγεῖς; V. 46. στυγεῖ δὲ δεῖπνον αἰετῶν A. 137. ὅστις Αἴγισθον στυγεῖ C. 104. ἐπεὶ φιλεῖς τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν στυγεῖς C. 894. νοσοῖμ' ἂν, εἰ νόσημα τοὺς ἐχθροὺς στυγεῖν V. 980. ἀλλὰ δεῖ τιν' ἐν λόγοις στυγεῖν φοινίαν Σκύλλαν C. 604. στυγεῖν μιᾷ φρενὶ E. 941. ὕβριν δ' ἑτοίμως στυγοῦντες πέλοιτ' ἂν ἔνδικοι γάμοις S. 80. ὑπέρφρονας λόγους στυγοῦντα T. 392. λιπαρήσω τὸν μέγα στυγούμενον V. 1006. ἴτω κατ' οὖρον κῦμα Κωκυτοῦ λαχὸν Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος T. 673.

Στυγερός. στυγερὸν πέλει τόδ' ἆθλον S. 1015. στυγερᾶς μοίρας τῆσδε κυρήσας P. 873. διαμεῖψαι στυγερὰν ὁδὸν T. 317. τῶν δὲ κρατούντων χέρες οὐχ ὅσιαι στυγερῶν τούτων C. 372. στυγερῷ θανάτῳ διεπράχθης C. 1002. ἐπεὶ μοῦσαν στυγερὰν ἀποφαίνεσθαι δεδόκηκεν E. 298.

Στυγητός. Ἥρᾳ στυγητὸς V. 594.

Στύγιος. Στυγία γάρ τις ἐπ' ἀχλὺς πεπόταται P. 656.

Στυγνός. στυγνοὶ δ' Ἀθᾶναι δᾴοις P. 278. ὦ στυγνὲ δαῖμον P. 464. κατιδόντες στυγνὰς Ἀθάνας P. 936. θολεροὶ δὲ λόγοι παίουσ' εἰκῆ στυγνῆς πρὸς κύμασιν ἄτης V. 888. στυγνὸν πρόσωπον A. 625.

Στῦλος. ὑψηλῆς στέγης στῦλον A. 872.

Στύξ. ἄτρωτον οὖθαρ ἦν ὑπὸ στυγός; C. 525.

Στύφελος. ὀχυροῖσι πεποιθὼς στυφέλοις ἐφέταις P. 79. ἐπ' ἀκτᾶς στυφέλου P. 926.

Στύφλος. στύφλους παρ' ἀκτὰς θείνεται Σιληνίων P. 296. ἔρριψ' ἐμαυτὴν τῆσδ' ἀπὸ στύφλου πέτρας V. 750.

Συγγενής. συγγενῆ θεὸν δῆσαι V. 14. τὸ συγγενές τοι δεινὸν, ἥ θ' ὁμιλία V. 39. φεύγουσα συγγενῆ γάμον ἀνεψιῶν V. 857. παύροις γὰρ ἀνδρῶν ἐστι συγγενὲς τόδε, φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν A. 806. φόβος τε συγγενὴς τὸ μὴ 'δικεῖν σχήσει E. 662.

Συγγίνεσθαι. μόνον Κράτος τε καὶ Δίκη σὺν τῷ τρίτῳ πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό μοι C. 243.

Συγγινώσκειν. εἰδὼς ἂν αἶσαν τήνδε συγγνῴη βροτοῖς S. 212.

Σύγγονος. συγγόνῳ φρενὶ κακῷ κοινωνεῖ T. 1025.

Συγκαθελκύειν. Διὸς θέλοντος συγκαθελκυσθήσεται T. 596.

Συγκαθιστάναι. τὸν συγκαθιστήσαντα τὴν τυραννίδα V. 305.

Συγκαλεῖν. ἐγὼ δὲ λαοὺς συγκαλῶν ἐγχωρίους πείσω S. 512.

Συγκαλυπτός. κνίσσῃ τε κῶλα συγκαλυπτά V. 494.

Συγκαλυπτέος. οὐδαμῶς λόγον καιρὸς γεγωνεῖν, ἀλλὰ συγκαλυπτέος V. 522.

Συγκάμνειν. σοῖς πήμασι συγκάμνουσι θνητοὶ V. 413. αἱ πημοσύναις συγκάμνουσαι ταῖς τοῦδε V. 1061.

Συγκαταβαίνειν. οὕτω μοῖρά τε ξυγκατέβα V. 998.

Συγκεραννύναι. τὰ μὲν παλαιὰ συγκεκραμένα ἄλγη—ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα C. 733.

Συγκλινής. τὸ συγκλινὲς ἐπ' Αἴαντι Fragm. Thr. 2.

Συγκοιμᾶν. δίπους λέαινα συγκοιμωμένη λύκῳ A. 1231.
Συγκόλλως. καὶ ταῦτ' ἔλεξας πάντα συγκόλλως ἐμοὶ S. 306. κρίνω δὲ τοί νιν ὥστε συγκόλλως ἔχειν C. 535.
Σύγκωμος. μιξοβόαν πρέπει διθύραμβον ὁμαρτεῖν σύγκωμον Διονύσῳ Fragm. Inc. 98.
Σύγχορτος. Δίαν δὲ λιποῦσαι χθόνα σύγχορτον Συρίᾳ φεύγομεν S. 5.
Συγχωννύναι. κῦμα δὲ πόντου τραχεῖ ῥοθίῳ συγχώσειε V. 1051.
Σύδην. ναῶν γε ταγοὶ τῶν λελειμμένων σύδην κατ' οὖρον οὐκ εὔκοσμον αἴρονται φυγὴν P. 472.
Συέννεσις. Συέννεσίς τε πρῶτος εἰς εὐψυχίαν, Κιλίκων ἄπαρχος P. 318.
Συζυγεῖν. ὅπου γὰρ ἰσχὺς συζυγοῦσι καὶ δίκη, ποία ξυνωρὶς τῆσδε καρτερωτέρα; Fragm. Inc. 40.
Σύζωμα. τί σοι περαίνει μηχανὴ συζωμάτων; S. 465.
Συλᾶν. οὐ θεῶν βρέτη ᾐδοῦντο συλᾶν P. 796. ἐνταῦθα νῦν ὕβριζε, καὶ θεῶν γέρα συλῶν, ἐφημέροισι προστίθει V. 83. πρὸς τοῦ τύραννα σκῆπτρα συληθήσεται; V. 763.
Συλήτωρ. οὐ γὰρ ξενοῦμαι τοὺς θεῶν συλήτορας S. 905.
Συλλαβή. ἔχω στρόβους ζώνας τε, συλλαβὰς πέπλων S. 452. βοᾷ δὲ χ' οὗτος γραμμάτων ἐν συλλαβαῖς T. 450.
Συλλήβδην. βραχεῖ δὲ μύθῳ πάντα συλλήβδην μάθε V. 503.
Συλλήπτωρ. πατρόθεν δὲ συλλήπτωρ γένοιτ' ἂν ἀλάστωρ A. 1489.
Συλλύειν. οὐχ ὁρωμένην πατρὸς μῆνιν δέχεσθαι, μήτε συλλύειν τινα C. 292.
Συμβαίνειν. συμβαίνει γὰρ οὐ τὰ μὲν, τὰ δ' οὔ P. 788. τενόντων θ' ὑπογραφαὶ μετρούμεναι εἰς ταὐτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις C. 208. ὅπως ἂν ἀρτίκολλα συμβαίνῃ τάδε C. 573.
Συμβάλλειν. ὡς ἀσφάδαστος ὄμμα συμβάλω τόδε A. 1267. φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ A. 15. ἀγνῶς πρὸς ἀγνῶτ' εἶπε συμβαλὼν ἀνὴρ C. 666. πέτρων—οἷς ἔπειτα συμβαλὼν δηώσεις ῥᾳδίως Λιγὺν στρατὸν Prom. Sol. 6. 9.
Συμβολή. ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν; φράσον P. 342. ἔνθα συμβολὰς τριῶν κελεύθων Ποτνιάδων ἠμείβομεν Fragm. Œd. 1.
Σύμβολον. καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον A. 8.
Σύμβολος. ἐνοδίους τε συμβόλους γαμψωνύχων τε πτῆσιν οἰωνῶν σκεθρῶς διώρισ' V. 484.
Σύμβουλος. σύμβουλοι λόγου τοῦδέ μοι γένεσθε P. 166. εὐμενεῖς γὰρ ὄντας ἡμᾶς τῶνδε συμβούλους καλεῖς P. 171. γένεσθε τῶνδε σύμβουλοι πέρι C. 84.
Συμμαχεῖν. πῶς τοῦτ' ἔλεξας; τίνι τρόπῳ δὲ συμμαχεῖ; P. 779.
Σύμμαχος. συμμάχους εἶναι θεοὺς εὔχου T. 248. πατρίς τε γαῖα σῆς ὑπὸ σπουδῆς δορὶ ἁλοῦσα, πῶς σοι σύμμαχος γενήσεται T. 568. ἐμαῖς δὲ βουλαῖς Ταρτάρου μελαμβαθὴς κευθμὼν καλύπτει τὸν παλαιγενῆ Κρόνον αὐτοῖσι συμμάχοισι V. 221. γενοῦ δὲ σύμμαχος θέλων ἐμοὶ C. 19. ἤ τοι δίκην ἴαλλε σύμμαχον φίλοις C. 490. λεὼν πιστόν τε πάντως, ἐς τὸ πᾶν τε σύμμαχον E. 281. καὶ τόνδ' ἐπικτήσαιο σύμμαχον, θεὰ E. 641. πόλιν τὴν Παλλάδος τιμῶσιν αἰεὶ τήνδε συμμάχῳ δορὶ E. 743.
Σύμμετρος. ἰδοῦσα κουρὰν τήνδε κηδείου τριχὸς σαυτῆς ἀδελφοῦ συμμέτρου τῷ σῷ κάρᾳ C. 225. σύμμετρον ἐς ἦμαρ μοιρόκραντον C. 602.
Συμμιγής. ὦ δόμων πόνοι νέοι παλαιοῖσι συμμιγεῖς κακοῖς T. 723.
Συμμιγνύναι. πῶς κεδνὰ τοῖς κακοῖσι συμμίξω; A. 634. ἀνοσίοισι συμμιγεὶς T. 593.
Συμπαραστατεῖν. κράτιστα δή μοι τῶν παρεστώτων τότε ἐφαίνετ' εἶναι προσλαβόντι μητέρα ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν V. 218.
Συμπενθεῖν. ξυγγενὴς ὤν, εἶχε συμπενθεῖν ἐμοὶ ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρὸς C. 197.
Συμπιτνεῖν. πολλοὶ γὰρ εἰς ἓν συμπιτνοῦσιν ἵμεροι C. 297.
Συμπνεῖν. ἐμπαίοις τύχαισι συμπνέων A. 180.
Συμπονεῖν. πείθεσθέ μοι, πείθεσθε, συμπονήσατε τῷ νῦν μογοῦντι V. 274.
Συμπράσσειν. σήμαιν', ὅ τι χρή σοι συμπράττειν V. 296.
Συμπρεπής. τύχῃ γυναικῶν ταῦτα συμπρεπῆ πέλει S. 453.

Συμφέρειν. κατεύχεται σοὶ συμφέρεσθαι καὶ θανὼν κτεῖναι πέλας T. 618. μόνον τόδ' Ἑλλὰς χθὼν συνοίσεται στόχῳ S. 240.

Σύμφημι. τὸ συγγενές τοι δεινὸν, ἥθ' ὁμιλία. Σύμφημ'· ἀνηκουστεῖν δὲ τῶν πατρὸς λόγων οἷόν τε πῶς; V. 40.

Σύμφθογγος. τὴν γὰρ στέγην τήνδ' οὔ ποτ' ἐκλείπει χορὸς σύμφθογγος, οὐκ εὔφωνος A. 1160.

Συμφορά. ὑπερβάλλει γὰρ ἥδε συμφορὰ P. 283. τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ ἐλθεῖν P. 431. οἳ ἐγὼ τάλαινα συμφορᾶς κακῆς P. 437. τοιάνδε σοι πρὸς τὴν πάροιθεν συμφορὰν πάρα στένειν P. 463. μάλιστα δ' ἥδε συμφορὰ δάκνει P. 832. πέπλον δ' ἐπέρρηξ' ἐπὶ συμφορᾷ κακοῦ P. 987. βαρεῖά γ' ἅδε συμφορὰ P. 1001. εἰ δ' αὖθ', ὃ μὴ γένοιτο, συμφορὰ τύχοι T. 5. ἡ σὴ, Προμηθεῦ, συμφορὰ διδάσκαλος V. 391. ἥδοι' ἂν, οἶμαι, τήνδ' ἰδοῦσα συμφορὰν V. 760. κλαίω τότ' οἴκου τοῦδε συμφορὰν στένων A. 18. χόρων κατάστασις πολλῶν ἐν Ἄργει τῆσδε συμφορᾶς χάριν A. 24. καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα φθογγὰς ἀκούειν ἐστὶ συμφορᾶς διπλῆς A. 315. βουλευσόμεσθα τῆσδε συμφορᾶς πέρι C. 709. στένωμεν οὖν καὶ τῶνδε συμφορὰν διπλῆν C. 919. ἦ κἀμὲ γάρ τι ξυμφοραῖς ἐπαιτίᾳ; V. 976. καί σ' ἐποπτεύων πρόφρων θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς C. 1060. τῷ γὰρ σέβοντι συμφορὰς ὀρθώσομεν E. 857. μετοικίαν δ' ἐμὴν εὖ σέβοντες, οὔτι μέμψεσθε συμφορὰς βίου E. 975. ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ E. 987.

Σύμφρων. κλύετε σύμφρονες θεοὶ C. 971.

Σύμφυτος. σύμφυτος αἰὼν A. 107. νεικέων τέκτονα σύμφυτον A. 148.

Σύν. ἀφικόμεθα σὺν τοῖσδε κλάδοισιν S. 21. δορὸς ἀχείματόν μ' ἔπεμπε σὺν πνοαῖς S. 129. ἱξόμεσθα σὺν κλάδοις S. 150. ἔπλευσαν ὧδε μελαγχίμῳ σὺν στρατῷ S. 726. σὺν φίλοις ὁπάοσι S. 932. δύναται γὰρ Διὸς ἄγχιστα σὺν Ἥρᾳ S. 1018. σὺν ὀρχάμῳ στρατοῦ P. 128. σὺν θυηπόλῳ χερὶ βωμὸν προσέστην P. 198. τέκνοις μέγαν πλοῦτον ἐκτήσω σὺν αἰχμῇ P. 741. τὸν δὲ σὺν δόλῳ Ἀρταφρένης ἔκτεινεν ἐσθλὸς ἐν δόμοις P. 761. ἐπεστράτευσα πολλὰ σὺν πολλῷ στρατῷ P. 766. σοῦσθε σὺν παντευχίᾳ T. 30. σιγῶ· σὺν ἄλλοις πείσομαι τὸ μόρσιμον T. 245. ἄνδρας ἕξ, ἐμοὶ σὺν ἑβδόμῳ T. 265. προστατηρίας Ἀρτέμιδος εὐνοίαισι, σύν τ' ἄλλοις θεοῖς T. 432. πέμποιμ' ἂν ἤδη τόνδε, σὺν τύχῃ δέ τῳ T. 454. ὄλωλεν ἀνδρῶν σὺν θεοπτύστῳ γένει T. 586. ἄρχοντί τ' ἄρχων, καὶ κασιγνήτῳ κάσις ἐχθρὸς σὺν ἐχθρῷ στήσομαι T. 657. δέδοικα δὲ σὺν βασιλεῦσι μὴ πόλις δαμασθῇ T. 746. πατρῴους δόμους ἑλόντες μέλεοι σὺν ἀλκᾷ T. 859. διήλλαχθε σὺν σιδάρῳ T. 865. σὺν δορὶ καὶ χερὶ πράκτορι πέμπει A. 111. κεροτυπούμεναι βίᾳ χειμῶνι τυφῶ σὺν ζάλῃ τ' ὀμβροκτύπῳ A. 642. τὰ χρυσόπαστ' ἐσθλὰ σὺν πίνῳ χερῶν παλιντρόποισιν ὄμμασιν λιποῦσα A. 752. σὺν ταῖσδέ μ' ἐμβαίνονθ' ἁλουργέσιν, θεῶν μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος A. 920. σὺν ἐντέροις τε σπλάγχνα A. 1194. ἐμοὶ δ' ἀγὼν ὅδ' οὐκ ἀφρόντιστος πάλαι νείκης παλαιᾶς ἦλθε; σὺν χρόνῳ γε μὴν A. 1351. τίς δ' ἐπιτύμβιος αἶνος ἐπ' ἀνδρὶ θείῳ σὺν δάκρυσιν ἰάπτων ἀληθείᾳ φρενῶν πονήσει; A. 1528. ἰαλτὸς ἐκ δόμων ἔβην χοᾶς πρόπομπος ὀξύχειρι σὺν κτύπῳ C. 23. ἐλθεῖν δ' Ὀρέστην δεῦρο σὺν τύχῃ τινὶ κατεύχομαί σοι C. 136. ἡμῖν δὲ πομπὸς ἴσθι τῶν ἐσθλῶν ἄνω, σὺν θεοῖσι καὶ γῇ, καὶ δίκῃ νικηφόρῳ C. 146. μόνον Κράτος τε καὶ Δίκη σὺν τῷ τρίτῳ πάντων μεγίστῳ Ζηνὶ συγγένοιτό μοι C. 242. γένοιτο δ' ὡς ἄριστα, σὺν θεῶν δόσει C. 771. εἴ σφε σὺν δίκῃ κατέκτανον E. 580. ἕως ἐγείρω πρευμενεῖς τοὺς νυμφίους νόμοισι θέντων σὺν κόροις τε καὶ κόραις Dan. 1. 3.

Συνάγειν. Ἑρμῆς δ' εὐλόγως συνήγαγεν T. 490. παράνοια σύναγε νυμφίους φρενώλεις T. 738.

Συναίρεσθαι. Ζεὺς γὰρ ἱμέρῳ πρὸς σοῦ τέθαλπται, καὶ συναίρεσθαι Κύπριν θέλει V. 653.

Συναλγεῖν. ταῖς σαῖς δὲ τύχαις, ἴσθι, συναλγῷ V. 288.

Συνάπτειν. Τήνῳ τε συνάπτουσ' Ἄνδρος ἀγχιγείτων P. 859. μάχην συνάψαι

ναΐοισιν ἐμβολαῖς P. 328. καὶ τοῦδε τἀνδρὸς ἠψάμην θυραῖος ὤν, πᾶσαν συνάψας μηχανὴν δυσβουλίας A. 1590. ἀλλ' ὅταν σπεύδῃ τις αὐτὸς χ' ὠ θεὸς συνάπτεται P. 728.
Συναρμόζειν. πάντας ἤδη τόδ' ἔργον εὐχερείᾳ συναρμόσει βροτοὺς E. 472.
Συνασχαλᾶν. σοῖσιν οὐ συνασχαλᾷ μόχθοις V. 243. ἢ θεωρήσων τύχας ἐμὰς ἀφῖξαι, καὶ συνασχαλῶν κακοῖς; V. 303.
Συνδαίτωρ. οὐδέ τίς ἐστι συνδαίτωρ μετάκοινος E. 331.
Σύνδικος. μητρὸς τάσδε συνδίκους ὁρῶν E. 731.
Συνδρόμως. καὶ μαρτυρεῖτε συνδρόμως ἴχνος κακῶν ῥινηλατούσῃ τῶν πάλαι πεπραγμένων A. 1157.
Συνεδρία. πρὸς ἀλλήλους τίνες ἔχθραι τε καὶ στέργηθρα, καὶ συνεδρίαι V. 490.
Συνείδειν. καὶ τίνα σύνοισθά μοι καλουμένῃ βροτῶν. Σύνοιδ' Ὀρέστην πολλά σ' ἐκπαγλουμένην C. 214.
Συνέμπορος. καὶ γὰρ δύ' ἔστον τώδε περιγραφὰ ποδοῖν, αὐτοῦ τ' ἐκείνου καὶ ξυνεμπόρου τινὸς C. 206.
Συνεξελαύνειν. τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ συνεξελαύνει τύτθον ὄντ' ἐν σπαργάνοις A. 1588.
Σύνευνος. μίαν δὲ παίδων ἵμερος θέλξει τὸ μὴ οὐ κτεῖναι σύνευνον V. 868.
Συνήγορος. καὶ φημὶ ταῦτα, καὶ συνήγορόν μ' ἔχεις A. 806.
Συνθάπτειν. ἣν μή τις ἄλλος τόνδε συνθάπτειν θέλει T. 1018. ἡμεῖς μὲν ἴμεν καὶ συνθάψομεν τόνδε προπομποὶ T. 1060.
Σύνθεσις. ἀριθμὸν ἔξοχον σοφισμάτων ἐξεῦρον αὐτοῖς, γραμμάτων τε συνθέσεις V. 457.
Σύνθετος. νόσημα γὰρ αἴσχιστον εἶναί φημι συνθέτους λόγους V. 689.
Συνθήκη. αἰνῶ δὲ κρύπτειν τάσδε συνθήκας ἐμὰς C. 548.
Συνθνήσκειν. συνθνήσκουσα δὲ σποδὸς προπέμπει πίονας πλούτου πνοὰς A. 793.
Συνίστωρ. πολλὰ συνίστορα αὐτοφόνα κακὰ A. 1061.
Συνναίειν. τοιαῦτα δ' ἂν γυναιξὶ συνναίων ἔχοις T. 177.
Σύννοια. συννοίᾳ δὲ δάπτομαι κέαρ, ὁρῶν ἐμαυτὸν ὧδε προυσελούμενον V. 435.
Σύννομος. ἔρωτας ἄταισι συννόμους βροτῶν C. 590.
Σύνορθρος. τοῖον γὰρ ἥξει σύνορθρον αὐγαῖς A. 245.
Συνοροῦν. τὸ πᾶν δ' ἀφ' Ἑλλάδος αἴας συνορμένοις πένθεια τλησικάρδιος δόμων ἑκάστου πρέπει A. 417.
Συντελής. Πάρις γὰρ οὔτε συντέλης πόλις ἐπεύχεται τὸ δρᾶμα τοῦ πάθους πλέον A. 518.
Συντέμνειν. συντέμνει δ' ὅρος ὑγρᾶς θαλάσσης S. 255. τίμας σὺ μὴ σύντεμνε τὰς ἐμὰς λόγῳ E. 218.
Συντετραίνειν. δι' ὤτων δὲ συντέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει C. 444.
Σύντομος. μήτι μακιστῆρα μῦθον, ἀλλὰ σύντομον λέγων P. 684.
Συντόμως. πεύσῃ τὰ πάντα συντόμως E. 393. πολλαὶ μέν ἐσμεν, λέξομεν δὲ συντόμως E. 555.
Συνωμότης. ὕπνος πόνος τε κύριοι συνωμόται δεινῆς δρακαίνης ἐξεκήραναν μένος E. 123.
Συνώνυμος. ἀγάλματ' αἰδοίου Διὸς σεμνῶς ἔχουσαι διὰ χερῶν συνωνύμων S. 196.
Σύρδην. Βαβυλὼν δ' ἡ πολύχρυσος πάμμικτον ὄχλον πέμπει σύρδην P. 54.
Συρία. Δίαν δὲ λιποῦσαι χθόνα σύγχορτον Συρίᾳ φεύγομεν S. 5.
Σύριγξ. σύριγγες οὐ σιγῶσιν ἀξονήλατοι S. 178. σύριγγες ἔκλαγξαν ἑλίτροχοι T. 187.
Συρίζειν. φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον T. 445. σμερδναῖσι γαμφηλῇσι συρίζων φόνον V. 355.
Σύριος. Σύριον ἅρμα διώκων P. 84. οὐ Σύριον ἀγλάϊσμα δώμασιν λέγεις A. 1285.
Συσπεύδειν. φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεὸς Fragm. 6.
Συστρέφειν. μή σ' ἀναρπάσῃ δυσχειμέρῳ πέμφιγι συστρέψας ἄνω Fragm. Pr. S. 5.
Σύστημα. ὕδατος συσήματα τρέμει Fragm. Inc. 168. 8.
Σφαγεῖον. ἀνδρὸς σφαγεῖον A. 1062.
Σφαγή. ἐκφυσιῶν ὀξεῖαν αἵματος σφαγὴν A. 1362. ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐμῶν A. 1581. χρήσασθαι σφαγῇ Fragm. Pr. 1. δίθηκτον ἐν σφαγαῖσι βάψασα ξίφος V. 865. ἕστηκεν ἤδη

μῆλα πρὸς σφαγὰν πυρὸς A. 1027. κλαιομένα τάδε βρέφη σφαγὰς ὀπτάς τε σάρκας πρὸς πατρὸς βεβρωμένας A. 1067. σφαγαί τε, σπέρματός τ' ἀποφθοραὶ E. 178. ἐς τ' ἂν πρὸς ἀνδρὸς αἵματος καθαρσίου σφαγαὶ καθαιμάξωσι νεοθήλου βοτοῦ E. 428.

Σφάγιον. οὐ γὰρ σφάγια γίνεται καλὰ T. 361. σφαγίων τῶνδ' ὑπὸ σεμνῶν κατὰ γᾶν σύμεναι E. 960. ἀνδρῶν τάδ' ἐστὶ, σφάγια καὶ χρηστήρια θεοῖσιν ἕρδειν T. 212.

Σφαδάζειν. ἡ δ' ἐσφάδαζε καὶ χεροῖν ἔντη δίφρου διασπαράττει P. 189.

Σφάκελος. ὑπό μ' αὖ σφάκελος καὶ φρενοπληγεῖς μανίαι θάλπουσ' V. 880. αἰθὴρ δ' ἐρεθιζέσθω βροντῇ, σφακέλῳ τ' ἀγρίων ἀνέμων V. 1047.

Σφαλερός. σφαλερὰ κῶλα E. 349.

Σφάλλεσθαι. ἦ γὰρ πατήρ τι σφάλλεται βουλευμάτων; E. 687.

Σφάττειν. μὰ τὴν τέλειαν τῆς ἐμῆς παιδὸς Δίκην, Ἄτην, Ἐριννύν θ' αἷσι τόνδ' ἔσφαξ' ἐγὼ A. 1408. πρὸς αὐτὸν τόνδε σε σφάξαι θέλω C. 891. πρὸς βωμῷ σφαγεὶς E. 295.

Σφενδόνη. βαλὼν σφενδόνας ἀπ' εὐμέτρου A. 983.

Σφετερίζεσθαι. πρίν ποτε λέκτρων ὧν θέμις εἴργει σφετεριξάμενον πατραδέλφειαν τήνδ' ἀεκόντων ἐπιβῆναι S. 39.

Σφέτερος. τὸ δυσσεβὲς γὰρ ἔργον μετὰ μὲν πλείονα τίκτει σφετέρᾳ δ' εἰκότα γέννᾳ A. 738. ἐκράτυνε σφετέραις φρεσὶ P. 868.

Σφήν. ἀδαμαντίνου νῦν σφηνὸς αὐθάδη γνάθον στέρνων διάμπαξ πασσάλευ' ἐῤῥωμένως V. 64.

Σφίγγειν. ἄρασσε μᾶλλον, σφίγγε, μηδαμῇ χάλα V. 58.

Σφίγξ. ἐν σάκει—Σφίγγ' ὠμόσιτον προσμεμηχανευμένην γόμφοις ἐνώμα T. 523. Σφίγγα δυσαμερίαν πρύτανιν κύνα πέμπει Fragm. 2. 2.

Σφοδρύνεσθαι. ἄταρ σφοδρύνῃ γ' ἀσθενεῖ σοφίσματι V. 1013.

Σφραγίζειν. καὶ κλῇδας οἶδα δωμάτων μόνη θεῶν ἐν ᾧ κεραυνός ἐστιν ἐσφραγισμένος E. 792.

Σφριγᾶν. ἐάν τις ἐν καιρῷ γε μαλθάσσῃ κέαρ, καὶ μὴ σφριγῶντα θυμὸν ἰσχναίνῃ βίᾳ V. 380.

Σφύρα. σφύρας δέχεσθαι, κἀπιχαλκεύειν λέγω μύδρους Fragm. Inc. 105.

Σφυρήλατος. καὶ πόρον μετεῤῥύθμιζε, καὶ πέδαις σφυρηλάτοις περιβαλὼν πολλὴν κέλευθον ἤνυσεν πολλῷ στρατῷ P. 733. διέλαχον σφυρηλάτῳ Σκύθῃ σιδήρῳ κτημάτων παμπησίαν T. 798.

Σχεδία. λινοδέσμῳ σχεδίᾳ πορθμὸν ἀμείψας P. 69.

Σχέδιος. σχέδιά τ' αὐτόκωπα νωμῶν βέλη C. 161.

Σχέθειν. Κάδμου πόλιν ζυγοῖσι δουλίοισι μήποτε σχέθειν T. 75. οὐδὲ τὴν Διὸς ἔριν πέδῳ σκήψασαν ἐκπόδων σχέθειν φησὶν T. 410. πάντως δ' ἀνάγκη τῶνδέ μοι τόλμαν σχέθειν V. 16. Περσέως τ' ἐν φρεσὶν καρδίαν σχέθων C. 818. τιμίαν ἕδραν—ὅσην παρ' ἄλλων οὔποτ' ἂν σχέθοις βροτῶν E. 819.

Σχελίς. σχελίδες (βοὸς πλευρὰ) Fragm. Inc. 111.

Σχέσις. οὔτ' εἶδος, οὔτε θυμὸν, οὔθ' ὅπλων σχέσιν μωμητὸς T. 489.

Σχέτλιος. διαφθορὰ μορφῆς ὅθεν μοι σχετλίᾳ προσέπτατο V. 647.

Σχῆμα. ξὺν βοῇ παρίσταται Ἱππομέδοντος σχῆμα, καὶ μέγας τύπος T. 470.

Σχηματίζειν. ἐσχημάτισται δ' ἀσπὶς οὐ σμικρὸν τρόπον T. 446.

Σχίζειν. σχισθέντα δ' οὐκ εὔκρυπτα γίνεται τάδε A. 609.

Σχισμός. ἐμοὶ δὲ μίμνει σχισμὸς ἀμφήκει δορὶ A. 1120.

Σχιστός. ἐπῆμεν τῆς ὁδοῦ τροχήλατον σχιστῆς κελεύθου τρίοδον Œd. 1.

Σχολάζειν. μὴ νῦν σχόλαζε, μηχανῆς δ' ἔστω κράτος S. 204. βαίνειν κελεύω βᾶριν εἰς ἀντίστροφον ὅσον τάχιστα, μηδέ τις σχολαζέτω S. 860.

Σχολή. σχολὴ δὲ πλείων ἢ θέλω πάρεστί μοι V. 820. οὔτοι θυραίαν τήνδ' ἐμοὶ σχολὴ παρὰ τρίβειν A. 1025. εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει A. 1029.

Σώζειν. θεοὶ πόλιν σώζουσι Παλλάδος θεᾶς P. 339. ὃς πατρῷον αἰδεσθεὶς μόρον, σώζει με E. 731. Ἀπόλλωνος βίᾳ τρὶς εἰπόντος ἐν χρηστηρίοις θνήσκοντα γέννας ἄτερ, σώζειν πόλιν T. 731. σεαυτὸν σῶζ' ὅπως ἐπίστασαι V. 374. σῶζε τὸν παρόντα νοῦν V. 392. τόνδε γὰρ σώζων ἐγὼ (χρη-

σμὸν), δεσμούς τ' ἀεικεῖς καὶ δύας ἐκφυγγάνω V. 523. τὸν ἐκ βυθοῦ κλωστῆρα σώζοντες λίνον C. 500. σώζων ἐφετμὰς Λοξίου χρηστηρίους C. 232. εὐχαῖσι σώσεις δεσπότας Παιωνίας Mys. 1. ἅπερ ξένῳ ξένη ἔσωσεν ἔρνος E. 631. ἀπὸ στρατείας ἄνδρα σώσαντος θεοῦ A. 589. ὦ Παλλὰς, ὦ σώσασα τοὺς ἐμοὺς δόμους E. 724. αὐτὸς δὲ σώζῃ τόνδε τιμήσας λόγον C. 502. πόλις σέσωσται T. 786. 802. πρὸς ἤπειρον σεσῶσθαι τήνδε P. 723. σεσωσμένος κυρεῖ P. 495. τί τόδε λέγεις σεσωσμένον; P. 980. πόλεως σεσωσμένης T. 256. εἰ νόστιμός γε καὶ σεσωσμένος πάλιν ἥξει A. 604. σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονὸς P. 210. σωθεὶς δὲ πνεῦμ' ἀπώλεσεν T. 966.

Σωκεῖν. ἦ δεινὰ λέξαι, δεινὰ δ' ὀφθαλμοῖς δρακεῖν πάλιν μ' ἔπεμψεν ἐκ δόμων τῶν Λοξίου ὡς μήτε σωκεῖν μήτε μ' ἀκταίνειν στάσιν E. 36.

Σῶμα. αἰετὸς διαρταμήσει σώματος μέγα ῥάκος V. 1025. πέπλους ῥήγνυσιν ἀμφὶ σώματι P. 195. λακίδες ἀμφὶ σώματι P. 821. ἀτιμίαν γε παιδὸς ἀμφὶ σώματι ἐσθημάτων κλύουσα P. 833. βλάστημον ἀλδαίνοντα σώματος πολὺν T. 12. ἐν χαλκηλάτῳ σάκει, κυκλωτῷ σώματος προβλήματι T. 522. ὑπὸ δὲ σώματι γᾶς πλοῦτος ἄβυσσος ἔσται T. 930. ἐπὶ δὲ σώματος, δίκαν μοι κόρακος ἐχθροῦ σταθεῖσ', ἐκνόμως ὕμνον ὑμνεῖν ἐπεύχεται A. 1451. ἀκτὴ χώματος, ἡ νῦν ἐπὶ ναυάρχῳ σώματι κεῖσαι τῷ βασιλείῳ C. 713. φίλων ἀλίδονα σώματα πολυβαφῆ κατθανόντα λέγεις φέρεσθαι P. 267. δόμοισι καὶ σώμασι πεπλαγμένους ἐννέπω T. 877. σώμασίν θ' ὅπως θνητοῖς μεγίστων διάδοχοι μοχθημάτων γένωνθ' V. 461. φθόνον δὲ σωμάτων ἕξει θεὸς V. 861. ἀμφὶ σώμασιν πεπτωκότες ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων A. 317. ὁ χρυσαμοιβὸς Ἄρης σωμάτων καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς A. 426.

Σωματοφθορεῖν. πολλὴ γὰρ αἰδὼς σωματοφθορεῖν ποσὶν φθείροντα πλοῦτον, ἀργυρωνήτους θ' ὑφὰς A. 922.

Σωσθάνης. ἵππων τ' ἐλατὴρ Σωσθάνης P. 32.

Σωτήρ. Ζεὺς σωτὴρ S. 26. πειθαρχία γάρ ἐστι τῆς εὐπραξίας μήτηρ, γυνὴ, σωτῆρος T. 207. Ὑπερβίῳ τε—σωτὴρ γένοιτο Ζεὺς T. 502. ἀπολολύξω πόλεως ἀσινεῖ σωτῆρι T. 808. τύχη δὲ σωτὴρ ναῦν θέλουσ' ἐφέζετο A. 650. σωτῆρα ναὸς πρότονον A. 871. τοῦ κατὰ χθονὸς Αἴδου νεκρῶν σωτῆρος εὐκταίαν χάριν A. 1360. σωτὴρ γενοῦ μοι, ξύμμαχός τ' αἰτουμένῳ C. 2. νῦν δ' αὖ τρίτος ἦλθέ ποθεν σωτὴρ C. 1069. ἕκατι πάντα κραίνοντος τρίτου σωτῆρος E. 730. Διὸς σωτῆρος εὐκταίαν λίβα Epig. 1. 3. σωτῆρες οὐ διχοῤῥόπως S. 960. ὦ σωτῆρες ἑστίας πατρὸς C. 262.

Σωτηρία. οὐδ' ὅρμος, οὐδὲ πεισμάτων σωτηρία ἐς γῆν ἐνεγκεῖν S. 746. ὅσοι δὲ λοιποὶ, κἄτυχον σωτηρίας P. 500. ἔστι τίς σωτηρία P. 721. ἀλλ' οὐδ' ὁ μείνας νῦν ἐν Ἑλλάδος τόποις στρατὸς κυρήσει νοστίμου σωτηρίας P. 783. εὗρε μηχανὴν σωτηρίας T. 191. δεῖ γὰρ πρὸς οἴκους νοστίμου σωτηρίας κάμψαι διαύλου θάτερον κῶλον πάλιν A. 334. δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ A. 1211. εἰ δὲ χρὴ τυχεῖν σωτηρίας C. 201. τῶν βροτείων σπερμάτων σωτηρία E. 869.

Σωτήριος. καλοῦμεν αὐγὰς ἡλίου σωτηρίους S. 210. δεῖ τοι βαθείας φροντίδος σωτηρίου S. 402. μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου; S. 412. ἦ ταῦτ' ἄριστα καὶ πόλει σωτήρια; T. 165. σωτηρίων ἥκοντα πραγμάτων εὐάγγελον A. 632. δακρυτὸς ἐλπὶς σπέρματος σωτηρίου C. 234. παῖδες γὰρ ἀνδρὶ κληδόνες σωτήριοι θανόντι C. 498. ἔρυμά τε χώρας καὶ πόλεως σωτήριον E. 671. πάλαισμ' ἄφυκτον τοῖς ἐναντίοις ἔχοις σωτήριόν τε καὶ δορὸς νικηφόρον E. 747.

Σωφρονεῖν. τὸ σωφρονεῖν τιμῶσα τοῦ βίου πλέον S. 991. πρὸς ταῦτ' ἐκεῖνον, σωφρονεῖν κεχρημένοι, πινύσκετ' εὐλόγοισι νουθετήμασιν P. 815. καὶ μὴν σύ γ' οὔπω σωφρονεῖν ἐπίστασαι V. 984. καὶ παρ' ἄκοντας ἦλθε σωφρονεῖν A. 174. γνώσῃ διδαχθεὶς ὀψὲ γοῦν τὸ σωφρονεῖν A. 1399. γνώσῃ, γέρων ὤν, ὡς διδάσκεσθαι βαρὺ τῷ τηλικούτῳ, σωφρονεῖν εἰρημένον A. 1603. ξυμφέρει σωφρονεῖν ὑπὸ στένει E. 495. σωφρονοῦντες ἐν χρόνῳ E. 954.

Σωφρονίζειν. ἡσύχας χρὴ καὶ σεσωφρονισμένας πρὸς πρᾶγμ' ὁρώσας, τῶνδε μὴ 'μελεῖν θεῶν S. 705.

Σωφρόνισμα. καὶ ταῦτα μὲν γράψεσθε πρὸς γεγραμμένοις πολλοῖσιν ἄλλοις σωφρονίσμασιν πατρὸς S. 970.

Σωφρόνως. ἄγει γυνή τις σωφρόνως ἡγουμένη T. 627. λήνει μεγίστῳ σωφρόνως ἐστεμμένον E. 44.

Σώφρων. εὐχὰς μὲν αἰνῶ τάσδε σώφρονας, φίλαι S. 691. σωφρόνων μισήματα T. 167. σώφρων, δίκαιος, ἀγαθὸς, εὐσεβὴς ἀνὴρ T. 592. κατ' ἄνδρα σώφρον' εὐφρόνως λέγεις A. 342. σώφρονος γνώμης ἁμαρτεῖν A. 1649. τυχεῖν μοι δὸς κυρίως τὰ σώφροσιν εὖ μαιομένοις ἰδεῖν C. 775. τοῖς σώφροσιν γὰρ ἀντίκεντρα γίνεται E. 131. ἕκτον λέγοιμ' ἂν ἄνδρα σωφρονέστερον T. 550. αὐτῇ τέ μοι δὸς, σωφρονεστέραν πολὺ μητρὸς γενέσθαι, χεῖρά τ' εὐσεβεστέραν C. 138.

Τ.

Ταγεῖν. ἐξ οὔτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν, ἕν' ἄνδρα πάσης Ἀσίδος μηλοτρόφου ταγεῖν P. 750.

Ταγεύεσθαι. πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως πυλῶν ἐπ' ἐξόδοισι τάγευσαι τάχος T. 58.

Ταγή. Ἑλλάδος ἥβας ξύμφρονα ταγὰν A. 110.

Ταγός. πεντήκοντα πεντάκις νεῶν ταγὸν P. 316. ὁ νέος ταγὸς μακάρων V. 96. ταγοὶ Περσῶν P. 26. ναῶν γε ταγοὶ τῶν λελειμμένων σύδην κατ' οὖρον οὐκ εὔκοσμον αἴρονται φυγὴν P. 472.

Τάκεσθαι. δόξαι τ' ἀνδρῶν καὶ μάλ' ὑπ' αἰθέρι, σεμναὶ, τακόμεναι κατὰ γᾶν μινύθουσιν ἄτιμοι ἡμετέραις ἐφόδοις μελανείμοσιν E. 352.

Ταλαίπωρος. βροτῶν δὲ τῶν ταλαιπώρων λόγον οὐκ ἔσχεν οὐδέν' V. 231. ἀλλ', ὦ ταλαίπωρ', ἃς ἔχεις ὀργὰς ἄφες V. 315. τὰν ταλαίπωρον ὧδ' ἐτήτυμα προσθροεῖς V. 598. τῆς ἐμῆς πλάνης δεῖξον τίς ἔσται τῷ ταλαιπώρῳ χρόνος V. 626.

Τάλαντον. σὸν δ' ἐπίπαν ζυγὸν ταλάντου S. 803. ἀλλ' ὧδε δαίμων τις κατέφθειρε στρατὸν, τάλαντα βρίσας οὐκ ἰσορρόπῳ τύχῃ P. 338.

Ταλαντοῦχος. ὁ χρυσάμοιβος δ' Ἄρης σωμάτων καὶ ταλαντοῦχος ἐν μάχῃ δορὸς A. 425.

Τάλας. οἲ ἐγὼ τάλαινα συμφορᾶς κακῆς, φίλαι P. 437. οἲ ἐγὼ τάλαινα διαπεπραγμένου στρατοῦ P. 509. τεῖνε δὲ δυσβάϋκτον βοᾶτιν τάλαιναν αὐδὰν P. 566. πεζὸς ἢ ναύτης δὲ πεῖραν τῆνδ' ἐμώρανεν τάλας P. 705. στρατὸν μὲν τοσοῦτον τάλας πέπληγμαι P. 975. σίγησον, ὦ τάλαινα, μὴ φίλους φοβῇ T. 244. οἲ ἐγὼ τάλαινα μάντις εἰμὶ τῶν κακῶν T. 790. τάλαν γένος τάλανα παθὸν T. 970. δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν, μητρὸς ταλαίνης T. 1023. κεῖνος δ' ὁ τάλας ἄγσος T. 1055. ἀνάγκαις ταῖσδ' ὑπέζευγμαι τάλας V. 108. νῦν δ' αἰθέριον κίνυγμ' ὁ τάλας ἐχθροῖς ἐπίχαρτα πέπονθα V. 157. τοιαῦτα μηχανήματ' ἐξευρὼν τάλας βροτοῖσιν, αὐτὸς οὐκ ἔχω σόφισμ', ὅτῳ τῆς νῦν παρούσης πημονῆς ἀπαλλαγῶ V. 468. χρίει τίς αὖ με τάλαιναν οἶστρος V. 566. ἀλλά με τὰν τάλαιναν ἐξ ἐνέρων περῶν κυνηγετεῖ V. 571. τίς ἄρα μ', ὦ τάλας, τὰν ταλαίπωρον ὧδ' ἐτήτυμα προσθροεῖς V. 597. βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις τάλαινα παρακοπὰ πρωτοπήμων A. 215. βιᾶται δ' ἁ τάλαινα πειθὼ A. 375. ἴθ', ὦ τάλαινα A. 1040. ἰὼ τάλαινα A. 1078. ἰὼ, ἰὼ ταλαίνας κακόποτμοι τύχαι A. 1107. ποῖ δή με δεῦρο τὴν τάλαιναν ἤγαγες A. 1109. ταλαίναις φρεσὶν Ἴτυν στένουσ' A. 1115. τότε μὲν ἀμφὶ σὰς ἀϊόνας τάλαιν' ἠνυτόμαν τροφαῖς A. 1130. εὔφημον, ὦ τάλαινα, κοίμησον στόμα A. 1220. κτενεῖ με τὰν τάλαιναν A. 1233. πτωχὸς, τάλαινα, λιμόθνης A. 1247. ὦ πολλὰ μὲν τάλαινα, πολλὰ δ' αὖ σοφὴ γύναι A.

1268. ἁ παιδολύμας τάλαινα Θεστιὰς C. 597. ὦ τάλαιν' ἐγὼ C. 732. τεθνηκότος δὲ νῦν τάλαινα πεύθομαι C. 752. παιδοβόροι μὲν πρῶτον ὑπῆρξαν μόχθοι τάλανες C. 1065. ἐγὼ δ' ἄτιμος ἡ τάλαινα βαρύκοτος E. 750. εὖ γοῦν ὡς γαμεῖν ἔχεις τάλας Fragm. 228.

Ταμάλιστα. ὅδε Καδμείων πόλιν ἥρυξεν ταμάλιστα T. 1070.

Ταντάλίδης. δαῖμον, ὃς ἐμπιτνεῖς δώμασι καὶ διφυίοισιν Τανταλίδαισιν A. 1448.

Τανύδρομος. μάλα γὰρ οὖν ἁλομένα ἀνέκαθεν βαρυπεσῆ καταφέρω ποδὸς ἀκμὰν, σφαλερὰ τανυδρόμοις κῶλα δύσφορον ἄταν E. 349.

Ταξιάρχης. στρατῷ ἔταξα ταξιάρχας Fragm. Pal. 2. 1.

Τάξις. ἄναρχον τάξιν ἠρήμου θανὼν P. 290. τάξις δὲ τάξιν παρεκάλει νεὼς μακρᾶς P. 372. μηδὲν φοβηθῇς, φιλία γὰρ ἥδε τάξις V. 128. ὑπὸ χθόνα τάξιν ἔχουσα E. 374.

Ταπεινός. σὺ δ' οὐδέπω ταπεινὸς, οὐδ' εἴκεις κακοῖς V. 320. ἦ μὴν ἔτι Ζεὺς, καίπερ αὐθάδης φρενῶν, ἔσται ταπεινὸς V. 910.

Ταραγμός. ἐκ τῶνδέ τοι ταραγμὸς ἐς φρένας πιτνεῖ C. 1052.

Ταράκτωρ. πόλεως ταράκτωρ T. 554.

Ταράσσειν. μάταιος ἐκ νυκτῶν φόβος κινεῖ, ταράσσει C. 287. ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος στροβεῖ, ταράσσων φροιμίοις ἐφημίοις A. 1189. βροντήμασι χθονίοις κυκάτω πάντα, καὶ ταρασσέτω V. 996. πατέρων τε καὶ τεκόντων γόος ἔνδικος ματεύει τὸ πᾶν, ἀμφιλαφὴς ταραχθεὶς C. 328.

Ταρβεῖν. λεύσσων δ' ἄκοιτην τὴν ἐμὴν τάφου πέλας ταρβῶ P. 671. ταρβῶ γὰρ ἀστεργάνορα παρθενίαν εἰσορῶσ' Ἰοῦς γάμῳ δαπτομέναν δυσπλάνοις Ἥρας ἀλατείαις πόνων V. 900. πῶς δ' οὐχὶ ταρβεῖς, τοιάδ' ἐκρίπτων ἔπη V. 934. ταρβῶ μὲν οὐδὲν, θαῦμα δ' ὄμμασιν παρῆν E. 385. μηδ' ἐπηλύδων ταρβεῖτ' ἄγαν ὅμιλον T. 35. μή τί σοι δοκῶ ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θεοὺς V. 961. κἄγωγε χρησμοὺς τοὺς ἐμούς τε καὶ Διὸς ταρβεῖν κελεύω E. 684. σὺ δὲ φρόνει μὲν ὡς ταρβοῦσα μὴ 'μελεῖν θεῶν S. 754. τοιόνδε τοι ταρβοῦντες ἐνδίκως σέβας E. 671.

Τάρβος. περίφοβον μ' ἔχει τάρβος S. 717. σέβομαι μὲν προσιδέσθαι, σέβομαι δ' ἀντία λέξαι, σέθεν ἀρχαίῳ περὶ πάρβει P. 682. γείτονες δὲ καρδίας μέριμναι ζωπυροῦσι τάρβος T. 271. ἐν χρόνῳ δ' ἀποφθίνει τὸ τάρβος ἀνθρώποισιν A. 833. ἡ δ' ἀμφὶ τάρβει τῷδ' ἐπῴμωξεν πάθει C. 540.

Ταρβόσυνος. ποταίνιον κλύουσα πάταγον ἅμα ταρβοσύνῳ φόβῳ τάνδ' ἐς ἀκρόπτολιν τίμιον ἕδος ἱκόμαν T. 222.

Ταριχεύειν. πάντων δ' ἄτιμον κἄφιλον θνήσκειν χρόνῳ κακῶς ταριχευθέντα παμφθάρτῳ μόρῳ C. 294.

Τάρταρος. ὑπὸ γῆν μ' εἰς ἀπέραντον Τάρταρον ἧκεν V. 154. Ταρτάρου μελαμβαθὴς κευθμὼν V. 219. ἔς τε κελαινὸν Τάρταρον ἄρδην ῥίψειε δέμας V. 1053. κακὸν σκότον νέμονται, Τάρταρον θ' ὑπὸ χθονὸς E. 72.

Ταρφύς. στείχει δ' ἴουλος ἄρτι διὰ παρηΐδων, ὥρας φυούσης, ταρφὺς ἀντέλλουσα θρὶξ T. 517.

Τάσσειν. τοὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος νῆστις πρὸς ἀρίστοισιν, ὧν ἔχει πόλις, τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον A. 323. στρατῷ ἔταξα ταξιάρχας Fragm. Pal. 2. ἐμοὺ δ' ὀπαδοὺς τούσδε καὶ δυρυσσόους ἔταξαν S. 964. τάξαι νεῶν στῖφος μὲν ἐν στίχοις τρισὶν P. 358. ξύν τ' εὐκλείᾳ καὶ ἀμηνίτῳ βάξει λαῶν ἐν χώρῳ τάσσεσθε S. 955. ἐπ' αὐτῷ, καὶ στόμαργός ἐστ' ἄγαν, αἴθων τέτακται λῆμα, Πολυφόντου βία T. 430. ὅσπερ τέτακται τήνδε κυρῶσαι δίκην E. 609. τούτῳ μὲν εἶπας, καὶ τεταγμένος κίοι S. 499. πλέουσι δ', ὡς ἕκαστος ἦν τεταγμένος P. 373. πρὸς πύλαις τεταγμένος Ὁμολωΐσιν T. 552. εἰ δὲ μὴ τεταγμένα μοῖρα μοῖραν ἐκ θεῶν εἶργε μὴ πλέον φέρειν A. 966. χρόνῳ τεταγμένῳ E. 906. ἄλλον ἄλλῃ πρὸς πόλει τεταγμένον Fragm. I. 70. ἐν δὲ τῷδε πράγματι φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου E. 269. ἐπὶ σκηπτουχίᾳ ταχθεὶς P. 290.

Ταυρείος. θιγγάνοντες χερσὶ ταυρείου φόνου T. 43.

Ταυροκτονεῖν. ταυροκτονοῦντες θεοῖσιν T. 258.

Ταῦρος. πρέποντα βουθόρῳ ταύρῳ δέμας S. 297. ἄπεχε τῆς βοὸς τὸν ταῦρον A. 1097. ταύρων γόναι Fragm. Pr. S. 4.

Ταυροῦσθαι. τρόπον τὸν αὐτὸν ἀνταποκτεῖναι λέγων, ἀποχρημάτοισι ζημίαις ταυρούμενον C. 272.

Ταυροσφαγεῖν. ταυροσφαγοῦντες ἐς μελάνδετον σάκος T. 43.

Ταυρόφθογγος. ταυρόφθογγοι δ' ὑπομυκῶνταί ποθεν ἐξ ἀφανοῦς φοβεροὶ μῖμοι Edon. 1.

Ταφή. ἕξουσι δ' ἣν λάβωσιν ἐν ταφῇ χθονὸς (γῆν) T. 800.

Τάφος. λεύσσων ἄκοιτιν τὴν ἐμὴν τάφου πέλας P. 670. ἐγγὺς ἑστῶτες τάφου P. 672. τάφον γὰρ αὐτῷ καὶ κατασκαφὰς ἐγὼ γυνή περ οὖσα, τῷδε μηχανήσομαι T. 1028. ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ; T. 1037. οὐ γάρ ποτ' ηὔχουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ θανὼν μεθέξειν φιλτάτου τάφου μέρος A. 493. ὅμοιος, ἀτμὸς, ὥσπερ ἐκ τάφου, πρέπει A. 1284. λέγοις ἂν, ὥσπερ ᾐδέσω τάφον πατρὸς C. 106. ὁρῶ τομαῖον τόνδε βόστρυχον τάφῳ C. 166. τάφος δ' ἱκέτας δέδεκται C. 333. πολύχωστον ἂν εἶχες τάφον διαποντίου γᾶς C. 347. πάντων δὲ πρῶτον τόνδε πρεσβεύσω τάφον C. 481. ἰδὼν νεοσσοὺς τούσδ' ἐφημένους τάφῳ C. 494. εὔχομαι γῇ τῇδε καὶ πατρὸς τάφῳ τοὔνειρον εἶναι τοῦτ' ἐμοὶ τελεσφόρον C. 533. φιλεῖς τὸν ἄνδρα, τοίγαρ ἐν ταυτῷ τάφῳ κείσῃ C. 881. ἀρωγὰς ἐκ τάφου πέμπει πατὴρ E. 568. ἐφημένη τάφῳ τέκνοις ἔπῳζε τοῖς τεθνηκόσιν Fragm. Niobe 6. τάφων πατρῴων λαχαὶ T. 897. ὄντες ἐν τάφοις τότε E. 737.

Τάχα. τάχ' ἂν ὀπτῆρες εἶεν S. 182. τάχ' ἂν ὑμῖν ἂν εἴη δῆμος εὐμενέστερος S. 481. ναὶ βάσῃ τάχα S. 841. πολλοὺς ἄνακτας, παῖδας Αἰγύπτου τάχα ὄψεσθε S. 887. τάχ' εἴσῃ πάντα νημερτῆ λόγον P. 242. λέγοις ἂν ὡς τάχιστα, καὶ τάχ' εἴσομαι T. 243. τάχ' ἂν γένοιτο μάντις ἤ 'νοιά τινι T. 384. τάχ' εἰσόμεσθα, ταπίσημ' ὅπῃ τελεῖ T. 641. τάχ' ἂν τόδ' ἦν T. 645. τάχ' ἄν τις εἴποι T. 896. τάχ' ἄν σου καὶ μακρὰν ἀνωτέρω θακῶν κλύοι Ζεὺς V. 313. νῦν δ' ἀμφὶ Κωκυτόν τε κἀχερουσίους ὄχθους ἔοικα θεσπιωδήσειν τάχα A. 1133. ἐγὼ δὲ θερμόνους τάχ' ἐν πέδῳ βαλῶ A. 1145. ἀλλ' ἐπεὶ δοκεῖς τάδ' ἔρδειν καὶ λέγειν, γνώσῃ τάχα A. 1633. εἰ δὲ μή, τάχ' εἴσεται C. 303. τάχα δὲ παντελὴς χρόνος ἀμείψεται πρόθυρα δωμάτων C. 959. τιμάς γε μὲν δὴ τὰς ἐμὰς πεύσῃ τάχα E. 397. γένος δὲ τοὐμὸν ὡς ἔχει πεύσῃ τάχα E. 432. ταῦτά τις τάχ' ἂν πατὴρ ἢ τεκοῦσα νεοπαθὴς οἶκτον οἰκτίσαιτ' E. 488. ἀλλ' εἴ σε μάρψει ψῆφος, ἀλλ' ἐρεῖς τάχα E. 567. σύ τοι τάχ' οὐκ ἔχουσα τῆς δίκης τέλος ἐμῇ τὸν ἰὸν οὐδὲν ἐχθροῖσιν βαρὺν E. 699.

Ταχέως. τὸν ἐλάσσονα ταχέως ὁ μέγας καταπίνει Fragm. Ix. 3.

Τάχος. αἱ δ' ὑπέρκομποι τάχει ἑκατὸν δὶς ἦσαν ἑπτά θ', ὧδ' ἔχει λόγος P. 334. ἐν τάχει V. 749. A. 1214. 1423. καὶ τίς τόδ' ἐξίκοιτ' ἂν ἀγγέλων τάχος A. 272. πρὸς ταῦτ' ἀρίστους ἄνδρας ἐκκρίτους πόλεως πυλῶν ἐπ' ἐξόδοισι ταγεῦσαι τάχος T. 58. ὡς τάχος A. 27. C. 875. ὑπαί τις ἀρβύλης λύοι τάχος πρόδουλον ἔμβασιν ποδὸς A. 919. τάχος γὰρ τόδ' ἔσται A. 1082. οὐκ ἀναστήσῃ τάχος; E. 121. ἔξω, κελεύω, τῶνδε δωμάτων τάχος χωρεῖτε E. 171.

Ταχυήρης. ξὺν ὄχῳ ταχυήρει πέμψατε S. 32.

Ταχύμορος. ταχύμορον γυναικοκήρυκτον ὄλλυται κλέος A. 474.

Ταχύνειν. τάχυνε δ' ὡς ἄμεμπτος ὦ χρόνου P. 678. τάχυνε δ', ὡς καὶ νυκτὸς ἅρμ' ἐπείγεται σκοτεινὸν C. 649.

Ταχύπορος. πιθανὸς ἄγαν ὁ θῆλυς ὅρος ἐπινέμεται ταχύπορος A. 474.

Ταχύπομπος. τί ποτ' εὔπλοιαν ἔπραξαν ταχυπόμποισι διωγμοῖς S. 1031.

Ταχύπτερος. ὦ Διὸς αἰθὴρ, καὶ ταχύπτεροι πνοαὶ V. 88.

Ταχυρρόθος. πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυρρόθους λόγους ἱκέσθαι T. 266.

Ταχύς. οὔτοι ταχεῖα ναυτικοῦ στρα-

τοῦ στολὴ S. 745. φεῦ, ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις P. 725. ταχεῖα δ' ἄτα πέλει A. 1095. ὡς τάχιστα S. 194. 927. T. 243. ὅπως τάχιστα S. 468. ὅσον τάχιστα S. 860. εὐτυχὴς δέ τοι ὅστις τάχιστα πνεῦμ' ἀπέῤῥηξεν βίου P. 499. ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου V. 199. ἐκπεσόντ' ἐπόψομαι αἴσχιστα καὶ τάχιστα V. 961.

Τέγγειν. δάκρυσι κόλπους τέγγουσι P. 532. δάσκιον γενειάδα ἔτεγγε P. 309. δακρυσίστακτον δ' ἀπ' ὄσσων ῥαδινὸν λειβομένα ῥέος παρειὰν νοτίοις ἔτεγξα παγαῖς V. 400. τέγγομαί τοι P. 1022. τέγγῃ γὰρ οὐδὲν οὐδὲ μαλθάσσῃ λιταῖς ἐμαῖς V. 1010.

Τέθριππος. τέθριππον ζεῦγος Fragm. Inc. 135.

Τείνειν. μεταξὺ δ' ἀλκὰ δι' ὀλίγου τείνει πύργος ἐν εὔρει T. 745. τεῖνε δὲ δυσβάϋκτον βοᾶτιν τάλαιναν αὐδὰν P. 565. δαυλοὶ γὰρ πραπίδων δάσκιοί τε τείνουσιν πόροι, κατιδεῖν ἄφραστοι S. 87. ἡδύ τι θαρσαλέαις τὸν μακρὸν τείνειν βίον ἐλπίσιν V. 535. τοκέες τ' ἄλοχοί θ' ἡμερόλεγδον τείνοντα χρόνον τρομέονται P. 64. φρενῶν βίᾳ τείνουσι πομπὴν T. 595. τὸν τάδε πράξαντ' ἐπ' Ἀλεξάνδρῳ τείνοντα πάλαι τόξον A. 355. μακρὰν ἔτεινας A. 1269. ἀμόμφητον δ' ἔτεινα τὸν λόγον C. 505. ὁ μάσσων βίοτος ἦν ταθῇ πρόσω P. 694.

Τείρειν. ἐπεί με καὶ κασιγνήτου τύχαι τείρουσ' Ἄτλαντος V. 348. οἰστρηλάτῳ δὲ δείματι δειλαίαν παράκοπον ὧδε τείρεις V. 582. ἔστι δὲ κἀκ πτολέμου τειρομένοις βωμὸς Ἄρης φυγάσιν ῥῦμα S. 77.

Τεῖχος. οἱ δ' αὐτοῦ περὶ τεῖχος θήκας Ἰλιάδος γᾶς εὔμορφοι κατέχουσιν A. 440. σταθεὶς πρὸ τειχέων S. 470. βοᾷ δ' ὑπὲρ τειχέων ὁ λεύκασπις ὄρνυται λεὼς T. 87. εὐναὶ γὰρ ἦσαν δηΐων πρὸς τείχεσιν A. 545. ὑπὸ Τροίας τείχεσσι φθιμένος C. 359.

Τεκμαίρειν. ἀλλά μοι τορῶς τέκμηρον, ὅ τι μ' ἐπαμμένει παθεῖν V. 601. ἔργῳ κοὐ λόγῳ τεκμαίρομαι V. 337.

Τέκμαρ. ὡς ἴδωσι τῆσδ' ἀφίξεως τέκμαρ πάντες πολῖται S. 478. ἦν δ' οὐδὲν αὐτοῖς οὔτε χείματος τέκμαρ οὔτ' ἀνθεμώδους ἦρος V. 452. τί γὰρ τὸ πιστόν ἐστι τῶνδέ σοι τέκμαρ; A. 263. τέκμαρ τοιοῦτον ξύμβολόν τε σοὶ λέγω A. 306. εἶπε θαρσήσας ἀνὴρ πρὸς ἄνδρα, κἀσέμηνεν ἐμφανὲς τέκμαρ C. 656. τί δ' ἐστὶ τἀνδρὸς ἐκφανὲς τέκμαρ; E. 235.

Τεκμήριον. τεκμήριον τοῦτ' αὐτὸ δοὺς μύθων ἐμῶν V. 828. πρὸς οὐδὲν ἐν μέρει τεκμήριον A. 323. καὶ μὴν στίβοι γε, δεύτερον τεκμήριον, ποδοῖν ὅμοιοι C. 203. τεκμήριον δὲ τῶνδέ σοι λέγω μέγα E. 425. τεκμήριον δὲ τοῦδέ σοι δείξω λόγου E. 632. τά τε νῦν ἐπιδείξω πιστὰ τεκμήρια S. 53. ἔχουσιν ἤδη τἀπ' ἐμοῦ τεκμήρια S. 268. ἀκούσας πιστά σου τεκμήρια A. 343. ἦ γὰρ τεκμηρίοισιν ἐξ οἰμωγμάτων μαντευσόμεσθα τἀνδρὸς ὡς ὀλωλότος; A. 1339.

Τεκνογόνος. δυσδαίμων σφὶν ἁ τεκοῦσα πρὸ πασῶν γυναικῶν, ὁπόσαι τεκνογόνοι κέκληνται T. 911.

Τέκνον. ὦ τέκνα S. 720. 734. τέκνον C. 320. 816. 897. 899. 907. 909. ἐσθλά σοι πέμπειν, τέκνῳ τε P. 218. εἰ τέκνον δαΐξω, δόμων ἄγαλμα A. 201. νεοτρόφου τέκνου δίκαν A. 706. μονογενὲς τέκνον πατρὶ A. 872. τέκνον δ' ἐπεισφέρει δώμασιν C. 638. ἐπίσχες, ὦ παῖ, τόνδε δ' αἴδεσαι, τέκνον, μαστὸν C. 883. οὐκ ἔστι μήτηρ ἡ κεκλημένου τέκνου τοκεὺς, τροφὸς δὲ κύματος νεοσπόρου E. 628. ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον Fragm. Pr. S. 10. ἄνθη τε πλεκτὰ, παμφόρου γαίας τέκνα P. 610. σὺ μὲν μέγαν τέκνοις πλοῦτον ἐκτήσω σὺν αἰχμῇ P. 740. πόλει τέκνοις τ' ἀρήγειν T. 15. δράκοντα δ' ὥς τις τέκνων ὑπερδέδοικε—πελειὰς T. 273. τέκνοις δ' ἀραίας ἐφῆκεν ἐπικότους τροφὰς T. 767. Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα V. 205. οὗ δὴ τὴν μακρὰν ἀποικίαν, Ἰοῖ, πέπρωταί σοί τε καὶ τέκνοις κτίσαι V. 817. ἦ καὶ τέκνων ἐς ἔργον ἠλθέτον νόμῳ; A. 1180. ἰὼ, πάτερ, σοῦ, σῶν τε γενναίων τέκνων A. 1278. τέκνων τε κελεύθοις ἐπιστρεπτὸν αἰῶνα κτίσσας C. 345. νέα δὲ νηδὺς αὐτάρκης τέκνων C. 746. ἐξ οὗ τέκνων ἤνεγχ' ὑπὸ ζώνην βάρος C. 986. ἡμεῖς γάρ ἐσμεν Νυκτὸς αἰανῆς τέκνα E.

394. ἐφημένη τάφῳ τέκνοις ἔπῳζε τοῖς τεθνηκόσιν Fragm. Niobe 6.

Τεκνόποινος. μνάμων μῆνις τεκνόποινος A. 150.

Τεκνοῦσθαι. παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος τέτυκται, μέγαν τελεσθέντα φωτὸς ὄλβον τεκνοῦσθαι, μηδ' ἄπαιδα θνήσκειν A. 732. μὴ καὶ τεκνωθῇ δυσφορώτερος γόος T. 639.

Τέκνωμα. τῷ πονοῦντι δ' ἐκ θεῶν ὀφείλεται τέκνωμα τοῦ πόνου κλέος Fragm. Inc. 33.

Τέκος. Παλαίχθονος τέκος S. 343. ὦ φίλον Οἰδίπου τέκος T. 185. φίλτατ' ἀνδρῶν Οἰδίπου τέκος T. 659. δυσσεβίας μὲν ὕβρις τέκος ὡς ἐτύμως E. 506.

Τέκτων. γένους παλαιόφρων μέγας τέκτων S. 589. νεικέων τέκτων A. 148. τῆσδε δεξίας χερὸς ἔργον, δικαίας τέκτονος A. 1379. ὑψηλὸν ἠβάσασα τεκτόνων πόνον Fragm. Inc. 82.

Τελέθειν. Πόθος οὐδὲν ἄπαρνον τελέθει θέλκτορι Πειθοῖ S. 1023. ἡ νῦν ποτε μὲν κακόφρων τελέθει A. 100. καὶ τὸ τεᾷ πλάστιγγι δοθὲν, μακαριστότατον τελέθει Fragm. 23. 6. πρόνομα δε βοτὰ τὼς πολύγονα τελέθοι S. 674. ἐν ἀΐστοις τελέθοντος οὔτις ἀλκὰ A. 453.

Τελεῖν. εὖ τελεῖ θεὸς T. 35. τάχ' εἰσόμεσθα τἀπίσημ' ὅπη τελεῖ T. 641. πᾶν ἔπος τελεῖ V. 1035. ἰὼ τάλαινα, τόδε γὰρ τελεῖς A. 1078. οὐ γὰρ οἶδ' ὅπη τελεῖ C. 1017. ἔξεστι γάρ μοι μὴ λέγειν ἃ μὴ τελῶ E. 858. τελεῖθ' ὡς πόλις εὐτυχῇ T. 609. Ζεῦ, Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει, μέλοι δέ τοι σοὶ τῶνπερ ἂν μέλλῃς τελεῖν A. 947. αἰτοῦ τῶνδ' ἀποτροπὴν τελεῖν P. 213. εὖ δὲ πανταχῇ τελεῖν σοι τῶνδε κρίνομεν πέρι P. 221. σ' ὀτρύνει τελεῖν ἀνδροκτασίαν T. 675. τοῦ γὰρ τελοῦντος οὐ ξυνῆκα μηχανὴν A. 1226. δίδυμα κάκ' ἐτέλεσε T. 764. νῦν δὲ τρέω, μὴ τελέσῃ καμψίπους Ἐριννὺς T. 773. τελέσαι κατάρας Οἰδιπόδα T. 706. οὐδ' ἀφίλως εὔφρων τις πόνος εὖ τελέσασι A. 780. ἅπερ τελεῖται, πρὸς δ', ἃ βούλομαι λέγω V. 931. τελεῖται δ' ἐς τὸ πεπρωμένον A. 68. τί γὰρ βροτοῖς ἄνευ Διὸς τελεῖται; A. 1466. τοκεῦσι δ' ὅμως τελεῖται C. 379. ἀντὶ μὲν ἐχθρᾶς γλώσσης ἐχθρὰ γλῶσσα τελείσθω C. 307. προσβολὰς Ἐριννύων ἐκ τῶν πατρῴων αἱμάτων τελουμένας C. 282. ἀποσταθῶμεν πράγματος τελουμένου C. 859. οἴμοι πανοίμοι, δεσπότου τελουμένου C. 862. ἐξ ἐπιπνοίας Διὸς εὐχόμενον τετέλεσται S. 19. ὅδε τοι μελάθροις τοῖς βασιλείοις τρίτος αὖ χειμὼν πνεούσας γονίας ἐτελέσθη C. 1063. παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος τέτυκται, μέγαν τελεσθέντα φωτὸς ὄλβον τεκνοῦσθαι μηδ' ἄπαιδα θνήσκειν A. 731.

Τέλειος. εἰ κρανθῇ πρᾶγμα τέλειον S. 86. τελεία ψῆφος Ἀργείων S. 720. τί δ' ἄνευ σέθεν θνατοῖσι τέλειόν ἐστιν; S. 804. ἰὼ τέλειοι τέλειαί τε γᾶς τᾶσδε πυργοφύλακες T. 151. πατρὸς τέλει' ἀρὰ T. 677. τέλειαι γὰρ παλαίφατοι ἀραὶ T. 748. ὦ μέλαινα καὶ τέλει' ἀρὰ T. 814. δίμοιρα τέλεια τάδε πάθη T. 833. ἀνδρὸς τελείου δῶμα A. 946. Ζεῦ, Ζεῦ τέλειε, τὰς ἐμὰς εὐχὰς τέλει A. 947. μὰ τὴν τέλειον τῆς ἐμῆς παιδὸς δίκην A. 1402. νῦν δὲ τελείαν * * * A. 1433. τέλειον ὕψιστον Δία E. 28. Ἥρας τελείας καὶ Διὸς πιστώματα E. 205. εὐμήχανοι δὲ καὶ τέλειοι, κακῶν τε μνήμονες σεμναὶ E. 360. δένδρων δέ τις ὥρ' ἐκ νοτίζοντος γάμου τέλειός ἐστιν Dan. 2. 6. Ἥρα τέλεια, Ζηνὸς εὐναία δάμαρ Fragm. Inc. 59. τελέων τελειότατον κράτος S. 521.

Τέλεος. μὴ τέλεον δόντες ἔχειν παρ' αἶσαν S. 74. τέλεον νεαροῖς ἐπιθύσας A. 1485. θεσμὸν τὸν μοιρόκραντον ἐκ θεῶν δοθέντα τέλεον E. 371.

Τελεσσίφρων. τελεσσίφρων μῆνις A. 684.

Τελεσφόρος. πατρὸς δὴ νῦν ἀραὶ τελεσφόροι T. 637. οὐ ταῦτα ταύτῃ μοῖρά πω τελεσφόρος κρᾶναι πέπρωται V. 508. σπλάγχνα δ' οὔτι ματάζει πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις δίναις κυκλούμενον κέαρ A. 968. τοῖς θεοῖς τελεσφόρους εὐχὰς ἐπαγγέλλουσα C. 210. τελεσφόρον τοὔνειρον εἶναι C. 534. ἐξελθέτω τις δωμάτων τελεσφόρος γυνὴ τόπαρχος C. 652.

Τελευταῖος. νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμὼν A. 305.

Τελευτᾷν. πῶς οὖν τελευτᾷ βασιλέων

νείκη τάδε; S. 294. πῶς τε δὴ καὶ ποῖ τελευτᾷ; P. 721. καὶ πῆ τελευτᾷ καὶ καρανοῦται λόγος; C. 521. ἀλλ', ὦ μεγάλαι μοῖραι, Διόθεν τῇδε τελευτᾶν, ᾗ τὸ δίκαιον μεταβαίνει C. 305. κείνου θέλοντος εὖ τελευτήσει τόδε S. 208. πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ ἐλθεῖν, τελευτῆσαί τε; A. 621. οἶδεν ὥς σφε χρὴ τελευτῆσαι μάχῃ T. 599. οἱ δ' ὧδ' ἐτελεύτησαν ὑπ' ἀλλαλοφόνοις χερσὶν T. 914. ὀλβίσαι δὲ χρὴ βιὸν τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ A. 903.

Τελευτή. μετὰ πολλῶν δὲ γάμων ἅδε τελευτὰ προτέραν πέλοι γυναικῶν S. 1035. ἐς δὲ παῖδ' ἐμὸν Ζεὺς ἐπέσκηψεν τελευτὴν θεσφάτων P. 726. ποῖ καταστρέφεις λόγων τελευτήν; P. 774. δίς τ' ἐν τελευτῇ τοὔνομ' ἐνδατούμενος καλεῖ T. 560. νείκεος ἐν τελευτᾷ T. 919. τελευτᾷ δ' αἵδ' ἐπηλάλαξαν ἀραὶ τὸν ὀξὺν νόμον T. 933. τελευτὰς δ' ἐν χρόνῳ πατὴρ ὁ παντόπτας πρευμενεῖς κτίσειεν S. 130. ἐπέκρανεν δὲ γάμου πικρὰς τελευτὰς A. 725.

Τελέως. πράκτορες αἵματος αὐτῷ τελέως ἐφάνημεν E. 310. περί τ' ἀνθρώπων φανερῶς τελέως διαπράσσουσιν E. 913.

Τέλλεσθαι. τὰ δ' ὀλοὰ τελλόμεν' οὐ παρέρχεται T. 750.

Τέλος. πρὸ τειχέων διὰ μάχης ἥξω τέλους S. 470. ποῖ κεκύρωται τέλος; S. 598. Ζεὺς σ' ἐπέκρανεν τέλος S. 619. ποῖ δ' ἔτι τέλος ἐπάγει θεός; T. 142. Διόθεν πολεμόκραντον ἁγνὸν τέλος T. 147. αἰτουμένῳ μοι κοῦφον εἰ δοίης τέλος T. 242. ἐλπίς ἐστι νυκτερὸν τέλος μολεῖν T. 349. ἐντολὴ Διὸς ἔχει τέλος δὴ V. 13. ὡς μάθητε διὰ τέλους τὸ πᾶν V. 273. αἷς ἐπέσταλται τέλος πέδον κελεύθου στρωννύναι πετάσμασιν A. 882. εἰδώς γ' εὖ τόδ' ἐξεῖπον τέλος A. 908. πῶς φράσω τέλος; A. 1081. μάντις μ' Ἀπόλλων τῷδ' ἐπέστησεν τέλει A. 1175. γναφεὺς τροφεύς τε ταυτὸν εἰχέτην τέλος C. 749. μάχης γὰρ δὴ κεκύρωται τέλος C. 861. διὰ τέλους φύλαξ E. 64. ἀναμένω τέλος δίκης E. 234. ἦ κἀπ' ἐμοὶ τρέποιτ' ἂν αἰτίας τέλος; E. 412. κύριον μένει τέλος E. 515. οὐκ ἔχουσα τῆς δίκης τέλος E. 699. ὅσοις δικαστῶν τοῦτ' ἐπέσταλται τέλος E. 713. πρὸ παίδων καὶ γαμηλίου τέλους θύειν E. 799. ὑψοῦ τέλος ἀθανάτων ἀπολείψει Fragm. Ner. 3. μυστικοῦ τέλους ἔρως Fragm. 93. θεῶν τέλεα S. 116. τελέων τελειότατον κράτος S. 520. λίτανα θεοῖσι καὶ τέλεα S. 791. δίρρυμα καὶ τρίρρυμα τέλη P. 47. ὧν τέλη τάδε P. 200. δι' ὧν νεῖκος ἔβα καὶ θανάτου τέλος T. 888. τοιαῦτ' ἔδοξε τῷδε Καδμείων τέλει T. 1016. τέλος tandem P. 454. 712. V. 666.

Τέμενος. εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα λήξῃ, κνέφας δὲ τέμενος αἰθέρος λάβῃ P. 357.

Τέμνειν. τίν' ἀμφ' αὐτᾶς ἔτι πόρον τέμνω γάμου καὶ λυτήρια; S. 787. οὔτε γάπονος τέμνει δίκελλ' ἄρουραν Fragm. 184. ὅτῳ δὲ καὶ δεῖ φαρμάκων παιωνίων, ἤτοι κέαντες ἢ τεμόντες εὐφρόνως πειρασόμεσθα πῆμ' ἀποστρέψαι νόσου A. 823. δυοῖν δρακόντοιν εὐπετῶς τεμὼν κάρα C. 1023. ξιφουλκῷ χειρὶ πρὸς δέρην τεμὼν E. 562. εἴπερ γ' ἀπ' ἐχθροῦ κρατὸς ἦν τετμημένος C. 196.

Τενάγων. Τενάγων ἄριστος Βακτρίων ἰθαγενὴς P. 298.

Τένων. τενόντων θ' ὑπογραφαὶ μετρούμεναι εἰς ταυτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις C. 207.

Τεός. τίς οὐ ξυνασχαλᾷ κακοῖς τεοῖσι; V. 162.

Τεράζειν. οὕτω δ' εἶπε τεράζων A. 124.

Τέρας. τέρας δ' ἐθάμβουν S. 565. δάϊον τέρας V. 532. τέρας ἄπιστον V. 834. δυσμαχώτατον τέρας V. 923. ἔθρεψεν ἔκπαγλον τέρας C. 541.

Τερασκόπος. καρδία τερασκόπος A. 951. αἰχμάλωτος ἥδε καὶ τερασκόπος A. 1415. ἰατρόμαντις δ' ἐστὶ, και τερασκόπος E. 62. τερασκόπον δὲ τῶνδε σ' αἱροῦμαι πέρι C. 544.

Τέρην. τέρειν' ὀπώρα δ' εὐφύλακτος οὐδαμῶς S. 976.

Τέρμα. πᾶ ποτε τῶνδε πόνων χρή σε τέρμα κέλσαντ' ἐσιδεῖν; V. 184. οὐδ' ἔστιν ἆθλου τέρμα σοι προκείμενον V. 257. δολιχῆς τέρμα κελεύθου διαμειψάμενος V. 284. τέρμα τῆς ἐμῆς πλάνης V. 625. νῦν δ' οὐδέν ἐστι τέρμα μοι προκείμενον μόχθων V. 757. τὸ πᾶν πορείας ἥδε τέρμ' ἀκήκοεν V.

825. πρὸς αὐτὸ δ' εἶμι τέρμα σῶν πλανημάτων V. 829. τοιοῦδε μόχθου τέρμα μή τι προσδόκα V. 1027. πᾶν δ' ἐπὶ τέρμα νωμᾷ A. 756. μάλα γάρ τοι τᾶς πολλᾶς ὑγιείας ἀκόρεστον τέρμα A 975. τέρμα δ' ἀμηχανῶ A. 1150. τῷ κτανόντι ποῦ τὸ τέρμα τῆς φυγῆς; E. 400. Τύχα μερόπων ἀρχὰ καὶ τέρμα Fragm. Inc. 23. 1. ἀλλ' οὔτε πολλὰ τρώματ' ἐν στέρνοις λαβὼν θνήσκει τις, εἰ μὴ τέρμα συντρέχοι βίου Fragm. 28. πολλῶν ἄκουσον τέρματ' αἰδοίων λόγων S. 450. πῇ ποτε μοχθῶν χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι V. 100. ὡς ἂν τέρματ' ἐκμάθῃς ὁδοῦ V. 708. νῦν ἀγχόνης μοι τέρματ' ἢ φάος βλέπειν E. 716.

Τερμόνιος. ἵκετο τερμόνιον ἐπὶ πάγον, πόνων ἐμῶν θεωρὸς V. 117.

Τέρμων. Ζεὺς δ' ἐφορεύοι ξένιος ξενίου στόματος τιμὰς ἐπ' ἀληθείᾳ, τέρμον' ἀμέμπτως πρὸς ἅπαντα S. 624. 'Ασίας τέρμονα Φᾶσιν Fragm. Pr. S. 1.

Τέρπειν. ἵλαοι δὲ καὶ εὐθύφρονες γᾷ δεῦρ' ἴτε, σεμναὶ, πυριδάπτῳ λαμπάδι τερπόμεναι E. 994.

Τερπνός. τερπνὰ τούτων αἰτεῖ ξύμβολα κρᾶναι A. 142. τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσεν φρένας A. 478. τερπνῆς δ' ἄρ' ἦτε τῆσδ' ἐπήβολοι νόσου; A. 528. τερπνὸν δὲ τἀναγκαῖον ἐκφυγεῖν ἅπαν A. 876. ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον ἐμοὶ C. 236.

Τέρψις. λέκτρων εὐνὰς ἁβροχιτώνων, χλιδανῆς ἥβας τέρψιν ἀφεῖσαι P. 536. οὐδ' οἶδα τέρψιν, οὐδ' ἐπίψογον φάτιν ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφὰς A. 597.

Τέσσαρες. ὦ τερπνὸν ὄμμα τέσσαρας μοίρας ἔχον ἐμοὶ C. 236. βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέτταρα Myrm. 10. ὃς εἶχε πώλους τέτταρας Fragm. 73.

Τέταρτος. Κύρου δὲ παῖς τέταρτος ἴθυνε στρατὸν P. 759. τέταρτος ἄλλος, γείτονας πυλὰς ἔχων Ὄγκας Ἀθάνας T. 467. ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις E. 18.

Τετρασκελής. λευρὸν γὰρ οἶμον αἰθέρος ψαίρει πτεροῖς τετρασκελὴς οἰωνὸς V. 395.

Τεύθρας. περᾷ δὲ Τεύθραντος ἄστυ Μυσῶν S. 544.

Τευκρίς. Τευκρίδ' ἐπ' αἶαν A. 112.

Τεύχειν. στάσιν τεύχειν ἐν ἀλλήλαισιν P. 185. τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ διόθεν τεύχουσα φόβον στείχει φανερῶς V. 1091. ὅταν δὲ τεύχῃ Ζεὺς ἀπ' ὄμφακος πικρᾶς οἶνον A. 945. ἔοικεν ἀνὴρ ὁ ξένος τεύχειν κακὸν C. 719. τί σοι πέπρακται πρᾶγμα πλὴν τεύχειν κακά; E. 122. τὸ σὸν πόλισμα καὶ στρατὸν τεύξω μέγαν E. 638. μηδ' ἀκαρπίαν τεύξητε E. 769. τί οὖν ἔτευξεν ἄλλο δυσπότμῳ βοΐ; S. 302. ἔτευξα τύμβῳ μέλος T. 817. μηλοφόνοισιν ἄγαισιν δαῖτ' ἀκέλευστος ἔτευξεν A. 713. παλαίφατος δ' ἐν βροτοῖς γέρων λόγος τέτυκται A. 731. Διὸς ἵμερος οὐκ εὐθήρατος ἐτύχθη S. 81. παλλεύκων δὲ πέπλων ἄμοιρος, ἄκληρος ἐτύχθην A. 333. φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον T. 370.

Τευχεστήρ. ἀκάματον δὲ παρῆν σθένος ἀνδρῶν τευχεστήρων P. 869.

Τευχέστης. ἄνδρα τευχέστην ἰδεῖν T. 626.

Τευχεσφόρος. ἐπ' ἀνδρὶ τευχεσφόρῳ C. 618.

Τεῦχος. ἐς αἱματηρὸν τεῦχος οὐ διχορρόπως ψήφους ἔθεντο A. 789. πάλιν δικοῦσα τεῦχος C. 97. στενόστομον τὸ τεῦχος Fragm. 95. ἀντὶ δὲ φωτῶν τεύχη καὶ σποδὸς εἰς ἑκάστου δόμους ἀφικνεῖται A. 424. ἐκβάλλεθ' ὡς τάχιστα τευχέων πάλους E. 712.

Τέχνη. δυστέκμαρτον εἰς τέχνην ὥδωσα θνητοὺς V. 495. τέχνη δ' ἀνάγκης ἀσθενεστέρα πολὺ V. 512. τέχνης δέ νιν Ζεὺς ἔνθεον κτίσας φρένα ἵζει τέταρτον τόνδε μάντιν ἐν θρόνοις E. 17. μαντικῇ βρύον τέχνῃ (στόμα) Fragm. Psych. 1. οἵας τέχνας τε καὶ πόρους ἐμησάμην V. 475. πᾶσαι τέχναι βροτοῖσιν ἐκ Προμηθέως V. 504. τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι A. 240. κακῶν γὰρ διαὶ πολυεπεῖς τέχναι θεσπιῳδὸν φόβον φέρουσιν μαθεῖν A. 1105. ἤδη τέχναισιν ἐνθέαις ᾑρημένη A. 1182.

Τέχνημα. κάπηλα προσφέρων τεχνήματα Fragm. Inc. 71.

Τηθύς. Ποσειδῶν ὁ γαιάοχος, Τηθύος τε παῖδες T. 293. τῆς πολυτέκνου Τηθύος ἔκγονα V. 137.

Τήκειν. Αἴγυπτος ἁγνοῦ νάματος πλη-

ρουμένη τήκει πετραίαν χίονα Fragm. Inc. 22. 2.

Τῆλε. *τῆλε πρὸς δυσμαῖς ἄνακτος* Ἡλίου *φθινασμάτων* P. 228.

Τηλέπομπος. *φάος δὲ τηλέπομπον οὐκ ἀναίνετο φρουρὰ* A. 291.

Τηλέπλανος. *πῆ μ' ἄγουσι τηλέπλανοι πλάναι;* V. 577.

Τηλικοῦτος. *γνώσῃ γέρων ὢν, ὡς διδάσκεσθαι βαρὺ τῷ τηλικούτῳ* A. 1603.

Τηλουρός. *χθονὸς μὲν εἰς τηλουρὸν ἥκομεν πέδον* V. 1. *τηλουρὸν δὲ γῆν ἥξεις, κελαινὸν φῦλον* V. 809.

Τῆνος. Τήνῳ *τε συνάπτουσ'* Ἄνδρος *ἀγχιγείτων* P. 859.

Τήρειος. *ἀκούων ὄπα τᾶς* Τηρεΐας *μήτιδος οἰκτρᾶς ἀλόχου* S. 58.

Τηρός. *ἐγὼ δὲ πρός σε πότερον ὡς ἔτην λέγω, ἢ τηρὸν ἱεροῦ ῥάβδον, ἢ πόλεως ἀγόν;* S. 245.

Τιάρα. *βασιλείου τιάρας φάλαρον πιφαύσκων* P. 652.

Τίειν. *τὸν ἐναίσιμον τίει βίον* A. 751. *ἦ καὶ σὺ νίκην τήνδε δήριος τίεις;* A. 916. *λίπος ἐπ' ὀμμάτων αἵματος εὐπρέπειαν τίετον* A. 1404. *τίω δ' ἀθέρμαντον ἑστίαν δόμων* C. 620. Ἑρμᾶν *μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν* Fragm. Psych. 2. *πλουτόχθων* Ἑρμαίαν *δαιμόνων δόσιν τίοι* E. 908. *δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν γυναῖκ' ἐρημωθέντος ἄρσενος θρόνου* A. 250. *τίοντες ὑμέναιον* A. 689. *παρὰ νόμον θεῶν βρότεα μὲν τίων παλαιγενεῖς δὲ* Μοίρας *φθίσας* E. 164. *τίν'—ἐθαύμασαν ὅσον τότ'* Οἰδίπουν *τίον;* T. 757. *πατρὸς δ' ἀτίμωσιν ἆρα τίσει* C. 429. *αὐτὸν δ' ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε τίσειν μ' ἔχοντα πολλὰ δυστερπῆ κακὰ* C. 275. *διπλᾶ δ' ἔτισαν* Πριαμίδαι *θάμάρτια* A. 523. *ἔτι σε χρὴ στερομέναν φίλων τύμμα τύμματι τῖσαι* A. 1405. *θανάτῳ τίσας ἅπερ ἦρχεν* A. 1511. *τίεται δ' αἰολόμητις θεὸς ἔργοις ἐπὶ σεμνοῖς* S. 1019. *τίεσθαι δ' ἀξιώτατος βροτῶν τῶν νῦν* A. 517. *κλῦτε δὴ τὰ χθονίων τετιμέναι* C. 393. *ὦ* Ζεῦ, *δός με τίσασθαι μόρον πατρὸς* C. 18.

Τιθασός. *ὅταν* Ἄρης, *τιθασὸς ὤν, φίλον ἕλῃ* C. 336.

Τιθέναι. *λέπαδν' ἐπ' αὐχένων τίθησι* P. 188. *ἐνταῦθα δή σε* Ζεὺς *τίθησιν ἔμφρονα* V. 850. *τίς σε κακοφρονῶν τίθησι δαίμων ὑπερβαρὴς ἐμπιτνὼν μελίζειν πάθη γοερὰ θανατηφόρα;* A. 1147. *ταῦτ' ἐν μέσῳ τίθημι* C. 143. *αἰδὼς γὰρ ἐν λεχθεῖσιν οὐκ ἐπαργέμους λόγους τίθησι* C. 655. *πόδα τίθησιν ὀρθὸν* E. 284. *ὁ* Λατοῦς *γὰρ ἶνίς μ' ἄτιμον τίθησιν* E. 313. *τὰ δ' ἄλλα πάντ' ἄνω τε καὶ κάτω στρέφων τίθησιν* E. 621. *ἔνδον δ' οὖσα μὴ βλάβην τίθει* T. 183. *μηδ' εἵμασιν στρώσασ' ἐπίφθονον πόρον τίθει* A. 896. *σὺ δ' εἴ τι δράσεις τῶνδε, μὴ σχολὴν τίθει* A. 1029. *πείσω τὸ κοινόν, ὡς ἂν εὐμενὲς τιθῶ* S. 513. *ὡς πολίτας μὴ κακοσπλάγχνους τιθῇς* T. 219. *ἴυζε μέλος ὁμοῦ τιθεὶς* P. 999. *ἀρὰν πατρὸς τιθεὶς ἀληθῆ* T. 927. *κελαιναὶ δ'* Ἐριννύες *τυχηρὸν ὄντ' ἄνευ δίκας παλιντυχεῖ τριβᾷ βίου τιθεῖσ' ἀμαυρὸν* A. 453. *τιθέντες ἔνθηρον τρίχα* A. 548. *χαμαὶ τιθεὶς τὸν σὸν πόδ'* A. 880. *λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ* A. 1583. *ἔνδοθεν φοινίαν ἄταν τιθεὶς* C. 823. *χθόνα ἀνήμερον τιθέντες ἡμερωμένην* E. 14. *ἔπος δ' ἀμείβου πρὸς ἔπος ἐν μέρει τιθεὶς* E. 556. *πρὸς ὑμῶν πῶς τιθεῖσ' ἄμομφος ὦ;* E. 648. *ὁδοὺς ἀθύμους καὶ παρόρνιθας πόρους τιθέντες* E. 741. *ταῦτα δ', ὡς ἐφίεσαι, πάντα θήσομεν θεοῖσι* P. 225. *ποῦ σφε θήσομεν χθονός;* T. 993. *τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη θήσει δικαίως ξὺν θεοῖς εἱμαρμένα* A. 887. *ἐγὼ καί συ θήσομεν κρατοῦντε τῶνδε δωμάτων καλῶς* A. 1658. *νεκρὸν θήσω* C. 569. *ἀλλ' ἢ τροπαίαν* Ζεὺς *κακῶν θήσει ποτὲ* C. 764. *θεσμὸν τὸν εἰς ἅπαντ' ἐγὼ θήσω χρόνον* E. 462. *νιφάδι στρογγύλων πέτρων ὑπόσκιον θήσει χθόνα* Prom. Sol. 6. 7. *ἐγὼ δὲ χοιρὸν καὶ μάλ' εὐθηλούμενον τόνδ' ἐν γναθοῦντι κριβάνῳ θήσω* Fragm. Inc. 51. *ὧδ' ἐπεύχομαι θήσειν τρόπαια* T. 259. *θήσειν* Ἀγαμεμνονίων *οἴκων ὄλεθρον διὰ παντὸς* C. 849. *βοῦν τὴν γυναῖκ' ἔθηκεν* Ἀργεία *θεὸς* S. 295. *ἔθηκε πᾶσιν εἰρήνην φίλοις* P. 755. *νηπίους ὄντας τὸ πρὶν ἔννους ἔθηκα* V. 442. *ἐπεί σ' ἔθηκε* Ζεὺς *ἀμηνίτως δόμοις κοινωνὸν εἶναι χερνίβων* A. 1006. *δολίαν ἄτην οἴκοισιν ἔθηκε* A. 1505. *ξὺν ᾧ σὺ* Τροίαν *ἄπολιν* Ἰλίου *πόλιν*

ἔθηκας E. 436. ὡς πάντα παγκάκως ἔθεσαν P. 274. πρὸ δὲ δῄχθρων τῶν ἔσω μελάθρων Ζεῦ, θὲς C. 779. πόλει κατασκαφὰς θέντες T. 47. πολίταις τάσδε διαδρόμους φυγὰς θεῖσαι T. 274. τῷ πάθει μάθος θέντα κυρίως ἔχειν A. 171. πρὸς πόλιν τε καὶ θεοὺς, κοινοὺς ἀγῶνας θέντες ἐν πανηγύρει, βουλευσόμεσθα A. 819. σὺ δ' οὖν δίωκε, καὶ πόνον πλέον τίθου E. 217. τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι A. 32. καί μοι προπαντὸς ἐγγύην θήσῃ χρόνου; E. 858. ψῆφον δ' εὔφρον' ἔθεντο S. 631. οὐδὲ μετ' ἀρσένων ψῆφον ἔθεντο S. 634. ἔθεσθ' ἄελπτον κακὸν P. 967. ἔπιδ' ἔπιδε πόλιν, ἄν ποτ' εὐφιλήταν ἔθου T. 104. λιτὰς δὲ καὶ κληδόνας πατρῴους παρ' οὐδὲν αἰῶνα παρθένειόν τ' ἔθεντο φιλόμαχοι βραβῆς A. 222. οὐ διχοῤῥόπως ψήφους ἔθεντο A. 790. πρὸς μὲν οἰκέτας θέτο σκυθρωπὸν ἔντος ὀμμάτων γέλων C. 727. τήνδ' ἐμοὶ χάριν θέσθαι θέλησον V. 785. παῖδα τὸν αὐτᾶς πόσιν αὐτᾷ θεμένα T. 912. ἀεὶ θέμενος ἄγναμπτον νόον V. 163. δαίμονι τῷ Πλεισθενιδῶν ὅρκους θεμένη A. 1551.

Τίκτειν. τίκτει δ' ὁ θρώσκων E. 630. φιλεῖ ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ σοφῷ S. 751. φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεάζουσαν ἐν κακοῖς βροτῶν ὕβριν A. 741. μᾶτερ, ἅ μ' ἔτικτες E. 311. τέξεις κελαινὸν Ἔπαφον V. 853. αὐτὴ κατ' Ἄργος βασιλικὸν τέξει γένος V. 871. τούσδ' ἔτεχ', οἱ δ' ὧδ' ἐτελεύτασαν T. 913. γέρων φόνος μηκέτ' ἐν δόμοις τέκοι C. 794. οἷον ἔρνος οὔτις ἂν τέκοι θεὸς E. 636. φύλαξαι, μὴ θράσος τέκῃ φόβον S. 493. τεκεῖν δράκοντ' ἔδοξεν, ὡς αὐτὴ λέγει C. 520. τὸ τεκόντων σέβας S. 688. δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι P. 241. μνημεῖά θ' αὐτῶν τοῖς τεκοῦσιν ἐς δόμους πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον T. 49. εἴργειν τεκούσῃ μητρὶ πολέμιον δόρυ T. 398. δυσδαίμων σφὶν ἁ τεκοῦσα πρὸ πασῶν γυναικῶν T. 909. τῆς νῦν τεκούσης φῶς τόδ' εὐφρόνης, λέγω A. 270. πεπραγμένοι γὰρ νῦν γε πῶς ἀλώμεθα πρὸς τῆς τεκούσης C. 131. πατέρων τε καὶ τεκόντων γόος C. 326. πρὸς τοὺς τεκόντας, πανδίκως μεμνημένος, τεθνεῶτ' Ὀρέστην εἰπὲ C. 670. τὸν τεκόντα δ' εἰκὸς εἰδέναι C. 679. τεκοῦσα γάρ μ' ἔῤῥιψας ἐς τὸ δυστυχὲς C. 900. οἱ 'γὼ τεκοῦσα τόνδ' ὄφιν ἐθρεψάμην C. 915. ἔκτεινα τὴν τεκοῦσαν E. 441. ταῦτά τις τάχ' ἂν πατὴρ ἢ τεκοῦσα νεοπαθὴς οἶκτον οἰκτίσαιτ' E. 487. καὶ τῷδε κέρδει κέρδος ἄλλο τίκτεται T. 419. γαῖαν ἣ τὰ πάντα τίκτεται C. 124. γαῖα τίκτεται βροτοῖς μήλων τε βόσκας, καὶ βίον Δημήτριον Danaid. 2. 4. τίκτεσθαι δ' ἐφόρους γᾶς ἄλλους εὐχόμεθ' ἀεὶ S. 659. τέξεταί γε παῖδα φέρτερον πατρὸς V. 770. πάθομεν ἄχεα πρὸς τῶν τεκομένων C. 413.

Τίλλειν. χηλαῖς κάρα τίλλοντο P. 205.

Τιλμός. οὔκουν, οὔκουν, τιλμοὶ, τιλμοὶ, καὶ στιγμοὶ, πολυαίμων φάνιος ἀποκοπὰ κρατὸς S. 819.

Τιμαλφεῖν. μολόντα δ' αὐτὸν κάρτα τιμαλφεῖ λεὼς E. 15. θεούς τοι τοῖσδε τιμαλφεῖν χρεὼν A. 896. διοσδότοις σκήπτροισι τιμαλφούμενος E. 596. ὑπ' ἀστῶν τῶνδε τιμαλφούμεναι E. 774.

Τιμᾶν. γόοις με τιμᾷ S. 110. νίκην γε μέντοι καὶ κακὴν τιμᾷ θεὸς T. 698. πόλιν τὴν Παλλάδος τιμῶσιν αἰεὶ τήνδε συμμάχῳ δορὶ E. 743. μήτε τιμᾷ τὸ πρέπον Fragm. 37. 3. τιμᾶτε, καὶ τὸ φέγγος ὁρμάσθω πυρὸς E 983. οὔτι φθονῶ σοι δαιμόνων τιμᾶν γένος T. 218. οὐκ ἀνέξομαι τὸ μὴ οὐ τήνδ' ἀστύνικον ἐν βροτοῖς τιμᾶν πόλιν E. 875. ἐπήλυδας τιμῶν ἀπώλεσας πόλιν S. 396. τὸ σωφρονεῖν τιμῶσα τοῦ βίου πλέον S. 991. τὸν Αἰσχύνης θρόνον τιμῶντα T. 392. τοῦ θυτῆρος καί σε τιμῶντος μέγα πατρὸς νεοσσοὺς τούσδ' ἀποφθείρας C. 253. μεθύστερον τιμῶσ' ἀνήκεστον πάθος C. 509. εὔφρονας εὔφρονες ἀεὶ μέγα τιμῶντες E. 947. ἀλλ' ὃν πόλις στυγεῖ, σὺ τιμήσεις τάφῳ; T. 1027. αὐτὸς δὲ σώζῃ τόνδε τιμήσας λόγον C. 502. τοιαῦθ' ἑλέσθαι σοι πάρεστιν ἐξ ἐμοῦ, εὖ δρῶσαν, εὖ παθοῦσαν, εὖ τιμωμένην E. 830. εὐμοίρου χθονὸς εἶναι δικαίως ἐς τὸ πᾶν τιμωμένη E. 851. χάρις τιμήσεται Διὸς τάδ' ἐκπράξασα A. 568.

Τιμάορος. τὸν ἐμὸν τιμάορον Ἑρμῆν προσαυδῶ A. 500. ἥξει γὰρ ἡμῶν ἄλλος αὖ τιμάορος A. 1253. σοῦ, πάτερ, τιμάορος C. 141. ἐμοὶ τιμάοροι

A. 1297. φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη A. 1560.

Τιμάωρ. ἐπικεκλόμεναι δῖον πόρτιν ὑπερπόντιον τιμάορα S. 42.

Τιμή. χρημάτων ἄνανδρον πλῆθος ἐν τιμῇ σέβειν P. 162. ἐξ οὗτε τιμὴν Ζεὺς ἄναξ τήνδ' ὤπασεν P. 748. ὀτοτοὶ βασιλεῦ στρατιᾶς ἀγαθῆς, καὶ Περσονόμου τιμῆς μεγάλης P. 883. στένουσα τὰν σὰν ξυνομαιμόνων τε τιμὰν V. 408. δίσκηπτρος τιμὴ A. 44. χωρὶς ἡ τιμὴ θεῶν A. 623. συμπενθεῖν ἐμοὶ ἄγαλμα τύμβου τοῦδε καὶ τιμὴν πατρὸς C. 198. τίς ἥδε τιμή; κόμπασον γέρας καλὸν E. 200. τίς δέ μοι τιμὴ μένει; E. 854. τὺ καὶ σοφίας τιμὰν βροτῶν ἐπέθηκας ἔργοις Fragm. 23. Ζεὺς δ' ἐφορεύοι ξένιος ξενίου οτόματος τιμὰς ἐπ' ἀληθείᾳ S. 623. φυλάσσοι τ' ἀτιμίας τιμὰς τὸ δήμιον S. 679. θεοὺς δ', οἳ γᾶν ἔχουσιν, ἀεὶ τίοιεν ἐγχωρίους πατρῴαις δαφνηφόροισιν βουθύτοισι τιμαῖς S. 688. γαπότους δ' ἐγὼ τιμὰς προπέμψω τάσδε νερτέροις θεοῖς P. 614. τιμὰς μὴ 'ξαλειφθῆναί ποτε T. 15. βροτοῖσι τιμὰς ὤπασας πέρα δίκης V. 30. ὑφ' ὅτου σκῆπτρον τιμάς τ' ἀποσυλᾶται V. 171. τὸν ἐξαμαρτόντ' εἰς θεοὺς ἐφημέροις πορόντα τιμὰς V. 948. τιμὰς σὺ μὴ σύντεμνε τὰς ἐμὰς λόγῳ· Οὐδ' ἂν δεχοίμην ὥστ' ἔχειν τιμὰς σέθεν E. 219. τιμάς γε μὲν δὴ τὰς ἐμὰς πεύσῃ τάχα E. 397. μητρὸς μηδαμοῦ τιμὰς νέμει E. 594. ἡμῖν γὰρ ἔρρειν, ἢ πρόσω τιμὰς νέμειν E. 717. ἀπὸ γάρ με τιμᾶν δαμιᾶν θεῶν δυσπάλαμοι παρ' οὐδὲν ἦραν δόλοι E. 808. τιμαῖς καὶ θυσίαις περίσεπται E. 990.

Τίμημα. τίμημα τύμβου τῆς ἀνοιμώκτου τύχης C. 504.

Τίμιος. ὡς ἔχοιμι τίμιον γέρας S. 964. τίμιον ἕδος T. 223. δόλῳ κτείναντες ἄνδρα τίμιον C. 549. εὐπρυμνῆ φρενὸς χάριν σέβεσθαι τιμιωτέραν ἐμοῦ S. 968. ὀυπιρρέων γὰρ τιμιώτερος χρόνος E. 815. ποῦ σφε θήσομεν χθονός; Ὅπου τιμιώτατον T. 994. πάντα τιμιώταται θεῶν E. 925.

Τιμός. ποῦ δῆθ' ὁ τιμὸς, ὅντιν' ἀντεδεξάμην C. 903.

Τιμωρία. πικρὰν δὲ παῖς ἐμὸς τιμωρίαν κλεινῶν Ἀθηνῶν εὗρε P. 465.

Τινάκτωρ. θαλασσίαν τε γῆς τινάκτειραν νόσον τρίαιναν V. 926.

Τινάσσειν. τινάσσων χερσὶ πυρπνόον βέλος V. 919.

Τίνειν. τοιάσδε ποινὰς ἀμπλακημάτων τίνω V. 112. ποινὰς δὲ ποίων ἀμπλακημάτων τίνεις; V. 623. δημοκράντου δ' ἀρᾶς τίνει χρέος A. 445. ἀντιποίνους τίνεις μητροφόνας δύας E. 258. καὶ μὴν ὀφείλων γ' ἂν τίνοιμ' αὐτῷ χάριν V. 987. ἀντὶ δὲ πληγῆς φονίας φονίαν πληγὴν τινέτω C. 311. ποίνας τε τίνειν τῆσδ' αἰκίας ἐθελήσῃ V. 176. τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν τίνειν A. 796. ἐχθροῖς φονεῦσι τοῖς ἐμοῖς τίνειν ὁμοῦ A. 1298. τέκνον δ' ἐπεισφέρει δώμασιν δωμάτων παλαιτέρων τίνειν μύσος χρόνῳ κλυτὴ βυσσόφρων Ἐριννὺς C. 640.

Τίπτε. τίπτε μοι τόδ' ἐμπέδως δεῖγμα προστατήριον καρδίας τερασκόπου ποτᾶται; A. 949.

Τιτάν. πιθεῖν Τιτᾶνας Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα οὐκ ἠδυνήθην V. 205. δαμέντ' ἀδαμαντοδέτοις Τιτᾶνα λύμαις εἰσιδόμην θεὸν Ἄτλαντα V. 425.

Τιτανίς. τοιόνδε χρησμὸν ἡ παλαιγενὴς μήτηρ ἐμοὶ διῆλθε Τιτανὶς Θέμις V. 876. Τιτανὶς ἄλλη παῖς χθονὸς E. 6.

Τίτας. τίτας φόνος πέπηγε C. 64.

Τιτῆναι Fragm. Phr. 11.

Τιτρώσκειν. ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα Dan. 2. 1. τέτρωται δικτύου πλέω λέγειν A. 843. ἐὰν θνήσκοιτας, ἢ τετρωμένους πύθησθε T. 224.

Τλάμων. τλάμων δὲ μάταν παρηγορεῖ E. 483.

Τλημόνως. τὰ μὲν γὰρ ἄλλα τλημόνως ἤντλουν κακὰ C. 737.

Τλήμων. τί πάθω τλήμων; P. 876. τλήμονες ἀσπαίρουσι χέρσῳ P. 939. δμωΐδες καινοπήμονες νέαι τλήμονες T. 346. τλῆμον Προμηθεῦ, τοῦ δίκην πάσχεις τάδε; V. 617. ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενὸς A. 1275. ὦ τλῆμον, οἰκτείρω σε θεσφάτου μόρου A. 1294. κάτωθεν ἀμπέμπων βροτῶν τλήμονι καὶ πανούργῳ

χειρὶ ὑστερόποινον ἄταν C. 378. γυναῖκες φρεσὶ τλήμονες C. 588. τλήμων Ὀρέστης C. 921.

Ὑπέρ. *νῦν ὑπὲρ πάντων ἀγὼν* P. 397. *βοᾷ ὑπὲρ τειχέων ὁ λεύκασπις ὄρνυται λαὸς εὐπρεπὴς* T. 87. *ἴδετε παρθένων ἱκέσιον λόχον δουλοσύνης ὕπερ* T. 108. *τρέμω δ' αἱματηφόρους μόρους ὑπὲρ φίλων ὀλομένων ἰδέσθαι* T. 404. *τῶν Διὸς ἐχθρῶν ὕπερ στένεις;* V. 67. *ὅπως ἂν μήτε πρὸ καιροῦ, μήθ' ὑπὲρ ἄστρων βέλος ἠλίθιον σκήψειε* A. 356. *ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτώμενοι* A. 562. *ὑπὲρ σοῦ τοιάδ' ἔστ' ὀδύρματα* C. 501. *οὐδεὶς ὑπέρ μου δαιμόνων μηνίεται* E. 101. *εὐδόντων ὕπερ ἐγρηγορὸς φρόνημα γῆς καθίσταμαι* E. 675. *λίμνην δ' ὑπὲρ Γοργῶπιν ἔσκηψεν φάος* A. 293. *πέφανται δ' ἐγγόνους ἀτολμήτων Ἄρη πνεόντων μεῖζον ἢ δικαίως, φλεόντων δωμάτων ὑπέρφευ ὑπὲρ τὸ βέλτιστον* A. 368. *ὑπέρ τε πόντον καὶ περιῤῥύτους πόλεις βεβῶτα* E. 77. *ὑπέρ τε πόντον ἀπτέροις ποτήμασιν ἦλθον διώκουσ'* E. 241. *δυσμενὴς ὑπέρτερος* T. 348. *ὄμνυσι δ' αἰχμὴν, ἣν ἔχει, μᾶλλον θεοῦ σέβειν πεποιθὼς ὀμμάτων θ' ὑπέρτερον* T. 512. *λέγοις ἄν, εἴ τι τῶνδ' ἔχεις ὑπέρτερον* C. 103. *ἡμῶν γε μέντοι Νέμεσίς ἐσθ' ὑπερτέρα* Fragm. Phr. 2. 4. *Ζεύς τοι τὰ πάντα, χ' ὤ τι τῶνδ' ὑπέρτερον* Fragm. 36. *Ζῆνα μέγαν σεβόντων, τὸν ξένιόν θ' ὑπέρτατον* S. 657. *ὦ βαθυζώνων ἄνασσα Περσίδων ὑπερτάτη* P. 151.

Ὑπεραίρειν. *πῶς σε σεβίζω, μήθ' ὑπεράρας, μήθ' ὑποκάμψας καιρὸν χάριτος;* A. 760.

Ὑπεραλύσκειν. *τόθεν οὐκ ἔστιν ὑπὲρ θνατὸν ἀλύξαντα φυγεῖν* P. 101.

Ὑπέραυχος. *ὑπέραυχα βάζουσιν ἐπὶ πόλει μαινομένᾳ φρενὶ* T. 465.

Ὑπερβάλλειν. *ὑπερβάλλει γὰρ ἥδε συμφορὰ τὸ μήτε λέξαι μήτ' ἐρωτῆσαι πάθη* P. 283. *πρῶν' ὑπερβάλλειν* A. 298. *ἀστρογείτονας δὲ χρὴ κορυφὰς ὑπερβάλλουσαν, ἐς μεσημβρινὴν βῆναι κέλευθον* V. 724. *ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα, βροντῆς θ' ὑπερβάλλοντα καρτερὸν κτύπον* V. 925.

Ὑπερβαρής. *δαίμων ὑπερβαρὴς ἐμπιτνῶν* A. 1148.

Ὑπέρβατος. *τὰ μὲν κατ' οἴκους ἐφ' ἑστίας ἄχη τάδ' ἐστὶ, καὶ τῶνδ' ὑπερβατώτερα* A. 415.

Ὑπέρβιος. *Οἴνοπος τόκος Ὑπέρβιος* T. 486. *Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδι σταδαῖος ἧσται* T. 494. *Ὑπερβίῳ δὲ πρὸς λόγον τοῦ σήματος σωτὴρ γένοιτο Ζεὺς* T. 501.

Ὑπερβόρεος. *μεγάλης δὲ τύχης καὶ ὑπερβορέου μείζονα φωνεῖς* C. 367.

Ὑπέργηρως. *τό θ' ὑπέργηρων φυλλάδος ἤδη κατακαρφομένης, τρίποδας μὲν στείχει* A. 79.

Ὑπερδείδειν. *δράκονθ' ὥς τις τέκνων*

ὑπερδέδοικεν λεχέων δυσευνήτειρα πάντροφος πελειὰς T. 274.

Ὑπερδικεῖν. πῶς γὰρ τὸ φεύγειν τοῦδ' ὑπερδικεῖς, ὅρα E. 622.

Ὑπερδίκως. τάδ' ἂν δικαίως ἦν, ὑπερδίκως μὲν οὖν A. 1369.

Ὑπερέχειν. πόλεως ἵν' ὑπερέχοιεν ἀλκὰν T. 197. ὡς οὐ πρὸς ἰσχὺν, οὐδὲ πρὸς τὸ καρτερὸν χρείη, δόλῳ δὲ τοὺς ὑπερέχοντας κρατεῖν V. 212. ὦ βροτῶν πάντων ὑπερσχὼν ὄλβον εὐτυχεῖ πότμῳ P. 695.

Ὑπερήφανος. ὑπερήφανον θεοῖς τοῖς πάρος ἐνδείκνυσιν αἰχμὰν V. 403.

Ὕπερθε. ὕπερθ' ὀμμάτων κρημναμενᾶν νεφελᾶν T. 210. ὕπερθε βωμοῦ περιπετὴς A. 224.

Ὑπερθέειν. ὑπερθέων ἄκραν E. 532.

Ὑπερθορεῖν. ὑπερθοροῦσα πεδίον Ἀσωποῦ A. 288. ὑπερθορὼν δὲ πύργον ὠμηστὴς λεὼς ἅδην ἔλειξεν αἵματος τυραννικοῦ A. 801. Αἰγυπτίαν γὰρ βᾶριν οὐχ ὑπερθορῇ S. 852.

Ὑπερθύμως. μηδ' ὑπερθύμως ἄγαν θεοὶ βροτῶν στήσητε δύσκηλον χθόνα E. 788.

Ὑπέρκομπος. αἱ δ' ὑπερκόμποι τάχει ἑκατὸν δὶς ἦσαν P. 334. Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν φρονημάτων ἔπεστι P. 813. λῆξαι θεοβλαβοῦντ' ὑπερκόμπῳ θράσει P. 817. τοιαῦτ' ἀλύων ταῖς ὑπερκόμποις σάγαις βοᾷ T. 373. σῆμ' ὑπέρκομπον T. 386.

Ὑπέρκοπος. ὑπέρκοπον δόρυ T. 437.

Ὑπερκόπως. ὑπερκόπως ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα A. 133.

Ὑπέρκοτος. ἐπείπερ καὶ πάγας ὑπερκότους ἐπραξάμεσθα A. 796.

Ὑπερκότως. τὸ δ' ὑπερκότως κλύειν εὖ, βαρὺ A. 455.

Ὑπερμηκής. τοὺς ὑπερμηκεῖς δρόμους Ἥρᾳ στυγητὸς πρὸς βίαν γυμνάζεται V. 593.

Ὑπέρπικρος. τὸν σοφιστὴν, τὸν πικρῶς ὑπέρπικρον V. 946.

Ὑπέρπλουτος. ἄγαλμα τῆς ὑπερπλούτου χθονὸς V. 464.

Ὑπερπολύς. κτείνουσα λίμῳ τοὺς ὑπερπολλοὺς ἄγαν P. 780.

Ὑπερπόντιος. ἐπικεκλόμεναι δῖον πόρτιν ὑπερπόντιον τιμάορα S. 42. πόθῳ δ' ὑπερποντίας φάσμα δόξει δόμων ἀνάσσειν A. 403.

Ὑπερστατεῖν. ἀλλ' ἡ δίκη γε ξυμμάχων ὑπερστατεῖ S. 338.

Ὑπερστένειν. σῶν ὑπερστένω πόνων V. 66.

Ὑπερτείνειν. ῥίζης γὰρ οὔσης, φυλλὰς ἵκετ' ἐς δόμους, σκιὰν ὑπερτείνασα Σειρίου κυνὸς A. 941.

Ὑπερτελεῖν. μήτ' οὖν νεαρῶν τιν' ὑπερτέλεσαι μέγα δουλείας γάγγαμον A. 351.

Ὑπερτελής. ὑπερτελής τε, πόντον ὥστε νωτίσαι, ἰσχὺς πορευτοῦ λαμπάδος A. 277.

Ὑπέρτολμος. ὑπέρτολμον ἀνδρὸς φρόνημα C. 586.

Ὑπέρτονος. ὑπέρτονον γήρυμα φαινέτω στρατῷ σάλπιγξ E. 539.

Ὑπερτοξεύσιμος. μίασμ' ἔλεξας οὐχ ὑπερτοξεύσιμον S. 468.

Ὑπέρφευ P. 806. A. 367.

Ὑπερφεύγειν. τόθεν οὐκ ἔστιν ὑπὲρ θνατὸν ἀλύξαντα φυγεῖν P. 100.

Ὑπερφοβεῖσθαι. ἔκηλος ἴσθι, μηδ' ἄγαν ὑπερφοβοῦ T. 220.

Ὑπερφρονεῖν. μηδέ τις ὑπερφρονήσας τὸν παρόντα δαίμονα, ἄλλων ἐρασθεὶς, ὄλβον ἐκχέῃ μέγαν P. 811. ἔκβαιν' ἀπήνης τῆσδε, μηδ' ὑπερφρόνει A. 1009.

Ὑπέρφρων. ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε T. 369. ὑπέρφρονας λόγους στυγῶν T. 392.

Ὑπερφυής. ἀλλ' ἀρουραῖός τίς ἐστι σμίνθος, ὡς ὑπερφυὴς Sisyph. 3.

Ὑπέρχεσθαι. ὄφρ' ἂν γᾶν ὑπέλθῃ E. 324. ἐκ ποδῶν δ' ἄνω ὑπέρχεται σπαραγμὸς εἰς ἄκρον κάρα Fragm. Xantr. 1.

Ὑπεύθυνος. κακῶς δὲ πράξας, οὐχ ὑπεύθυνος πόλει P. 209. ὁρῶν ὅτι τραχὺς μόναρχος οὐδ' ὑπεύθυνος κρατεῖ V. 324. αἰνῶ δὲ πράσσειν ὡς ὑπευθύνῳ τάδε C. 704.

Ὑπέχειν. νεφέλην δ' ὑποσχὼν νιφάδι στρογγύλων πέτρων ὑπόσκιον θήσει χθόνα Fragm. Prom. Sol. 6. 8.

Ὑπήκοος. πᾶσα γὰρ γένοιτ' ἂν Ἑλλὰς βασιλέως ὑπήκοος P. 230. οὔτινος δοῦλοι κέκληνται φωτὸς, οὐδ' ὑπήκοοι P. 238. δυοῖν γυναικοῖν ὧδ' ὑπηκόους πέλειν C. 302.

Ὑπήνη. δαῦλος δ' ὑπήνη καὶ γενειάδος πυθμὴν Glauc. Mar. 5.

Ὑπηρετεῖν. ὑπηρετεῖ δ' αὐτῷ θάλασσα Fragm. Inc. 168. 7.

Ὑπηρέτης. σεμνόστομός γε, καὶ φρονήματος πλέως ὁ μῦθός ἐστιν, ὡς θεῶν ὑπηρέτου V. 956. σὲ γὰρ προσηύδων οὐκ ἂν ὄνθ' ὑπηρέτην V. 985.

Ὑπίσχεσθαι. ἐγὼ γὰρ ὑμῖν πανδίκως ὑπίσχομαι, ἕδρας τε καὶ κευθμῶνας ἐνδίκου χθονὸς ἕξειν E. 771.

Ὑπνοδότης. ὑπὸ δὲ κηρόπλαστος ὀτοβεῖ δόναξ ἀχέτας ὑπνοδόταν νόμον V. 575.

Ὕπνος. βλέφαρα μὴ κοιμῶν ὕπνῳ T. 3. φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ, τὸ μὴ βεβαίως βλέφαρα συμβαλεῖν ὕπνῳ A. 14. ὕπνου τόδ' ἀντίμολπον ἐντέμνων ἄκος A. 17. στάζει δ' ἔν θ' ὕπνῳ πρὸ καρδίας μνησιπήμων πόνος A. 172. οὔ τι μέλλων, οὐδ' ἀφρασμόνως ὕπνῳ νικώμενος A. 281. βέβακεν ὄψις οὐ μεθύστερον πτεροῖς ὀπαδοῖς ὕπνου κελεύθοις A. 414. τὰ δ' ἄλλα φροντίς οὐχ ὕπνῳ νικωμένη θήσει δικαίως ξὺν θεοῖς εἱμαρμένα A. 886. μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν μοῖρ' ἀτέλευτον ὕπνον A. 1426. ἐξ ὕπνου κότον πνέων C. 33. ἡ δ' ἐξ ὕπνου κέκραγεν ἐπτοημένη C. 528. Νῖσον ἀθανάτας τριχὸς νοσφίσασ' ἀπροβούλως πνέονθ' ἁ κυνόφρων ὕπνῳ C. 612. ὕπνῳ πεσοῦσαι E. 68. ὕπνος πόνος τε, κύριοι συνωμόται, δεινῆς δρακαίνης ἐξεκήραναν μένος E. 123. μηδ' ἀγνοήσῃς πῆμα μαλθαχθεῖσ' ὕπνῳ E. 129. εὕδεις; ἀνίστω, κἀπολακτίσασ' ὕπνον, ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ E. 136. ὕπνῳ κρατηθεῖσ' ἄγραν ὤλεσα E. 143.

Ὑπνώσσειν. μέλει, φόβῳ δ' οὐχ ὑπνώσσει κέαρ T. 269. ἄγαν ὑπνώσσεις, κοὐ κατοικτίζεις πάθος E. 119. ὤζεις; ὑπνώσσεις; οὐκ ἀναστήσῃ τάχος; E. 121.

Ὑπό. χώραν οὐδὲ κηρύκων ὕπο, μολεῖν ἔτλητε S. 235. ὑπ' ἀρχᾶς δ' οὔ τινος θοάζων τὸ μεῖον κρεισσόνων κρατύνει S. 590. οὔτοι δικάζει ταῦτα μαρτύρων ὕπο Ἄρης S. 912. τοσαῦθ' ἔλεξε κάρθ' ὑπ' εὐθύμου φρενὸς P. 364. αὐτοὶ δ' ὑφ' αὑτῶν ἐμβολαῖς χαλκοστόμοις παίοντ' P. 407. ὑπ' ἄσθματος κένοι P. 476. σύ τε πέμπε χοὰς θαλάμους ὑπὸ γῆς P. 616. ἀνανδρίας ὕπο ἔνδον αἰχμάζειν P. 741. τόσος γὰρ ἔσται πέλανος αἱματοσφαγὴς πρὸς γῇ Πλαταιῶν, Δωρίδος λόγχης ὕπο P. 803. κακῶν ὑπ' ἄλγους λακίδες ἀμφὶ σώματι στημορραγοῦσι ποικίλων ἐσθημάτων P. 821. ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυρρόθοις T. 7. αὐτοὶ δ' ὑφ' αὑτῶν ἔνδοθεν πορθούμεθα T. 176. φλέγειν χρείας ὕπο T. 268. ὑπ' ἀνδρὸς Ἀχαιοῦ περθομένα (πόλις) T. 306. ὑπ' ἀσπίδος δὲ τῷ χαλκήλατοι κλάζουσι κώδωνες φόβον T. 367. γαῖα πατρὶς σῆς ὑπὸ σπουδῆς δορὶ ἁλοῦσα T. 567. κεκευθὼς πολεμίας ὑπὸ χθονὸς T. 570. οὕτω πετεινῶν τόνδ' ὑπ' οἰωνῶν δοκεῖ ταφέντ' ἀτίμως, τοὐπιτίμιον λαβεῖν T. 1011. ἄτιμον ἐκφορᾶς φίλων ὕπο T. 1015. ὑφ' ὅτου σκῆπτρον τιμάς τ' ἀποσυλᾶται V. 170. οἵαις ὑπ' αὐτοῦ πημοναῖσι κάμπτομαι V. 306. ὑφ' ὧν σὺ λαμπρῶς κοὐδὲν αἰνικτηρίως προσηγορεύθης ἡ Διὸς κλεινὴ δάμαρ V. 835. εἰς ἀπέραντον δίκτυον ἄτας ἐμπλεχθήσεσθ' ὑπ' ἀνοίας V. 1081. μήτ' οὖν αὐτὸς ὑπ' ἄλλων ἁλοὺς βιὸν κατίδοιμι A. 460. πυρός ὑπ' εὐαγγέλου πόλιν διήκει θοὰ βάξις A. 462. ὥστ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὑπὸ A. 527. ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο A. 573. καταγελωμένη μέγα φίλων ὑπ' A. 1244. καταθάψομεν οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων A. 1533. δι' αἵματ' ἐκποθένθ' ὑπὸ χθονὸς τροφοῦ τίτας φόνος πέπηγε C. 63. σαίνομαι δ' ὑπ' ἐλπίδος C. 192. καὶ πῶς; ἄτρωτον οὖθαρ ἦν ὑπὸ στυγός; C. 525. φήμης ὑφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς, δόμοισι τοῖσδε παγκάκως ἔχει C. 730. ὑπὸ δ' εὐνοίας πῶς ἴσον εἰποῦσ' ἀνύσωμαι; C. 845. σκότον νέμονται, Τάρταρόν θ' ὑπὸ χθονὸς E. 75. ὑφ' ὑμῶν ὧδ' ἀπητιμασμένη E. 95. ἔχω μεγίστην αἰτίαν κείνων ὕπο E. 99. καὶ νῦν ὑφ' ἁγνοῦ στόματος εὐφήμως καλῶ χώρας ἄνασσαν τῆσδε E. 277. μαυροῦμεν ὑφ' αἵματος νέου E. 339. ὑπ' ἀστῶν τῶνδε τιμαλφούμεναι E. 774. σφαγίων τῶνδ' ὑπὸ σεμνῶν κατὰ γᾶς συμέναι, τὸ μὲν ἀτηρὸν χώρας κατέχειν, τὸ δὲ κερδαλέον πέμπειν E. 960. τόδ' οὐχ ὑπ' ἄλλων, ἀλλὰ τοῖς αὑτῶν πτέροις ἁλισκόμεσθα Myrm. 2. 4. βασιλέως ὑπὸ πομπαῖς P. 58. ἀρ-

μασιν δ' ὕπο ζεύγνυσιν αὐτῷ P. 186. *πρὸς ἀνδρὸς δ' ἀνὴρ ὑπὸ δορὶ καίνεται* T. 329. *φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν* T. 370. *φέρει δ' ὑπ' αὐτῇ φῶτα Καδμείων ἕνα* T. 525. *βασιλεοῖν δ' ὁμοσπόροιν πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ* T. 803. *οἱ δ' ὧδ' ἐτελεύτησαν ὑπ' ἀλλαλοφόνοις χερσὶν ὁμοσπόροισι* T. 914. *ὑπὸ δὲ σώματι γᾶς πλοῦτος ἄβυσσος ἔσται* T. 929. *ἰπούμενος ῥίζησιν Αἰτναίαις ὕπο* V. 365. *ὅσονπερ οὗτος ἦν ὑπ' Ἰλίῳ* A. 834. *τὸν ὑπ' Ἰλίῳ σέθεν κίνδυνον* A. 857. *ὑπὸ σκότῳ βρέμει* A. 1001. *χρυσηΐδων μείλιγμα τῶν ὑπ' Ἰλίῳ* A. 1414. *πολλὰς ψυχὰς ὀλέσασ' ὑπὸ Τροίᾳ* A. 1432. *λινοφθόροι δ' ὑφασμάτων λακίδες ἔφλαδον ὑπ' ἄλγεσιν* C. 28. *δακρύω δ' ὑφ' εἵμασιν ματαίοισι δεσποτᾶν τύχαις* C. 79. *εἰ γὰρ ὑπ' Ἰλίῳ πρός τινος Λυκίων, πάτερ, δορίτμητος κατηναρίσθης* C. 341. *δόξαι δ' ἀνδρῶν καὶ μάλ' ὑπ' αἰθέρι, σεμναὶ* E. 351. *πίπτων δ' οὐκ οἶδεν τόδ' ὑπ' ἄφρονι λύμᾳ* E. 355. *ξυμφέρει σωφρονεῖν ὑπὸ στένει* E. 495. *παρά τ' ἀθανάτοις τοῖς θ' ὑπὸ γαῖαν* E. 912. *Παλλάδος ὑπὸ πτεροῖς ὄντας ἅζεται πατὴρ* E. 955. *ὑπ' εὐθύφρονι πομπᾷ βᾶτε δόμῳ* E. 987. *γᾶς ὑπὸ κεύθεσιν ὠγυγίοισι* E. 989. *ὑπὸ χθόνα στείλασα λαῖφος παγκρότως ἐρέσσεται* S. 703. *ἐγὼ δ' ἄπειμι γῆς ὑπὸ ζόφον κάτω* P. 825. *πυκνοῦ κροτησμοῦ τυγχάνουσ' ὑπὸ πτόλιν* T. 543 *ὑπὸ γῆν μ' ἧκεν* V. 152. *ὑφ' ἅρματ' ἤγαγον φιληνίους ἵππους* V. 463. *ὑπ' Ἴλιον ὦρτο ναυβάτας στρατὸς* A 960. *ἄτας ὑφ' ἧπαρ θερμὸν ἐξανδώμενος* C. 270. *ἐξ οὗ τέκνων ἤνεγχ' ὑπὸ ζώνην βάρος* C. 986. *ἔτυψε δίκαν διφρηλάτου μεσολαβεῖ κέντρῳ ὑπὸ φρένας, ὑπὸ λοβὸν* E. 153. *ὑπό τε γᾶν φυγὼν* E. 167. *ὑπὸ ῥάχιν παγέντες* E. 181. *καίπερ ὑπὸ χθόνα τάξιν ἔχουσα* E. 373.

Ὑποβρέμειν. *κελαινὸς δ' Ἅϊδος ὑποβρέμει μυχὸς γᾶς* V. 431.

Ὑπόγειος. *ὑπογείου βροντῆς ἠχὼ* Edon. 50.

Ὑπογραφή. *τενόντων θ' ὑπογραφαὶ μετρούμεναι εἰς ταυτὸ συμβαίνουσι τοῖς ἐμοῖς στίβοις* C. 207.

Ὑποδέχομαι. *ὑποδέξασθε δ' ὀπαδοὶ μέλος* S. 1001.

Ὑπόδικος. *ὑπόδικος θέλει γενέσθαι χερῶν* E. 250.

Ὑπόδοσις. *λῆξις ὑπόδοσίς τε μόχθων* E. 481.

Ὑποδύνειν. *τίς μ' ὑποδύεται πλευρὰς ὀδύνα;* E. 806.

Ὑποζευγνύναι. *ἀνάγκαις ταῖσδ' ὑπέζευγμαι τάλας* V. 108.

Ὑποθάλπειν. *ὑπό μ' αὖ σφάκελος καὶ φρενοπληγεῖς μανίαι θάλπουσ'* V. 880.

Ὑπερκάμπειν. *πῶς σε σεβίζω, μήθ' ὑπεράρας, μήθ' ὑποκάμψας καιρὸν χάριτος;* A. 760.

Ὑποκλαίειν. *οὔθ' ὑποκλαίων, οὔθ' ὑπολείβων οὔτε δακρύων* A. 69.

Ὑπολείβειν. *οὔθ' ὑποκλαίων, οὔθ' ὑπολείβων, οὔτε δακρύων, ἀπύρων ἱερῶν ὀργὰς ἀτενεῖς παραθέλξει* A. 69.

Ὑπολείπειν. *τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες μίμνομεν* A. 73.

Ὑπομιμνήσκειν. *ἴυγγά μοι δῆτ' ἀγαθῶν ἑταίρων ὑπομιμνήσκεις* P. 950. *τοιῶνδέ γ' ἀρχῶν νῦν ὑπεμνήσθην πέρι* P. 321.

Ὑπομυκᾶσθαι. *ταυρόφθογγοι δ' ὑπομυκῶνται φοβεροὶ μῖμοι* Edon. 1.

Ὑπόπτερος. *ὅστις οὐκ ὑπόπτερος φροντίσι* C. 594.

Ὑποπτήσσειν. *οὐχ ὑποπτήσσων χόλον θεῶν* V. 29. *μή τι σοὶ δοκῶ ταρβεῖν ὑποπτήσσειν τε τοὺς νέους θέους;* V. 962.

Ὕποπτος. *ἐγὼ δ' ὕποπτος ἐχθρὸς ἢ παλαιγενὴς* A. 1620.

Ὑπορχεῖσθαι. *πρὸς δὲ καρδίᾳ φόβος ᾄδειν ἕτοιμος, ἡδ' ὑπορχεῖσθαι κότῳ* C. 1021.

Ὑπόσκιος. *τοίγαρ ὑποσκίων ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχὰ* S. 644. *σαύρας ὑποσκίοισιν ἐν ψυκτηρίοις* Fragm. Juv. 1. *νιφάδι στρογγύλων πέτρων ὑπόσκιον θήσει χθόνα* Fragm. Pr. Sol. 6. 6.

Ὑπόσκοπος. *ὑπόσκοπον χέρα* Fragm. Th. 4.

Ὑποσπανίζειν. *καὶ Θεσσαλῶν πόλισμ' ὑπεσπανισμένους βορᾶς ἐδέξατ'* P. 481. *φόνου δ' Ἐρινὺς οὐχ ὑπεσπανισμένη ἄκρατον αἷμα πίεται τρίτον πόσιν* C. 570.

Ὑποστενάζειν. ὃς αἰὲν ὑπείροχον σθένος κραταιὸν οὐράνιόν τε πόλον νώτοις ὑποστενάζει V. 428.

Ὑποστροβεῖν. ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος στροβεῖ A. 1188.

Ὑποσυρίζειν. αἰθὴρ δ' ἐλαφραῖς πτερύγων ῥιπαῖς ὑποσυρίζει V. 126.

Ὑπόσχεσις. ἐγὼ δ' ἂν οὐ κραίνοιμ' ὑπόσχεσιν πάρος S. 363.

Ὑποτοπῆσαι Fragm. Cress. 1.

Ὑπουργεῖν. κρατεῖταί πως τὸ θεῖον παρὰ τὸ μὴ κακοῖς ὑπουργεῖν C. 953. σὸν ἔργον, Ἰοῖ, τοῖσδ' ὑπουργῆσαι χάριν V. 638.

Ὑποχείριος. μήτι ποτ' οὖν γενοίμαν ὑποχείριος κράτεσιν ἀρσένων S. 387.

Ὕποχος. βασιλῆς βασιλέως ὕποχοι μεγάλου P. 24.

Ὑπτίασμα. λιπαρήσω τὸν μέγα στυγούμενον γυναικομίμοις ὑπτιάσμασιν χερῶν V. 1007. ἄξειν νιν ὑπτίασμα κειμένου πατρὸς A. 1258.

Ὕπτιος. τρίτῳ γὰρ Ἐτεόκλῳ τρίτος πάλος ἐξ ὑπτίου πήδησεν εὐχάλκου κράνους T. 441.

Ὑπτιοῦν. ὑπτιοῦτο δὲ σκάφη νεῶν P. 410.

Ὗς. χοῖρον τόνδε τῆς αὐτῆς ὑὸς θύσας Fragm. Inc. 53.

Ὑσταίχμης. Ἀρτεμβάρης τ', ἠδ' Ὑσταίχμης P. 934.

Ὑστερόποινος. ὑστερόποινον πέμπει παραβᾶσιν Ἐριννὺν A. 59. κάτωθεν ἀμπέμπων ὑστερόποινον ἄταν βροτῶν τλήμονι καὶ πανούργῳ χειρὶ C. 377.

Ὕστερος. λέγουσα κέρδος πρότερον ὑστέρου μόρου T. 679. οὐδὲν ὕστερον μαθὼν T. 979. ὑστέρῳ χρόνῳ A. 686. ἀλλ' ἐγώ σ' ἐν ὑστέραισιν ἡμέραις μέτειμ' ἔτι A. 1651. φαίνει δ' ὕστερον ὀργὰς C. 323. ἦλθον διώκουσ' οὐδὲν ὑστέρα νεὼς E. 242. Ζεὺς ἄλλος ἐν καμοῦσιν ὑστάτας δίκας ἐκεῖ δικάζει S. 228. εὐθυντῆρος ὑστάτου νεὼς S. 698. Ἔρις περαίνει μῦθον ὑστάτη θεῶν T. 1042. ὁ δ' ὕστατός γε τοῦ χρόνου πρεσβεύεται A. 1273. ἡλίῳ δ' ἐπεύχομαι πρὸς ὕστατον φῶς A. 1297. τὸν ὕστατον μέλψασα θανάσιμον γόον A. 1420. ἐκ τῶν ὑστάτων τῶν σῶν ἐπῶν μέλημ' ἀφαιρήσω μέγα E. 421.

Ὑφαντός. ὑφαντοῖς ἐν πέπλοις Ἐριννύων A. 1562.

Ὕφασμα. κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδε A. 1471. ἰδοῦ δ' ὕφασμα τοῦτο C. 229. πατροκτόνον θ' ὕφασμα προσφωνῶ τόδε C. 1010. λινόφθοροι δ' ὑφασμάτων λακίδες ἔφλαδον ὑπ' ἄλγεσι C. 27.

Ὑφέρπειν. χαρά μ' ὑφέρπει, δάκρυον ἐκκαλουμένη A. 261. φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει προδίκοις Ἀτρείδαις A. 436. δρόμος μ' ὑφέρπει κλύουσαν εὐγμάτων C. 456.

Ὑφή. ποσὶν φθείροντα πλοῦτον, ἀργυρωνήτους θ' ὑφὰς A. 923.

Ὑφηγεῖσθαι. πῶς δ' ὑφηγεῖται τρόπος μορφῆς; E. 183.

Ὑφιστάναι. εἰ μή τι πιστὸν τῷδ' ὑποστήσεις στόλῳ S. 456. ἔπειθ' ὑπέστης αἵματος δέκτωρ νέου E. 195. δοκιμὸς δ' οὔ τις ὑποστὰς μεγάλῳ ῥεύματι φωτῶν P. 87.

Ὑψήγορος. τοιαῦτα μέντοι τῆς ἄγαν ὑψηγόρου γλώσσης, Προμηθεῦ, τἀπίχειρα γίγνεται V. 318. ὃς αὐτὸν ἐξέπληξε τῶν ὑψηγόρων κομπασμάτων V. 360.

Ὑψηλόκρημνος. πρὸς πέτραις ὑψηλοκρήμνοις τὸν λεωργὸν ὀχμάσαι V. 5.

Ὑψηλός. ὑψηλὸς ὄχθος ἀμφὶ πελαγίας ἁλὸς P. 459. ὑψηλῆς στέγης στύλον ποδήρη A. 871. ὑψηλὸν ἠβάσασα τεκτόνων πόνον Fragm. Inc. 82.

Ὑψιγέννητος. ἐλαίας ὑψιγέννητον κλάδον E. 43.

Ὑψίκρημνος. ὑψίκρημνον πόλισμα V. 418. ὑψίκρημνον Ἱμέραν ἀφικόμην Glauc. Potn. Fragm. 2.

Ὑψίπυργος. ἰάπτει δ' ἐλπίδων ἀφ' ὑψιπύργων πανώλεις βροτοὺς S. 90. πόλιν νεόπτολιν τήνδ' ὑψίπυργον E. 658.

Ὕψιστος. ὕψιστος γὰρ ἐν βροτοῖς φόβος S. 474. κακῶν ὕψιστα δὴ κλύω τάδε P. 323. οὗ σφὶν κακῶν ὕψιστ' ἐπαμμένει παθεῖν P. 793. ὁρῶν ὕψιστον—Καύκασον V. 722. τέλειον ὕψιστον Δία E. 28.

Ὑψόθεν. ὑψόθεν δ' εὖ κλύοι καλούμενος S. 166. τὸν ὑψόθεν σκοπὸν ἐπισκόπει S. 376. ὑψόθεν ποτώμενος Fragm. Phsych. 1.

Ὑψοῦ. ὑψοῦ τέλος ἀθανάτων ἀπολέψει Fr. Ner. 3.

Ὕψος. ὕψος κρεῖσσον ἐκπηδήματος A. 1349. ὀρέων ὕψος μέγα Fragm. Inc. 168. 11.

Φ.

Φαγέδαινα. φαγέδαινα, ἥ μουσάρκας ἐσθίει ποδὸς Philoct. 4.

Φαγεῖν. ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών; S. 223.

Φαεσφόρος. λαμπάδες φαεσφόροι A. 475.

Φαίδιμος. φαίδιμ' Ἀχιλλεῦ Fragm. Myrm. 1.

Φαιδρόνους. γλῶσσα φαιδρόνους A. 1202.

Φαιδρός. δίκην φαιδρᾶς σελήνης A. 289. φαιδροῖσι τοῖσιδ' ὄμμασι δέξασθε κόσμῳ βασιλέα A. 506. οὔτις ἂν φαιδρᾷ φρενὶ δέξαιτο C. 558. φαιδρὸν ἁλίου σέλας E. 886.

Φαιδρύνειν. οὔ με φαιδρύνει λόγος A. 1091. πόσιν λουτροῖσι φαιδρύνασα A. 1080.

Φαιδρύντρια. παιδὸς σπαργάνων φαιδρύντρια C. 748.

Φαιδρωπός. πόλεα δ' ἔσκ' ἐν ἀγκάλαις, νεοτρόφου τέκνου δίκαν, φαιδρωπὸς ποτὶ χεῖρα, σαίνων τε γαστρὸς ἀνάγκαις A. 707.

Φαίνειν. φαίνει δ' ὕστερον ὀργὰς C. 323. ὑπέρτονον γήρυμα φαινέτω στρατῷ σάλπιγξ E. 539. τότε δ' ἐκ θυσιῶν ἀγαθὴ φαίνουσ' ἔλπις ἀμύνει φροντίδ' ἄπληστον A. 101. ἦρι μὲν φαίνοντι διαπάλλει πτέρον κίρκου λεπάργου, δύο γὰρ οὖν μορφὰς φανεῖ παιδός γε ταὐτοῦ Fragm. 23. πολλὰ δ' ἄλλα φανεῖ χρῄζων C. 802. ἄλλος φανεῖ δῆτ' C. 1014. ἀρχαῖ' ἴσως σοι φαίνομαι λέγων τάδε V. 317. ὅρα νῦν, εἴ σοι ταῦτ' ἀρωγὰ φαίνεται V. 999. ἡμῖν μὲν Ἑρμῆς οὐκ ἄκαιρα φαίνεται λέγειν V. 1038. τί τόδε φαίνεται; A. 1085. κράτιστα δή μοι τῶν παρεστώτων τότε ἐφαίνετ' εἶναι προσλαβόντι μητέρα ἑκόνθ' ἑκόντι Ζηνὶ συμπαραστατεῖν V. 216. λόγοις τοιούτοις πλαγκτὸς οὖσ' ἐφαινόμην A. 579. πέφανται δ' ἐγγόνους ἀτολμήτων Ἄρη πνεόντων μεῖζον ἢ δικαίως A. 364. ὡς δέρκεται πλέον τι τοῦ πεφασμένου V. 845. ἦ μακροβίοτος ὅδε γέ τις αἰὼν ἐφάνθη γεραιοῖς P. 257. πράκτορες αἵματος αὐτῷ τελέως ἐφάνημεν E. 310. δέσποτα δεσπότου φάνηθι P. 655. πρὶν ἂν θεῶν τις διάδοχος τῶν σῶν πόνων φανῇ V. 1030. τοῖς δ' ἐναντίοις λέγω φανῆναί σου, πάτερ, τιμάορον C. 140. λέγων διπλοῦν μίασμα πρὸ πόλεως φανὲν S. 614. ἦρξεν μὲν, ὦ δέσποινα, τοῦ παντὸς κακοῦ φανεὶς ἀλάστωρ ἢ κακὸς δαίμων πόθεν P. 345. αἰθερία κόνις φανεῖσά με πείθει T. 81. ὦ κοινὸν ὠφέλημα θνητοῖσιν φανεὶς V. 616. εὐαγγέλου φανέντος ὀρφναίου πυρὸς A. 21. ἐξόπιν ἀργίας φανέντες ἴκταρ μελάθρων A. 115. πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι A. 472. εὖ γὰρ πρὸς εὖ φανεῖσι προσθήκη πέλοι A. 486. γῆν φανεῖσαν ναυτίλοις παρ' ἐλπίδα A. 873. πότερα γυνή τις Αἰθίοψ φανήσεται; Fragm. Inc. 46. ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν P. 596. τά τ' ἀνόμοια, οἶδ', ἀέλπτά περ ὄντα φανεῖται S. 54. κρατηθεὶς δ' ἠρεμώτερος φανεῖ A. 1615. ὅταν δ' αὖτ' ἐπαλκὲς θρασέ', ἀπέστασεν ἄχος, πρὸς τὸ φανεῖσθαί μοι καλῶς C. 411. διδάσκαλος τέχνης πάσης βροτοῖς πέφηνε V. 111. οὐκ ἂν φανεῖμεν πήματ' ἔρξαντες τόσα P. 772.

Φαιοχίτων. φαιοχίτωνες καὶ πεπλεκτανημένοι πυκνοῖς δράκουσιν C. 1045.

Φάλαρον. βασιλείου τιήρας φάλαρον πιφαύσκων P. 652.

Φανερῶς. τοιάδ' ἐπ' ἐμοὶ ῥιπὴ διόθεν τεύχουσα φόβον στείχει φανερῶς V. 1092. περί τ' ἀνθρώπων φανερῶς τελέως διαπράσσουσιν E. 913.

Φανός. φαναῖς θυμὸν ἀλδαίνουσαν ἐν εὐφροσύναις V. 536.

Φαντάζεσθαι. φανταζόμενος δὲ γυναικὶ νεκροῦ τοῦδ', ὁ παλαιὸς δριμὺς ἀλάστωρ Ἀτρέως χαλεποῦ θοινατῆρος τόνδ' ἀπέτισε A. 1481.

Φάντασμα. ἄγαν δ' ἀληθεῖς ἐνυπνίων φαντασμάτων ὄψεις T. 692. ἔνθα νυκτέρων φαντασμάτων ἔχουσι μορφὰς ἄπτεροι Πελειάδες Fragm. Inc. 25. 3.

εἶτ' ἔνυπνον φάντασμα φοβεῖ Fragm. Fr. 167.

Φάος. ὀφθαλμοῖς φάος ὁρμᾶται μητὴρ βασιλέως P. 147. ἐσθλά σοι πέμπειν, τέκνῳ τε, γῆς ἔνερθεν ἐς φάος P. 218. αὐτός τ' ἀέλπτως νόστιμον βλέπω φάος P. 255. Ξέρξης μὲν αὐτὸς ζῇ τε, καὶ φάος βλέπει. Ἐμοῖς μὲν εἶπας δώμασιν φάος μέγα P. 291. ἀσμένῳ δέ σοι ἡ ποικιλείμων νὺξ ἀποκρύψει φάος V. 24. ἥξεις ἐς φάος V. 1023. ὦ πάντων αἰθὴρ κοινὸν φάος εἱλίσσων V. 1094. ὦ χαῖρε, λαμπτὴρ νυκτὸς ἡμερήσιον φάος πιφαύσκων A. 23. φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο φρουρὰ A. 291. λίμνην δ' ὑπὲρ γοργῶπιν ἔσκηψεν φάος A. 293. ἐς τόδε σκήπτει στέγος φάος τόδ' A. 303. νῦν χαῖρε μὲν χθὼν, χαῖρε δ' ἡλίου φάος A. 494. εἰκὸς ἡλίου φάει A. 561. ἀνῆλθε λαμπρὸν ἡλίου φάος A. 644. Ὀρέστης ἆρά που βλέπει φάος A. 1630. σκότῳ φάος ἰσόμοιρον C. 317. ἄκουσον, ἐς φάος μολὼν C. 452. τίς δὲ μηδὲν ἐν φάει καρδίας ἀνατρέφων, ἢ πόλις βροτός θ' ὁμοίως ἔτ' ἂν σέβοι δίκαν; E. 496. νῦν ἀγχόνης μοι τέρματ', ἢ φάος βλέπειν E. 716. πάλιν γὰρ ἥξουσ' ἐκ σκότους τόδ' ἐς φάος Ath. 6. 4. ἔπειτα δ' εἰσὶ λαμπρὸν ἡλίου φάος Dan. 1. λαμπρὸν φάος ἄγαγες ἐν σκότῳ Fragm. Inc. 23. 10.

Φάραγξ. δῆσαι βίᾳ φάραγγι πρὸς δυσχειμέρῳ V. 15. τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις V. 142. σήμηνον ὅστις ἐν φάραγγί σ' ὤχμασε V. 621. φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ πατὴρ σπαράξει τήνδε V. 1019.

Φαρανδάκης P. 31. 319.

Φάρμακον. τὸ ποῖον εὑρὼν τῆσδε φάρμακον νόσου; V. 249. φαρμάκων χρείᾳ κατεσκέλλοντο V. 478. τί φάρμακον νόσου; V. 609. πάλαι τὸ σιγᾶν φάρμακον βλάβης ἔχω A. 534. ὡς δὲ φάρμακον τεύχουσα, κἀμοῦ μισθὸν ἐνθήσειν κότῳ ἐπεύχεται A. 1234. σεαυτὸν οὐκ ἔχεις εὑρεῖν ὁποίοις φαρμάκοις ἰάσιμος V. 473. ὅτῳ δεῖ φαρμάκων παιωνίων A. 822.

Φαρμάσσεσθαι. φαρμασσομένη χρίσματος ἁγνοῦ μαλακαῖς ἀδόλοισι παρηγορίαις A. 94.

Φαρνοῦχος. ποῦ δέ σοι Φαρνοῦχος; P. 923.

Φᾶρος. μαρτυρεῖ δέ μοι φᾶρος τόδ' C. 1006. ἐν δὲ τέρματι φᾶρος παρεσκήνωσε E. 604. ἐμοὶ γένοιτο φᾶρος ἴσον οὐρανῷ Fragm. Sal. 1. περιῤῥηγνυμένων φαρέων T. 311. τίς πόθ' ἥδ' ὁμήγυρις στείχει γυναικῶν φάρεσιν μελαγχίμοις πρέπουσα; C. 11.

Φάσγανον. θήγουσα φωτὶ φάσγανον A. 1235.

Φασγανοῦργος. προχαλκεύει δ' Αἶσα φασγανοῦργος C. 637.

Φάσις. μέγαν Ἀσίας τέρμονα Φᾶσιν Fragm. Pr. Sol. 1.

Φάσκειν. ἢ τοῦτο φάσκω τοὔπος, ὡς νόμος βροτοῖς ἔστ', ἀντιδοῦναι τοῖσι πέμπουσιν τάδε στέφη; C. 91. νόμῳ πόλεως φάσκοντες ἐγγύτατα γένους εἶναι S. 383. αὐτὸν δ' ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε τίσειν μ' ἔχοντα πολλὰ δυστερπῆ κακὰ C. 275.

Φάσμα. πόθῳ δ' ὑπερποντίας φάσμα δόξει δόμων ἀνάσσειν A. 404. δεξιὰ μὲν κατάμομφα δὲ φάσματα στρουθῶν A. 143. πότερα δ' ὀνείρων φάσματ' εὐπειθῆ σέβεις; A. 265.

Φάτις. ὡς μάλιστα καὶ φάτις πολλὴ κρατεῖ S. 290. παιδὶ καὶ δόμοις ἐμοῖσι τήνδ' ἐκύρωσας φάτιν P. 223. ἐπειδὴ τήνδ' ἐκύρωσεν φάτις ὑμῶν P. 513. οὐδ' ἀπεῖπε πατρόθεν εὐκταία φάτις T. 823. αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν A. 9. ἀλλ' ἦ σ' ἐπίανέν τις ἄπτερος φάτις; A. 267. βαρεῖα δ' ἀστῶν φάτις σὺν κότῳ A. 444. οὐδ' οἶδα τέρψιν, οὐδ' ἐπίψογον φάτιν ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφὰς A. 597. πότερα γὰρ αὐτοῦ ζῶντος ἢ τεθνηκότος φάτις πρὸς ἄλλων ναυτίλων ἐκλῄζετο; A. 618. ὡς πρὸς οἶκον ὠχετεύετο φάτις A. 842. ἀπὸ δὲ θεσφάτων τις ἀγαθὰ φάτις βροτοῖς στέλλεται A. 1103. καὶ μὴν ἄγαν γ' Ἕλλην' ἐπίσταμαι φάτιν A. 1227. ἀνὴρ ἀπ' ἀνδρὸς τὴν νεάγγελτον φάτιν ἐλθὼν πύθηται τήνδε C. 725. νέαν φάτιν δὲ πεύθομαι λέγειν τινας ξένους C. 826. καὶ δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος αὐδᾶται πολύστονος φάτις E. 358. ἦ καὶ Παλίκων εὐλόγως μένει φάτις; Ætn. 1.

Φάτνωμα Fragm. Thal. 1.

Φαύλως. ὑμεῖς δὲ φαύλως αὔτ' ἄγαν ἐκρίνατε P. 512.

Φάψ. φάβα μέσην τὰ πλευρὰ πρὸς πτύοις πεπληγμένην Fragm. Prot. 2.

Φέγγος. ἐπεὶ δὲ φέγγος ἡλίου κατέφθιτο P. 369. δεκάτῳ σε φέγγει τῷδ' ἀφικόμην ἔτους A. 490. τί γὰρ γυναικὶ τούτου φέγγος ἥδιον δρακεῖν; A. 587. ὦ φέγγος εὔφρον ἡμέρας δικηφόρου A. 1559. πυρός τε φέγγος ἄφθιτον C. 1033. καὶ τὸ φέγγος ὁρμάσθω πυρὸς E. 983. πέμψω δὲ φέγγη λαμπάδων σελασφόρων ἐς τοὺς ἔνερθε καὶ κάτω χθονὸς τόπους E. 976.

Φείδεσθαι. σπαρτῶν δ' ἀπ' ἀνδρῶν, ὧν Ἄρης ἐφείσατο, ῥίζωμ' ἀνεῖται T. 394.

Φελλός. φελλοὶ δ' ὣς ἄγουσι δίκτυον C. 499.

Φέρασπις. ἔγχη σταδαῖα, καὶ φεράσπιδες σάγαι P. 236. πολύανδροί τε φεράσπιδες κυναγοὶ A. 678.

Φερέγγυος. σθένος δὲ ποιεῖν εὖ φερέγγυον τὸ σὸν E. 87. ὧν ἐγὼ φερέγγυος Fragm. 103. τίς Προίτου πυλῶν, κλείθρων λυθέντων, προστατεῖν φερέγγυος; T. 378. φερέγγυον φρούρημα T. 431. καὶ τῷδε φωτὶ πέμπε τὸν φερέγγυον T. 452. πύλας φερεγγύοις ἐφραξάμεσθα μονομάχοισι προστάταις T. 779.

Φερέδρομος. φερέδρομος πύρος Thr. 1.

Φέρειν. τοῖς ἥσσοσιν γὰρ πᾶς τις εὐνοίας φέρει S. 484. σπεῦσαί τι τῶν δούλιος φέρει φρὴν S. 594. πᾶς δ' ἐν μετοίκῳ γλῶσσαν εὔτυκον φέρει κακὴν S. 972. καὶ φέρει σαφές τι πρᾶγος ἐσθλὸν ἢ κακὸν κλύειν P. 245. θεότρεπτα τάδ' αὖ φέρομεν πολέμοισι δμαθέντες P. 871. πευθώ τιν' ἡμῖν, ὦ φίλαι, νέαν φέρει T. 352. φέρει δ' ὑπ' αὐτῇ φῶτα Καδμείων ἕνα T. 525. γέροντα τὸν νοῦν, σάρκα δ' ἡβῶσαν φέρει T. 604. εἴπερ κακὸν φέρει τις αἰσχύνης ἄτερ T. 665. πρόπρυμνα δ' ἐκβολὰν φέρει ἀνδρῶν ἀλφηστῶν ὄλβος ἄγαν παχυνθεὶς T. 751. τοιάδε μέντοι σκῆψις οὐ δόλον φέρει A. 860. κακῶν γὰρ διαὶ πολυεπεῖς τέχναι θεσπιῳδὸν φόβον φέρουσι μαθεῖν A. 1106. φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων A. 1542. πρὸς οὕσπερ ἥκω καὶ φέρω καινοὺς λόγους C. 648. νύκτα, πρό τ' ὀμμάτων σκότον φέρει C. 804. φέρουσι γὰρ νικώμενον φρένες δύσαρκτοι C. 1019. τί γὰρ καλὸν ζῆν βίοτον ὃς λύπας φέρει; Fragm. Arm. Jud. 3. αὐτοσπόροι γύαι φέρουσι βίοτον ἄφθονον βροτοῖς Fragm. Pr. Sol. 7. ἁπλοῦς οἶμος εἰς Ἅιδου φέρει Fragm. Tel. 1. ὥστε διπλόοι λύκοι νέβρον φέρουσιν Fragm. Inc. 45. φέρ' ὡς τάχος κνημῖδας T. 657. μήτε σε θυμοπληθὴς δορίμαργος ἄτα φερέτω T. 669. φέρε γὰρ, σήμαιν', ὅτι σοι χρὴ συμπράττειν V. 294. φέρ' ὅπως ἄχαρις χάρις, ὦ φίλος, εἰπέ που τίς ἀλκά; V. 544. ἢ δυσπετῶς ἂν τοὺς ἐμοὺς ἄθλους φέροις V. 754. ὅταν δ' ἀπευκτα πήματ' ἄγγελος πόλει στυγνῷ προσώπῳ πτωσίμου στρατοῦ φέρῃ A. 625. ὅμως δ' ἀνάγκη πημονὰς βροτοῖς φέρειν P. 285. τὴν πεπρωμένην δὲ χρὴ αἶσαν φέρειν ὡς ῥᾷστα V. 104. εἰ δὲ μὴ τεταγμένα μοῖρα μοῖραν ἐκ θεῶν εἶργε μὴ πλέον φέρειν A. 998. χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν A. 1036. φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγὸν A. 1199. λέγουσα παρὰ φίλης φίλῳ φέρειν (χοὰς) C. 87. ὑμῖν δ' ἐπαινῶ γλῶσσαν εὔφημον φέρειν C. 574. καὶ κόσμος οὔτε πρὸς θεῶν ἀγάλματα φέρειν δίκαιος E. 55. ἤδη κελεύω τούσδ' ἀπὸ γνώμης φέρειν ψῆφον δικαίαν E. 644. ἐμοὶ πίθεσθε μὴ βαρυστόνως φέρειν E. 761. χοὰς φέρουσ' ἅπερ νεκροῖσι μειλικτήρια P. 602. ἥκω σαφῆ τἀκεῖθεν ἐκ στρατοῦ φέρων T. 40. ξυμβολεῖ φέρων φέροντι καὶ κενὸς κενὸν καλεῖ T. 334. σῆμ' ὑπέρκομπον φέρων T. 386. θηρὸς ἐχθίστου δάκους εἰκὼ φέροντα πολεμίας ἐπ' ἀσπίδος T. 541. τάφον γὰρ αὐτῷ καὶ κατασκαφὰς ἐγὼ, γυνή περ οὖσα, τῷδε μηχανήσομαι, κόλπῳ φέρουσα βυσσίνου πεπλώματος T. 1030. τοὺς φέροντας χεῖμα καὶ θέρος βροτοῖς, ἀστέρας A. 5. αὐγὴν πυρὸς φέρουσαν ἐκ Τροίας φάτιν A. 9. πάρεισιν δόξαι φέρουσαι χάριν ματαίαν A. 410. φῶς ἐν εὐφρόνῃ φέρων ἅπασι κοινὸν A. 508. οὐδὲν τόδ' ἀνδρὶ τῷδ' ἐναντίον φέρων A. 1388. τὸν αἰὲν φέρουσ' ἐν ἡμῖν μοῖρ' ἀτέλευτον ὕπνον A. 1424. χοὰς φέρουσαι νερτέροις μειλίγμασιν C. 15. πιστὸς δ' ἀδελφὸς ἦσθ' ἐμοὶ σέβας φέρων C. 241. εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας δεῖπνον φερούσας

E. 51. ἐν δὲ καρδίᾳ ψῆφον φέροντες, ὅρκον αἰδεῖσθε, ξένοι E. 649. σὺ δ' εὐπειθὴς ἐμοὶ γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα καρπὸν, φέροντα πάντα μὴ πράσσειν καλῶς E. 795. κἀγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας οἴσω πατρῴων ἐκ δόμων γαμηλίους C. 480. οὐδ' ὅρμος, οὐδὲ πεισμάτων σωτηρία ἐς γῆν ἐνεγκεῖν S. 747. ἐξ οὗ τέκνων ἤνεγχ' ὑπὸ ζώνην βάρος C. 986. ἔξω δὲ δρόμου φέρομαι V. 885. τυμπάνου δ' ἠχὼ, ὥσθ' ὑπογείου βροντῆς φέρεται βαρυταρβὴς Edon. 1. ἁγνῶν τ' ἐκ στομάτων φερέσθω φήμα φιλοφόρμιγξ S. 678. φίλων ἀλίδονα σώματα πολυβαφῆ λέγεις κατθανόντα φέρεσθαι πλαγκτοῖς ἐν διπλάκεσσιν P. 268. ἐκ γὰρ οἴκων πατρῴων δούλιον ἐσᾶγον αἶσαν, δίκαια καὶ μὴ δίκαια, πρέποντ' ἀρχαῖς βίου, βίᾳ φερομένων αἰνέσαι πικρὸν φρενῶν στύγος κρατούσῃ C. 78. ἀπὸ δὲ σοῦ βόσκαν φεροίμην πώματος δυσπότου E. 256. ὅπῃ μέλλει τις οἴσεσθαι δάκρυ πρὸς τῶν κλυόντων E. 641. πολλὰ γὰρ τὰ πρὶν κακὰ ἠνειχόμεσθα V. 878.

Φερέσβιος. στάχυν φερέσβιον Δήμητρος Fragm. Inc. 31. 7.

Φερεσσεύης. καὶ Φερεσσεύης τρίτος P. 304.

Φέρης. τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις, Μοίρας ἔπεισας ἀφθίτους εἶναι βροτοὺς E. 693.

Φέριστος. φέριστε Καδμείων ἄναξ T. 39.

Φέρμα. καρποτελεῖ δέ τοι Ζεὺς ἐπικραινέτω φέρματι γᾶν πανώρῳ S. 672. βοσκόμενοι λαγίναν ἐρικύμονα φέρματι γένναν A. 118.

Φερνή. ὡς ἐφ' ἑκάστῃ διεκλήρωσεν Δαναὸς θεραποντίδα φερνὴν S. 957.

Φέρτερος. ἢ τέξεταί γε παῖδα φέρτερον πατρὸς V. 770.

Φεῦ bis T. 125. 1045. V. 124. A. 1280. 1463. C. 390. φεῦ τῶν 'Αθηνῶν ὡς στένω μεμνημένος P. 277. τοί δ' ἄρα πρωτόμοροι, φεῦ, λειφθέντες πρὸς ἀνάγκαν, ἠὲ, ἀκτὰς ἀμφὶ Κυχρείας, ὀᾶ, ἔρρανται P. 560. conf. et 568. φεῦ μέγας τις ἦλθε δαίμων, ὥστε μὴ φρονεῖν καλῶς P. 711. φεῦ, ταχεῖά γ' ἦλθε χρησμῶν πρᾶξις P. 725. φεῦ τοῦ ξυναλλάσσοντος ὄρνιθος βροτοῖς δίκαιον ἄνδρα τοῖσι δυσσεβεστέροις T. 579. φεῦ, τίς ἂν ἐν τάχει—μόλοι τὸν αἰεὶ φέρουσ' ἐν ἡμῖν μοῖρ' ἀτέλευτον ὕπνον; A. 1423. οἷά τις ξουθὰ ἀκόρετος βοᾶς, φεῦ, ταλαίναις φρεσὶν Ἴτυν Ἴτυν στένουσ' ἀμφιθαλῆ κακοῖς ἀηδὼν βίον A. 1113. φεῦ, εἴθ' εἶχε φωνὴν εὔφρον' C. 193. φεῦ, ἰοὺ, ἰοὺ E. 778. ἐμὲ παθεῖν τάδε, φεῦ, ἐμὲ παλαιόφρονα κατὰ γᾶν οἰκεῖν ἀτίετον, φεῦ, μύσος. πνέω τοι μένος ἅπαντά τε κότον. οἶ, οἶ, δᾶ φεῦ E. 801.

Φεύγειν. Δίαν δὲ λιποῦσαι χθόνα σύγχορτον Συρίᾳ φεύγομεν S. 5. ἔνθεν 'Ιὼ οἴστρῳ ἐρεσσομένα φεύγει ἁμαρτίνοος S. 537. οὐδ' ἐν στέγῃ τις ἥμενος παρ' ἑστίᾳ φεύγει τι μᾶλλον τὸν πεπρωμένον μόρον Fragm. Inc. 28. 4. ὅμως δὲ φεῦγε E. 74. φεύγειν ἀνέδην διὰ κῦμ' ἅλιον S. 15. δεῖ τοι σὲ φεύγειν κατὰ νόμους τοὺς οἴκοθεν S. 385. ὡς μήτε φεύγειν μήτ' ἀμύνεσθαι μόρον A. 1354. πῶς γὰρ τὸ φεύγειν τοῦδ' ὑπερδικεῖς, ὅρα E. 622. ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν Φοίβου P. 201. οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους A. 1653. ἐκ δὲ χρημάτων φεύγων 'Ορέστης ἐστὶ C. 133. φεύγων τόδ' αἷμα κοινὸν C. 1034. ἀνὴρ δ' οἴχεται φεύγων πρόσω E. 117. τὸν πρὸ τοῦ φεύγων χρόνον E. 440. εἰ μόρον φευξοίαθ' Ἕλληνες κακὸν P. 361. τὰν Διὸς γὰρ οὐχ ὁρῶ μῆτιν ὅπα φύγοιμ' ἂν V. 908. οὐδὲ μὴ 'ν Αΐδου θανὼν φύγῃ μάταιον αἰτίας S. 226. ποῖ φύγωμεν 'Απίας χθονός; S. 758. λευστῆρα δήμου δ' οὔτι μὴ φύγῃ μόρον T. 181. οὐ γάρ τί μᾶλλον μὴ φύγῃς τὸ μόρσιμον T. 263. τόθεν οὐκ ἔστιν ὑπὲρ θνατὸν ἀλύξαντα φυγεῖν P. 101. κἀγώ, πάτερ, τοιάνδε σου χρείαν ἔχω, φυγεῖν, μέγαν προσθεῖσαν Αἰγίσθῳ μόρον C. 475. ἐς πρώραν φυγὼν πρύμνηθεν T. 190. οὔτε νιν φυγόντα μητρόθεν σκότον Δίκη προσεῖπε T. 646. φυγοῦσα συγγενῆ γάμον ἀνεψιῶν V. 857. ὑπό τε γᾶν φυγὼν οὔ ποτ' ἐλευθεροῦται E. 167. ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας. Τὰς τοῦ πατρὸς δὲ πῶς φύγω, παρεὶς τάδε; C. 912. ἤκουσα, καὶ λέγοις ἂν, οὔ με φεύξεται S. 451. ναῶν αἳ πεφεύγασιν μόρον, ποῦ τάσδ' ἔλειπες; P. 470. πόλις πέφευγεν ἤδη δούλειον ζυγὸν T. 775. πῶς φής;

πέφευγε τοὔπος ἐξ ἀπιστίας A. 259. Αΐδην πόντιον πεφευγότες A. 653.

Φεύζειν. φεῦ, φεῦ. Τί τοῦτ' ἔφευξας; εἴ τι μὴ φρενῶν στύγος A. 1281.

Φεψαλοῦν. ἐφεψαλώθη κἀξεβροντήθη δέμας V. 362.

Φηλοῦν. τερπνὸν τόδ' ἐλθὸν φῶς ἐφήλωσεν φρένας A. 478.

Φήμη. ἁγνῶν τ' ἐκ στομάτων φερέσθω φῆμα φιλοφόρμιγξ S. 678. ἀλλ' ἔστι φήμη τοὺς λύκους κρείσσους κυνῶν εἶναι S. 741. ἡμᾶς δὲ δίκη πρότερον φήμης τὸν δυσκέλαδόν θ' ὕμνον Ἐρινύος ἰαχεῖν T. 849. φήμη γε μέντοι δημόθρους μέγα σθένει A. 912. δόμοισι τοῖσδε παγκακῶς ἔχει φήμης ὑφ' ἧς ἤγγειλαν οἱ ξένοι τορῶς C. 730. ἀλλ' εὖ τ' ἔπραξας, μήτ' ἐπιζευχθῇς στόμα φήμαις πονηραῖς C. 1031.

Φημί. κληδοῦχον Ἥρας φασὶ δωμάτων ποτὲ Ἰὼ γενέσθαι τῇδ' ἐν Ἀργείᾳ χθονὶ S. 288. φασὶν πρέποντα βουθόρῳ ταύρῳ δέμας S. 297. τί φῂς ἱκνεῖσθαι τῶνδ' ἀγωνίων θεῶν; S. 328. ὅνπερ φῂς ἰδεῖν κατ' εὐφρόνην P. 217. ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός; P. 227. τίν' αὖ φῂς τήνδε συμφορὰν στρατῷ ἐλθεῖν; P. 431. ποίῳ μόρῳ δὲ τούσδε φῂς ὀλωλέναι; P. 438. ὡς ὁ μάντις φησὶν T. 24. θεοῦ τε γὰρ θέλοντος ἐκπέρσαι πόλιν καὶ μὴ θέλοντος φησὶν T. 409. Δίκη δ' ἄρ' εἶναί φησιν, ὡς τὰ γράμματα λέγει T. 628. καίτοι τί φημι; V. 101. νόσημα γὰρ αἴσχιστον εἶναί φημι συνθέτους λόγους V. 689. καὶ φημὶ ταῦτα, καὶ συνήγορόν μ' ἔχεις A. 805. καὶ παῖδα γάρ τοι φασὶν Ἀλκμήνης ποτὲ πραθέντα τλῆναι A. 1010. ἐκ τῶνδε ποινάς φημι βουλεύειν τινὰ A. 1196. Ἀγαμέμνονός σέ φημ' ἐπόψεσθαι μόρον A. 1219. οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα δημορριφεῖς, σάφ' ἴσθι, λευσίμους ἀρὰς A. 1598. τί φῄς; C. 767. κτανεῖν τέ φημι μητέρ' οὐκ ἄνευ δίκης C. 1023. οὔ φημ' Ὀρέστην σ' ἐνδίκως ἀνδρηλατεῖν E. 212. τὸν ἀντίτολμον δὲ φημὶ παρβάταν κ. τ. λ. E. 523. φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄχη A. 1560. πῶς φῶ πρὸς τίνος τ' ἀφαιρεθεὶς ἥκειν γυναικῶν αὐτανέψιον στόλον; S. 910. τί φῶ; T. 833. τίνα φῶ λεύσσειν; V. 560. οὐκ ἔχω τί φῶ C. 89. οὐκ ἔφα τις θεοὺς βροτῶν ἀξιοῦσθαι μέλειν A. 360. σὺ δ' ἄνδρα τόνδ' ἔφης ἑκὼν κατακτανεῖν A. 1596. χρυσόν τε τίς φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ; V. 501. δέομαι μὲν χαρίσασθαι, δέομαι δ' ἀντία φάσθαι P. 687. τί σοι φάμενος ἢ τί ῥέξας τύχοιμ' ἀνέκαθεν οὐρίσας; C. 314.

Φημίζειν. θανόντες, ᾗ καὶ Λοξίας ἐφήμισεν C. 551. μακρὸν δὲ πῆμα ξυντόμως ἐφημίσω A. 615. τί τόδε τορὸν ἄγαν ἔπος ἐφημίσω; A. 1134. ἑπόμενα προτέροισι τάδ' ἐφημίσω A. 1145.

Φθάνειν. δέδοικα μὴ πολὺς πλούτου πόνος ὁυμὸς ἀνθρώποις γένηται τοῦ φθάσαντος ἁρπαγὴ P. 738.

Φθέγγεσθαι. φθέγγου χέουσα σεμνὰ τοῖσιν εὔφροσιν C. 108. πολλοὺς δ' ὀδυρμοὺς καὶ γόους ἀνωφελεῖς φθέγξῃ V. 34.

Φθέγμα. κλύεις φθέγμα τᾶς βούκερω παρθένου; V. 590.

Φθείρειν. φθείροντε τὸν δύστηνον Ἀργείων στρατὸν (πῦρ καὶ θαλάσσα) A. 638. πολλὴ γὰρ αἰδὼς σωματοφθορεῖν ποσὶν φθείροντα πλοῦτον ἀργυρωνήτους θ' ὑφὰς A. 923. φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος C. 1008. ὥστε Δαρείου πολύν τε καὶ καλὸν φθεῖραι στρατὸν P. 240. πλήθουσι νεκρῶν δυσπότμως ἐφθαρμένων Σαλαμῖνος ἀκταὶ P. 264. ὡς πάντα παγκάκως ἔθεσαν αἶ αἶ, στρατοῦ φθαρέντος P. 275. ὅταν νεῶν φθαρέντες ἐχθροὶ νῆσον ἐκσωζοίατο P. 444.

Φθίνασμα. τῆλε πρὸς δυσμαῖς ἄνακτος Ἰλίου φθινασμάτων P. 228.

Φθίνειν. ἀστέρες, ὅταν φθίνωσιν A. 7. παρὰ νόμον θεῶν βρότεα μὲν τίων παλαιγενεῖς δὲ Μοίρας φθίσας E. 183. πρὸς φίλου γ' ἔφθισο T. 954. ἔφθιθ' οὗτος οὐ καλῶς, μολὼν ἐς οἶκον E. 436. ὕμνοις αἰτησόμεθα φθιμένων πομποὺς εὔφρονας εἶναι κατὰ γαῖαν P. 618. τὸν φθιμένον γὰρ προλέγω βελτίω τῶνδε πράσσειν P. 318. χθόνα ναίειν διαπήλας, ὁπόσαν καὶ φθιμένοισι κατέχειν P. 714. οὐδὲ τὸν ὀρθοδαῆ τῶν φθιμένων ἀνάγειν Ζεὺς ἂν αὔτ' ἔπαυσεν ἐπ' ἀβλαβείᾳ A.

993. ὑπὸ Τροίας τείχεσσι φθιμένος C. 359. βοᾷ γὰρ λοιγὸν Ἐριννὺς παρὰ τῶν προτέρων φθιμένων ἄτην ἑτέραν ἐπάγουσαν ἐπ' ἄτῃ C. 397. ἴδετε πολυκρατεῖς ἀραὶ φθιμένων C. 400.

Φθιτός. δεύτερον δὲ χρὴ χοὰς γῇ τε καὶ φθιτοῖς χέασθαι P. 216. ἔπειτα γῇ τε καὶ φθιτοῖς δωρήματα ἥξω λαβοῦσα P. 515. ὄνειδος ἐν νεκροῖσιν οὐκ ἐκλείπεται E. 97.

Φθιώτης. Φθιῶτ' Ἀχιλλεῦ Myrm. 4. 1.

Φθογγή. φθογγῇ δ' ἐπέσθω S. 194. οἶκος δ' αὐτὸς, εἰ φθογγὴν λάβοι, σαφέστατ' ἂν λέξειεν A. 37. καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα φθογγὰς ἀκούειν ἐστὶ συμφορᾶς διπλῆς A. 315. ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ A. 1613.

Φθόγγος. εἰ μὴ παρόντι φθόγγος ἦν ὁ σημανῶν S. 242. Ἑλλάδος πόλιν φθόγγον χέουσαν T. 73. στόματός τε καλλιπρώρου φυλακὰν κατασχεῖν φθόγγον ἀραῖον οἴκοις A. 228.

Φθονερός. φθονερὸν δ' ὑπ' ἄλγος ἕρπει προδίκοις Ἀτρείδαις A. 437.

Φθονεῖν. οὔ τι φθονῶ σοι δαιμόνων τιμᾶν γένος T. 218. κόμπαζ' ἐπ' ἄλλῳ, μηδέ μοι φθόνει λέγων T. 462. μηδέ μοι φθονήσῃς εὐγμάτων, ἄναξ V. 585.

Φθόνος. οὐ ξυνεὶς δόλον Ἕλληνος ἀνδρὸς, οὐδὲ τῶν θεῶν φθόνον P. 354. φθόνος μὲν οὐδεὶς, σὰς δ' ὀκνῶ θράξαι φρένας V. 631. φθόνον δὲ σωμάτων ἕξει θεὸς V. 861. κλύοιμ' ἂν εὔφρων, οὐδὲ σιγώσῃ φθόνος A. 254. φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν A. 807. φθόνος δ' ἀπέστω A. 878. θεῶν μή τις πρόσωθεν ὄμματος βάλοι φθόνος A. 921. σκηνὰς ὅτ' ἦλθον Θησέως κατὰ φθόνον στρατηλατοῦσαι E. 656.

Φθορά. ἄγουσ' ἀντίφερνον Ἰλίῳ φθορὰν A. 394. ἀνδροθνῆτες Ἰλίου φθοραὶ A. 788.

Φθόρος. οὐκ ἐς φθόρον σιγῶσ' ἀνασχήσῃ τάδε; T. 234. ἴτ' ἐς φθόρον πεσόντ' A. 1240.

Φιλαιακτός. τὸ γὰρ θανεῖν ἐλευθεροῦται φιλαιακτῶν κακῶν S. 784.

Φιλαίματος. Ἄρην, Ἐνυὼ, καὶ φιλαίματον φόβον ὡρκωμότησαν T. 45.

Φιλαίτιος. κατ' ἀρχῆς γὰρ φιλαίτιος λεὼς S. 480.

Φίλανδρος. στένουσι πύργοι, στένει πέδον φίλανδρον T. 883.

Φιλάνθρωπος. ὡς ἂν διδαχθῇ τὴν Διὸς τυραννίδα στέργειν, φιλανθρώπου δὲ παύεσθαι τρόπου V. 11. τοιαῦτ' ἀπηύρω τοῦ φιλανθρώπου τρόπου V. 28.

Φιλάνωρ. πόθος φιλάνωρ P. 133. ἰὼ λέχος καὶ στίβοι φιλάνορες A. 399. οὐκ αἰσχυνοῦμαι τοὺς φιλάνορας τρόπους λέξαι A. 830.

Φιλεῖν. φιλεῖ ὠδῖνα τίκτειν νὺξ κυβερνήτῃ σοφῷ S. 750. ὅταν κλύδων κακῶν ἐπέλθῃ, πάντα δειμαίνειν φιλεῖ P. 592. αἰσχρῶν γὰρ ἀργὸς, μὴ κακὸς δ' εἶναι φιλεῖ T. 393. φιλεῖ δὲ σιγᾶν ἢ λέγειν τὰ καίρια T. 601. μάστιγα, τὴν Ἄρης φιλεῖ A. 628. φιλεῖ δὲ τίκτειν ὕβρις μὲν παλαιὰ νεάζουσαν ἐν κακοῖς βροτῶν ὕβριν A. 741. φιλεῖς τὸν ἄνδρα; τοίγαρ ἐν ταυτῷ τάφῳ κείσῃ C. 881. ἐπεὶ φιλεῖς τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν, στυγεῖς C. 893. ἀλλ' Ἄρης φιλεῖ γ' ἀεὶ τὰ λῷστα πάντ' ἀμᾶν στρατοῦ Eur. 1. καὶ μὴν φιλῶ γὰρ, ἀβδέλυκτ' ἐμοὶ τάδε Myrm. 3. φιλεῖ δὲ τῷ κάμνοντι συσπεύδειν θεὸς Fragm. Inc. 16. Ἰφιγένεια θυγάτηρ περὶ χεῖρε βαλοῦσα φιλήσει A. 1540.

Φίλημα. ὦ δυσχάριστε τῶν πυκνῶν φιλημάτων Myrm. 8.

Φιλήνιος. ὑφ' ἅρματ' ἤγαγον φιληνίους ἵππους V. 463.

Φιλήτης. τοιοῦτον ἂν κτήσαιτο φιλήτης ἀνὴρ ξένων ἀπαιόλημα C. 996.

Φιλήτωρ. κεῖται φιλήτωρ τοῦδε A. 1421.

Φιλία. οὐκ ἐπὶ φιλίᾳ, ἀλλ' ἐπὶ φόνῳ διεκρίθητε T. 866.

Φίλιος. γένος φιλίας προγόνου γυναικὸς S. 528. μηδὲν φοβηθῇς, φιλία γὰρ ἥδε τάξις V. 128. ὦ Ζεῦ βασιλεῦ, καὶ νὺξ φιλία A. 346. φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω; A. 1470. φίλιαι δμωΐδες οἴκων C. 708. ὄμματα φίλια C. 798.

Φιλογαθής. δαϊκτὴρ γόος, αὐτόστονος, αὐτοπήμων, δαϊόφρων οὐ φιλογαθὴς T. 901.

Φιλόδυρτος. τὼς καὶ ἐγὼ φιλόδυρτος

Ἰαονίοισι νόμοισι δάπτω τὰν ἁπαλὰν νειλοθερῆ παρειὰν S. 66.

Φιλόθυτος. φιλοθύτων δέ τοι πόλεος ὀργίων μνήστορες ἔστε μοι T. 162.

Φίλοικτος. ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει φιλοίκτῳ A. 232.

Φιλόμαστος. πάντων ἀγρονόμων φιλομάστοις θηρῶν ὀβρικάλοισι A. 140. ἔθρεψεν δὲ λέοντα σίνιν δόμοις ἀγάλακτον οὕτως ἀνὴρ φιλόμαστον A. 701.

Φιλόμαχος. ὦ Διογενὲς, φιλόμαχον κράτος, ῥυσίπτολις γενοῦ, Παλλὰς T. 121. λιτὰς δὲ καὶ κληδόνας πατρῴους παρ' οὐδὲν αἰῶνα παρθένειόν τ' ἔθεντο φιλόμαχοι βραβῆς A. 222.

Φιλόξενος. ἤκουσα τοὖπος οὐδαμῶς φιλόξενον S. 904. εἴπερ φιλόξεν' ἐστὶ (δώματα) C. 645. ἔπειτα δ' ἥξεις δῆμον ἐνδικώτατον Σκυθῶν ἁπάντων, καὶ φιλοξενώτατον Fragm. 7.

Φιλόπολις. ἰὼ φίλοι δαίμονες λυτήριοι ἀμφιβάντες πόλιν, δείξαθ' ὡς φιλοπόλις T. 159.

Φίλορνις. ἔνθα Κωρυκὶς πέτρα κοίλη φίλορνις E. 23.

Φίλος. γόεδνα δ' ἀνθεμίζομαι δειμαίνουσα φίλους τᾶσδε φυγᾶς ἀερίας ἀπὸ γᾶς S. 71. τίς δ' ἂν φίλους ὠνοῖτο τοὺς κεκτημένους; S. 332. καὶ δὴ φίλον τις ἔκταν' ἀγνοίας ὕπο S. 494. εὐχὰς μὲν αἰνῶ τάσδε σώφρονας, φίλαι S. 691. φίλαι δμωΐδες S. 955. τὰ πρὸς τοὺς ἐκτενεῖς φίλους πραχθέντα S. 962. φόβῳ δ' ἄφθογγος ἐστάθην, φίλοι P. 202. τά τ' ἀγάθ' ἐκτελῆ γενέσθαι σοί τε καὶ τέκνοις σέθεν, καὶ πόλει, φίλοις τε πᾶσιν P. 215. πάντα θήσομεν θεοῖσι, τοῖς τ' ἔνερθε γῆς φίλοις P. 225. ὦ φίλοι, ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονὸς P. 227. φίλων ἀλίδονα σώματα λέγεις φέρεσθαι P. 267. οἳ ἐγὼ τάλαινα συμφορᾶς κακῆς, φίλοι P. 437. φίλους ἵν' ἐκσώζοιεν ἐναλίων πόρων P. 445. φίλοι P. 590. ὦ φίλοι, χοαῖσι ταῖσδε νερτέρων ὕμνους ἐπευφημεῖτε P. 611. ὦ πολύκλαυτε φίλοισι θανὼν P. 660. λέξας δύσλεκτα φίλοισιν P. 688. νῦν κακῶν ἔοικε πηγὴ πᾶσιν εὑρῆσθαι φίλοις P. 729. ἄρξας ἔθηκε πᾶσιν εἰρήνην φίλοις P. 755. ποῦ δὲ φίλων ἄλλος ὄχλος; P. 917. γυμνός εἰμι προπομπῶν φίλων ἄταισι ποντίαισι P. 994. σίγησον, ὦ τάλαινα, μὴ φίλους φόβει T. 244. θάρσος φίλοις T. 252. πευθώ τιν' ἡμῖν, ὦ φίλαι, νέαν φέρει T. 352. τρέμω δ' αἱματηφόρους μόρους ὑπὲρ φίλων ὀλομένων ἰδέσθαι T. 402. κρατηθεὶς ἐκ φίλων ἀβουλίαις T. 732. ἀλλὰ γόων, ὦ φίλαι, κατ' οὖρον ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν πίτυλον T. 836. φίλων ἄπιστοι T. 857. διαλλακτῆρι δ' οὐκ ἀμεμφία φίλοις T. 892. ἄτιμον εἶναι δ' ἐκφορᾶς φίλων ὕπο T. 1015. ἔνεστι γάρ πως τοῦτο τῇ τυραννίδι νόσημα τοῖς φίλοισι μὴ πεποιθέναι V. 225. καὶ μὴν φίλοις ἐλεεινὸς εἰσορᾶν ἐγὼ V. 246. οὐ γάρ ποτ' ἐρεῖς, ὡς Ὠκεανοῦ φίλος ἐστὶ βεβαιότερός σοι V. 297. τὸν Διὸς φίλον V. 304. ὦ φίλος, εἰπὲ ποῦ τις ἀλκὰ V. 545. ὥσπερ δίκαιον πρὸς φίλους οἴγειν στόμα V. 614. οὐκ ἔσθ' ὅπως λέξαιμι τὰ ψευδῆ καλὰ ἐς τὸν πολὺν φίλοισι καρποῦσθαι χρόνον A. 607. παύροις γὰρ ἀνδρῶν ἐστὶ συγγενὲς τόδε, φίλον τὸν εὐτυχοῦντ' ἄνευ φθόνου σέβειν A. 807. κακὸν ἄφερτον φίλοισι A. 1074. ἰὼ γάμοι Πάριδος ὀλέθριοι φίλων A. 1128. παῖδες θανόντες ὡσπερεὶ πρὸς τῶν φίλων A. 1193. ἀσπονδόν τ' Ἄρην φίλοις πνέουσα A. 1209. καταγελωμένη μέγα φίλων A. 1244. ἄτας τάσδε θριγκώσων φίλοις A. 1256. ἐχθροὶ, φίλοι δοκοῦντες εἶναι A. 1347. τῆσδ' ἔστε βουλῆς, ὦ φίλαι, μεταίτιοι C. 98. τίνας δὲ τούτους τῶν φίλων προσεννέπω; C. 108. ἐποίκτειρόν τ' ἐμὲ, φίλον τ' Ὀρέστην C. 128. μὴ μάτευ' ἐμοῦ μᾶλλον φίλον C. 217. φίλος φίλοισι τοῖς ἐκεῖ καλῶς θανοῦσι κατὰ χθονὸς ἐμπρέπων C. 349. σέ τοι λέγω, ξυγγενοῦ, πάτερ, φίλοις C. 469. δίκην ἴαλλε σύμμαχον φίλοις C. 490. τἄλλα δ' ἐξηγοῦ φίλοις C. 545. εἴτ' οὖν κομίζειν δόξα νικήσει φίλων C. 672. φίλων ἀποψιλοῖς με τὰν παναθλίαν C. 684. τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις C. 695. οὐκ ἧσσον ἂν γένοιο δώμασιν φίλος C. 697. οὐ σπανίζοντες φίλων C. 706. ἄτα δ' ἀποστατεῖ φίλων C. 813. τοῖς ὑπὸ χθονὸς φίλοισι, τοῖς τ' ἄνωθεν, προπράσσων χάριτος ὀργὰς λυπρὰς C. 820. ἕως δ' ἔτ' ἔμφρων εἰμὶ, κηρύσσω φίλοις C.

1022. *φίλοις γάρ εἰσιν οὐκ ἐμοῖς προσίκτορες* E. 118. *ἐπάθομεν, φίλαι* E. 138. *φίλοις ἀρήγων* E. 285. *ὅταν Ἄρης, τιθασὸς ὤν, φίλον ἕλῃ* E. 336. *ἐκ δ' ὑγιείας φρενῶν ὁ πᾶσιν φίλος καὶ πολύευκτος ὄλβος* E. 508. *τοίγαρ κατὰ χθόν' οὖσ' ἐπικτήσῃ φίλους* E. 861. *παρθένου φίλας φίλοι* E. 952. *ὅστις μὴ φίλος τῷδ' ἀνδρὶ* Fragm. 305. *μὴ φίλοις ὁρῶν ὄμμασιν* S. 794. *σὺν φίλοις ὀπάοσι* S. 932. *μετάκοινοι δὲ φίλᾳ ματρὶ πάρεισι* S. 1022. *Σουσίδαις φίλος ἄκτωρ* P. 549. *ἦ φίλος ἀνὴρ, φίλος ὄχθος, φίλα γὰρ κέκευθεν ἤθη* P. 639. *ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ' ἦν χρέος* P. 763. *φίλον πίασμα Βοιωτῶν χθονὶ* P. 792. *ὦ γεραιὰ μῆτερ ἡ Ξέρξου φίλη* P. 818. *Ἄρτεμι φίλα* T. 135. 139. *ὦ φίλ' Ἄπολλον* T. 144. *ἰὼ φίλοι δαίμονες* T. 157. *μήτ' ἐν κακοῖσι, μήτ' ἐν εὐεστοῖ φίλῃ ξύνοικος εἴην τῷ γυναικείῳ γένει* T. 164. *ὦ φίλον Οἰδίπου τέκος* T. 185. *φίλου γὰρ ἐχθρά μοι πατρὸς τέλει' ἀρὰ ξηροῖς ἀκλαύστοις ὄμμασιν προσιζάνει* T. 678. *διατομαῖς οὐ φίλαις* T. 917. *γῆς φίλαις κατασκαφαῖς θάπτειν* T. 999. *τί χρὴ δρῶντ' ἢ λέγοντα δαίμοσιν πράττειν φίλα* V. 663. *ἰὼ μέλαθρα βασιλέων, φίλαι στέγαι* A. 504. *Ἑρμῆν φίλον κήρυκα* A. 501. *τῆσδε γῆς φίλον κράτος* A. 605. *ἐμοὶ φίλον κάρα* A. 879. *βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ* A. 903. *οὐ τὸ πᾶν ἔχων ἐλπίδος φίλον θράσος* A. 966. *εἶα δὴ φίλοι λοχῖται, τοὔργον οὐχ ἑκὰς τόδε* A. 1634. *αὐτὸν δ' ἔφασκε τῇ φίλῃ ψυχῇ τάδε τίσειν μ' ἔχοντα πολλὰ δυστερπῆ κακὰ* C. 274. *ἀντὶ δὲ θρήνων ἐπιτυμβιδίων παίων μελάθροις ἐν βασιλείοις νεοκρᾶτα φίλον κομίσειεν* C. 340. *πέπαλται δ' αὖτέ μοι φίλον κέαρ* C. 404. *θρόμβῳ δ' ἔμιξεν αἵματος φίλον γάλα* C. 549. *φῶτ' ἀπώλεσεν φίλον* C. 607. *φίλον Ὀρέστην, τῆς ἐμῆς ψυχῆς τριβὴν* C. 738. *ἴσθι δ' ἀνδρὸς φίλου πῶλον εὖνιν ζυγέντ' ἐν ἅρματι πημάτων* C. 783. *φίλον τέως, νῦν δ' ἐχθρὸν, ὡς φαίνει, κακὸν* C. 987. *τοκέες φίλοι* E. 261. *ὅθεν περ Ἕκτωρ ἄλοχον ἤγαγεν φίλην* Phryg. 252. 2. *ὦ χαῖρε, πρέσβυ, φίλτατ' ἀγγέλλων ἐμοὶ* S. 597. *ποθοῦσα φιλτάτην ἥβην χθονὸς* P. 504. *οὐ γὰρ τὰ φίλτατ' ἐν κακοῖς προδώσομεν* P. 837. *γῇ μητρὶ, φιλτάτῃ τροφῷ* T. 15. *φίλτατ' ἀνδρῶν, Οἰδίπου τόκος* T. 659. *ἀποιμώζουσι φιλτάτων μόρον* A. 320. *φιλτάτου τάφου μέρος* A. 494. *ἔθυσεν αὐτοῦ παῖδα, φιλτάτην ἐμοὶ ὠδῖνα* A. 1391. *ὦ φίλτατ' ἀνδρῶν* A. 1639. *φίλτατος βροτῶν Ὀρέστης* C. 191. *τοὺς φιλτάτους γὰρ οἶδα νῷν ὄντας πικροὺς* C. 232. *ὦ φίλτατον μέλημα δώμασιν πατρὸς* C. 233. *ἆρ' ὀρθὸν αἴρεις φίλτατον τὸ σὸν κάρα;* C. 488. *τέθνηκας, φίλτατ', Αἰγίσθου βία* C. 880. *φίλτατ' ἀνθρώπων πατρὶ* C. 1047. *δεινὰ πρὸς τῶν φιλτάτων παθοῦσα* E. 100. *ὅθεν βροτοῖσι γίνεται τὰ φίλτατα* E. 207. *ἔκτεινα τὴν τεκοῦσαν, οὐκ ἀρνήσομαι, ἀντικτόνοις ποιναῖσι φιλτάτου πατρὸς* E. 442. *ἀπεύχῃ μητρὸς αἷμα φίλτατον* E. 578. *ἐχθροῦ πατρός μοι τοῦτο φίλτατον τέκνον* Prom. Sol. 10.

Φιλόσπονδος. *οὐ φιλοσπόνδου λιβὸς— μετασχεῖν* C. 290.

Φιλοστόνως. *τοιαῦτ' ἐπεύχου μὴ φιλοστόνως θεοῖς* T. 261.

Φιλότης. *διὰ τὴν λίαν φιλότητα βροτῶν* V. 123. *εἰς ἀρθμὸν ἐμοὶ καὶ φιλότητα σπεύδων σπεύδοντί ποθ' ἥξει* V. 191. *ὅστις δ' ἀγαθὸς προβατογνώμων, οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς, τὰ δοκοῦντ' εὔφρονος ἐκ διανοίας ὑδαρεῖ σαίνειν φιλότητι* A. 771.

Φιλότιμος. *ἐκ στομάτων ποτάσθω φιλότιμος εὐχὰ* S. 644. *βᾶτε δόμῳ μεγάλοι φιλότιμοι νυκτὸς παῖδες* E. 986.

Φιλοφόρμιγξ. *ἀγνῶν τ' ἐκ στομάτων φερέσθω φῆμα φιλοφόρμιγξ* S. 678.

Φιλόφρων. *φιλόφρων γὰρ σαίνουσα τὸ πρῶτον, παράγει βροτὸν εἰς ἀρκύστατα* P. 97.

Φιλόχορος. *νῆσος, ἣν ὁ φιλόχορος Πὰν ἐμβατεύει, ποντίας ἀκτῆς ἔπι* P. 440.

Φίλτρον. *καὶ φίλτρα τόλμης τῆσδε πλειστηρίζομαι τὸν πυθόμαντιν Λοξίαν* C. 1025.

Φίλως. *ἀγνὰ δ' ἀταύρωτος αὐδᾷ πατρὸς φίλου τριτόσπονδον εὔποτμον αἰῶνα φίλως ἐτίμα* A. 238. *διχοστατοῦντ' ἂν οὐ φίλως προσεννέποις* A.

314. τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοὶ ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐρινύων A. 1563. προθύμως μᾶλλον ἢ φίλως A. 1573.

Φιμός. φιμοὶ δὲ συρίζουσι βάρβαρον τρόπον T. 445. ὃς εἶχε πώλους τέτταρας ζυγηφόρους φιμοῖσιν αὐλωτοῖσιν ἐστομωμένας Fragm. I. 73.

Φινεύς. εἶδόν ποτ' ἤδη Φινέως γεγραμμένας δεῖπνον φερούσας E. 50.

Φιτεύειν. καὶ Ζεὺς γ' ἐφάπτωρ χειρὶ φιτεύει γόνον S. 308. ἀϊστώσας γένος τὸ πᾶν, ἔχρῃζεν ἄλλο φιτῦσαι νέον V. 233.

Φίτυμα. μητροκτόνον φίτυμα, ποινάτωρ πατρὸς A. 1254.

Φιτυποίμην. στέργω γάρ, ἀνδρὸς φιτυποίμενος δίκην, τὸ τῶν δικαίων τῶνδ' ἀπενθήτων γένος E. 871.

Φλάζειν. λινοφθόροι δ' ὑφασμάτων λακίδες ἔφλαδον ὑπ' ἄλγεσι C. 28.

Φλαῦρος. εἴ τι φλαῦρον εἶδες, αἴτει τῶνδ' ἀποτροπὴν τελεῖν P. 213.

Φλεγέθειν. πάντα τοι φλεγέθει κἂν σκότῳ S. 82.

Φλέγειν. φλέγει δὲ λαμπὰς διὰ χερῶν ὠπλισμένη T. 415. πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυρρόθους λόγους ἱκέσθαι καὶ φλέγειν χρείας ὕπο T. 267. καὶ γεραροῖσι πρεσβυτοδόκοι γεμόντων θυμέλαι, φλεγόντων θ' ὡς πόλις εὖ νέμοιτο S. 654. πυρὶ φλέξον, ἢ χθονὶ κάλυψον V. 583. εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα λήξῃ P. 356. φλέγων παρ' αὐγαῖς λάμπρὸς ἡλίου κύκλος P. 496. σιδηρόφρων γὰρ θυμὸς ἀνδρείᾳ φλέγων ἔπνει T. 52. ἔχει δ' ὑπέρφρον σῆμ' ἐπ' ἀσπίδος τόδε, φλέγονθ' ὑπ' ἄστροις οὐρανὸν τετυγμένον T. 370. Ὑπερβίῳ δὲ Ζεὺς πατὴρ ἐπ' ἀσπίδι σταδαῖος ἧσται, διὰ χερὸς βέλος φλέγων T. 495.

Φλεγραῖος. Φλεγραίαν πλάκα, θρασὺς ταγοῦχος ὡς ἀνὴρ, ἐπισκοπεῖ E. 285.

Φλέδων. ἢ ψευδόμαντίς εἰμι θυροκόπος φλέδων; A. 1168.

Φλεῖν. πέφανται δ' ἐγγόνους ἀτολμήτων Ἄρη πνεόντων μεῖζον ἢ δικαίως, φλεόντων δωμάτων ὑπέρφευ ὑπὲρ τὸ βέλτιστον A. 367. μήλων φλεόντων εὐπόκοις νομεύμασιν A. 1390.

Φλέψ. σοὶ δ' οὐκ ἔνεστι κίκις, οὐδ' αἱμόρρυτοι φλέβες Sisyph. 5.

Φλογμός. δενδροπήμων δὲ μὴ πνέοι βλάβα, τὰν ἐμὰν χάριν λέγω, φλογμός τ' ὀμματοστερὴς φυτῶν E. 900.

Φλογωπός. καὶ νῦν φλογωπὸν πῦρ ἔχουσ' ἐφήμεροι V. 253. δυστέκμαρτόν ἐς τέχνην ὥδωσα θνητοὺς, καὶ φλογωπὰ σήματα ἐξωμμάτωσα V. 496.

Φλογώψ. πρὸς ἀντολὰς φλογῶπας ἡλιοστιβεῖς V. 793.

Φλοῖσβος. πόντου περῶσα φλοῖσβον V. 794.

Φλόξ. φλέγων γὰρ αὐγαῖς λαμπρὸς ἡλίου κύκλος, μέσον πόρον διῆκε, θερμαίνων φλογὶ P. 497. σταθευτὸς ἡλίου φοίβῃ φλογὶ V. 22. Ζηνὸς ἄγρυπνον βέλος, καταιβάτης κεραυνὸς ἐκπνέων φλόγα V. 359. ὃς δὴ κεραυνοῦ κρείσσον' εὑρήσει φλόγα V. 924. πρὸς ταῦτα ῥιπτέσθω μὲν αἰθαλοῦσα φλὸξ V. 994. φάραγγα βροντῇ καὶ κεραυνίᾳ φλογὶ πατὴρ σπαράξει τήνδε V. 1019. φλογὸς μέγαν πώγωνα A. 297. φλογὸς παραγγέλμασιν νέοις πυρωθεὶς καρδίαν A. 467. δαίων φλόγα ὕλης ὀρείας, σημανεῖ καπνῷ πυρὸς A. 482. εὐφημοῦντες ἐν θεῶν ἕδραις θυήφαγον κοιμῶντες εὐώδη φλόγα A. 583. οὓς ἴδοιμ' ἐγὼ ποτε θανόντας ἐν κηκῖδι πισσήρει φλογὸς C. 266. πυρωπὸν μηνὸς ἐκλάμψαι φλόγα Fr. Inc. 31.

Φλύειν. χρυσότευκτα γράμματα ἐπ' ἀσπίδος φλύοντα σὺν φοίτῳ φρενῶν T. 643. χρυσόν τε τίς φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ; οὐδεὶς, σάφ' οἶδα, μὴ μάτην φλῦσαι θέλων V. 502.

Φοβερός. βοᾶν φοβερὸν ἀπότρεπε S. 868. φοβεροὶ μὲν ἰδεῖν, δεινοὶ δὲ μάχην P. 27. ὄψιν φοβερὰν προσιδέσθαι P. 48. θρεῦμαι φοβερὰ μεγάλ' ἄχη T. 79. πᾶν μοι φοβερὸν τὸ προσέρπον V. 127. φοβερὰ δ' ἐμοῖσιν ὄσσοις ὀμίχλη προσῆξεν πλήρης δακρύων V. 144. μίμνει γὰρ φοβερὰ παλίνορτος οἰκόνομος δολία A. 149. ἐκ τῶν φοβερῶν τῶνδε προσώπων μέγα κέρδος ὁρῶ E. 944. ταυρόφθογγοι δ' ὑπομυκῶνται φοβεροὶ μῖμοι Edon. 1.

Φοβεῖν. σίγησον ὦ τάλαινα, μὴ φίλους φόβει T. 244. πάτερ, φοβοῦμαι, νῆες ὡς ὠκύπτεροι ἥκουσι S. 715. οὔτοι φοβοῦμαι δαίμονας τοὺς ἔνθαδε, οὐ γάρ μ' ἔθρεψαν, οὐδ' ἐγήρασαν τροφῇ S. 870. ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι δεῖμα πολιτῶν T. 1052. φοβοῦμαι τὸν μυριωπὸν εἰσορῶσα βούταν V. 568. φοβοῦμαι δ' ἔπος τόδ' ἐκβαλεῖν C. 46. φοβεῖται δέ τις C. 57. ἔνυπνον φάντασμα φοβεῖ Fragm. Inc. 419. τί δ' ἂν φοβοίμην; V. 935. μὴ φοβοῦ νικῶν πολὺ C. 1048. μηδὲν φοβηθῇς, φιλία γὰρ ἥδε τάξις V. 128. ἱππικῶν φρυαγμάτων βρόμον φοβηθεὶς T. 458. Διὸς γνώμην φοβηθεὶς V. 1005.

Φόβη. πῶς γὰρ ἐλπίσω ἀστῶν τιν' ἄλλον τῆσδε δεσπόζειν φόβης; C. 186.

Φόβος. κίρκων τῶν ὁμοπτέρων φόβῳ S. 221. ἀμηχανῶ δὲ καὶ φόβος μ' ἔχει φρένας δρᾶσαι τε, μὴ δρᾶσαί τε S. 374. ὕψιστος γὰρ ἐν βροτοῖς φόβος S. 474. φύλαξαι, μὴ θράσος τέκῃ φόβον S. 493. οὔτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενὸς S. 508. οἴχομαι φόβῳ S. 767. ταῦτά μοι μελαγχίτων φρὴν ἀμύσσεται φόβῳ P. 115. ἔστι γὰρ πλοῦτός γ' ἀμεμφής, ἀμφὶ δ' ὀφθαλμοῖς φόβος P. 164. φόβῳ δ' ἄφθογγος ἐστάθην, φίλοι P. 202. φόβος δὲ πᾶσι βαρβάροις παρῆν γνώμης ἀποσφαλεῖσιν P. 383. ἐμοὶ γὰρ ἤδη πάντα μὲν φόβου πλέα ἐν ὄμμασιν τἀνταῖα φαίνεται θεῶν P. 595. φόβος δ' ἀρηΐων ὅπλων T. 113. δὴ τότ' ἤρθην φόβῳ πρὸς μακάρων λιτὰς T. 196. ποταίνιον κλύουσα πάταγον ἅμα ταρβοσύνῳ φόβῳ τάνδ' ἐς ἀκρόπτολιν, τίμιον ἕδος, ἱκόμαν T. 222. τούτῳ γὰρ Ἄρης βόσκεται φόβῳ βροτῶν T. 225. ἀψυχίᾳ γὰρ γλῶσσαν ἁρπάζει φόβος T. 241. λύουσα πολέμιον φόβον T. 252. μέλει, φόβῳ δ' οὐχ ὑπνώσσει κέαρ T. 269. ὑπ' ἀσπίδος δὲ τῷ χαλκήλατοι κλάζουσι κώδωνες φόβον T. 368. ἔνθεος δ' Ἄρει βακχᾷ πρὸς ἀλκάν, Θυιὰς ὥς, φόβον βλέπων T. 480. φόβος γὰρ ἤδη πρὸς πύλαις κομπάζεται T. 482. παραφρονῶ φόβῳ λόγου T. 788. ἐμὰς δὲ φρένας ἠρέθισε διάτορος φόβος V. 181. πρό γε στενάζεις, καὶ φόβου πλέα τις εἶ V. 698. κραδία δὲ φόβῳ φρένα λακτίζει V. 883. τοιάδ' ἐπ' ἐμοὶ ῥιπὰ διόθεν τεύχουσα φόβον στείχει φανερῶς V. 1091. φόβος γὰρ ἀνθ' ὕπνου παραστατεῖ A. 14. ἐμοὶ μὲν οὐδαμῶς ἄνευ φόβου A. 898. πολυεπεῖς τέχναι θεσπιῳδὸν φόβον φέρουσιν μαθεῖν A. 1106. τὴν μὲν Θυέστου δαῖτα παιδείων κρεῶν ξυνῆκα καὶ πέφρικα, καὶ φόβος μ' ἔχει A. 1216. τί δ' ἐστὶ χρῆμα; τίς σ' ἀποτρέπει φόβος; A. 1279. οὔτοι δυσοίζω, θάμνον ὡς ὄρνις, φόβῳ, ἄλλως A. 1289. οὔ μοι φόβου μέλαθρον ἐλπὶς ἐμπιτνεῖν A. 1409. τορὸς γὰρ φόβος ὀρθόθριξ C. 32. περὶ φόβῳ γυναικείοισιν ἐν δώμασιν βαρὺς πιτνὼν C. 35. μὴ κεύθετ' ἔνδον καρδίας φόβῳ τινὸς C. 100. ὀρχεῖται δὲ καρδία φόβῳ C. 165. μάταιος ἐκ νυκτῶν φόβος κινεῖ C. 286. ἦ κάρτα μάντις ὀὐξ ὀνειράτων φόβος C. 916. πρὸς δὲ καρδίᾳ φόβος ᾄδειν ἕτοιμος ἠδ' ὑπορχεῖσθαι κότῳ C. 1020. μὴ φόβος σε νικάτω φρένας E. 88. ἐν δὲ τῷ σέβας ἀστῶν, φόβος δὲ συγγενὴς τὸ μὴ 'δικεῖν σχήσει E. 661. ἐπίλυσιν φόβων, ἐπίλυσιν δίδου T. 124.

Φοῖβος. σταθευτὸς ἡλίου φοίβῃ φλογὶ V. 22.

Φοίβη. Τιτανὶς ἄλλη παῖς χθονὸς Φοίβη E. 7. τὸ Φοίβης δ' ὄνομ' ἔχει παρώνυμον E. 8.

Φοῖβος. ὁρῶ δὲ φεύγοντ' αἰετὸν πρὸς ἐσχάραν Φοίβου P. 202. Φοίβῳ στυγηθὲν πᾶν τὸ Λαΐου γένος T. 673. δίδωσι δ' ἡ γενέθλιον δόσιν Φοίβῳ E. 8. πρὸς ἑστίᾳ θεοῦ Φοίβου E. 273. ὦ Φοῖβ' Ἄπολλον E. 714. τὸ Φοίβου θεῖον ἀψευδὲς στόμα Fragm. Psych. 1.

Φοινικόβαπτος. στόλος πρεσβυτίδων φοινικοβάπτοις ἐνδυτοῖς ἐσθήμασιν E. 982.

Φοινικόπεδον. φοινικόπεδον ἐρυθρᾶς ἱερὸν χεῦμα θαλάσσης Fragm. Pr. Sol. 3.

Φοίνιξ. ἀποθραύει πάντα Φοινίσσης νεὼς κόρυμβα P. 402.

Φοίνιος. χθονία κόνις πίῃ μελαμπαγὲς αἷμα φοίνιον T. 719. διπλῇ μάστιγι τὴν Ἄρης φιλεῖ, δίλογχον ἄτην, φοινίαν ξυνωρίδα A. 628. πέπληγμαι δ' ὑπαὶ δήγματι φοινίῳ A. 1136. θερμῷ κοπεῖσα φοινίῳ προσφάγματι A. 1251. βάλλει μ' ἐρεμνῇ ψακάδι φοινίας δρό-

σου A. 1363. πρέπει παρῇς φοινίοις ἀμυγμοῖς C. 24. φοινίαν Σκύλλαν C. 604. ἔνδοθεν φοινίαν ἄταν τιθεὶς C. 823.

Φοιταλέος. νόσον, ἃ μαραίνει με χρίουσα κέντροισι φοιταλέοισι V. 601.

Φοιτάς. καλουμένη δὲ φοιτὰς, ὡς ἀγύρτρια, πτωχὸς, τάλαινα, λιμόθνης ἠνεσχόμην A. 1246.

Φοῖτος. χρυσότευκτα γράμματα ἐπ' ἀσπίδος φλύοντα σὺν φοίτῳ φρενῶν T. 643.

Φονεύειν. ἄλλος δ' ἄλλον ἄγει, φονεύει, τάδε καὶ πυρφορεῖ T. 323.

Φονεύς. θῆλυς ἄρσενος φονεύς ἐστιν A. 1204. ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεὺς A. 1632. φονεὺς δ' Ὀρέστης τῆσδε μητρὸς οἴχεται E. 120. φονεὺς γὰρ εἶναι μητρὸς ἠξιώσατο E. 403. ἡλίῳ δ' ἐπεύχομαι, πρὸς ὕστατον φῶς, τοῖς ἐμοῖς τιμαόροις, ἐχθροῖς φονεῦσι τοῖς ἐμοῖς τίνειν ὁμοῦ A. 1298.

Φονή. ἐν φοναῖς καλῶς πεσόντ' ἀλλοτρίας διαὶ γυναικὸς A. 435.

Φόνιος. πολυαίμων φόνιος ἀποκοπὰ κρατὸς S. 820. φονίου δέργμα δράκοντος P. 82. ἀντὶ δὲ πληγῆς φονίας πληγὴν φονίαν τινέτω C. 311. ἀλλὰ νόμος μὲν, φονίας σταγόνας χυμένας ἐς γῆν ἄλλο προσαιτεῖν αἷμα C. 395. ὅστις ἀλιτρῶν, ὥσπερ ὅδ' ἀνὴρ χεῖρας φονίας ἐπικρύπτει E. 307.

Φονολιβής. φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται A. 1402. φονολιβῆ θρόνον E. 158.

Φονόρυτος. ἐν δὲ γαίᾳ ζωὰ φονορύτῳ μέμικται T. 921.

Φόνος. θάλασσα δ' οὐκ ἔτ' ἦν ἰδεῖν, ναυαγίων πλήθουσα καὶ φόνου βροτῶν P. 412. θιγγάνοντες χερσὶ ταυρείου φόνου T. 44. γῆν θανόντες τήνδε φυράσειν φόνῳ T. 48. διάδετοι δὲ γενύων ἱππείων κινύρονται φόνον χαλινοὶ T. 116. πρόσπολος φόνου T. 556. βασιλεοῖν ὁμοσπόροιν πέπωκεν αἷμα γαῖ' ὑπ' ἀλλήλων φόνῳ T. 803. ἐπὶ φόνῳ διεκρίθητε T. 867. σμερδναῖσι γαμφηλῇσι συρίζων φόνον V. 355. ματεύει δ' ὧν ἀνευρήσει φόνον A. 1065. ἡ ξυναιτία φόνου A. 1088. ἐπεύχεται, θήγουσα φωτὶ φάσγανον, ἐμῆς ἀγωγῆς ἀντιτίσασθαι φόνον A. 1235. φόνοι δόμον πνέουσιν αἱματοσταγῆ A. 1282. ἀναιτιος εἶ τοῦδε φόνου A. 1487. ἐγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεὺς A. 1586. μόνος δ' ἔποικτον τόνδε βουλεῦσαι φόνον ἔφης A. 1597. δι' αἵματ' ἐκποθένθ' ὑπὸ χθονὸς τροφοῦ, τίτας φόνος πέπηγεν οὐ διαῤῥυδᾶν C. 64. πόροι τε πάντες ἐκ μιᾶς ὁδοῦ βαίνοντες τὸν χαιρομυσῆ φόνον καθαίροντες ἰοῦσαν ἄτην C. 72. τοῦ φόνου μεμνημένη C. 115. ὅσπερ σοῦ φόνου μεταίτιος C. 132. φόνου δ' Ἐριννὺς οὐχ ὑπεσπανισμένη ἄκρατον αἷμα πίεται τρίτην πόσιν C. 570. γέρων φόνος μηκέτ' ἐν δόμοις τέκοι C. 794. καὶ τόδ' ἀμφέρειν δόμοις γένοιτ' ἂν ἄχθος δειματοσταγὲς φόνῳ τῷ πρόσθεν ἑλκαίνοντι καὶ δεδηγμένῳ C. 829. φόνου δὲ κηκὶς ξὺν χρόνῳ ξυμβάλλεται, πολλὰς βαφὰς φθείρουσα τοῦ ποικίλματος C. 1007. θρόμβους φόνου E. 175. οὐκ ἂν γένοιθ' ὅμαιμος αὐθέντης φόνος E. 203. ὁ Λατοῦς γὰρ ἶνίς μ' ἄτιμον τίθησιν τόνδ' ἀφαιρούμενος πτῶκα, ματρῷον ἅγνισμα κύριον φέρειν E. 315. λουτρῶν ἐξεμαρτύρει φόνον E. 439. οὐδὲ μὴν ἐμοὶ θέμις φόνου διαιρεῖν ὀξυμηνίτου δίκας E. 450. φόνου δὲ τοῦδ' ἐγὼ καθάρσιος E. 548. αἰτίαν δ' ἔχω τῆς τοῦδε μητρὸς τοῦ φόνου E. 550. τοὶ γὰρ σὺ μὲν ζῇς, ἡ δ' ἐλευθέρα φόνου E. 573. τὸν πατρὸς φόνον πράξαντα, μητρὸς μηδαμοῦ τιμὰς νέμειν E. 593. φόνων δικάστας ὁρκίων αἱρούμενοι E. 461.

Φορεῖν. πολλὰ δ' ἀκριτόφυρτος γᾶς δόσις οὐτιδανοῖς ἐν ῥοθίοις φορεῖται T. 344. πατρὸς κατ' εὐχὰς δυσπότμους φορούμενοι T. 801.

Φόρημα. ἡ βαρὺ φόρημ' ἄνθρωπος εὐτυχῶν ἄφρων Fragm. 9.

Φορητός. εἴης φορητὸς οὐκ ἂν, εἰ πράσσοις καλῶς V. 981.

Φορκίδες. ἵνα αἱ Φορκίδες ναίουσι δηναιαὶ κόραι τρεῖς κυκνόμορφοι, κοινὸν ὄμμ' ἐκτημέναι, μονόδοντες V. 796.

Φορτηγός. ναυβάτην φορτηγὸν, ὅστις ῥῶπον ἐξάγει χθονὸς Phryg. 1. 2.

Φραδή. θεόθεν εὖ φραδαῖσιν ὡρμημένος C. 929. ἔπου δὲ μηνυτῆρος ἀφθέγκτου φραδαῖς E. 236.

Φράζειν. δεῖξον, εἴπερ οἶσθα, θρόει, φράζε τᾷ δυσπλάνῳ παρθένῳ V. 611. σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερὶ

A. 1031. τόνδε χρησμὸν ὤπασε φράζειν Ὀρέστῃ τῶδε τὸν πατρὸς φόνον πράξαντα μητρὸς μηδαμοῦ τιμὰς νέμειν E. 593. ἀλκᾷ πίσυνος μέμυκε φράζουσα βοτῆρι μόχθους S. 348. ὅτ' ἦλθ' ὁ πρῶτος νύχιος ἄγγελος πυρὸς φράζων ἅλωσιν Ἰλίου τ' ἀνάστασιν A. 575. ἁπλῶς τι φράζουσ' C. 119. σοὶ πρῶτον, Ἰοῖ, πολύδονον πλάνην φράσω V. 790. ἃ πρὶν μολεῖν δεῦρ' ἐκμεμόχθηκεν, φράσω V. 827. τὰ λοιπὰ δ' ὑμῖν τῇδέ τ' ἐς κοινὸν φράσω V. 846. πῶς φράσω τέλος; A. 1080. ἑλοῦ γὰρ, ἢ πόνων τὰ λοιπὰ σοι φράσω σαφηνῶς, ἢ τὸν ἐκλύσαντ' ἐμὲ V. 784. ἀλλ' εἰ δικαίως, εἴτε μὴ, τῇ σῇ φρενὶ δοκεῖ τόδ' αἷμα, κρῖνον, ὡς τούτοις φράσω E. 583. τὸ πάνσοφον νῦν ὄνομα τοῦτό μοι φράσον S. 321. αἰνιγματῶδες τοὖπος, ἀλλὰ πῶς φράσον S. 459. ἄταρ φράσον μοι τοῦτ' ἀναστρέψας πάλιν P. 325. ἀρχὴ δὲ ναυσὶ συμβολῆς τίς ἦν; φράσον P. 341. τίς δ' ἐμῶν ἐκεῖσε παίδων ἐστρατηλάτει φράσον; P. 703. ἐκεῖθι κ' ἦλθον; βαρέα δ' οὖν, ὅμως φράσον T. 792. εἰ ῥητὸν, φράσον V. 766. παρὼν γε, κοὐ λόγους κλύων ἄλλων, φράσαιμ' ἂν οἷ' ἐπορσύνθη κακὰ P. 259. τάδε φράσαι δίκαια Διόθεν κράτη S. 432. εὖ τόδ' ἴσθι, γῆς ἄνασσα τῆσδε, μή σε δίς φράσαι μήτ' ἔπος μήτ' ἔργον ὧν ἂν δύναμις ἡγεῖσθαι θέλῃ P. 170. γνάμψει γὰρ οὐδὲν τῶνδέ μ', ὥστε καὶ φράσαι, πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος V. 997. ἀόζοις μετ' εὐχὰν φράσαι πατέρ' A. 223. ὡς τορῶς φράσαι A. 1566. ἦ καὶ πέπυσθε τοὔναρ, ὥστ' ὀρθῶς φράσαι; C. 519. ἀνεμοέντων αἰγίδων φράσαι κότον C. 585. λάβε, λάβε, λάβε, λάβε, φράζου E. 125. καὶ δὴ πέφρασμαι S. 433. αὐτὴ σὺ ταῦτα μανθάνουσ' ἤδη φράσαι C. 111.

Φράσσειν. πημονὴν ἀρκύστατον φράξειεν A. 1349. φράξαντες εὐχάλκοις δέμας ὅπλοισι P. 448. σὺ δ' ὥστε νηὸς κεδνὸς οἰακοστρόφος φράξαι πόλισμα T. 63. πύλας φερεγγύοις ἐφραξάμεσθα μονομάχοισι προστάταις T. 780.

Φράστωρ. ὀπάονας δὲ φράστοράς τ' ἐγχωρίων ξύμπεμψον S. 487.

Φράτωρ. ποία δὲ χέρνιψ φρατόρων προσδέξεται; E. 626.

Φρενοδαλής. ἐπὶ δὲ τῷ τεθυμένῳ τόδε μέλος, παρακοπὰ, παραφορὰ φρενοδαλὴς, ὕμνος ἐξ Ἐριννύων E. 317.

Φρενομανής. φρενομανής τις εἶ θεοφόρητος A. 1111.

Φρενοπληγής. ὑπό μ' αὖ σφάκελος καὶ φρενοπληγεῖς μανίαι θάλπουσ' V. 880.

Φρενόπληκτος. τοιάδε μέντοι τῶν φρενοπλήκτων βουλεύματ' ἔπη τ' ἐστὶν ἀκοῦσαι V. 1056.

Φρενοῦν. πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς ἢ σαυτὸν V. 336. Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων τεύξεται φρενῶν τὸ πᾶν A. 168. φρενώσω δ' οὐκέτ' ἐξ αἰνιγμάτων A. 1156.

Φρενώλης. παράνοια συνᾶγε νυμφίους φρενώλεις T. 739.

Φρήν. οὔτοι τι θαῦμα δυσφορεῖν φόβῳ φρενὸς S. 508. σὺ καὶ λέγων εὔφραινε καὶ πράσσων φρενὶ S. 510. σπεῦσαί τι τῶν δούλιος φέρει φρὴν S. 594. ὡς ἂν ἡβήσαιμι γηραιᾷ φρενὶ S. 601. ἄγγελον δ' οὐ μέμψεται πύλις γέρονθ' ἡβῶντα δ' εὐγλώσσῳ φρενὶ S. 756. κελεύω βίᾳ μεθέσθαι ἴχαρ, φρενί τ' ἄταν S. 830. πόλλ' ἁμαρτὼν οὐδὲν ὤρθωσας φρενὶ S. 893. ἴχνος τὸ πρόσθεν οὐ διαστρέψω φρενὸς S. 994. Διὸς οὐ πάρβατός ἐστι μεγάλα φρὴν S. 1035. τί δὲ μέλλω φρένα Δῖαν καθορᾶν; S. 1043. ταῦτά μοι μελαγχίτων φρὴν ἀμύσσεται φόβῳ P. 115. τοσαῦτ' ἔλεξε κάρτ' ὑπ' ἐκθύμου φρενὸς P. 364. πειθάρχῳ φρενὶ δεῖπνόν τ' ἐπορσύνοντο P. 366. ὑπέραυχα βάζουσιν ἐπὶ πτόλει μαινομένᾳ φρενὶ T. 575. δόλος οὐδεὶς μὴ 'κ φρενὸς ὀρθῶς με λιγαίνειν T. 855. δακρυχέων ἐκ φρενὸς T. 902. μαίνεται γόοισι φρὴν T. 950. θανόντι ζῶσα συγγόνῳ φρενὶ T. 1025. σημεῖά τοι τάδ' ἐστὶ τῆς ἐμῆς φρενὸς V. 844. κραδία δὲ φόβῳ φρένα λακτίζει V. 882. τότε δ' ἐκ θυσιῶν ἀγανὰ φαίνουσ' ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον τὴν θυμοβόρον φρένα λύπην A. 102. φρενὸς πνέων δυσσεβῆ τροπαίαν ἄναγνον A. 212. οὐ δόξαν ἂν λάβοιμι βριζούσης φρενὸς A. 266. ὡς πόλλ' ἀμαυρᾶς ἐκ φρενός μ' ἀναστένειν A. 532. ἀπ' ἄκρας φρενὸς A. 779. ταῦτα

πάντα τλᾶσ' ἀπενθήτῳ φρενὶ A. 869. θάρσος εὐπιθὲς ἵζει φρενὸς φίλον θρόνον A. 955. ζωπυρουμένας φρενὸς A. 1004. μένει τὸ θεῖον δουλίᾳ περ ἐν φρενὶ A. 1054. ἀλλ' ἴσθι τλήμων οὖσ' ἀπ' εὐτόλμου φρενὸς A. 1275. φονολιβεῖ τύχᾳ φρὴν ἐπιμαίνεται A. 1402. φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω; A. 1470. δι' ὤτων φρενός τε δαμίας περαῖνον, νῦν ἀφίσταται C. 54. λέξω, κελεύεις γάρ, τὸν ἐκ φρενὸς λόγον C. 105. ἐξ ἀμαυρᾶς φρενὸς C. 155. Τροίας ἀναστατῆρας εὐδόξῳ φρενὶ C. 301. θήλεια γὰρ φρὴν C. 303. ἐπειδὴ δρᾶν κατώρθωσαι φρενὶ C. 505. θυρώρων οὔτις ἂν φαιδρᾷ φρενὶ δέξαιτο C. 558. ἐμὴν ἤλγυνεν ἐν στέρνοις φρένα C. 735. τὸ μὴ φρονοῦν γάρ, ὡσπερεὶ βοτόν, τρέφειν ἀνάγκη, πῶς γὰρ οὔ; τρόπῳ φρενὸς C. 743. ἄνωχθ' ὅσον τάχιστα γαθούσῃ φρενὶ C. 761. τί τῶνδ' ἂν εἴποις ὥστε δηλῶσαι φρενί; C. 839. πολλοὺς ἀναίρων, πολλὰ θερμαίνοι φρενὶ C. 997. ἔνθεον κτίσας φρένα E. 17. εὕδουσα γὰρ φρὴν ὄμμασιν λαμπρύνεται E. 104. δελτογράφῳ δὲ πάντ' ἐπωπᾷ φρενὶ E. 265. τῇ σῇ φρενὶ δοκεῖ E. 582. στυγεῖν μιᾷ φρενὶ E. 941. Δημήτηρ ἡ θρέψασα τὴν ἐμὴν φρένα Fragm. 99. οἷα νεάζει πυθμὴν δι' ἁμὸν γάμον τὸ θάλλος δυσπαραβούλοισι φρεσὶν S. 100. φόβος μ' ἔχει φρένας δρᾶσαί τε, μὴ δρᾶσαί τε S. 374. δουλόφρονες δὲ καὶ δολιομήτιδες δυσάγνοις φρεσὶν S. 732. κατ' εὐνοίαν φρενῶν S. 918. εὐπρυμνῆ φρενῶν χάριν σέβεσθαι S. 967. ταῦτά μοι διπλῆ μέριμν' ἄφραστός ἐστιν ἐν φρεσὶν P. 161. ὦ στυγνὲ δαῖμον, ὡς ἄρ' ἔψευσας φρενῶν Πέρσας P. 464. τοία κακῶν ἔκπληξις ἐκφοβεῖ φρένας P. 598. δέος παλαιόν σοι φρενῶν ἀνθίσταται P. 689. πῶς τάδ' οὐ νόσος φρενῶν εἶχε παῖδ' ἐμόν; P. 736. φρένες γὰρ αὐτοῦ θυμὸν οἰακοστρόφουν P. 753. τὰς εὐκτεάνους (πόλεις) ἐκράτυνε σφετέραις φρεσὶ P. 868. ἐν ὠσὶ νωμῶν καὶ φρεσὶν πυρὸς δίχα T. 25. φρενῶν βίᾳ T. 594. σὺν φοίτῳ φρενῶν T. 643. Δίκη παρῆν ἔργοις ἐκείνου καὶ φρεσὶν T. 645. ξυνοῦσα φωτὶ παντόλμῳ φρένας T 652. Διὸς γὰρ δυσπαραίτητοι φρένες V. 34. πατρῴας μόγις παρειποῦσα φρένας V. 131. ἐμὰς δὲ φρένας ἠρέθισε διάτορος φόβος V. 181. φρένας γὰρ εἰς αὐτὰς τυπεὶς ἐφεψαλώθη κἀξεβροντήθη σθένος V. 361. ἔννους ἔθηκα καὶ φρενῶν ἐπηβόλους V. 442. πέπονθας αἰκὲς πῆμ', ἀποσφαλεὶς φρενῶν V. 470. σὰς δ' ὀκνῶ θράξαι φρένας V. 631. εὐθὺς δὲ μορφὴ καὶ φρένες διάστροφοι ἦσαν V. 676. ἣν ἐγγράφου σὺ μνήμοσιν δέλτοις φρενῶν V. 791. ἐπτοημένοι φρένας V. 858. καίπερ αὐθάδης φρενῶν ἔσται τάπεινος V. 909. μὴ φρένας ὑμῶν ἠλιθιώσῃ βροντῆς μύκημ' ἀτέραμνον V. 1063. παιδὸς νέας ὥς, κάρτ' ἐμωμήσω φρένας A. 268. τίς ὧδε παιδνὸς ἢ φρενῶν κεκομμένος; A. 466. τρίτον τόδ' ἐλθὸν φῶς ἐφήλωσεν φρένας A. 478. αὐτὸς φρενῶν καρποῖτο τὴν ἁμαρτίαν A. 488. σπλάγχνα δ' οὔτι ματάζει πρὸς ἐνδίκοις φρεσὶν τελεσφόροις δίναις κυκλούμενον κέαρ A. 968. ἔσω φρενῶν λέγουσα πείθω νιν λόγῳ A. 1022. ἦ μαίνεταί γε, καὶ κακῶν κλύει φρενῶν A. 1034. ταλαίναις φρεσὶν Ἴτυν στένουσα A. 1114. τί τοῦτ' ἔφευξας, εἴ τι μὴ φρενῶν στύγος; A. 1281. τίς δ' ἐπιτύμβιος ὕμνος ἐπ' ἀνδρὶ θείῳ σὺν δάκρυσιν ἰάπτων ἀληθείᾳ φρενῶν πονήσει A. 1529. ἐξοχώταται φρενῶν ἰατρομάντεις A. 1605. πικρὸν φρενῶν στύγος C. 78. πάρεστι δ' ὠδὶς καὶ φρενῶν καταφθορὰ C. 209. χαρᾷ δὲ μὴ 'κπλαγῇς φρένας C. 231. τοιαῦτ' ἀκούων ἐν φρεσὶν γράφου C. 443. δι' ὤτων δὲ συντέτραινε μῦθον ἡσύχῳ φρενῶν βάσει C 445. γυναικῶν φρεσὶν τλημόνων C. 588. γυναικόβουλοι μήτιδες φρενῶν C. 617. ἦν ἐμοὶ τόδ' ἐν φρεσὶν τοιόνδε πρᾶγμα μὴ καρανῶσαι φίλοις C. 693. Περσέως τε ἐν φρεσὶν καρδίαν σχέθων C. 818. φέρουσι γὰρ νικώμενον φρένες δύσαρκτοι C. 1019. ἐκ τῶνδέ σοι ταραγμὸς ἐς φρένας πιτνεῖ C. 1052. μὴ φόβος σε νικάτω φρένας E. 88. ἔτυψε δίκαν διφρηλάτου μεσολαβεῖ κέντρῳ ὑπὸ φρένας, ὑπὸ λοβὸν E. 153. τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν E. 291. ὕμνος ἐξ Ἐριννύων, δέσμιος φρενῶν, ἀφόρμικτος E. 318. ὅρκον περῶντας μηδὲν ἔνδικον φρεσὶν E. 467. ἔσθ' ὅπου τὸ δεινὸν εὖ καὶ φρενῶν ἐπίσκοπον δειμανεῖ

καθήμενον E. 493. ἐκ δ' ὑγιείας φρενῶν ὁ πᾶσιν φίλος καὶ πολύευκτος ὄλβος E. 508.

Φρίσσειν. φρίσσω δέ σε δερκομένη μυρίοις μόχθοις διακναιόμενον V. 538. πανδημίᾳ γὰρ χερσὶ δεξιωνύμοις ἔφριξεν αἰθὴρ S. 603. ἄλω δὲ πολλὴν, ἀσπίδος κύκλον λέγω, ἔφριξα δινήσαντος T. 472. ἔφριξ', ἔρως δὲ τοῦδε μυστικοῦ τέλους Fragm. 93. πέφρικα λεύσσων τάσδ' ἕδρας κατασκίους S. 341. πέφρικα τὰν ὠλεσίοικον θεὸν T. 703. πέφρικ', εἰσιδοῦσα πρᾶξιν Ἰοῦς V. 697. την μὲν Θυέστου δαῖτα παιδείων κρεῶν ξυνῆκα καὶ πέφρικα A. 1216.

Φροιμιάζεσθαι. φροιμιάζονται γὰρ ὡς τυραννίδος σημεῖα πράσσοντες πόλει A. 1329. τούτους ἐν εὐχαῖς φροιμιάζομαι θεοὺς E. 20.

Φροίμιον. ὁρῶ τάδε φροίμια πρόξενα πόνων βιαίων ἐμῶν S. 810. αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι A. 31. θεοῖς μὲν ἐξέτεινα φροίμιον τόδε A. 803. ἰδώμεθ' εἴ τι τοῦδε φροιμίου ματᾷ E. 137. κατὰ πτόλιν ὑμνοῖθ' ὑπ' ἀστῶν φροιμίοις πολυῤῥόθοις T. 7. ὑπ' αὖ με δεινὸς ὀρθομαντείας πόνος στροβεῖ, ταράσσων φροιμίοις ἐφημίοις A. 1189.

Φρονεῖν. Ξέρξης δ' ἐμὸς παῖς ὢν νέος νέα φρονεῖ P. 768. ὁ κόμπος δ' οὐ κατ' ἄνθρωπον φρονεῖ T. 407. εἰ γὰρ τύχοιεν ὧν φρονοῦσι T. 532. ἀλλ' ἦ φρονεῖς εὖ τοῖσι νῦν ἠγγελμένοις; C. 763. τὸ γὰρ βρότειον σπέρμ' ἐφήμερα φρονεῖ Fragm. Inc. 11. φρόνει μὲν ὡς ταρβοῦσα μὴ 'μελεῖν θεῶν S. 754. παῖδες, φρονεῖν χρὴ, ξὺν φρονοῦντι δ' ἥκετε πιστῷ γέροντι S. 173. φεῦ μέγας τις ἦλθε δαίμων ὥστε μὴ φρονεῖν καλῶς P. 711. ὡς οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν P. 806. κέρδιστον, εὖ φρονοῦντα μὴ δοκεῖν φρονεῖν V. 385. τὸ παντότολμον φρονεῖν μετέγνω A. 214. τὸ μὴ κακῶς φρονεῖν θεοῦ μέγιστον δῶρον A. 901. τόλμησόν ποτε πρὸς τὰς παρούσας συμφορὰς ὀρθῶς φρονεῖν V. 1002. τὸν φρονεῖν βροτοὺς ὁδεύσαντα A. 169. φρονεῖν δὲ κἀμοὶ Ζεὺς ἔδωκεν οὐ κακῶς E. 812. φρονούντως πρὸς φρονοῦντας ἐννέπεις S. 201. φρονοῦσα νῦν ἄκουσον T. 789. αὐθαδία γὰρ τῷ φρονοῦντι μὴ καλῶς αὐτὴ καθ' αὑτὴν οὐδένος μεῖζον σθένει V. 1013. εὖ γὰρ φρονοῦντος ὄμμα σοῦ κατηγορεῖ A. 262. ὡς τὸ πρόσθεν εὖ φρονῶν ἐμοὶ A. 1411. θανόντι δ', οὐ φρονοῦντι, δειλαία χάρις ἐπέμπετ' C. 510. τὸ μὴ φρονοῦν γὰρ ὡσπερεὶ βοτὸν τρέφειν ἀνάγκη C. 742. ἆρα φρονοῦσι γλώσσης ἀγαθῆς ὁδὸν εὑρίσκει; E. 943. φρονήσατ', ὦ κατὰ χθονὸς θεοὶ E. 115.

Φρόνημα. ἥμενον ἄνω φρόνημά πως αὐτόθεν ἐξέπραξεν ἔμπας S. 94. ἐκ ποίου φρονήματος ἀνδρῶν Πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα; S. 889. ἀβουκόλητον τοῦτ' ἐμῷ φρονήματι S. 907. ὠμὸν, οὔτι παρθένων ἐπώνυμον φρόνημα, γοργὸν δ' ὄμμ' ἔχων T. 519. ἔστ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου V. 376. σεμνόστομός γε, καὶ φρονήματος πλέως ὁ μῦθός ἐστι V. 955. φρόνημα νηνέμου γαλάνας A. 720. τὰ δ' ἐς τὸ σὸν φρόνημα μέμνημαι κλύων A. 804. οὐδαμῶς ἐπώνυμον φρόνημα παισὶ δύσθεον πεπαμένη C. 189. φρόνημα τοῦ θανόντος οὐ δαμάζει πυρὸς μαλερὰ γνάθος C. 320. ἀλλ' ὑπέρτολμον ἀνδρὸς φρόνημα τίς λέγοι; C. 587. τόλμης ἕκατι κἀδίκου φρονήματος C. 990. ὕβρεως ἄποινα κἀθέων φρονημάτων P. 794. Ζεύς τοι κολαστὴς τῶν ὑπερκόμπων ἄγαν φρονημάτων ἔπεστι P. 814. τῶν τοι ματαίων ἀνδράσιν φρονημάτων ἡ γλῶσσ' ἀλήθης γίνεται κατήγορος T. 420. αἱμύλας δὲ μηχανὰς ἀτιμάσαντες καρτεροῖς φρονήμασιν V. 207. ἰὸς ἐκ φρονημάτων πέδῳ πεσὼν ἄφερτος αἰανὴς νόσος E. 457.

Φρονούντως. πάτερ, φρονούντως πρὸς φρονοῦντας ἐννέπεις S. 201.

Φροντίζειν. ἃ δεῖ παρὼν φρόντιζε Fragm. Inc. 7. σὺ δὲ πάπταινε καὶ φρόντιζε V. 1036. φρόντισον, καὶ γενοῦ πανδίκως εὐσεβὴς πρόξενος S. 413. δεινά τοι λέγεις ἰόντων τοῖς τεκοῦσι φροντίσαι P. 241.

Φροντίς. δεῖ τοι βαθείας φροντίδος σωτηρίου S. 402. μῶν οὐ δοκεῖ δεῖν φροντίδος σωτηρίου; S. 412. φροντίδα κεδνὴν καὶ βαθύβουλον θώμεθα P. 138. ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον A. 102. φροντίδος ἄχθος A. 161. τὰ δ' ἄλλα φροντὶς οὐχ ὕπνῳ νικωμένη

θήσει δικαίως ξὺν θεοῖς εἱμαρμένα A. 886. ταύτην μὲν οὕτω φροντίδ' ἐκποδὼν λέγω E. 431. ἐβουκολοῦμεν φροντίσιν νέον πάθος A. 655. ἀμηχανῶ φροντίδων στερηθεὶς A. 1512. ὅστις οὐχ ὑπόπτερος φροντίσιν δαεὶς C. 595.

Φροῦδος. βίᾳ τε πολλᾷ φροῦδα S. 843.

Φρουρά. τῆσδε φάραγγος σκοπέλοις ἐν ἄκροις φρουρὰν ἄζηλον ὀχήσω V. 143. φρουρᾶς ἐτείας μῆκος A. 2. φάος δὲ τηλέπομπον οὐκ ἠναίνετο φρουρὰ A. 292.

Φρουρεῖν. αἴτε φρουρεῖτε βρέτας τοὐμὸν δικαίως E. 978. ἀνθ' ὧν ἀτερπῆ τήνδε φρουρήσεις πέτραν V. 31. εὐνὴ γὰρ ἀνδρὶ καὶ γυναικὶ μορσίμη ὅρκου 'στὶ μείζων τῇ δίκῃ φρουρουμένη E. 207.

Φρούρημα. φερέγγυον φρούρημα T. 431. εὑδόντων ὕπερ ἐγρηγορὸς φρούρημα γῆς καθίσταμαι E. 676.

Φρούριον. τοιοῦτο μέν σοι τοῦτο φρούριον λέγω V. 803. Ἄρης τε φρούριον θεῶν νέμει E. 879. ἦ τάδ' ἀκούετε, πόλεως φρούριον; E. 909.

Φρύαγμα. καὶ μὴν ἀκούω γ' ἱππικῶν φρυαγμάτων T. 227. ἱππικῶν φρυαγμάτων βρόμον φοβηθεὶς T. 457.

Φρυγία. δι' αἴας μηλοβότου Φρυγίας S. 543.

Φρυκτός. ὡς ὁ φρυκτὸς ἀγγέλλων πρέπει A. 30. φρυκτὸς δὲ φρυκτὸν δεῦρ' ἀπ' ἀγγάρου πυρὸς ἔπεμπε A. 273. ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς Μεσαπίου φύλαξι σημαίνει μολὸν A. 283.

Φρύκτωρ. φρυκτώρων διὰ πεισθεῖσα A. 576.

Φρυκτωρία. τρὶς ἓξ βαλούσης τῆσδέ μοι φρυκτωρίας A. 33. τάχ' εἰσόμεσθα λαμπάδων φαεσφόρων φρυκτωριῶν τε καὶ πυρὸς παραλλαγὰς A. 476.

Φρύξ. Λυδῶν δὲ λαὸν καὶ Φρυγῶν ἐκτήσατο P. 756.

Φυγαίχμης. Ἰαόνων λαὸς οὐ φυγαίχμας P. 984.

Φυγάς. χρεῖος εἶ ξένη φυγὰς S. 199. Ἀπόλλω φυγάδ' ἀπ' οὐρανοῦ θεὸν S. 211. ἴδετέ με τὰν ἱκέτιν φυγάδα περίδρομον S. 345. μετὰ μὲ δρόμοισι διόμενοι, φυγάδα μάταισι πολυθρόοις βίαια δίζηνται λαβεῖν S. 800. φυγὰς δ' ἀλήτης τῆσδε γῆς ἀπόξενος κατεῖσιν A. 1255. ἔλαχε δ' ἐς τὸ πᾶν ὁ πυθοχρήστας φυγὰς C. 928. ἔστι δὲ κὰκ πολέμου τειρομένοις βωμὸς Ἄρης φυγάσιν ῥεῦμα S. 78. φυγάδας δ' ἐπιπνοίας, κακά τ' ἄλγη πολέμους θ' αἱματόεντας προφοβοῦμαι S. 1027. τάφος δ' ἱκέτας δέδεκται, φυγάδας θ' ὁμοίως C. 333.

Φυγγάνειν. δύαις δὲ καμφθεὶς, ὧδε δεσμὰ φυγγάνω V. 511.

Φύγδα. λεύσσετον πάντα μὴ λάθῃ φύγδα βὰς ὁ ματροφόνος ἀτίτας E. 246.

Φυγή. γόεδνα δ' ἀνθεμίζομαι δειμαίνουσα φίλους τᾶσδε φυγᾶς ἀερίας ἀπὸ γᾶς S. 70. ἐπεὶ τίς ηὔχει τήνδ' ἀνέλπιστον φυγὴν κέλσειν ἐς Ἄργος κῆδος ἐγγενὲς τὸ πρίν; S. 325. ἴδοιτο δῆτ' ἄνατον φυγὰν ἱκεσία Θέμις Διὸς Κλαρίου S. 355. οὐ γὰρ ὡς φυγῇ παιᾶν' ἐφύμνουν σεμνὸν Ἕλληνες τότε P. 384. φυγῇ δ' ἀκόσμως πᾶσα ναῦς ἠρέσσετο P. 414. ᾗξ' ἀκόσμῳ ξὺν φυγῇ P. 462. αἴρονται φυγὴν P. 474. σμικρὰ κερδανῶ φυγῇ A. 1274. νῦν μὲν δικάζεις ἐκ πόλεως φυγὴν ἐμοὶ A. 1386. ἀμφὼ φυγὴν ἔχοντε τὴν αὐτὴν δόμων C. 252. καὶ τῷ κτανόντι ποῦ τὸ τέρμα τῆς φυγῆς; E. 400. τί δ' οὐκ ἐκείνην ζῶσαν ἤλαυνες φυγῇ E. 574. τορῶς λέγουσαι τάσδ' ἀναιμάκτους φυγὰς S. 191. ὕπαστρον δέ τοι μῆχαρ ὁρίζομαι γάμου δύσφρονος φυγᾷ S. 390. τὸν μὴ βοηθήσαντα τῶνδε γαμόρων ἄτιμον εἶναι ξὺν φυγῇ δημηλάτῳ S. 609. πολυδρόμου φυγᾶς ὄφελος εἴ τι μοι S. 718. βαῖνε φυγᾷ πρὸς ἀλκὰν S. 812. καὶ νῦν πολίταις τάσδε διαδρόμους φυγὰς θεῖσαι διεῤῥόθησατ' ἄψυχον κακὴν T. 173. φυγῇ τὸν αὐτὸν τόνδε τίσασθαι τρόπον T. 619. τετραμμένου παντρόπῳ φυγᾷ γένους T. 936. ἐδείξατ' ἐκ φυγᾶς ἐμοὶ δυσθέατα πήματα T. 964. ἦ καὶ τοιαύτας τῷδ' ἐπιῤῥοιζεῖς φυγάς; E. 402.

Φύειν. θεὸς μὲν αἰτίαν φύει βροτοῖς ὅταν κακῶσαι δῶμα παμπήδην θέλει Fragm. 27. κρεῖσσον γὰρ οἶμαι τῇδε λατρεύειν πέτρᾳ ἢ πατρὶ φῦναι Ζηνὶ πιστὸν ἄγγελον V. 971. τίς ἂν εὔξαιτο βροτῶν ἀσινεῖ δαίμονι φῦναι, τάδ'

ἀκούων; A. 1315. στείχει δ' ἴουλος ἄρτι διὰ παρηΐδων, ὥρας φυούσης T. 517. θεοῦ μὲν εὐνήτειρα Περσῶν, θεοῦ δὲ καὶ μήτηρ ἔφυς P. 153. θεὸς γὰρ οὐκ ἤχθηρεν, ὡς εὔφρων ἔφυ P. 758. πολλῷ γ' ἀμείνων τοὺς πέλας φρενοῦν ἔφυς ἢ σαυτὸν V. 335. ἔπειτ' ἔφυ A. 165. τὸ μὲν εὖ πράττειν ἀκόρεστον ἔφυ πᾶσι βροτοῖσι A. 1304. μυραινά γ' εἴτ' ἔχιδν' ἔφυ C. 978. σύ τοί μ' ἔφυσας Fragm. Inc. 30. δεινὸν τὸ κοινὸν σπλάγχνον, οὗ πεφύκαμεν T. 1022. ὁ λωφήσων γὰρ οὐ πέφυκέ πω V. 27. τὸ μὴ γενέσθαι δ' ἐστὶν ἢ πεφυκέναι κρεῖσσον κακῶς πράσσοντα Fragm. 101. 3. σπορᾶς γε μὴν ἐκ τῆσδε φύσεται θρασὺς τόξοισι κλεινὸς V. 873.

Φυλακή. στόματός τε καλλιπρώρου φυλακὰν κατασχεῖν φθόγγον ἀραῖον οἴκοις A. 227. οὐδ' ἔτι γλῶσσα βροτοῖσιν ἐν φυλακαῖς P. 584.

Φυλακτέος. τοιοῦδε φωτὸς πεῖραν εὖ φυλακτέον T. 481.

Φύλαξ. τὸν πάνθ' ὁρῶντα φύλακ' ἐπέστησεν βοΐ S. 299. τὸν ὕψοθεν σκοπὸν ἐπισκόπει φύλακα πολυπόνων βροτῶν S. 377. Λήδας γένεθλον, δωμάτων ἐμῶν φύλαξ A. 888. δαμέντος φύλακος εὐμενεστάτου A. 1427. διὰ τέλους δέ σοι φύλαξ ἐγγὺς παρεστὼς E. 64. ἀλλ' ἔστι κἀμοὶ κλεῖς ἐπὶ γλώσσῃ φύλαξ Fragm. 34. τῶν ἀφνεῶν καὶ πολυχρύσων ἑδράνων φύλακες P. 4. ἑκὰς δὲ φρυκτοῦ φῶς ἐπ' Εὐρίπου ῥοὰς Μεσαπίου φύλαξι σημαίνει μολὸν A. 284.

Φυλάσσειν. ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως οἴακα νωμῶν T. 2. καὶ νῦν φυλάσσω λαμπάδος τὸ σύμβολον A. 8. σὺ μὲν φύλασσε τἀν οἴκῳ καλῶς C. 572. σὺ δ' αὐτάδελφον αἷμα καὶ κοινοῦ πατρὸς, Ἑρμῆ, φύλασσε E. 90. φυλάσσοι τ' ἀτιμίας τιμὰς τὸ δήμιον S. 679. σὺ δέ νιν φυλάσσοις C. 777. καί σ' ἐποπτεύων πρόφρων θεὸς φυλάσσοι καιρίοισι συμφοραῖς C. 1060. τάξαι νεῶν στῖφος μὲν ἐν στίχοις τρισὶν ἔκπλους φυλάσσειν καὶ πόρους ἁλιρρόθους P. 359. αὐτοῦ φυλάσσων ἀναμενῶ τέλος δίκης E. 234. βρέτας τόδε ἧσαι φυλάσσων ἑστίας ἐμῆς πέλας E. 418. οἴκειος λέβης ἀεὶ φυλάσσων τὴν ὑπὲρ πυρὸς στάσιν Ath. 1. 2. πόλιν φύλαξον T. 126. αἰνῶ φυλάξαι S. 176. ἄγος φυλάσσου S. 370. τούτων φυλάσσου μήποτ' ἀχθεσθῇ κέαρ V. 390. ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων ἔχοντες ὀργὰς, χρὴ φυλάσσεσθαι κράτος S. 742. γνῶθι δ' ὕβριν ἀνέρων, καὶ φύλαξαι κότον A. 421. φύλαξαι, μὴ θράσος τέκῃ φόβον S. 493. μόνον φύλαξαι τάσδ' ἐπιστολὰς πατρὸς S. 990. γρῦπας φύλαξαι V. 806. ὅρα, φύλαξαι μητρὸς ἐγκότους κύνας C. 911. Χάλυβες, οὓς φυλάξασθαί σε χρὴ V. 717.

Φυλλάς. τό θ' ὑπέργηρων φυλλάδος ἤδη κατακαρφομένης τρίποδας μὲν ὁδοὺς στείχει A. 79. ῥίζης γὰρ οὔσης φυλλὰς ἵκετ' ἐς δόμους A. 940.

Φύλλον. τῆς αἰὲν ἐν φύλλοισι θαλλούσης βίον ξανθῆς ἐλαίας καρπὸς P. 608.

Φῦλον. τηλουρὸν δὲ γῆν ἥξεις κελαινὸν φῦλον V. 810. τὸ φῦλον οὐκ ὄπωπα τῆσδ' ὁμιλίας E. 57. πολλὰ βροτῶν διαμειβόμενα φῦλα S. 539.

Φυξάνωρ. αὐτογένητον φυξάνορα γάμον S. 8.

Φυξίμηλον Fragm. Inc. 138.

Φυρᾶν. γῆν θανόντες τήνδε φυράσειν φόνῳ T. 48.

Φύρδην. δαιμόνων θ' ἱδρύματα πρόρριζα φύρδην ἐξανέστραπται βάθρων P. 798.

Φύρειν. ἔφυρον εἰκῇ πάντα V. 448. αἵματι δ' οἶκος ἐφύρθη A. 714.

Φυσίαμα. ῥέγκουσι δ' οὐ πλαστοῖσι φυσιάμασιν E. 53.

Φυσιᾶν. πολλοῖς δὲ μόχθοις ἀνδροκμῆσι φυσιᾷ σπλάγχνον E. 239.

Φυσίζοος. ἔνθεν πᾶσα βοᾷ χθὼν, φυσίζοον γένος S. 579.

Φύσις. μορφῆς δ' οὐχ ὁμόστολος φύσις S. 491. Περσῶν ὅσοιπερ ἦσαν ἀκμαῖοι φύσιν P. 433. οἵτινές τε δεξιοὶ φύσιν V. 487. οὐκ οἶδεν οὐδεὶς, ὥστ' ἀπαγγεῖλαι τορῶς, πλὴν τοῦ τρέφοντος Ἡλίου χθονὸς φύσιν A. 619. σαρκῶν ἐπαμβατῆρας ἀγρίαις γνάθοις λιχῆνας ἐξέσθοντας ἀρχαίαν φύσιν C. 279. γνώμην δ' ἔχοντά μ' ἡ φύσις βιάζεται Fragm. Lai. 2.

Φύστις. πάνυ γὰρ φύστις μυριὰς ἀνδρῶν ἐξέφθινται P. 890.

Φυτός. φλογμὸς ὀμματοστερὴς φυτῶν E. 901.

Φυτοῦργος. πάτηρ φυτοῦργος S. 586.

Φωκεύς. ἔς τε Φωκέων χθόνα διεκπερῶμεν P. 477. Στρόφιος ὁ Φωκεὺς A. 855. ξένος μέν εἰμι Δαυλιεὺς ἐκ Φωκέων C. 662.

Φωκίς. γλώσσης ἀϋτὴν Φωκίδος μιμουμένω C. 557.

Φωνεῖν. χρύσοις δὲ φωνεῖ γράμμασιν, πρήσω πόλιν T. 417. σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος κώπῃ A. 1600. ἄλλας τε φωνεῖ προσβολὰς Ἐριννύων C. 281. τριγέρων μῦθος τάδε φωνεῖ C. 312. μεγάλης δὲ τύχης καὶ ὑπερβορέου μείζονα φωνεῖς C. 368. οὐ γάρ τι φωνεῖ παῖς ἔτ᾽ ὢν ἐν σπαργάνοις C. 744. ἄλλο τι φώνει καὶ παραμυθοῦ μ᾽ ὅ τι καὶ πείσεις V. 1065. ἐν δὲ τῷδε πράγματι φωνεῖν ἐτάχθην πρὸς σοφοῦ διδασκάλου E. 269. ἄναξ δ᾽ ὁ πρέσβυς τάδ᾽ εἶπε φωνῶν A. 198. δακτυλοδεικτῶν δ᾽ οὔτις ἀπειπὼν εἴργει μελάθρων, μηκέτ᾽ ἐσέλθῃς τάδε, φωνῶν A. 1307. μέγα φωνοῦντ᾽ ἐχθραῖς ὀργαῖς ἀμαθύνει E. 896.

Φωνή. ἵν᾽ οὔτε φωνὴν, οὔτε του μορφὴν βροτῶν ὄψει V. 21. ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη A. 1021. σὺ δ᾽ ἀντὶ φωνῆς φράζε καρβάνῳ χερὶ A. 1031. εἴθ᾽ εἶχε φωνὴν εὔφρον᾽ C. 193. ἄμφω δὲ φώνην ἥσομεν Παρνησίδα C. 556. Αἰθίοπα φωνὴν Fragm. Inc. 159.

Φῶς (lux). μήτ᾽ ἀχρημάτοισι λάμπειν φῶς, ὅσον σθένος πάρα P. 163. πέμψατ᾽ ἔνερθεν ψυχὴν ἐς φῶς P. 622. τῆς νῦν τεκούσης φῶς τόδ᾽ εὐφρόνης A. 270. φρυκτοῦ φῶς A. 283. οὐκ ἐκρύφθη, πρέπει δὲ, φῶς αἰνολαμπὲς, σίνος A. 378. τερπνὸν τόδ᾽ ἐλθὸν φῶς ἐφήλωσεν φρένας A. 478. ἥκει γὰρ ὑμῖν φῶς ἐν εὐφρόνῃ φερὼν A. 508. ἡλίῳ δ᾽ ἐπεύχομαι πρὸς ὕστατον φῶς A. 1297. πῦρ καὶ φῶς ἐπ᾽ ἐλευθερίᾳ δαίων C. 850. πάρα τὸ φῶς ἰδεῖν C. 955. 966. πρὸς φῶς ἱερὸν τῶνδε προπομπῶν ἴτε E. 959. ἰδοῦ σταθμοῦχος ἐκκατήλλων φῶς ἀθρεῖ Fragm. Sis. 2.

Φώς (homo). φωτὸς ἰατροῦ χάριν S. 258. χρυσογόνου γένεος ἰσόθεος φὼς P. 80. δόκιμος δ᾽ οὔτις ὑποστὰς μεγάλῳ ῥεύματι φώτων P. 88. οὔ τινος δοῦλοι κέκληνται φωτὸς P. 238. τοῦδε γὰρ δράμημα φωτὸς Περσικὸν πρέπει μαθεῖν P. 244. ᾄδοβάται γὰρ πολλοὶ φῶτες P. 889. τοιῷδε φωτὶ πέμπε T. 417. καὶ τῷδε φωτὶ πέμπε τὸν φερέγγυον T. 452. τοιοῦδε φωτὸς πεῖραν εὖ φυλακτέον T. 481. φέρει δ᾽ ὑπ᾽ αὐτῇ φῶτα Καδμείων ἕνα T. 525. ἐπ᾽ αὐτῷ φῶτ᾽— ἀντιτάξομεν T. 602. Δίκη ξυνοῦσα φωτὶ παντόλμῳ φρένας T. 653. ἀλλοδαπῶν κύματι φωτῶν κατακλυσθῆναι T. 1069. τὸ φωτῶν ἀλαὸν γένος V. 548. δίκη γάρ ἐστι φωτὸς ἀρχηγοῦ τίειν γύναικ᾽, ἐρημωθέντος ἄρσενος θρόνου A 250. τόν δ᾽ ἐπίστροφον τῶνδε φῶτ᾽ ἄδικον καθαιρεῖ A. 387. ἀντὶ δὲ φωτῶν τεύχη καὶ σποδὸς εἰς ἑκάστου δόμους ἀφικνεῖται A. 423. μέγαν τελεσθέντα φωτὸς ὄλβον τεκνοῦσθαι A. 731. οὐκ ἔστι λαθεῖν ὄμματα φωτὸς A. 770. βαρβάρου φωτὸς δίκην A. 893. θήγουσα φωτὶ φάσγανον A. 1235. οὐκ ἂν Ἀργείων τόδ᾽ εἴη, φῶτα προσσαίνειν κακὸν A. 1650. ἐχθρῶν ὕπαὶ φῶτ᾽ ἀπώλεσεν φίλον C. 607. μέτειμι τόνδε φῶτα E. 222. οὐκ ἦν ὅμαιμος φωτὸς, ὃν κατέκτανεν E. 575.

X.

Χαίρειν. πότερον χαίρω, κἀπολολύξω πόλεως ἀσινεῖ σωτῆρι T. 807. ὦ χαῖρε πρέσβυ S. 597. χαῖρε, Δαρείου γύναι P. 152. ὑμεῖς δὲ πρέσβεις χαίρετ᾽ ἐν κακοῖς ὅμως P. 826. ὦ χαῖρε λαμπτὴρ νυκτὸς A. 22. νῦν χαῖρε μὲν χθὼν, χαῖρε δ᾽ ἡλίου φάος A. 494. κήρυξ Ἀχαιῶν χαῖρε τῶν

ἀπὸ στρατοῦ. Χαίρω· τεθνᾶναι δ' οὐκ ἔτ' ἀντερῶ θεοῖς A. 525. χαῖρέ καὶ σὺ, καὶ πολισσοῦχος λεὼς E. 745. χαίρετε, χαίρετ' ἐν αἰσιμίαις πλούτου, χαίρετ' ἀστικὸς λεὼς E. 950. χαίρετε χ' ὑμεῖς E. 957. χαίρετε, χαίρετε δ' αὖθις, ἐπιδιπλοΐζω E. 968. ποταμοῦ Καΐκου χαῖρε πρῶτος ὀργεὼν Fragm. 131. χαίροιτ' ἂν εἰ χαίροιτε A. 1367. τοιαῦτα χαίρειν καὶ δακρύεσθαι πάρα T. 796. ἀλλ' ἢ τὸ χαίρειν μᾶλλον ἐκβάξει λέγων A. 484. πολλὰ χαίρειν ξυμφοραῖς καταξιῶ A. 558. δοκεῖ δὲ χαίρειν νοστίμῳ σωτηρίᾳ A. 1211. τὸ χαίρειν μὴ μαθόνθ' ὅπου φρενῶν E. 291. ὅπου τὸ χαίρειν μηδαμοῦ νομίζεται E. 401. οἷς μήτε χαίρειν μήτε λυπεῖσθαι πάρα Fragm. Phr. 2. 1. χαίρουσαν εὐεστοῖ πόλιν A. 633. χαίρουσαν οὐδὲν ἧσσον, ἢ κ. τ. λ. A. 1364. χαίρουσα πολύδακρυν γόον κεκρυμμένα C. 441.

Χαιρομυσής. χαιρομυσὴς φόνος C. 71.

Χαίτη. ἔπεμψε χαίτην, κουρίμην χάριν πατρὸς C. 178.

Χαίτωμα. τρεῖς κατασκίους λόφους σείει, κράνους χαίτωμα T. 367.

Χαλᾷν. τί χαλᾷ μανιῶν V. 1059. εἰ τοῖσιν οὖν κτείνουσιν ἀλλήλους χαλᾷς E. 210. τοιοῖσδε δή σε Ζεὺς ἐπ' αἰτιάμασι αἰκίζεταί τε, κοὐδαμοῦ χαλᾷ κακῶν; V. 256. ἄρασσε μᾶλλον, σφίγγε, μηδαμᾶ χάλα V. 58. γυναικείας πύλας μοχλοῖς χαλᾶτε C. 866. πρὶν ἂν ἐξ ἀγρίων δεσμῶν χαλάσῃ V. 176. πρὶν ἂν χαλασθῇ δεσμὰ λυμαντήρια V. 993.

Χαλεπός. χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμὼν S. 157. ἐκ χαλεπᾶς δύας T. 210. 'Ατρέως χαλεποῦ θοινατῆρος A. 1487.

Χαλίκρητος. σπονδαὶ χαλίκρητοι Fragm. Inc. 158.

Χαλινός. ἀλλ' ἐπηνάγκαζέ νιν Διὸς χαλινὸς πρὸς βίαν πράσσειν τάδε V. 675. χαλινὸν δ' οὐκ ἐπίσταται φέρειν A. 1036. ξυναρπάζει βίᾳ ἄνευ χαλινῶν P. 192. διάδετοι δὲ γενύων ἱππείων κινύρονται φόνον χαλινοὶ T. 116. ἱππικῶν ἀΰπνων πηδαλίων διαστόμια πυριγενετᾶν χαλινῶν T. 189. ἵππος χαλινῶν ὡς κατασθμαίνων T. 375. τίνα φῶ λεύσσειν τόνδε χαλινοῖς ἐν πετρίνοισιν χειμαζόμενον; V. 561. βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει A. 229.

Χάλκεος. λέβητος χαλκέου πλευρώματα C. 675.

Χάλκευμα. ποδωκεῖ περιβαλὼν χαλκεύματι C. 569. ἄκοντά σ' ἄκων δυσλύτοις χαλκεύμασι προσπασσαλεύσω τῷδ' ἀπανθρώπῳ πάγῳ V. 19.

Χαλκήλατος. ὑπ' ἀσπίδος δὲ τῷ χαλκήλατοι κλάζουσι κώδωνες φόβον T. 368. ἐν χαλκηλάτῳ σάκει T. 521. διώκεται πόλεως χαλκηλάτῳ πλάστιγγι λυμανθὲν δέμας C. 228. λεοντοβάμων ποῦ σκάφη χαλκήλατος; Fragm. Sis. 1. γρυπαιέτους χαλκηλάτους Fragm. 164.

Χαλκήρης. εὐθὺς δὲ ναῦς ἐν νηῒ χαλκήρη στόλον ἔπαισε P. 400.

Χαλκίς. Χαλκίδος πέραν παλιῤῥόθοις ἐν Αὐλίδος τόποις A. 183.

Χαλκόδετος. κόναβος ἐν πύλαις χαλκοδέτων σακέων T. 145.

Χαλκοθροός. χαλκοθροὸς κονάβος ὀτοβεῖ Fragm. Ed. 1.

Χαλκοκέραυνος. χαλκοκέραυνόν τε παρ' 'Ωκεανῷ λίμναν Fragm. Pr. Sol. 3.

Χαλκός. χαλκὸν, σίδηρον ἄργυρον, χρυσόν τε τίς φήσειεν ἂν πάροιθεν ἐξευρεῖν ἐμοῦ; V. 500. κακοῦ χαλκοῦ τρόπον A. 379. οὐδ' οἶδα τέρψιν οὐδ' ἐπίψογον φάτιν ἄλλου πρὸς ἀνδρὸς μᾶλλον ἢ χαλκοῦ βαφὰς A. 598. κάτοπτρον εἴδους χαλκός ἐστ', οἶνος δὲ νοῦ Fragm. Inc. 12.

Χαλκόστομος. αὐτοὶ δ' ὑφ' αὑτῶν ἐμβολαῖς χαλκοστόμοις παίοντο P. 407.

Χάλυψ. Χάλυβος Σκυθῶν ἄποικος κτεάνων χρηματοδαίτας πικρὸς ὠμόφρων σίδαρος T. 710. κτύπου γὰρ ἀχὼ Χάλυβος διῇξεν ἄντρων μυχὸν V. 133. λαιᾶς δὲ χειρὸς οἱ σιδηροτέκτονες οἰκοῦσι Χάλυβες, οὓς φυλάξασθαί σε χρὴ V. 717.

Χαμάδις. παντοδαπὸς δὲ καρπὸς χαμάδις πεσὼν ἀλγύνει κυρήσας T. 340.

Χαμαί. μὴ χαμαὶ τιθεὶς τὸν σὸν πόδ' A. 880. αἷμα μητρῷον χαμαὶ δυσαγκόμιστον C. 251.

Χαμαιπετής. μηδὲ, βαρβάρου φωτὸς δίκην, χαμαιπετὲς βόαμα προσχάνῃς ἐμοί· A. 894. πολὺν ἄγαν χρόνον χαμαιπετεῖς ἔκεισθ' ἀεὶ C. 958.

Χαμεύνης. πρὶν τόνδ' ἐπιδεῖν ἀργυρο-

τοίχου δροίτας κατέχοντα χαμεύναν A. 1521.

Χαρά. *χαρᾷ ματαίᾳ πέμπει γέγωνα Ζηνὶ κυμαίνοντ' ἔπη* T. 424. *χαρά μ' ὑφέρπει, δάκρυον ἐκκαλουμένη* A. 261. *ὥστ' ἐνδακρύειν γ' ὄμμασιν χαρᾶς ὕπο* A. 527. *ἀνωλόλυξα μὲν πάλαι χαρᾶς ὕπο* A. 573. *ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ* A. 1613. *ἐν πρώτῃ χαρᾷ* Fragm. Phin. 1. *χαρᾷ δὲ μὴ 'κπλαγῇς φρένας* C. 231.

Χαρακτήρ. *Κύπριος χαρακτὴρ τ' ἐν γυναικείοις τύποις εἰκὼς πέπληκται τεκτόνων πρὸς ἀρσένων* S. 279.

Χαρίεις. *ἢ χαρίεν ἔστ' ἄνθρωπος* Fragm. 10.

Χαρίζεσθαι. *ὤτρυνε θεσμὸν μὴ χαρίζεσθαι πυρὸς* A. 295. *δέομαι μὲν χαρίσασθαι δέομαι δ' ἀντία λέξαι* P. 686.

Χάρις. *εἰ δέ τις μείζων χάρις* S. 938. *εὐπρυμνῆ φρενὸς χάριν σέβεσθαι τιμιωτέραν ἐμοῦ* S. 968. *ἔρεσσ', ἔρεσσε, καὶ στέναζ' ἐμὴν χάριν* P. 1003. *χάρις δ' ἀφ' ἡμῶν ὀλομένων θαυμάζεται* T. 685. *ἄχαρις χάρις* V. 545. A. 1525. C. 42. *σὸν ἔργον, Ἰοῖ, τοῖσδ' ὑπουργῆσαι χάριν* V. 638. *τήνδ' ἐμοὶ χάριν θέσθαι θέλησον* V. 785. *ἡμὶν αὖ χάριν δὸς ἥντιν' αἰτούμεσθα* V. 823. *καὶ μὴν ὀφείλων γ' ἂν τίνοιμ' αὐτῷ χάριν* V. 987. *δαιμόνων δὲ ποῦ χάρις;* A. 175. *χάρις γὰρ οὐκ ἄτιμος εἴργασται πόνων* A. 345. *ὅσοις ἀθίκτων χάρις πατοῖθ'* A. 361. *εὐμόρφων δὲ κολοσσῶν ἔχθεται χάρις ἀνδρὶ* A. 406. *πεπτωκότι τρίτην ἐπενδίδωμι τοῦ κατὰ χθονὸς Ἅιδου νεκρῶν σωτῆρος εὐκταίαν χάριν* A. 1360. *ὀνειρόφαντοι δὲ πενθήμονες πάρεισι δόξαι φέροντες χάριν ματαίαν* A. 410. *πρὸ τοῦ φανέντος χάριν ξυναινέσαι* A. 471. *ὡς νῦν τὸ σὸν δὴ, καὶ θανεῖν πολλὴ χάρις* A. 536. *χάρις τιμήσεται Διὸς τόδ' ἐκπράξασα* A. 566. *χάριν τροφᾶς ἀμείβων* A. 711. *ὑποκάμψας καιρὸν χάριτος* A. 761. *τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν τίνειν* A. 795. *ἀρχαιοπλούτων δεσποτῶν πολλὴ χάρις* A. 1013. *οὔποτ' ἐλπίσασι τήνδ' ἕξειν χάριν* A. 1028. *ἀλλ' ἦν παλαιστὴς κάρτ' ἐμοὶ πνέων χάριν* A. 1276. *ἔπεμψε χαίτην, κουρίμην χάριν πατρὸς* C. 178. *θανόντι δ', οὐ φρονοῦντι δειλαία χάρις ἐπέμπετ'* C. 510. *τοῖς ἄνωθεν προπράσσων χάριτος ὀργὰς λυπρὰς* C. 822. *δενδροπήμων δὲ μὴ πνέοι βλάβα, τὰν ἐμὰν χάριν λέγω* E. 899. *ἅ τε χάρις λάμπει περὶ σὰν πτέρυγα χρύσεον* Fragm. Inc. 23. 6. *χάριτες δ' ὁμοίως κέκληνται γόος εὐκλεὴς προσθοδόμοις Ἀτρείδαις* C. 317. *φωτὸς ἰατροῦ χάριν* S. 258. *Διὸς χάριν* S. 440. *τῆσδε συμφορᾶς χάριν* A. 24. *ἴσθι μοι δώσων ἄποινα, τῆσδε μωρίας χάριν* A. 1655. *γλώσσης χάριν δὲ πάντ' ἀπαγγελεῖ τάδε* C. 264. *δεσποίνης χάριν* C. 530.

Χαριτογλωσσεῖν. *οὐδὲ μάτην χαριτογλωσσεῖν ἔνι μοι* V. 294.

Χάρμα. *πεύσῃ δὲ χάρμα μεῖζον ἐλπίδος κλύειν* A. 257. *λυπρά, χάρματα δ' ἐχθροῖς* P. 991. *χάρματα δ' ἀντιδιδοῖεν κοινοφελεῖ διανοίᾳ* E. 939.

Χάρων Fragm. Act. 2.

Χείλωμα Fragm. Psych. 1.

Χεῖμα. *ἦν δ' οὐδὲν αὐτοῖς οὐδὲ χείματος τέκμαρ* V, 452. *φέροντας χεῖμα καὶ θέρος βροτοῖς ἀστέρας* A. 9. *πικροῦ χείματος ἄλλο μῆχαρ βριθύτερον πρόμοισι μάντις ἔκλαγξε* A. 192. *χεῖμα, κοινὸν ἄχθος, ἥρπασε στρατοῦ* A. 613. *κάλλιστον ἦμαρ εἰσιδεῖν ἐκ χείματος* A. 874.

Χειμάζεσθαι. *ἀφ' οὗ παλιμπλάγκτοισι χειμάζῃ δρόμοις* V. 840. *τίνα φῶ λεύσσειν τόνδε χαλινοῖς ἐν πετρίνοισι χειμαζόμενον;* V. 562.

Χειμαμύνα Fragm. Inc. 140.

Χειμάῤῥους. *μίαν παρείρας πλεκτάνην χειμάῤῥοον στέγην πυρώσω* Fragm. Orith. 1. 3.

Χειμών. *χαλεποῦ γὰρ ἐκ πνεύματος εἶσι χειμὼν* S. 162. *θεὸς χειμῶν' ἄωρον ὦρσε* P. 488. *λέγουσ' ὀδύρομαι θεόσσυτον χειμῶνα* V. 647. *οἷός σε χειμὼν καὶ κακῶν τρικυμία ἔπεισ' ἄφυκτος* V. 1016. *χειμῶνα δ' εἰ λέγοι τις οἰωνοκτόνον* A. 549. *πῶς γὰρ λέγεις χειμῶνα ναυτικῷ στρατῷ ἐλθεῖν;* A. 620. *λέγων χειμῶν' Ἀχαιῶν οὐκ ἀμήνιτον θεοῖς* A. 634. *κεροτυπούμεναι βίᾳ χειμῶνι τυφῶ σὺν ζάλῃ τ' ὀμβροκτύπῳ ᾤχοντ' ἄφαντοι* A. 641. *θάλπος μὲν ἐν χειμῶνι σημαίνεις μολὼν* A. 943. *ὅδε τοι μελάθροις τοῖς βασιλείοις τρίτος αὖ χειμὼν πνεούσας γονίας ἐτελέσθη* C. 1062. *οἷοισιν ἐν*

χειμῶσι, ναυτίλων δίκην, στροβούμεθ' C. 199.

Χειμωνότυπος. *λαίλαπι χειμωνοτύπῳ —ὄλοιντο* S. 35.

Χεῖν. *ποταμοὺς, οἱ διὰ χώρας θελεμὸν πῶμα χέουσιν* S. 1007. *εὐοδίαν μὲν πρῶτ' ἀπὸ στόματος χέομεν* Glauc. Potn. 2. *νῦν ὅτε καὶ θεοὶ Διογενεῖς κλύοιτ' εὐκταῖα γένει χεούσας* S. 626. *Ἑλλάδος πόλιν φθόγγον χέουσαν* T. 73. *κρόκου βαφὰς ἐς πέδον χέουσα* A. 230. *τύμβῳ χέουσα τάσδε κηδείους χοὰς* C. 85. *χέουσα τόνδε πέλανον ἐν τύμβῳ πατρὸς* C. 90. *φθέγγου χέουσα σεμνὰ τοῖσιν εὔφροσιν* C. 107. *χέουσα τάσδε χέρνιβας* C. 127. *κεχυμένων χοᾶν* C. 154. *ἀλλὰ νόμος μὲν φονίας σταγόνας χυμένας ἐς πέδον, ἄλλο προσαιτεῖν αἷμα* C. 395. *τὸ διερὸν πέδῳ χυμένον οἴχεται* E. 253. *χρὴ χοὰς γῇ τε καὶ φθιτοῖς χέασθαι* P. 216.

Χείρ. *ὡς αὐτοφόνως ὤλετο πρὸς χειρὸς ἔθεν δυσμάτορος κότον τυχὼν* S. 64. *καὶ Ζεύς γ' ἐφάπτωρ χειρὶ φιτύει γόνον* S. 308. *καὶ δή σφε λείπω χειρὶ καὶ λόγοις σέθεν* S. 502. *δήμου κρατοῦσα χεὶρ ὅποι πληθύεται* S. 599. *ἡμῶν χεῖρ' ἀποσχῶνται* S. 737. *δεδωμάτωμαι δ' οὐδ' ἐγὼ σμικρᾷ χερὶ* S. 936. *πημονὰς ἐλύσατ' εὖ χειρὶ παιωνίᾳ κατασχέθων* S. 1052. *τοξουλκὸς αἰχμὴ διὰ χερός γ' αὐτοῖς πρέπει* P. 235. *χεὶρ δ' ὁρᾷ τὸ δράσιμον* T. 536. *χεῖρα δ' οὐ βραδύνεται παρ' ἀσπίδος γυμνωθὲν ἅρπασαι δορὺ* T. 605. *πατροφόνῳ χερὶ ἀπ' ὀμμάτων ἐπλάγχθη* T. 765. *σιδαρονόμῳ διὰ χερί ποτε λαχεῖν κτήματα* T. 771. *βούλευμα μὲν τὸ Δῖον, Ἡφαίστου δὲ χεὶρ* V. 622. *οἰκοῦσι λαιᾶς χειρὸς* V. 716. *ἐπαφῶν ἀταρβεῖ χειρὶ καὶ θιγὼν μόνον* V. 851. *γένοιτο δ' οὖν μολόντος εὐφιλῆ χέρα ἄνακτος οἴκων τῇδε βαστάσαι χερὶ* A. 34. *σὺν δορὶ καὶ χερὶ πράκτορι* A. 111. *χερὸς ἐκ δορυπάλτου* A. 116. *φαιδρωπὸς ποτὶ χεῖρα* A. 707. *τῷ δ' ἐναντίῳ κύτει ἐλπὶς προσήει χειρὸς οὐ πληρουμένῳ* A. 791. *σὺ δ' ἀντὶ φωνῆς φράζε καρβάνῳ χερὶ* A. 1031. *προτείνει δὲ χεὶρ ἐκ χειρὸς ὀρεγομένα* A. 1082. *οὐ καθεύδουσιν χερὶ* A. 1330. *τῆσδε δεξιᾶς χερὸς ἔργον* A. 1379. *χειρὶ νικήσας* A. 1397. *δολίῳ μόρῳ δαμεὶς ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ* A. 1475. *χερὸς πατρῴας ἐκτίνοντα μηχανὰς* A. 1564. *τὸν πρὸς ἄλλης δεσποτούμενον χερὸς* C. 102. *σωφρονεστέραν πολὺ μητρὸς γενέσθαι, χειρί τ' εὐσεβεστέραν* C. 139. *ἰδοῦ δ' ὕφασμα τοῦτο σῆς ἔργον χερὸς* C. 229. *πόθεν ἕξεις ὁμοίας χειρὸς εὔθοινον γέρας* C. 254. *πανούργῳ χειρὶ ἄταν ἀμπέμπων* C. 378. *ἐπασσυτεροτριβῆ τὰ χερὸς ὀρέγματα* C. 420. *καὶ πότ' ἂν ἀμφιθαλὴς Ζεὺς ἐπὶ χεῖρα βάλοι* C. 389. *ἔθιγε δ' ἐν μάχᾳ χερὸς ἐτήτυμος Διὸς κόρα* C. 936. *δέχου δὲ πρευμενῶς ἀλάστορα οὐ προστρόπαιον οὐδ' ἀφοίβαντον χέρα* E. 228. *βρίζει γὰρ αἷμα καὶ μιαίνεται χερὸς* E. 270. *οὐδ' ἔχει μύσος πρὸς χειρὶ τῇ 'μῇ τὸ σὸν ἐφεζομένη βρέτας* E. 423. *ξιφουλκῷ χειρὶ πρὸς δέρην τεμὼν* E. 562. *ὑπόσκοπον χέρα* Fragm. Th. 4. *ἡβῶσα χεὶρ ἐφίετο* Fragm. Oss. 1. *πρὶν ἄνδρ' ἀπευκτὸν τῷδ' ἐγχριμφθῆναι χεροῖν* S. 771. *χεροῖν ἔντη δίφρου διασπαράττει* P. 190. *χεροῖν καλλιρρόου ἔψαυσα πηγῆς* P. 197. *οὐ κόμπον ἐν χεροῖν ἔχων* T. 455. *ἐρέσσετ' ἀμφὶ κρατὶ πόμπιμον χεροῖν πίτυλον* T. 887. *περὶ χεῖρε βαλοῦσα φιλήσει* A. 1539. *ἐν χεροῖν παλίντονα βέλη πάλλων* C. 159. *μόριμον λάχος πιμπλάντων χεροῖν* C. 358. *πέδας τε χειροῖν καὶ ποδοῖν ξυνώριδα* C. 976. *ποταίνιον γὰρ αἷμά σοι χεροῖν ἔπι* C. 1051. *πρὶν ἂν παλαγμοῖς αἵματος χοιροκτόνου αὐτός σε χράναι Ζεὺς κατάσταξας χεροῖν* Fragm. Inc. 72. *ἀγάλματ' οἰκείου Διὸς σεμνῶς ἔχουσαι διὰ χερῶν* S. 190. *πανδημίᾳ γὰρ χερσὶ δεξιωνύμοις ἔφριξεν αἰθὴρ* S. 602. *χερσὶν Ἀργεῖος λεὼς ἔκρανε* S. 616. *πολλὰ μὲν γὰρ ἐκ χερῶν πέτροισιν ἠράσσοντο* P. 451. *ἀπαλαῖς χερσὶ καλύπτρας κατερεικόμεναι* P. 529. *νᾶες ἀπώλεσαν, τοτοῖ, δι' Ἰαόνων χέρας* P. 555. *πέπλον δ' ἔρεικε κολπίαν ἀκμῇ χερῶν* P. 1017. *θιγγάνοντες χερσὶ ταυρείου φόνου* T. 44. *μνημεῖα δ' αὐτῶν τοῖς τεκοῦσιν ἐς δόμους πρὸς ἅρμ' Ἀδράστου χερσὶν ἔστεφον* T. 51. *φλέγει δὲ λαμπὰς διὰ χερῶν ὡπλισμένη* T. 415. *διὰ χερῶν βέλος φλέγων* T. 495. *ἀλλ' ἄνδρας Ἀργείοισι Καδμείους ἅλις ἐς χεῖρας ἐλθεῖν* T. 662.

οὔτ' ἂν ἐκ χερῶν θεοὶ θυσίαν δέχονται T. 683. τεθνᾶσιν ἐκ χερῶν αὐτοκτόνων T. 787. ἀδελφαῖς χερσὶν ἠναίροντ' T. 793. ἐτελεύτασαν ὑπ' ἀλλαλοφόνοις χερσὶν ὁμοσπόροισι T. 915. ἀμφὶ χερσὶν ἐγκρατεῖ σθένει ῥαιστῆρι θεῖνε V. 55. τινάσσων χερσὶ πυρπνόον βέλος V. 919. λιπαρήσω τὸν μέγα στυγούμενον γυναικομίμοις ὑπτιάσμασιν χερῶν V. 1007. διὰ χερῶν βέβακεν ὄψις A. 413. σὺν πίνῳ χερῶν A. 752. χεῖρας κρεῶν πλήθοντες A. 1193. χερῶν ἄκρους κτένας A. 1576. τῶν δὲ κρατούντων χέρες οὐχ ὅσιαι στυγερῶν τούτων C. 371. ἕκατι χερῶν ἁμᾶν C. 431. τρέχω δὲ χερσὶν E. 37. αἵματι στάζοντα χεῖρας E. 42. κατασφαγείσης πρὸς χερῶν μητροκτόνων E. 102. ὑπόδικος θέλει γενέσθαι χερῶν E. 250. τοὺς μὲν καθαρὰς χεῖρας προσνέμοντας οὔτις ἀφ' ἡμῶν μῆνις ἐφέρπει E. 303. χεῖρας φονίας ἐπικρύπτει E. 307. ἀθανάτων ἀπέχειν χέρας E. 330. ἰὼ θεοὶ νεώτεροι παλαιοὺς νόμους καθιππάσασθε, κἀκ χερῶν εἵλεσθέ μου E. 749. ἐν χερσὶ βόμβυκας ἔχων Fragm Dan. 1. ἀμφιδεξίοις χερσὶ Fragm. Tel. 2.

Χειροτόνος. κλύετε πανδίκους χειροτόνους λιτὰς T. 156.

Χειροῦσθαι. πρὸς βίαν χειρούμενος V. 353. τόξοις πρόσωθεν εὐσκόποις χειρουμένη C. 683. τὰς δὲ κεχειρωμένας ἄγεσθαι ἱππηδὸν πλοκάμων— οἰκτρὸν T. 307.

Χείρωμα. δούλης θανούσης εὐμαροῦς χειρώματος A. 1299. μήθ' ὁμαρτεῖν τυμβοχόα χειρώματα T. 1013.

Χειρωναξία. ὦ πολλὰ μισηθεῖσα χειρωναξία V. 45. διπλᾶς δὲ τάσδε χειρωναξίας ἔχουσα C. 750.

Χελιδονίζειν Fragm. Inc. 160.

Χελιδών. χελιδόνος δίκην, ἀγνῶτα φωνὴν βάρβαρον κεκτημένη A. 1020. πεδοίκου χελιδόνος Fragm. Bacch. Nutr. 2.

Χέλυς. εἶτ' οὖν σοφιστὴς καλὰ παραπαίων χέλυν Fragm. Inc. 50.

Χερμάς. τοὶ δ' ἐπ' ἀμφιβόλοισιν ἰάπτουσι πολίταις χερμάδ' ὀκρυοέσσαν T. 282.

Χερνήτης. μήτε τῶν γέννᾳ μεγαλυνομένων ὄντα χερνήταν ἐραστεῦσαι γάμων V. 895.

Χέρνιψ. ποία δὲ χέρνιψ φρατόρων προσδέξεται; E. 626. κοινωνὸν εἶναι χερνίβων A. 1007. χέουσα τάσδε χέρνιβας C. 127.

Χερσαῖος. βοᾷ γὰρ κῦμα χερσαῖον στρατοῦ T. 64.

Χέρσος. πρὶν πόδα χέρτῳ τῇδ' ἐν ἀσώδει θεῖναι S. 32. τἀπὶ χέρσου νῦν προμήθειαν λαβεῖν αἰνῶ φυλάξαι S. 174. πολλὰ μὲν γὰρ ἐκ θαλάσσης, πολλὰ δ' ἐκ χέρσου κακὰ γίνεται βροτοῖς P. 693. κατὰ χέρσον ἐληλαμέναι P. 852. τλάμονες ἀσπαίρουσι χέρσῳ P. 939. εἰς ἀφανῆ χέρσον T. 842. τὰ δ' αὖτε χέρσῳ καὶ προσῆν πλέον στύγος A. 544. ὅμοια χέρσον καὶ θάλασσαν ἐκπερῶν E. 231.

Χεῦμα. οἷς χεῦμ' Ἐρασίνου περιναίεται παλαιὸν S. 998. Τρίτωνος ἀμφὶ χεῦμα E. 283. ἐρυθρᾶς ἱερὸν χεῦμα θαλάσσης Fragm. Pr. Sol. 3. 2. λιπαροῖς χεύμασι γαίας τόδε μειλίσσοντες οὖδας S. 1008.

Χηλή. χηλαῖς κάρα τίλλων P. 204.

Χθόνιος. ὕπατοί τε θεοὶ καὶ βαρύτιμοι χθόνιοι θήκας κατέχοντες S. 25. χθόνιοι δαίμονες ἁγνοὶ P. 620. Γᾶ τε καὶ ἄλλοι χθονίων ἁγεμόνες P. 632. τοῦ χθονίου δέμας δαίμονος T. 504. χθονία κόνις T. 718. βροντήμασι χθονίοις κυκάτω πάντα V. 996. θεῶν τῶν ἀστυνόμων, ὑπάτων, χθονίων A. 89. Ἑρμῆ χθόνιε C. 1. 122. πρόπολός τε τῶν μεγίστων ἐκεῖ τυράννων χθονίων C. 354. κλῦτε δὴ τὰ χθονίων τετιμέναι C. 393. μάκαρες χθόνιοι C. 469. χθόνιον Ἑρμῆν καὶ τὸν νύχιον C. 716.

Χθονοτρεφής. τί κακὸν, ὦ γύναι, χθονοτρεφὲς ἐδανὸν ἢ ποτὸν πασαμένα A. 1380.

Χθών. Δίαν δὲ λιποῦσαι χθόνα σύγχορτον Συρίᾳ φεύγομεν S. 5. εὖ τ' ἔπεμψεν, εὖ τε δεξάσθω χθονὶ S. 216. γένος Πελασγῶν τήνδε καρποῦται χθόνα S. 250. ὁρίζομαι δὲ τήνδε Περραίβων χθόνα S. 253. χθόνα τήνδ' ἐκκαθαίρει κνωδάλων βροτοφθόρων S. 260. τούτων ἄκη τομαῖα καὶ λυτήρια πράξας ἀμέμπτως Ἆπις Ἀργείᾳ χθονὶ S. 266. χθόνα παρ' Αἰθίοψιν ἀστυγειτονουμένας S. 282. Ἰὼ γενέσθαι τῇδ' ἐν Ἀργείᾳ χθονί φασιν S. 289. δοκεῖτε δή μοι τῆσδε κοινωνεῖν

χθονὸς τἀρχαῖον S. 320. κρατύνεις βωμὸν ἑστίαν χθονὸς S. 367. ὦ πᾶν κράτος ἔχων χθονὸς S. 420. βαθύπλουτον περᾷ χθόνα S. 549. ἔνθεν πᾶσα βοᾷ χθὼν S. 578. ὑπὸ χθόνα στείλασα λαῖφος παγκρότως ἐρέσσεται S. 703. μολόντες ἀλίμενον χθόνα S. 749. ποῖ φύγωμεν Ἀπίας χθονός; S. 759. ἀνδρῶν Πελασγῶν τήνδ' ἀτιμάζεις χθόνα S. 890. οἷς πέρι πᾶσα χθὼν Ἀσιῆτις θρέψασα, πόθῳ στένεται μαλερῷ P. 61. ἐπὶ πᾶσαν χθόνα ποιμανορίαν ἐλαύνει P. 75. σωθεὶς δ' ὁμοίως τῆσδε κοιρανεῖ χθονὸς P. 210. ποῦ τὰς Ἀθήνας φασὶν ἱδρῦσθαι χθονός; P. 227. ἀργύρου πηγή τις αὐτοῖς ἐστι, θησαυρὸς χθονὸς P. 234. ἀμφὶ νῆσον τὴν πελειοθρέμμονα νικώμενοι κύρισσον ἰσχυρὰν χθόνα P. 302. εὖτ' ἂν φλέγων ἀκτῖσιν ἥλιος χθόνα λήξῃ P. 356. στρατὸς δ' ὁ λυπὸς ἔν τε Βοιωτῶν χθονὶ διώλλυτ' P. 474. ἔς τε Φωκέων χθόνα διεκπερῶμεν P. 477. οἱ κατὰ χθονὸς θεοὶ P. 675. φίλον πίασμα Βοιωτῶν χθονὶ P. 792. Ἀσία χθὼν P. 893. θεοὶ πολισσοῦχοι χθονὸς T. 104. θανὼν τροφεῖα πληρώσει χθονὶ T. 459. τήνδε πιανῶ χθόνα μάντις κεκευθὼς πολεμίας ὑπὸ χθονὸς T. 569. πύργοις ἐπεμβὰς κἀπικηρυχθεὶς χθονὶ T. 616. πατρῴας ἐν κακουχίᾳ χθονὸς T. 650. χθόνα ναίειν διαπήλας ὁπόσαν καὶ φθιμένοισι κατέχειν T. 713. ἕξουσι δ' ἣν λάβωσιν ἐν ταφῇ χθονὸς T. 800. ἰὼ ἰὼ κακὰ δώμασι καὶ χθονὶ T. 986. ποῦ σφε θήσομεν χθονός; T. 993. τόνδ' ἐπ' εὐνοίᾳ χθονὸς θάπτειν ἔδοξε T. 998. ἀναστατῆρα Καδμείων χθονὸς T. 1006. χθονὸς μὲν εἰς τηλουρὸν ἥκομεν πέδον V. 1. τοῦ περὶ πᾶσαν εἰλισσομένου χθόν' ἀκοιμήτῳ ῥεύματι παῖδες V. 139. χθονὶ τῇδε πελῶ V. 283. κίον' οὐρανοῦ τε καὶ χθονὸς ὤμοις ἐρείδων V. 350. ἔνερθε δὲ χθονὸς κεκρυμμέν' ἀνθρώποισιν ὠφελήματα V. 499. χθονὶ κάλυψον V. 583. ἐκπερᾶν χθόνα V. 715. οὗτός σ' ὁδώσει τὴν τρίγωνον ἐς χθόνα Νείλου V. 815. πόλις Κάνωβος ἐσχάτη χθονὸς V. 848. Νεῖλος ἀρδεύει χθόνα V. 854. χθόνα δ' ἐκ πυθμένων αὐταῖς ῥίζαις πνεῦμα κραδαίνοι V. 1048. χθὼν σεσάλευται V. 1082. χθόνα βάκτροις ἐπικρούσαντας A. 196. ἰὼ πατρῷον οὖδας Ἀργείας χθονὸς A. 489. οὐ γάρ ποτ' ηὔχουν τῇδ' ἐν Ἀργείᾳ χθονὶ θανὼν μεθέξειν φιλτάτου τάφου μέρος A. 492. χαῖρε μὲν χθών, χαῖρε δ' ἡλίου φάος A. 494. σπέρμα πάσης ἐξαπόλλυται χθονὸς A. 514. ὑπὲρ θαλάσσης καὶ χθονὸς ποτώμενοι A. 562. τοῦ τρέφοντος ἡλίου χθονὸς φύσιν A. 619. ἐξοκεῖλαι πρὸς κραταίλεων χθόνα A. 652. τὴν κάτω γὰρ οὐ λέγω χθονὸς A. 847. τοῦ κατὰ χθονὸς Ἅιδου A. 1359. δι' αἵματ' ἐκποθένθ' ὑπὸ χθονὸς τροφοῦ C. 64. κατὰ χθονὸς ἐμπρέπων C. 351. ἄτιμος ἐν πυροῖσι κνισσωτοῖς χθονὸς C. 478. ὦ πότνια χθὼν C. 711. τοῖς ὑπὸ χθονὸς φίλοισι C. 820. μέγαν ἔχων μυχὸν χθονὸς C. 942. χθόνα ἀνήμερον τιθέντες ἡμερωμένην E. 13. σκότον νέμονται Τάρταρόν θ' ὑπὸ χθονὸς E. 72. βεβῶτ' ἂν αἰεὶ τὴν πλανοστιβῆ χθόνα E. 76. ὦ κατὰ χθονὸς θεαὶ E. 115. χθονὸς γὰρ πᾶς πεποίμανται τόπος E. 240. ἔνερθε χθονὸς E. 264. καίπερ ὑπὸ χθόνα τάξιν ἔχουσα E. 373. ὁρῶσα τήνδ' ὁμιλίαν χθονὸς E. 384. βαρεῖαν τήνδ' ὁμιλίαν χθονὸς ξύμβουλός εἰμι μηδαμῶς ἀτιμάσαι E. 681. πρυμνήτης χθονὸς E. 735. ἀντιπαθῆ μεθεῖσα κραδίας σταλαγμὸν χθονὶ ἄπορον E. 753. κευθμῶνες ἐνδίκου χθονὸς E. 772. μηδ' ὑπερθύμως ἄγαν θεαὶ βροτῶν στήσητε δύσκηλον χθόνα E. 789. σὺ δ' εὐπειθὴς ἐμοὶ γλώσσης ματαίας μὴ 'κβάλῃς ἐπὶ χθόνα καρπὸν E. 794. ἐς ἀλλόφυλον ἐλθοῦσαι χθόνα E. 813. ἔξεστι γάρ σοι τῆσδέ γ' εὐμοίρου χθονὸς εἶναι δικαίως ἐς τὸ πᾶν τιμωμένῃ E. 850. τοίγαρ κατὰ χθόν' οὖσ' ἐπικτήσῃ φίλους E. 861. τί οὖν μ' ἄνωγας τῇδ' ἐφυμνῆσαι χθονί; E. 862. ἀνέμων ἀήματα εὐηλίως πνέοντ' ἐπιστείχειν χθόνα E. 866. τοὺς ἔνερθε καὶ κατὰ χθονὸς τόπους E. 977. ὄμμα γὰρ πάσης χθονὸς Θησῇδος ἐξίκοιτ' ἂν E. 979. ὅπως ἂν εὔφρων ἥδ' ὁμιλία χθονὸς τὸ λοιπὸν εὐάνδροισι συμφοραῖς πρέπῃ E. 984. ἐρᾷ μὲν ἁγνὸς οὐρανὸς τρῶσαι χθόνα Dan. 2. 1. χθονὸς Εὐρώπης τέρμονα Prom. Sol. 1. 4. νιφάδι

στρογγύλων πέτρων ὑπόσκιον θήσει χθόνα Prom. Sol. 6. 8. ναυβάτην φορτηγὸν ὅστις ῥῶπον ἐξάγει χθονὸς Fragm. Phr. 1.

Χθών. Οὐρανοῦ τε καὶ Χθονὸς τέκνα V. 205. Τιτανὶς ἄλλη παῖς Χθονὸς Φοίβη E. 6.

Χιλίαρχος. ὁ χιλίαρχος Δαδάκης P. 296.

Χιλιάς. Ξέρξῃ δὲ, καὶ γὰρ οἶδα, χιλιὰς μὲν ἦν P. 333.

Χιλιοναύτης. στόλος Ἀργείων χιλιοναύτης A. 45.

Χιονόβοσκος. λειμῶν χιονόβοσκος S. 554.

Χίος. Χίος ἠδὲ Πάρος P. 858.

Χιτών. λακὶς χιτῶνος ἔργον οὐ κατοικτιεῖ S. 880. Λιβυρνικῆς μίμημα μανδύης χιτὼν Fragm. Inc. 88.

Χιών. πρὸς ὃν νέφη δ' ὑδρηλὰ γίγνεται χιὼν S. 774. χειμῶν' οἷον παρεῖχ' ἄφερτον Ἰδαία χιὼν A. 550. Αἴγυπτος ἁγνοῦ νάματος πληρουμένη τήκει πετραῖαν χιόνα Fragm. Inc. 31. 6.

Χλαῖνα. τρίμοιρον χλαῖναν ἐξηύχει λαβὼν ἅπαξ ἑκάστῳ κατθανεῖν μορφώματι A. 846.

Χλῆδον. καὶ παλτὰ, κἀγκυλητὰ καὶ χλῆδον βαλὼν Fragm. Arg. 1.

Χλιδᾶν. χλιδᾷν ἔοικας τοῖς παροῦσι πράγμασι. Χλιδῶ; χλιδῶντας ὧδε τοὺς ἐμοὺς ἐγὼ ἐχθροὺς ἴδοιμι V. 973. χλιδῶν τε πλόκαμος ὥστε παρθένοις ἁβραῖς Fragm. Inc. 107.

Χλιδανός. χλιδανῆς ἥβης τέρψις P. 536.

Χλιδή. μή τι χλιδῇ δοκεῖτε μήτ' αὐθαδίᾳ σιγᾶν με V. 434. ἄγαλμα τῆς ὑπερπλούτου χλιδῆς V. 464. ἐμοὶ δ' ἐπήγαγεν εὐνῆς παροψώνημα τῆς ἐμῆς χλιδῆς A. 1422. καὶ παρθένων χλιδαῖσιν εὐμόρφοις ἔπι πᾶς τις παρελθὼν ὄμματος θελκτήριον τόξευμ' ἔπεμψεν, ἱμέρου νικώμενος S. 981. ἄνευ τ' ὀχημάτων χλιδῆς τε τῆς πάροιθεν P. 600.

Χλίειν. στόλον πέπλοισι βαρβάροισι καὶ πυκνώμασι χλίοντα προσφωνοῦμεν S. 233. οἱ δ' ὑπερκόπως ἐν τοῖσι σοῖς πόνοισι χλίουσιν μέγα C. 134.

Χλοῦνις. σπέρματός τ' ἀποφθοραὶ παίδων κακοῦ τε χλοῦνις, ἠδ' ἀκρωνία E. 179.

Χλωρός. χλωρῷ δείματι θυμὸν πάλλοντο S. 561.

Χνόη. ἔλακον ἀξόνων βριθόμεναι χνόαι T. 138. σπουδῇ διώκων πομπίμους χνόας ποδῶν T. 353.

Χοή. χοᾶς προπομπὸς C. 23. δεύτερον δὲ χρὴ χοὰς γῇ τε καὶ φθιτοῖς χέασθαι P. 215. παιδὸς πατρὶ πρευμενεῖς χοὰς φέρουσα P. 601. χοαῖσι ταῖσδε νερτέρων ὕμνους ἐπευφημεῖτε P. 611. σύ τε πέμπε χοὰς θαλάμους ὕπο γῆς P. 616. χοὰς δὲ πρευμενεῖς ἐδεξάμην P. 671. πατρὶ τῷ 'μῷ τάσδ' ἐπεικάσας κυρῶ χοὰς φερούσας νερτέροις μειλίγμασιν C. 15. τύμβῳ χέουσα τάσδε κηδείους χοὰς C. 85. τοιαῖσδ' ἐπ' εὐχαῖς τάσδ' ἐπισπένδω χοὰς C. 146. κεχυμένων χοᾶν C. 153. ἔχει μὲν ἤδη γαπότους χοὰς πατὴρ C. 162. ἐγὼ χοάς σοι τῆς ἐμῆς παγκληρίας οἴσω C. 479. πόθεν χοὰς ἔπεμψε; C. 508. νυκτιπλάγκτων δειμάτων πεπαλμένη χοὰς ἔπεμψε τάσδε δύσθεος γυνὴ C. 518. πέμπει δ' ἔπειτα τάσδε κηδείους χοὰς C. 531. ἦ πολλὰ μὲν δὴ τῶν ἐμῶν ἐλείξατε, χοάς τ' ἀοίνους, νηφάλια μειλίγματα E. 107.

Χοιράς. ἀκταὶ δὲ νεκρῶν χοιράδες τ' ἐπλήθυον P. 413. λίμνην, Δηλίαν τε χοιράδα λιπὼν E. 9.

Χοιροκτόνος. καθαρμοῖς ἠλάθη χοιροκτόνοις E. 273. πρὶν ἂν παλαγμοῖς αἵματος χοιροκτόνου αὐτός σε χράναι Ζεὺς Fragm. Inc. 72.

Χοῖρος. ἐγὼ δὲ χοῖρον καὶ μάλ' εὐθηλούμενον τόνδ' ἐν γναθοῦντι κριβάνῳ θήσω Fragm. Inc. 51. λευκὸς, τί δ' οὐχί; καὶ καλῶς ἠφευμένος ὁ χοῖρος Fragm. Inc. 52. χοῖρον τόνδε τῆς αὐτῆς ὑὸς Fragm. Inc. 52.

Χολή. χροιὰν τίνα ἔχοντ' ἂν εἴη δαίμοσιν πρὸς ἡδονὴν χολῆς V. 493. δαίμονος χολῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι A. 1345. ἐμοὶ προσέστη καρδίας κλυδώνιον χολῆς C. 182.

Χόλος. οὐχ ὑποπτήσσων χόλον θεῶν V. 29. ἐπεὶ τάχιστ' ἤρξαντο δαίμονες χόλου V. 199. ὥστε σοὶ τὸν νῦν χόλον μόχθων παρόντα παιδιάν

εἶναι δοκεῖν V. 319. τοιόνδε Τυφὼς ἐξαναζέσει χόλον θερμοῖς ἀπλήστου βέλεσι πυρπνόου ζάλης V. 370. ἔστ' ἂν Διὸς φρόνημα λωφήσῃ χόλου V. 376.

Χορεύεσθαι. αὐτός τ' ἔγωγε φροίμιον χορεύσομαι A. 30.

Χορός. τὴν γὰρ στέγην τήνδ' οὔποτ' ἐκλείπει χορὸς σύμφθογγος, οὐκ εὔφωνος A. 1159. ἄγε δὴ καὶ χορὸν ἅψωμεν E. 297. δέσποινα πεντήκοντα Νηρεΐδων χοροῦ Fr. Arm. Jud. 4. φάος πιφαύσκων, καὶ χορῶν κατάστασιν πολλῶν ἐν Ἄργει A. 23.

Χραίνειν. πεδία δ' ἀργηστὴς ἀφρὸς χραίνει σταλαγμοῖς ἱππικῶν ἐκ πνευμόνων T. 61. μιάσματι μυχὸν ἔχρανας αὐτόσσυτος E. 163. πρὶν ἂν παλαγμοῖς αἵματος χοιροκτόνου αὐτός σε χράναι Ζεὺς Fragm. Inc. 72. καπνῷ χραίνεται πόλισμ' ἅπαν T. 324. τὰ δὴ παλαιῶν αἱμάτων μιάσμασι χρανθεῖσ' ἀνῆκε γαῖα S. 263.

Χρεία. χρεία δὲ προσήκει P. 139. πρὶν ἀγγέλους σπερχνούς τε καὶ ταχυρρόθους λόγους ἱκέσθαι, καὶ φλέγειν χρείας ὕπο T. 267. θέλων ἐξιστορῆσαι μοῖραν ἐν χρείᾳ τύχης T. 488. ἦ μὴν ἔτ' ἐμοῦ χρείαν ἕξει μακάρων πρύτανις V. 164. ἀλλὰ φαρμάκων χρείᾳ κατεσκέλλοντο V. 479. τὴν πρίν γε χρείαν ἠνύσασθ' ἐμοῦ πάρα κούφως V. 702. τοιάνδε σοῦ χρείαν ἔχω C. 474.

Χρεῖος. τὰ χρεῖ' ἔπη ξένους ἀμείβεσθ' S. 191. χρεῖος εἶ ξένη φυγὰς S. 199.

Χρέος. μονοσκήπτροισί τ' ἐν θρόνοις χρέος πᾶν ἐπικραίνεις S. 369. εἰ μὲν γὰρ ὑμῖν μὴ τόδ' ἐκπράξω χρέος S. 467. ξὺν ἀνδράσιν φίλοισιν, οἷς τόδ' ἦν χρέος P. 763. ὅπως γένοισθε πρὸς χρέος τόδε T. 20. τί χρέος; τί νέον; A. 85. δημοκράντου δ' ἀρᾶς τίνει χρέος A. 445.

Χρή. παῖδες φρονεῖν χρὴ S. 173. τοῖα χρὴ λέγειν S. 514. ἀλλ' ἡσύχως χρὴ καὶ σεσωφρονισμένως πρὸς πρᾶγμ' ὁρώσας τῶνδε μὴ 'μελεῖν θεῶν S. 705. ὡς καὶ ματαίων ἀνοσίων τε κνωδάλων ἔχοντες ὀργάς, χρὴ φυλάσσεσθαι κράτος S. 743. τί σοι λέγειν χρὴ τοὔνομ'; S. 916. ὅπου χρὴ δώματα ναίειν S. 949. δεύτερον δὲ χρὴ χοὰς γῇ τε καὶ φθιτοῖς χέασθαι P. 215. ὑμᾶς δὲ χρὴ 'πὶ τοῖσδε τοῖς πεπραγμένοις πιστοῖσι πιστὰ ξυμφέρειν βουλεύματα P. 519. εἴ τι πιστεῦσαι θεῶν χρὴ θεσφάτοισι P. 787. οὐχ ὑπέρφευ θνητὸν ὄντα χρὴ φρονεῖν P. 806. χρὴ λέγειν τὰ καίρια, ὅστις φυλάσσει πρᾶγος ἐν πρύμνῃ πόλεως T. 1. ὑμᾶς τε χρὴ νῦν—πόλει—ἀρήγειν T. 10. οἶδεν, ὡς σφε χρὴ τελευτῆσαι μάχῃ T. 599. λέγοιτ' ἂν ὧν ἄνῃ τις, οὐ δὲ χρὴ μακρὰν T. 695. οὐκ ἄνδρ' ὁπλίτην τοῦτο χρὴ στέργειν ἔπος T. 699. δοκοῦντα καὶ δόξαντ' ἀπαγγέλλειν με χρὴ δήμου προβούλοις T. 996. σοὶ δὲ χρὴ μέλειν ἐπιστολὰς ἅς σοι πατὴρ ἐφεῖτο V. 3. πῇ ποτε μόχθων χρὴ τέρματα τῶνδ' ἐπιτεῖλαι; V. 100. τὴν πεπρωμένην δὲ χρὴ αἶσαν φέρειν ὡς ῥᾷστα V. 103. πᾶ ποτε τῶνδε πόνων χρή σε τέρμα κέλσαντ' ἐσιδεῖν; V. 183. σήμαιν' ὅ τι σοὶ χρὴ συμπράττειν V. 295. ἔκρινα πρῶτος ἐξ ὀνειράτων ἃ χρὴ ὕπαρ γενέσθαι V. 483. τί μή χρή; V. 609. ἐπεὶ προθυμῇ, χρὴ λέγειν V. 633. οὐκ οἶδ' ὅπως ὑμῖν ἀπιστῆσαί με χρὴ V. 643. τί χρὴ δρῶντ' ἢ λέγοντα δαίμοσιν πράττειν φίλα V. 662. οἷα χρὴ πάθη τλῆναι πρὸς Ἥρας τήνδε τὴν νεάνιδα V. 705. οὓς φυλάξασθαί σε χρὴ V. 717. ἀστρογείτονας δὲ χρὴ κορυφὰς ὑπερβάλλουσαν ἐς μεσημβρινὴν βῆναι κέλευθον V. 724. ὅν θρασυσπλάγχνως σε χρὴ λιποῦσαν αὐλῶν' ἐκπερᾶν Μαιωτικὸν V. 732. καὶ προσδοκᾶν χρὴ δεσπόσειν Ζηνός τινα; V. 932. μετὰ τοῦδ' ὅτι χρὴ πάσχειν ἐθέλω V. 1069. εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος χρὴ βαλεῖν ἐτητύμως A. 161. ποθεῖν ἃ μὴ χρὴ V. 334. τὸν ζῶντα δ' ἀλγεῖν χρὴ τύχης παλιγκότου A. 557. τοιαῦτα χρὴ κλύοντας εὐλογεῖν πόλιν A. 565. τούτων θεοῖσι χρὴ πολύμνηστον χάριν τίνειν A. 795. παρ' ἄλλων χρὴ τόδ' ἔρχεσθαι γέρας A. 891. ὀλβίσαι δὲ χρὴ βίον τελευτήσαντ' ἐν εὐεστοῖ φίλῃ A. 902. φέρειν γὰρ χρὴ τὸ δούλιον ζυγὸν A. 1199. σάφ' εἰδότας χρὴ τῶνδε μυθοῦσθαι πέρι A. 1341. ἔτι σε χρὴ στερομέναν φίλων τύμμα τύμματι τῖσαι A. 1404. Ἰφιγένεια θυγάτηρ, ὡς χρὴ, πατέρ' ἀντιάσασα περὶ

χεῖρε βαλοῦσα φιλήσει A. 1536. εἰ δὲ χρὴ τυχεῖν σωτηρίας C. 201. τοιοῖσδε χρησμοῖς ἆρα χρὴ πεποιθέναι C. 295. ὀρθοῦσθαι δὲ χρὴ καὶ ψῆφον αἴρειν E. 678. προτέραν δέ με χρὴ στείχειν θαλάμους ἀποδείξουσαν E. 927. καὶ νίπτρα δὴ χρὴ θεοφόρων ποδῶν φέρειν Sis. 1. ὡς οὐ πρὸς ἰσχὺν, οὐδὲ πρὸς τὸ καρτερὸν χρείη, δόλῳ δὲ τοὺς ὑπερέχοντας κρατεῖν V. 212. καὶ ξυμβόλοισιν οὐ πολυστομεῖν χρεὼν ναύτην ἄγοντας τόνδ' ἐφέστιον θεῶν S. 497. Ἀργείοισιν εὔχεσθαι χρεὼν S. 958. καὶ προσφθόγγοις δὲ χρεὼν αὐτὴν πάντας μύθοισι προσαυδᾶν P. 149. τῶν σῶν τιν' αὐτὸν ἐκγόνων εἶναι χρεὼν V. 774. οὕτως ὑβρίζειν τοὺς ὑβρίζοντας χρεὼν V. 972. πρὸς οὗ χρεών νιν ἐκπεσεῖν τυραννίδος V. 998. θεούς τοι τοῖσδε τιμαλφεῖν χρεὼν A. 896. κάνες γ' ὃν οὐ χρῆν, καὶ τὸ μὴ χρεὼν πάθε C. 918. ὡς χρῆν A. 853. οὐ τοῦτον ἐκ γῆς τῆσδε χρῆ σ' ἀνδρηλατεῖν A. 1393. ἔρξαντα καιρὸν χρῆν τάδ' ὡς ἐπράξαμεν A. 1643. ἐπεὶ φιλεῖς τὸν ἄνδρα τοῦτον, ὃν δ' ἐχρῆν φιλεῖν, στυγεῖς C. 894.

γυναικὸς εἰς ὕδωρ γράφω. I. T. XXXVI. τόκοισί τ' ἀγόνοις γυναικῶν R. 27. τόκοισιν ἰηίων καμάτων ἀνέχουσι γυναῖκες R. 174. γυναικῶν παῖδας R. 271. αἴδ' ἄνδρες, οὐ γυναῖκες, εἰς τὸ συμπονεῖν C. 1368. οὐκ ἂν γυναικῶν ἥσσονες καλοίμεθ' ἂν A. 680. πασῶν γυναικῶν ὡς ἀναξιωτάτη φθίνει A. 694. ᾕρει τῶνδ' ἀνάστατον δορὶ χώραν γυναικῶν T. 240. μὴ γυναῖκες ἀντ' ἀνδρῶν πέλας παρέστατε Aj. 1183. αἰσχύνομαι μὲν, ὦ γυναῖκες E. 254. ὁ σὺν γυναιξὶ τὰς μάχας ποιούμενος E. 382. ξέναι γυναῖκες E. 660. χρυσοδέτοις ἕρκεσι κρυφθέντα γυναικῶν E. 838. ὦ φίλταται γυναῖκες, ὦ πολίτιδες E. 1227. περισσὸν ἄχθος ἔνδον γυναικῶν ὂν ἀεὶ E. 1242. κἀν γυναιξὶν ὡς Ἄρης ἔνεστι E. 1243. τὸ γὰρ γυναιξὶν αἰσχρὸν ἐν γυναιξὶ δεῖ στέγειν Phædr. VI. 2.



Δάημι. λάθεται ὧν τ' ἔπαθ' ὧν τ' ἐδάη E. 169.

Δαίειν. σεμνῶν ὀργίων ἐδαίετο φλὸξ T. 767.

Δαιμόνιος. ἐς δαιμόνιον τέρας ἀμφινοῶ A. 376. δαιμόνιον αὐτὸ τίθημι E. 1269.

Δαίμων. τῷ τε δαίμονι τῷ τ' ἀνδρὶ τῷ θανόντι σύμμαχος R. 244. ἀπ' ὠμοῦ ταῦτα δαίμονος R. 828. τίς ὁ πηδήσας μείζονα δαίμων τῶν μακίστων πρὸς σῇ δυσδαίμονι μοίρᾳ R. 1301. τὸ σόν τοι παράδειγμ' ἔχων, τὸν σὸν δαίμονα R. 1193. ἰὼ δαῖμον, ἵν' ἐξήλου R. 1311. εἶ γενναῖος, ὡς ἰδόντι, πλὴν τοῦ δαίμονος C. 76. δῶρον τοῦ μεγάλου δαίμονος C. 709. τὸν αὐτὸν δαίμον' ἐξειληχότες C. 1338. τοιγάρ σ' ὁ δαίμων εἰσορᾷ μὲν οὔ τί πω ὡς αὐτίκα C. 1370. ταῦτα δ' ἐν τῷ δαίμονι καὶ τῇδε φῦναι χἀτέρᾳ C. 1443. ἵλαος, ὦ δαίμων, ἵλαος C. 1480. πάλιν σὲ δαίμων δίκαιος αὔξοι C. 1567. ταῦτ' οὖν ἔκλυε δαίμων ἡμῶν C. 1766. ᾇ με δαίμων ὁμοιοτάταν κατευνάζει A. 833. αὐτὴ τὸν αὐτῆς δαίμον' ἀνακαλουμένη T. 912. ἰὼ ἰὼ δαῖμον T. 1028. ἃ δαίμων, κοὐδεὶς ἀνθρώπων ἐδίδαξε Aj. 243. κἀμὲ μὲν δαίμων ἐλᾷ Aj. 504. πρέπον γε τἂν ἦν δαίμονος τοῦ 'μοῦ τόδε Aj. 534. νῦν δ' οὗτος ἀνεῖται στυγερῷ δαίμονι Aj. 1214. τοῦ λῴονος δαίμονος εἵλου τὸ κάκιον ἑλεῖν P. 1180. αἶ αἶ αἶ αἶ δαῖμον, δαῖμον P. 1185. ὁ πανδαμάτωρ δαίμων ὃς ταῦτ' ἐπέκρανε P. 1468. παντ' ἐπαξιῶ σε, δαίμον' ὄντ' ἐξειδέναι E. 658. δαίμων δὲ τοῖς μὲν εὐτυχὴς E. 999. νῦν δὲ δυστυχὴς δαίμων, ὁ σός τε κἀμὸς ἐξαφείλετο E. 1157. καλῶς ὑπηρετοίμην τῷ παρόντι δαίμονι E. 1306. δαίμων ἀνδρὸς εὐτυχοῦς τὸ πρὶν Aj. Locr. IV. 4. δαίμονος κακοῦ δόσις Tynd. I. 5. μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα Tyro XIII. πρὸς οἷον ἥξεις δαίμονα I. T. LII. 1. δαιμόνων ἕδη σέβων R. 886. ναοὺς ἱκέσθαι δαιμόνων R. 912. λωσσῶντι δ' αὐτῷ δαιμόνων δείκνυσί τις R. 1258. τίς σ' ἐπῆρε δαιμόνων; R. 1329. δαιμόνων ἀγάλμαθ' ἱερὰ R. 1378. θεοῦ νῦν καθαρμὸν τῶνδε δαιμόνων C. 446. ἱκέτης δαιμόνων C. 634. μὴ γὰρ αἵδε δαίμονες θεῖέν μ' ἄφωνον τῆσδε τῆς ἀρᾶς ἔτι C. 864. καλῶ δὲ τάσδε δαίμονας C. 1391. μάτην γὰρ οὐδὲν ἀξίωμα δαιμόνων ἔχω φράσαι C. 1451. δαίμονας λέγων πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι A. 282. ποίαν παρεξελθοῦσα δαιμόνων δίκην; A. 921. ὕβριν γὰρ οὐ στέργουσιν οὐδὲ δαίμονες T. 280. ἐγὼ γὰρ ἂν ψέξαιμι δαιμόνων νόμους; Aj. 1130. εὖ περιστέλλουσιν αὐτὰ δαίμονες P. 447. καί σε δαίμονες νόσου μεταστήσειαν P. 462. πότμος δαιμόνων P. 1116. τοῖς αὐτοῖσί τοι οὐκ αὐτὸς αἰεὶ δαιμόνων παραστατεῖ E. 917. οὐ χρῆν τάδ' οὕτω δαίμονας θνητῶν πέρι πράσσειν Alet. VII. 5.

Δαίνυσθαι. ἐχίδνας ἰὸς ὡς ἐδαίνυτο T. 773. δαίνυται γάρ αὖ πάλιν T. 1089. ἐμῶν ἵμερον τέκνων Ἅιδης εἶχε δαίσασθαι E. 543. Τυδεὺς ὠμοβρὼς

ἐδαίσατο τὸν Ἀστάκειον παῖδα Achæor. Conv. VIII. 6.

Δαίος. ἐγχέων φόβημα δαΐων C. 699. δαΐων ἀνδρῶν ἐπιστροφαὶ C. 1044. ἐν δαΐοις ἄτρεστον μάχαις Aj. 365. ὦ δαΐα Τέκμησσα Aj. 784.

Δαὶς. θανὼν παρέξω δαῖθ' ὑφ' ὧν ἐφερβόμην P. 957. ἐπικωκύω πατρὸς τὴν δυστάλαιναν δαῖτα E. 284. οὔτε δαιτὸς οὔτε χέρνιβος θιγὼν I. T. L. 7.

Δακέθυμος. δακέθυμος ἄτα P. 705.

Δάκνειν. τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ᾖ, δάκνει Aj. 1119. οὐ γάρ με τἄλγος τῶν παρελθόντων δάκνει P. 1358. ἴσχε δακὼν σῶμα σὸν T. 977. ἐν τοῖσιν ὠσὶν ἢ 'πὶ τῇ ψυχῇ δάκνει A. 317. ἐδήχθη τοῦτο τοὔνειδος λαβὼν T. 254. μὴ τοσοῦτον ὡς δάκνῃ θυμῷ δύσοργος T. 1119. δηχθεὶς πρὸς ἃ 'ξήκουσεν P. 378.

Δακρύειν. καὶ σφὼ δακρύω R. 1486. ἃ νῦν δακρύεις εἰσορῶν C. 1358. ἐν τάφῳ πετραίῳ αἰὲν δακρύεις E. 152. ὦ παῖ, τί δακρύεις; P. 828. μηδ' ἐπισκήνους γόους δάκρυε Aj. 580. ἅλις ἵν' ἐξήκεις δακρύων R. 1515. ὄμμα σὲ τόδ' ἐμὸν στένει δακρύον C. 1710. τἀμαυτοῦ κακὰ πρόσθεν δακρύσω C. 1255. ἐπεὶ 'δάκρυσα κεῖνον P. 360. δεινῶς δακρῦσαι κἀπικωκῦσαι δοκεῖ E. 805. ἴστε πολλὰ μέν με δακρύσαντα R. 67. δακρύσας εὐθὺς ἐξανίσταμαι ὀργῇ βαρείᾳ P. 367.

Δάκρυον. ἀστακτὶ λείβων δάκρυον C. 1251. κάτω δάκρυ' εἰβομένη A. 527. ἴσχειν οὐκ ἔτι πηγὰς δύναμαι δακρύων A. 804. ἔῤῥωγεν παγὰ δακρύων T. 854. τέγγει δακρύων ἄχναν T. 851. δακρύων ῥήξασα θερμὰ νάματα T. 921. δακρύοις μυδαλέα E. 167. πίμπλημ' εὐθὺς ὄμμα δακρύων E. 906. ἕρπει δάκρυον ὀμμάτων ἄπο E. 1231. θανόντα δακρύοις ἀνιστάναι Scyr. VI. 2. δακρύων χάριν Scyr. VI. 6.

Δακρυῤῥοεῖν. τοῖν μοι φίλοιν κλύω δακρυῤῥοοῦντοιν R. 1473. δακρυῤῥοεῖ γοῦν καὶ τὰ καὶ τὰ τυγχάνων I. T. LXXXII. 6. δακρυῤῥοεῖ δύστηνος T. 326. χαρᾶς δακρυῤῥοοῦσα E. 1313. εἶδέ μ' ἐν πολλῷ στρατῷ δακρυῤῥοοῦντα T. 798.

Δάλιος. Ἰήϊε Δάλιε Παιὰν R. 154. ἄναξ Ἀπόλλων ὁ Δάλιος Aj. 704.

Δάμαρ. ἐκείνου παντελὴς δάμαρ R. 930. ἕλκος τυφλωθὲν ἐξ ἀγρίας δάμαρτος R. 973. δάμαρτα τὴν Κρέοντος A. 1181. Οἰνέως κόρην δάμαρτά θ' Ἡρακλέους T. 406. δάμαρτ' ἔφασκες Ἡρακλεῖ ταύτην ἄγειν. Ἐγὼ δάμαρτα; T. 429. ταύτην πρόσθου δάμαρτα T. 1226. δάμαρτα τήνδ' ἐπεικάζων κυρῶ κείνου E. 663.

Δάμνασθαι. ἐδάμη E. 844. ὡς ταύτης πόθῳ πόλις δαμείη πᾶσα T. 432. χρῆναί σφ' ὑπὸ τῶνδε δαμῆναι P. 200. τέθνηκεν ἐκ Φοίβου δαμεὶς P. 334.

Δανάη. ἔτλα καὶ Δανάας οὐράνιον φῶς ἀλλάξαι δέμας ἐν χαλκοδέτοις αὐλαῖς A. 945.

Δαναός. ὀλέσαι Δαναῶν βοτὰ καὶ λείαν Aj. 144. ἔβαν Δαναοῖς ἀρωγὸς P. 1217.

Δάσκιος. δασκίου γενειάδος T. 13.

Δασμός. σκληρᾶς ἀοιδοῦ δασμὸν R. 36. γῇ τῇδε κἀμοὶ δασμὸν οὐ σμικρὸν τίνει C. 635.

Δασύστερνος. τοῦ δασυστέρνου παρὰ Νέσσου T. 557.

Δαυλία. σχιστὴ δ' ὁδὸς ἐς ταυτὸ Δελφῶν κἀπὸ Δαυλίας ἄγει R. 734.

Δάφνη. κάρα πολυστεφὴς ὧδ' εἷρπε παγκάρπου δάφνης C. 73. βρύων δάφνης χῶρος C. 17. δάφνην φάγων ὀδόντι πρῖε τὸ στόμα I. T. XCVIII.

Δεῖ. δεῖ δ' οὐ τοιούτων R. 406. ταχὺν δεῖ κἀμὲ βουλεύειν πάλιν R. 619. ἐξ ἴσου κἀμὸν φρονεῖν δεῖ R. 627. γάμοις με δεῖ μητρὸς ζυγῆναι R. 825. τί δεῖ με χορεύειν; R. 896. τοῦτο πρῶτον δεῖ μ' ἀπαγγεῖλαι R. 958. οὐκ ὀκνεῖν με δεῖ R. 976. εἴκοντας ἃ δεῖ C. 172. χὤ τι δεῖ πρόστασσε δρᾶν C. 494. νῦν σοὶ τὰ λαμπρὰ ταῦτα δεῖ φαίνειν ἔπη C. 721. οὐδὲν δεῖ πονεῖν C. 1022. τί δ' αὖθις, ὦ παῖ, δεῖ σε θυμοῦσθαι C. 1419. μὴ πεῖθ' ἃ μὴ δεῖ C. 1442. οὐ γὰρ δεῖ μ' ἀποκάμνειν C. 1776. δεῖ μ' ἀρέσκειν τοῖς κάτω A. 75. οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν A. 312. κρεῖσσον γὰρ, εἴπερ δεῖ, πρὸς ἀνδρὸς ἐκπεσεῖν A. 679. εὐβουλίας δεῖ A. 1098. ἵν' ἐκμάθῃς ἃ δεῖ T. 337. ὄγκον γὰρ ἄλλως ὀνόματος τί δεῖ τρέφειν μητρῷον T. 819. δεῖ σ' αὖ γενέσθαι τῷδε τἀνδρὶ σύμμαχον T. 1177. τί γὰρ δεῖ ζῆν με, σοῦ τεθνη-

κότος A. 393. *δεῖ σ' ὅπως πατρὸς δείξεις ἐν ἐχθροῖς οἷος ἐξ οἵου 'τράφης* Aj. 556. *ταῦτα μὲν τί δεῖ λέγειν* P. 11. *δεῖ σ' ἐφ' οἷς ἐλήλυθας γενναῖον εἶναι* P. 50. *τὴν Φιλοκτήτου σὲ δεῖ ψυχὴν ὅπως λόγοισιν ἐκκλέψεις λέγων* P. 54. *αὐτὸ τοῦτο δεῖ σοφισθῆναι* P. 77. *τί δ' ἐν δόλῳ δεῖ μᾶλλον ἢ πείσαντ' ἄγειν;* P. 102. *δεῖ δ' αὐτὸν λέγειν ἐς φῶς ὁ λέξει* P. 580. *λέγονθ' ἃ μὴ δεῖ* P. 583. *ἔστιν ὧν δεῖ* P. 647. *κρύπτων ἃ μὴ δεῖ* P. 909. *δεῖ σὲ πλεῖν* P. 915. *ἀλλὰ καὶ σὲ δεῖ στείχειν ἅμ' αὐτοῖς* P. 982. *Τροίαν σ' ἑλεῖν δεῖ* P. 998. *τί δῆτα σοῦ δεῖ* P. 1060. *δεῖ γενέσθαι ταῦτα* P. 1339. *ἅπερ παθεῖν με δεῖ* P. 1397. *εἰ δ' ἐλευθέραν με δεῖ ζῆν* E. 339. *ποίας δ' ἐμοὶ δεῖ πρός γε τήνδε φροντίδος* E. 612. *ἤκουσεν ὧν δεῖ* E. 793. *οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι* E. 957. *τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ* E. 1037. *πῶς τόδ' εἰ καλὸν τοὔργον σκότου δεῖ* E. 1494. *φυλάξαι δεῖ με τοῦτό σοι πικρὸν* E. 1504. *εἰ δείν' ἔδρασας, δεινὰ καὶ παθεῖν σε δεῖ* Ajax Locr. I. 1. *τὸ γὰρ γυναιξὶν αἰσχρὸν ἐν γυναιξὶ δεῖ στέγειν* Phædr. VI. 2. *πολλῶν καλῶν δεῖ τῷ καλῶς τιμωμένῳ* I. T. XX. 1. *προσλαμβάνειν δὲ δεῖ καθ' ἡμέραν ἀεὶ* I. T. C. 4. *νέος πέφυκας; πολλὰ καὶ μαθεῖν σε δεῖ* I. T. CI. 1. *μαντείας ἔδει* R. 394. *οὕς τέ μ' οὐκ ἔδει κτανὼν* R. 1185. *οὓς μὲν οὐκ ἔδει ὀψοίατο* R. 1273. *τί γὰρ ἔδει μ' ὁρᾶν;* R. 1333. *ἔδει τι βαιᾷ τῇδ' ὑπὸ στέγῃ μόνον διακονεῖσθαι* P. 286. *ἀπῆσθ' ἵν' οὔ σ' ἔδει* P. 379. *ἔδει τι καὶ ποτὸν λαβεῖν* P. 291. *τούσδε γὰρ μὴ ζῆν ἔδει* P. 418. *ἔδει φυλάξαι χοῖρον ὥστε δεσμίαν* Herc. I. *οἴομαι δὲ δεῖν οὐδὲν* C. 28. *ὧν ἐπαιτεῖς ἐς δέον πάρεσθ' ὅδε Κρέων* R. 1416. *εἰς δέον πάρα* A. 386. *πρὸ τοῦ δέοντος* P. 891. *ὥστε βραχέ' ἐμοὶ δεῖσθαι φράσαι* C. 570.

Δείδειν. *πείθεσθε, μὴ δείσητε* R. 1414. *ἣν σὺ μὴ δείσῃς ποτὲ* E. 1309. *δείσαντες ἢ στέρξαντες* R. 11. *φίλον δείσας ἀπώσει τοὔπος* R. 234. *οὐ τὸ σὸν δείσας πρόσωπον* R. 448. *ὄνομα μόνον δείσαντες* C. 265. *ποῖον πάθος δείσαντας* C. 604. *ὥστε πάντας ὀρθίας στῆσαι φόβῳ δείσαντας ἐξαίφνης τρίχας* C. 1625. *ἀνδρὸς οὐδενὸς φρόνημα δείσασα* A. 459. *εὐθὺς δὲ δείσας ἐμπύρων ἐγευόμην* A. 1005. *ὑπτία δὲ κλίνομαι δείσασα πρὸς δμωαῖσι* A. 1189. *δείσασ' ἔλεξα πᾶν* Aj. 315. *οὐ τὸ σὸν δείσας στόμα* Aj. 1110. *μή μ' ὄκνῳ δείσαντες ἐκπλαγῆτε* P. 226. *δέδοικ' ἐμαυτὸν* R. 767. *δέδοιχ' ὅπως μὴ 'κ τῆς σιωπῆς τῆσδ' ἀναῤῥήξει κακὰ* R. 1074. *δέδοικα γὰρ μὴ τοὺς καθεστῶτας νόμους ἄριστον ᾖ σώζοντα τὸν βίον τελεῖν* A. 1113. *κεἰ μὲν δέδοικας, οὐ καλῶς ταρβεῖς* T. 456. *δέδοικα γὰρ μὴ πρῴ λέγοις ἂν τὸν πόθον τὸν ἐξ ἐμοῦ* T. 630. *δέδοικα μὴ 'κ θεοῦ πληγή τις ἥκῃ* Aj. 278. *δέδοικ' ἀκούων τήνδε τὴν προθυμίαν* Aj. 583. *ὃν δὴ παλαί' ἂν ἐξότου δέδοικ' ἐγὼ* P. 493. *δέδοικα μὴ ἀτελὴς εὐχὴ* P. 782. *δέδοικ' ἔγωγε* P. 1268. *δέδοικα λίαν ἡδονῇ νικωμένην* E. 1272. *τὰ Τροίας εἰσορῶν ἐδώλια δέδοικας* Achæor. Conv. VII. 1.

Δεικνύναι. *χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος* R. 614. *λυσσῶντι δ' αὐτῷ δαιμόνων δείκνυσί τις* R. 1258. *δείκνυμι δ', ὧν γὰρ ὤμοσ' οὐκ ἐψευσάμην* C. 1145. *ἡμὶν ἡμεροσκόπος δείκνυσι* A. 254. *ἡλίῳ δείκνυσι τοὔναρ* E. 1383. *ὁ δ' αἰεὶ τῷ 'πιόντι δεικνύτω* C. 1532. *τοιόνδ' ἄγος ἀκάλυπτον οὕτω δεικνύναι* R. 1427. *τὸ σὸν θεοῖσι δεικνὺς ἔργον* T. 1252. *δείξεις δὲ μᾶλλον ἢν ἓν ἐξείπῃς ἔτι* R. 748. *δείξεις τάχα εἴτ' εὐγενὴς πέφυκας εἴτ' ἐσθλῶν κακὴ* A. 37. *δείξω γὰρ τάδ' ἐκ καλυμμάτων* T. 1080. *δείξω δὲ σοὶ καὶ τήνδε περιφανῆ νόσον* Aj. 66. *δείξεις ἐν ἐχθροῖς οἷος ἐξ οἵου 'τράφης* Aj. 557. *τὸν παῖδα τόνδε πρὸς δόμους ἐμοὺς ἄγων Τελαμῶνι δείξει* Aj. 569. *οὐ λόγῳ δείξω μόνον* Aj. 813. *ταῦτά σοι δείξουσιν, Ἠλέκτρα, σαφῆ* E. 1366. *ὡς ἔδειξα μήποτε ἐμαυτὸν ἀνθρώποισι* R. 1392. *ἔδειξ' ὅπλων "Ἕλλασι κοινὸν" Ἄρη* Aj. 1195. *δέσμιόν τ' ἄγων ἔδειξ' Ἀχαιοῖς* P. 609. *φύσιν δ' ἔδειξας ἐξ ἧς ἔβλαστες* P. 1310. *ἔς θ' ἕω σημάντρια ἔδειξε κάνέφηνεν οὐ δεδειγμένα* Naupl. V. 7. *ἐν φύλῳ ἀνθρώπων μι' ἔδειξεν πατρὸς καὶ ματρὸς ἡμέας ἀμέρα* Tereus VIII. 1. *δεῖξον ἀνθρώποισι τἀπιτίμια τῆς δυσσεβείας* E. 1382. *πρὶν κεῖνος αὐτὸν*

θεοῖσι δείξῃ T. 609. πατρί μ' ὡς δείξῃς φίλῳ P. 492. τὸν κτανόντ' ἔχω δεῖξαι R. 278. οὐ σφαλῶ τὸ μὴ οὐ τόδ' ἄγγος, ὡς ἔχει, δεῖξαι φέρων T. 622. ἐν μέσοις δεῖξαί μ' Ἀχαιοῖς P. 630. οὐ γάρ τις ἂν δύναιτο πρωρατὴς στρατοῦ τοῖς πᾶσι δεῖξαι καὶ προσάρκεσαι χάριν Polyx. III. 2. δείξας ἐν ἀνθρώποισι τὴν ἀβουλίαν ὅσῳ μέγιστον ἀνδρὶ πρόσκειται κακὸν A. 1242. πανουργίας δείξασά τ' ἀνθρώποις ἔχειν A. 300.

Δείλαιος. δείλαιε τοῦ νοῦ τῆς τε συμφορᾶς R. 1347. τᾶς δειλαίας ἀπόρου φανείσας ἀλγηδόνος C. 513. νυμφικὰ τέλη λαχὼν δείλαιος ἐν γ' Ἅιδου δόμοις A. 1241. ἔχω μαθὼν δείλαιος A. 1272. δείλαιος ἐγὼ δειλαίᾳ δὲ συγκέκραμαι δύῃ A. 1311. δείλαιος ἴλεῳ φρενὶ T. 765. οἷς ἐχρῆτο δειλαία πάρος T. 908. δειλαία νόσος T. 1030. κλύων δείλαιος Aj. 1000. δειλαίας σποδοῦ E. 758. δειλαία δειλαίων κυρεῖς E. 849. Ἠλέκτρα πατρὸς δειλαία E. 1075. ὄλωλα δὴ δείλαιος E. 1482.

Δείλη. δείλη δὲ πᾶσα τέμνεται βλαστουμένη καλῶς ὀπώρα Thyest. VI. 7.

Δειλία. δειλίαν ἢ μωρίαν ἰδών τίν' ἐν ἐμοὶ R. 536. οὐ σῖγ' ἀνέξει μηδὲ δειλίαν ἀρεῖς; Aj. 75. δειλίᾳ προδόντα καὶ κακανδρίᾳ σε Aj. 1014. ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει E. 351. ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ E. 1027. μὰ τὴν ἐκείνου δειλίαν Atreus 1.

Δειλός. δειλὰ κέρδη A. 326. βουλήσει ποτὲ καὶ δειλὸς εἶναι μᾶλλον ἢ 'ν ἐμοὶ θρασὺς Aj. 1315. ἡμᾶς συ δειλοὺς τῇδε θἠμέρᾳ φανεῖς Aj. 1362. κἀποφθίνει τὰ χρηστὰ χὠ δειλὸς κρατεῖ P. 457. δειλὸς γὰρ οὖν κακοῖσιν ἱμείρων βίου I. T. XXXI. 2.

Δεῖμα. δείματι πάλλων R. 153. εἴ τι δείματός γ' ἔχει μέρος R. 294. δεῖμ' ἐμοὶ φέρουσά τι C. 360. ἐς δ' ἄκραν δεῖμ' ὑπῆλθε κρατὸς φόβαν C. 1465 εὔμναστον ἀνδρὸς δεῖμα φέρουσαν ὁδοῦ T. 108. δείματος ἦν μοι προβολὰ καὶ βελέων θούριος Αἴας Aj. 1212. ὦ πῦρ σύ, καὶ πᾶν δεῖμα P. 927. ἐκ δείματός του νυκτέρου E. 410. λυτηρίους εὐχὰς ἀνάσχω δειμάτων ὧν νῦν ἔχω E. 636.

Δειμαίνειν. ἄλλως δὲ δειμαίνοιμ' ἄν, ὦ ξέν', ἀμφὶ σοὶ C. 493. δειμαίνειν ἄγαν T. 91. δειμαίνων τὸ σὸν μὴ στέρνον ἀλγύνοιμι T. 482.

Δειματοῦν. ἐδειματούμην δ' οὐ φίλης ὀσμῆς ὕπο Achæor. Conv. II. 4.

Δεῖν. αὐτὸς ἔδησα A. 1112. δεθεὶς πρὸς κίονα Aj. 108. ὀρθὸν ἄνω κίονι δήσας Aj. 240.

Δεινόπους. δεινόπους ἀρὰ R. 418.

Δεινός. φρονεῖν ὡς δεινὸν ἔνθα μὴ λύει τέλη φρονοῦντι R. 316. δειναὶ δ' ἅμ' ἕπονται κῆρες R. 471. δεινὰ μὲν οὖν δεινὰ ταράσσει R. 483. δείν' ἔπη R. 513. λέγειν σὺ δεινὸς R. 545. δεινά μ' Οἰδίπους ὁ σὸς πόσις δρᾶσαι δικαιοῖ R. 639. τὸ δεινὸν οὑφοβεῖτο R. 722. ἀρὰς δεινὰς R. 745. δεινὰ καὶ δύστηνα προὐφάνη λέγων R. 790. θεήλατον μάντευμα δεινὸν R. 992. δεινὸν ὄνειδος R. 1035. πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν R. 1169. δεινὸν ἀΰσας R. 1260. δεινὰ βρυχηθεὶς R. 1265. δεινὸν ἰδεῖν πάθος R. 1297. δεινὸν οὐδ' ἀκουστὸν οὐδ' ἐπόψιμον R. 1312. ὦ δεινὰ δράσας R. 1328. δεινῷ κακῷ R. 1457. κλύδωνα δεινῆς ξυμφορᾶς R. 1527. δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν C. 141. δεινὰ φύσις C. 211. ἔργα δεινὰ C. 383. δεινὸν μὲν τὸ πάλαι κείμενον ἤδη κακὸν C. 510. δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις λέξας C. 560. δεινὰ πρὸς κακοῖς κακὰ C. 595. δείν' ἐπερρώσθη λέγων C. 661. γλώσσῃ σὺ δεινὸς C. 806. δεινὸν λέγεις C. 861. δεινὸς ὁ προσχώρων Ἄρης C. 1064. δεινὰ τλᾶσαν, δεινὰ δ' εὑροῦσαν πρὸς ὁμαίμων πάθη C. 1076. δειναὶ κυματοαγεῖς ἆται C. 1243. δεινοῦ τινὸς φόβου φανέντος C. 1651. ἔα με παθεῖν τὸ δεινὸν τοῦτο A. 96. τὰ δεινὰ γάρ τοι προστίθησ' ὄκνον πολὺν A. 242. δεινὸν ᾧ δοκεῖ γε, καὶ ψευδῆ δοκεῖν A. 324. τὰ δείν' ἐκεῖν' ἐπηπειλημέναι A. 408. τὸ σὸν γὰρ ὄμμα δεινὸν ἀνδρὶ δημότῃ A. 690. δεινὰ τολμᾶν A. 915. δύνασις δεινὰ A. 951. μανίας δεινὸν μένος A. 960. βροτῶν οἱ πολλὰ δεινοὶ A. 1046. δεινὰ θεσπίσας A. 1091. τό τ' εἰκάθειν γὰρ δεινόν, ἀντιστάντα δέ, ἄτῃ πατάξαι θυμὸν, ἐν δεινῷ πάρα A. 1097. δεινὸν πῆμα T. 46. οἶκτος δεινὸς T. 298. δεινὸς ἵμερος T. 476. φοιτάδα δεινὴν

Δεννάζειν. οὐ χαίρων ἐπὶ ψόγοισι δεννάσεις ἐμὲ A. 759. κακὰ δεννάζων ῥήματα Aj. 243.

Δεξιός. χεῖρα δεξιὰν ὄρεξον C. 1130. ἔμβαλλε χεῖρα δεξιὰν T. 1183. ἐς χεῖρα Τεύκρου δεξιὰν φιλοφρόνως θεὶς Aj. 751. προθείς τε χεῖρα δεξιὰν τὰ τόξα μου λάβε P. 942. ἅ δ' ᾔνεσάς μοι δεξιᾶς ἐμῆς θιγὼν P. 1398. δεξιὰν δ' ἀνεὶς σειραῖον ἵππον E. 721. χειρὸς ἐς τὰ δεξιὰ Triptol. I. 1.

Δεξιόσειρος. μέγας Ἄρης δεξιόσειρος A. 140.

Δεξιοῦν. τοιοῖσδ' ἐπαίνοις δεξιώσεται E. 976.

Δεξίωμα. τὰ νῦν ξύμφωνα δεξιώματα C. 619.

Δέομαι. τὰ σὰ δεῖται κολαστοῦ μᾶλλον ἢ τὰ τοῦδ' ἔπη R. 1148. προηγητοῦ τινὸς δεῖται R. 1293. μή μου δεηθῇς C. 1170.

Δέος. δέος ἴσχετε μηδὲν ὅσ' αὐδῶ C. 223. ἔνθα μὴ καταστήκῃ δέος Aj. 1073. δέος γὰρ ᾧ πρόσεστιν αἰσχύνη θ' ὁμοῦ Aj. 1079. ἑστάτω μοι καὶ δέος τι καίριον Aj. 1084.

Δέρκεσθαι. δέρκομαι φάτιν ἄφραστον T. 695. πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι E. 1116. ἐν γαλήνῃ πάντ' ἐδερκόμην τόπον E. 899. δέρκου θαρσῶν P. 146. οἷον οὔ τινα δέρχθη Τροία στρατοῦ Aj. 425. δερχθέντες τέλη I. T. LVIII. 13. ἐν τοῖς κέρδεσιν μόνοις δέδορκε R. 389. Κρέων ὅδ' ὃν δέδορκας C. 894. σέ τοι μόνον δέδορκα ποιμένων ἐπαρκέσοντα Aj. 359. δέδορκα φάσμα E. 1446. Δίκης δέδορκεν ὄμμα I. T. II. μύω τε καὶ δέδορκα I. T. LXXXI. 1. σὺ καὶ δεδορκὼς οὐ βλέπεις R. 413. τυφλὸς ἐκ δεδορκότος R. 454. δεδορκὼς ξυμφοράν γ' ἐν ὄμμασι T. 750. σκοτώσω βλέφαρα καὶ δεδορκότα Aj. 85. τῆσδε τῆς φήμης ἄπο δεδορκότ' ἐχθροῖς, ἄστρον ὥς, λάμψειν ἔτι E. 66.

Δέρος. παρδαλήφορον δέρος Ajax Locr. VI. 2.

Δέσμιος. δέσμιόν μ' ἄγων ἔδειξ' Ἀχαιοῖς P. 608. δέσμιον ἔλαβ' ὁ παγκρατὴς Κρόνου παῖς P. 678. χοῖρον ὥστε δεσμίαν Herc. I.

Δεσμός. πετρώδει κατάφρακτος ἐν δεσμῷ A. 958. δεσμοῖσι συνδήσας Aj. 62. χέρας δεσμοῖς ἀπευθύνοντα Aj. 72. ἐν δεσμοῖσι δραπέτης Acr. III. 1.

Δέσμωμα. τετράπτεροι γὰρ νῶτον ἐν δεσμώμασιν Aeth. II.

Δεσμώτης. ἥδιστος, ὦ δέσποινα, δεσμώτης ἔσω θακεῖ Aj. 105.

Δεσμῶτις. δεσμῶτιν ἄγων ἤλυθε ποίμναν Aj. 234.

Δεσπόζειν. Εὔρυτον τῶνδ' εἶπε δεσπόζειν θρόνων T. 363.

Δέσποινα. φίλη δέσποινα A. 1192. δέσποινα Δηάνειρα T. 49. λέγεις δέσποιναν εἶναι τήνδε σὴν T. 408. ὦ δέσποινα Aj. 105. μὰ τὰν δέσποιναν Ἄρτεμιν E. 626.

Δεσπότης. οὐχὶ δεσπότῃ τόδ' ὡς τάχος μόλουσα λέξεις; R. 945. οὐδέν γε θαῦμα, δέσποτα R. 1132. μή, δέσποθ', ἱστόρει πλέον R. 1165. κατοικτίσας, ὦ δέσποτα R. 1178. δεσπότῃ Κρέοντι σημαίνει A. 1208. δεσπότου κελεύσματα A. 1219. δέσποτ' Αἴας Aj. 368. τί χρή με, δέσποτ', ἐν ξένᾳ ξένον στέγειν ἢ τί λέγειν P. 135. Ἡρακλείων ὄντα δεσπότην ὅπλων P. 262. Ἥλιε δέσποτα Rhiz. III. 1. ὦ φέριστε δεσπότων R. 1149. τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ Aj. 500. τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι πρόρριζον E. 764. τούτοις γὰρ ὄντες δέσποται δουλεύομεν Pastores III. 1.

Δεσπότις. Ἡρακλέους δάμαρτα, δεσπότιν τε τὴν ἐμὴν T. 407. καί σ' ἔγωγε δεσπότιν ἢ μητέρ' οὐκ ἔλασσον εἰς ἡμᾶς νέμω E. 597.

Δεύειν. ἐρεμνὸν αἷμ' ἔδευσα Aj. 376.

Δεῦρο. τῶνδε γὰρ χάριν καὶ δεῦρ' ἔβημεν R. 148. δεῦρ' ἱκόμην R. 318. πῶς δεῦρ' ἦλθες; R. 532. τί μ' ἐξεπέμψω δεῦρο τῶνδε δωμάτων; R. 950. δεῦρό μοι φώνει, βλέπων R. 1121. φανήσεται μακρὸν τὸ δεῦρο πέλαγος C. 663. πρὶν ἂν κείνας ἐναργεῖς δεῦρό μοι στήσῃς ἄγων C. 910. ἀπελθεῖν τ' ἀσφαλῶς τῆς δεῦρ' ὁδοῦ C. 1165. πάρεστι δεῦρο C. 1253. δεῦρο νεῖσθαι A. 33. κεῖσε δεῦρό τ' ἐξορμώμεθα T. 931. δεῦρ' ἄγ' αὐτὸν Aj. 541. πρόσελθε δεῦρο Aj. 1171. δεῦρ' ὁρμώμενον A. 1224. δεῦρ' αὖθις ἐκπέμψω πάλιν P. 126.

Δεύτερος. τὰ δεύτερ' ἐκ τῶνδε R. 282. ὑμᾶς μόλις εὑροῦσα λύπῃ δεύτερον μόλις βλέπω C. 326. δεύτερ' ἡγεῖται τὰ τῆς οἴκοι διαίτης C. 351. δευτέρον

ἔπαισας ἐπὶ νόσῳ νόσον C. 544. ἐμὲ δεύτερον θέλεις ἑλεῖν C. 763. τὸ δ' ἐπεὶ φανῇ, βῆναι κεῖθεν ὅθεν περ ἥκει, πολὺ δεύτερον ὡς τάχιστα C. 1228. ὁ δεύτερος δ' Αἰτωλὸς C. 1315. ὕβρις δ', ἐπεὶ δέδρακεν, ἥδε δευτέρα A. 482. κακὸν τόδ' ἄλλο δεύτερον A. 1294. δεύτερον κλύεις T. 898. δεύτερόν σε προσκαλῶ Aj. 89. εἶτα δεύτερον Aj. 770. φράζε δευτέρῳ λόγῳ P. 49. ἦμαρ ἤδη δεύτερον P. 354. δεύτερον ληφθῶ κακὸς P. 908. δεύτερον δολούμεθα P. 1288. τὸ δεύτερον ἁλῶναι P. 1439. τἄλλα πάντα δεύτερ' ἡγεῖται πατὴρ Ζεὺς P. 1442. δευτέραν ὁμιλίαν E. 418. ἔστι πρὸς τὰ χρήματα θνητοῖσι τἄλλα δεύτερα Creusa IV. 5.

Δέχεσθαι. οὐ δέχονται θυστάδας λιτὰς ἔτι θεοὶ παρ' ἡμῶν A. 1018. οὔτε σύμβουλον δέχει P. 1321. ὀπὸν χαλκέοισι κάδοις δέχεται Rhiz. I. 3. μηδὲ συμφορὰν δέχου τὸν ἄνδρα Aj. 68. τὸν παῖδα τόνδ' ἤδη δέχου Aj. 578. δέχου τὰ συμφέροντα τῶν ἀεὶ λόγων P. 131. ἰδοὺ δέχου παῖ P. 776. δέχου δὲ χειρὸς ἐξ ἐμῆς βέλη τάδε P. 1287. στόμι' ὡς δέχηται τἀμὰ E. 1462. ἔπη κλύων δέχεσθαι R. 217. ᾧ μὴ ξένων ἔξεστι μηδ' ἀστῶν τινὰ δόμοις δέχεσθαι T. 818. ἐξ εὐμενῶν στέρνων δέχεσθαι τὸν ἱκέτην C. 487. τί μ' ἐδέχου; R. 1391. τίς τὸν πλανήτην Οἰδίπουν σπανιστοῖς δέξεται δωρήμασιν; C. 4. ὡς ἔμ' οὔποτε δέξεσθ' ἔτ' ἐν κοίταισι ταῖσδ' εὐνήτριαν T. 924. ὃν ἁ κλεινὰ γᾶ ποτὲ Μυκηναίων δέξεται E. 161. Λιγυστική τε γῆ σε δέξεται Triptol. I. 3. ἐδεξάμην δέ του R. 1163. ἐδεξάμην δῶρον C. 539. αὐτήν θ' ὡς ἐδεξάμην φίλως T. 628. ἐδεξάμην παρ' Ἕκτορος δώρημα Aj. 661. ἐδεξάμην τὸ ῥηθὲν E. 668. ἐδέξατο Θηβαία κόνις αὐτοῖς ὅπλοισιν Amph. IV. 1. εὕρημα δέξατε R. 1107. ὦ γαῖα δέξαι θανάσιμόν με P. 819. σὺ δέξαι μ' εἰς τὸ σὸν τόδε στέγος E. 1165. ἵλεῳ μὲν τὸν ἱκέτην δεξαίατο C. 44. ἤδη δ' ὅθ' οὕνεκ' ἄνδρα καὶ πατροκτόνον κἄναγνον οὐ δεξαίατο C. 945. ἦ ποῦ με Τελαμὼν εὐπρόσωπος ἂν δέξαιτο Aj. 1009. δέξαισθέ μ' εὐτυχοῦντα τοῖσδε τοῖς ὁδοῖς E. 68. οὔποτ' Οἰδίπουν ἐρεῖς ἀχρεῖον οἰκητῆρα δέξασθαι τόπων C. 627. δοκεῖ γέρα τάδ' οὖν τάφοισι δέξασθαι νέκυς E. 443. ὧν ἀριθμὸν ἐν νεκροῖς πλεῖστον δέδεκται Περσέφασσα A. 894. τοῖς δεδεγμένοις κέρδη μὲν C. 92.

Δῆγμα. ἔρωτος δῆγμα παιδικοῦ I. T. LIX.

Δηάνειρα. δέσποινα Δηάνειρα T. 49. τὰν ἀμφινεικῆ Δηϊάνειραν T. 104. βέβηκε Δηάνειρα τὴν πανυστάτην ὁδῶν ἁπασῶν T. 876.

Δηιοῦν. Θήβης ἄστυ δηώσειν πυρὶ C. 1319.

Δήλημα. ἃ τοῖς ἐμοῖς γονεῦσιν ἔσται σφῷν θ' ὁμοῦ δηλήματα R. 1495.

Δῆλος. στυγνὸς μὲν εἴκων δῆλος εἶ R. 673. μόνης τόδ' ἐστὶ δῆλον Ἰσμήνης κάρα C. 321. ὡς λάλημα δῆλον ἐκπεφυκὸς εἶ A. 320. δῆλός ἐστιν ὥς τι δρασείων κακὸν Aj. 325. δῆλον Aj. 905. δῆλος δέ μοιστὶ σκαιὸν ἐκλύσων στόμα Aj. 1225. δῆλον ἔμοιγε P. 162. ἄλγεινα, Πρόκνη, δῆλον Tereus XI. 1.

Δηλοῦν. πάνθ' ὅσ' ἂν δηλοῖ θεὸς R. 77. δηλῶ δ', οὐ γὰρ ἂν ἀλλοτρίοις ὧδ' ὄμμασιν εἷρπον C. 146. σκευή τε γάρ σε καὶ τὸ δύστηνον κάρα δηλοῦτον C. 556. δηλοῖς γάρ τι καλχαίνουσ' ἔπος A. 20. δηλοῖς δ' ὥς τι σημαίνων νεὸν A. 242. δηλοῖ τὸ γέννημ' ὠμὸν ἐξ ὠμοῦ πατρὸς τῆς παιδὸς A. 471. δηλοῖ δὲ τοὔργον ὡς ἀφροντίστως ἔχει Aj. 355. ἀνὴρ οὐδαμοῦ δηλοῖ φανεὶς Aj. 878. δηλοῦν τινὰ τοῖς πᾶσι Καδμείοισι R. 1287. ὥς σε δηλώσω κακὸν C. 783. ποῖον ὄμμα πατρὶ δηλώσω; Aj. 463. γέροντι δηλώσω πατρὶ Aj. 471. τὰ μὲν δόξαντα δηλώσω E. 26. ὑπέσχετο τὸν ἄνδρ' Ἀχαιοῖς τόνδε δηλώσειν ἄγων P. 616. φράζει τε κἀδήλωσεν Aj. 31. οἵαν ἐδήλωσας ἀνδρὸς αἴθοπος ἀγγελίαν Aj. 221. δήλωσον ἡμῖν τοῖς ξυναλγοῦσιν τύχας Aj. 283. δήλωσόν θ' ὅτι Φωκῆς ματεύουσ' ἄνδρες Αἴγισθόν τινες E. 1106. δηλώσαιμ' ἂν οἷ' αὐτοῖς φρονῶ E. 334. πρὶν ἂν ζῶντες κρεμαστοὶ τήνδε δηλώσηθ' ὕβριν A. 309. ἦ κάτοισθα δηλῶσαι λόγῳ; R. 1041. ἔδοξεν οὖν μοι πρός σε δηλῶσαι τὸ πᾶν T. 369. ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται; C. 581. ἥ γ' ἐκείνου πᾶσ' ἐδηλώθη φάτις R. 1440.

Δημήτηρ. εὐχλόου Δήμητρος εἰς ἐπόψιον πάγον μόλουσα C. 1600.

Δημιουργός. Ἅιδης, δημιουργὸς ἄγριος Aj. 1035.

Δημόλευστος. φόνον προκεῖσθαι δημόλευστον A. 36.

Δῆμος. ἥκει δῆμον τοῦ Λυρκείου Inach. XI. 7.

Δημότης. δημόταις λέξω τάδε C. 78. σὺν ὄμμα δεινὸν ἀνδρὶ δημότῃ A. 690. ἄνδρα δημότην τῶν ἐφεστώτων κλύειν Aj. 1071.

Δημοῦχος. δημούχοις θεαῖς C. 458. γᾶς τᾶσδε δαμούχοις C. 1087. τῆσδε δημοῦχος χθονὸς C. 1348.

Δηὼ. Δηοῦς ἐν κόλποις A. 1121.

Διά. θυμοῦ δι' ὀργῆς R. 344. διὰ τύχης τοιᾶσδ' ἰὼν R. 773. δι' ὁσίων χειρῶν θιγὼν C. 470. ἢ λῆστιν ἴσχεις, ἢ δι' οὐδενὸς ποιεῖ C. 584. δι' ὀργῆς ἧκον C. 905. δι' ὀμμάτων ἀστακτὶ λείβων δάκρυον C. 1250. ἥκω δι' ὅρκων, καίπερ ὢν ἀπώμοτος A. 394. διὰ δίκης ἰὼν πατρὶ A. 742. ἄγει με διὰ χειρῶν οὕτω λαβὼν A. 916. δι' ὀρθῆς τήνδε ναυκληρεῖς πόλιν A. 994. τἀκίνητα διὰ φρενῶν φράσαι A. 1060. μνῆμ' ἐπίσημον διὰ χειρὸς ἔχων A. 1257. διὰ τάχους δ' ἐλεύσεται T. 595. τέρας τοι διὰ κακῶν ἐθέσπισας T. 1133. ὑπάξας διὰ θυρῶν Aj. 301. διὰ πολυῤῥάφου στρέφων πόρπακος Aj. 575. διὰ τέλους εὔχου Aj. 685. ἐμοὶ ξυνείης διὰ παντὸς εὔφρων Aj. 705. διὰ τάχους θανεῖν Aj. 822. ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαινέ μοι P. 285. ἥκει γὰρ αὐτὴ διὰ χρόνου P. 757. δύστηνε διὰ πόνων πάντων φανεὶς P. 761. ἡ κακὴ σὴ διὰ μυχῶν βλέπουσ' ἀεὶ ψυχὴ P. 1031. ὀξυτόνου διὰ πνεύματος ἑλεῖν P. 1093. δι' ὤτων κέλαδον ἐνσείσας E. 737. δι' αἰῶνος E. 1024. δι' ὠτὸς ἐννέπειν E. 1437. πολλὰ παθὼν δι' ἐλευθερίας μόλις ἐξῆλθες E. 1509. Ἑκάτης ἔγχος, τῷ δι' Ὀλύμπου φέρεται Rhiz. III. 3. δι' αἰθέρα νόμοι τεκνωθέντες R. 865.

Διαβάλλειν. μή με διαβάλῃς στρατῷ P. 582.

Διάβορος. διάβορον πρὸς οὐδενὸς τῶν ἔνδον T. 678. διάβορος νόσος T. 1086. νόσῳ καταστάζοντα διαβόρῳ πόδα P. 7.

Διάγειν. οὐ τητώμεναι τὸ λοιπὸν ἤδη τὸν βίον διάξετον C. 1619. χρόνος δίηγέ μ' αἰὲν ὡς θανουμένην E. 782.

Διαγιγνώσκειν. ἐν τῷ διέγνως τοῦτο τῶν εἰρημένων E. 1186.

Διαδέχεσθαι. νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον T. 30.

Διάδοχος. ὦ φέγγος ὕπνου διάδοχον P. 867.

Διαζῆν. ἀφ' ὧν διέζων P. 535.

Διαίρετος. μοῖραν πατρῴας γῆς διαίρετον T. 163.

Διαΐσσειν. σπασμὸς ἀρτίως δίῃξε πλευρῶν T. 1085. αἴγλας, ξὺν αἷς Λύκει' ὄρεα διᾴσσει R. 209.

Διαιστοῦν. αὐτὴν διηΐστωσε T. 883.

Διαιτᾶσθαι. ἐν δόμοισιν ἦν διαιτᾶσθαι γλυκὺ C. 769. ξεῖνον παρ' ἀστοῖς ὡς διαιτᾶσθαι χρεὼν C. 928.

Διαίτη. δεύτερ' ἡγεῖται τὰ τῆς οἴκοι διαίτης C. 352. σὲ κηδεύουσα καὶ τὸ σὸν κάρα πτωχῷ διαίτῃ C. 751. ἐξισοῦται φιλοτασίῳ διαίτᾳ E. 1073.

Διακονεῖσθαι. δεῖ τι τῇδ' ὑπὸ στέγῃ μόνον διακονεῖσθαι P. 286.

Διάκονος. τὰ τῶν διακόνων τοὐμὸν ἐν σμικρῷ μέρος ποιούμενοι τὸν οἴκαδ' ἤπειγον στόλον P. 497. κήρυκα καὶ διάκονον Antenor II.

Διακωλύειν. ἐάν πως διακωλύσωμεν ἰόντα φόνον τοῖσιν ὁμαίμοις C. 1771.

Διαμπερὲς. εἴθε σου διαμπερὲς στέρνων ἔχοιτ' ἄλγησις ἥδε P. 791.

Διαπεραιοῦν. ὥστε καὶ χεροῖν κολεῶν ἐρυστὰ διεπεραιώθη ξίφη Aj. 730.

Διαπορθεῖν. διαπεπόρθημαι, φίλαι Aj. 896.

Διαπράσσειν. τοῦ μὲν νοσοῦντος, τοῦ δὲ διαπεπραγμένου T. 786.

Διαπρύσιος. ὄτοβος διαπρύσιος C. 1479.

Διαπτύσσειν. διαπτυχθέντες ὤφθησαν κενοὶ A. 709.

Διαῤῥαίνειν. ἐκ δὲ δασκίου γενειάδος κρουνοὶ διεῤῥαίνοντο T. 11.

Διαῤῥεῖν. τοῦ θανόντος ὡς ταχεῖά τις χάρις διαῤῥεῖ; Aj. 1267. πάλιν διαῤῥεῖ κἀπὶ μηδὲν ἔρχεται I. T. LVI. 8.

Διαῤῥηγνύναι. πλευρὰν διαῤῥήξαντα φασγάνῳ Aj. 834.

Διαῤῥοιζεῖν. ἐς δὲ πνεύμονας στέρνων διεῤῥοίζησε T. 568.

Διάσημος. διάσημα γὰρ θροεῖ P. 209.

Διασκεδᾶν. δεξιώματα ἐν δορὶ διασκεδῶσιν C. 620. βραχεῖ ξὺν ὄγκῳ καὶ χρόνῳ διασκεδῶ C. 1341. γῆν τε καὶ νόμους διασκεδῶν A. 287.

Διασπείρειν. χολαὶ διεσπείροντο A. 1010. μέσον κρατὸς διασπαρέντος T. 784. πῶλοι διεσπάρησαν ἐς μέσον δρόμον E. 748. τὰ δὲ διασπείρειν μάτην E. 1291.

Διάστροφος. διάστροφον ὀφθαλμὸν ἄρας T. 796. ὄμμα καὶ φρένες διάστροφοι γνώμης ἄπῇξαν Aj. 447.

Διατελής. αἱ πολλὰ βρονταὶ διατελεῖς C. 1514.

Διατέμνειν. διὰ κάρα τεμὼν Achæor. Conv. VIII. 6. διὰ κῦμα τεμὼν Inach. XI. 6.

Διατίλλειν. ἀτίμως διατετιλμένην φόβην Tyro XV. 7.

Διάτορος. λύω σ' ἔχοντα διατόρους ποδοῖν ἀκμὰς R. 1034.

Διατριβή. χρόνου διατριβὰς σοφωτάτας ἐφεῦρε Naupl. VI. 2.

Δίαυλος. δρόμων διαύλων E. 691.

Διαφανής. τάδ' ἤδη διαφανῆ R. 754.

Διαφέρειν. τὸ σόν τε σὺ κἀγω διοίσω τοὐμὸν R. 321. χρόνῳ διοίσει γλῶσσαν T. 323.

Διαφθείρειν. ἥδ' ἡμέρα φύσει σε καὶ διαφθερεῖ R. 438. μὴ τὴν τύχην διαφθερεῖς P. 1069. διέφθαρμαι δέμας τὸ πᾶν T. 1058. ἐν τῷ ξυμφορᾶς διεφθάρης; A. 1226. μὴ διαφθαρεὶς λάθῃ βίος P. 507. τὰς οὔσας τ' ἐμοὶ καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορε E. 306.

Διαφθορά. Λαΐου διαφθορὰς R. 573. ὀμμάτων διαφθορὰς C. 552. ἥν πατὴρ ἐφῆκεν ἰχθύσιν διαφθορὰν Aj. 1297.

Διαφοιβᾷν. τὸν ἄνδρα διαπεφοιβάσθαι κακοῖς Aj. 332.

Διδακτός. διδακτά τ' ἄῤῥητά τε R. 300. δίδαξον μῆτερ, εἰ διδακτά μοι T. 64. δίδαξον εἰ διδακτὸν T. 673. νουθετήματα κείνης διδακτὰ E. 344. τὰ μὲν διδακτὰ μανθάνω I. T. LX. 1.

Διδασκαλεῖον. σοφῶν διδασκαλεῖα μουσικῆς παιδεύματα I. T. C. 3.

Διδάσκαλος. οἱ δ' ἀκοσμοῦντες βροτῶν διδασκάλων λόγοισι γίγνονται κακοὶ P. 388. φαῦλον κἂν βραχεῖ διδάσκαλον I. T. XLIX. 3. οὐδ' ἂν τὸν διδάσκαλον λάβῃ I. T. C. 8.

Διδάσκειν. μή μ' ἐκδίδασκε τοῖς φίλοις εἶναι κακὴν. Ἀλλ' οὐ διδάσκω E. 396. γῆρας διδάσκει πάντα Tyro XIV. δίδασκ' ἐμὲ R. 554. δίδασκέ με R. 1008. ὦ ξένοι διδάσκετε C. 468. δίδασκε καὶ τόδε C. 480. δίδασκε C. 560. μὴ δίδασχ' ἃ χρή με δρᾷν C. 654. μήτηρ ὡς κακὴ, δίδασκέ με E. 1289. ἐγὼ διδάξω σε R. 839. ἐγὼ διδάξω, τέκνον Αἰγέως C. 1518. ἐγὼ διδάξω A. 992. γήρᾳ τὸ φρονεῖν ἐδίδαξαν A. 1353. ἃ δαίμων, κοὐδεὶς ἀνδρῶν ἐδίδαξεν Aj. 244. πρὸς θεῶν δίδαξον κἀμὲ R. 698. δίδαξον εἴ τι θέσφατον πατρὶ χρησμοῖσιν ἱκνεῖτο C. 969. δίδαξον, μῆτερ, εἰ δίδακτά μοι T. 63. πρῶθ' ἃ πρῶτα βούλομαι δίδαξον T. 233. τί χρὴ μόλοντά μ' Ἡρακλεῖ λέγειν; δίδαξον T. 394. δίδαξον εἰ διδακτὸν T. 673. δίδαξον, ἢ μάθ' ἐξ ἐμοῦ E. 352. εἰ γὰρ θέλεις δίδαξον E. 585. ἔχεις διδάξαι δή μ' ὅποι καθέσταμεν; C. 23. διδάσκου μὴ θρασύνεσθαι κακοῖς P. 1387. διδάσκεσθαι μακρὰ I. T. CI. 2. οἱ τηλικοίδε καὶ διδαξόμεσθα δὴ φρονεῖν πρὸς ἀνδρὸς τηλικοῦδε; A. 726. ἀστυνόμους ὀργὰς ἐδιδάξατο A. 356. οὐδ' ἐν χρόνῳ μακρῷ διδαχθῆναι θέλεις E. 330. πρὸς τοῦ διδαχθείς; R. 357.

Διδόναι. ἦ τεκών μ' αὐτῷ δίδως; R. 1025. ὅσον φύσις δίδωσιν αὐταῖν C. 446. τούτων, Οἰδίπου, δίδωμί σοί κρίναντι χρῆσθαι C. 640. τέρψιν ἣν τῷ 'μῷ δίδωσι πατρὶ T. 822. μέμνησ' ὁποίῳ φωτὶ τὴν χάριν δίδως Aj. 1354. δίδωσ' ἑκὼν κτείνειν ἑαυτὸν P. 1341. εἶκε, θυμῷ καὶ μετάστασιν δίδου A. 718. εἰ διδοίης γ', ὡς ἐγὼ, σαυτῷ λόγον R. 589. ὦ Ζεῦ, διδοίης τοῖσι τοιούτοισιν εὖ C. 642. εἴ σοι λιπαροῦντι μὲν τυχεῖν μηδὲν διδοίη C. 778. χρὴ δ' ὅσ' ἂν θεοὶ διδῶσι φεύγειν μηδὲν I. T. LXXVI. 2. ἐμαυτὸν παῖδα τῆς τύχης νέμων τῆς εὖ διδούσης R. 1081. διδοὺς ἐμοὶ λέξαι τ' ἀκοῦσαί τε C. 1287. ἀκοὴν τοῖς ἐμοῖς λόγοις διδοὺς E. 30. δότε πέρασιν ἤδη καὶ καταστροφήν τινα C. 102. σῶμα βαστάσαι δότε C. 1105. δός μοι χερὸς σῆς πίστιν C. 1632. δός μοι σεαυτὸν, μὴ τοσοῦτον ὡς δάκνῃ θυμῷ T. 1119. δὸς ἄνδρασιν φίλοις γνώμης κρατῆσαι Aj. 483. δός μοι προσειπεῖν αὐτὸν Aj. 538. δός μοι σεαυτὸν εἰς ἀναιδὲς P. 84. δὸς αὐτῷ τήνδε λιπαρῆ τρίχα E. 451. εἰ μὲν πέφηνεν ἐσθλὰ, δὸς τελεσφόρα E. 646. ἵλεως κλύων δὸς E. 656. δός νυν, πρὸς θεῶν E. 1119. δόθ', ἥτις ἐστὶ, προσφέροντες E. 1123. εἶπον ὡς δοίην πάλαι R. 1161. Ἥλιος δοίη βίον τοιοῦτον οἷον κἀμὲ γηρᾶναί ποτε C. 870. τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν δοίη; C. 1101. θεοὶ δοῖεν

ποτ' αὐτοὺς ἀντίποιν' ἐμοὶ παθεῖν P. 316. χάριν δοῦναί σφιν C. 1490. δοῦναι δίκην A. 302. οὐκ ἔπειθε τὸν φυτοσπόρον τὴν παῖδα δοῦναι T. 360. ὅπλα δοῦναι κυρίως αἰτουμένῳ P. 63. ἢ τολμήσατ' ἀντ' ἐμοῦ τινὶ δοῦναι τὰ τεύχη τἀμά; P. 370. πάρεστί σοι καὶ ταῦτα θιγγάνειν καὶ δόντι δοῦναι P. 668. οὔ τί που δοῦναι νοεῖς; P. 1233. ὁ δοὺς δὲ ταῦτ' ἐμοῦ λῷον φρονεῖ R. 1038. οἶσθα παῖδά μοί τινα δούς; R. 1142. ὀργῇ χάριν δοὺς C. 855. ἄλλοισι δοὺς ὡς εἰκὸς ἔκπλει P. 972. μόλων δώσεις δίκην A. 228. εἰπεῖν τι δώσεις; A. 314. δώσουσιν ἀντιφόνους δίκας E. 248. προμνᾶταί τί μοι γνώμα τάχ' ἂν δώσειν τὰν δεινὰ τλᾶσαν C. 1075. ἐν θεοῖσι τὴν δίκην δοῦναι A. 460. ἔμελλε τῶνδ' ἐμοὶ δώσειν δίκην E. 538. δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας C. 575. τὸν παῖδ' ἔδωκας τῷδ' ὃν οὗτος ἱστορεῖ; Ἔδωκα R. 1156. ἐπιτυμβίους χοὰς ἔδωκα A. 902. χαρὰν ἔδωκας ἡμῖν T. 201. ποίαν ἀξιοῖς δοῦναι δίκην; T. 410. ἔκκριτον δέ νιν δώρημα κείνῳ ἔδωκεν Ἀλκμήνης γόνος Aj. 1303. ὅτῳ μ' ἔδωκας ἐς χεῖρας ποτὲ E. 1348. δεδώκασ' ἐνδίκως αὐτοὶ τάδε P. 372. ἡλίου τόδ' εἰσορᾶν φάος μόνος δέδωκας P. 664. οὐ δοθήσεται πλὴν σοί τε κἀμοὶ P. 774. τὰς μὲν ἐκ θεῶν τύχας δοθείσας ἔστ' ἀναγκαῖον φέρειν P. 1317.

Δίδυμος. ὦ δίδυμα τέκνων ἄριστα C. 1693. πελαγέων διδύμας ἁλὸς A. 966. διδύμαιν χεροῖν E. 206. διδύμαν Ἐριννὺν E. 1080.

Διειδέναι. ἄνακτας ἀρκεῖ ταῦτά μοι διειδέναι C. 295.

Διειπεῖν. τό γ' αἴνιγμ' οὐχὶ τοῦ 'πιόντος ἦν ἀνδρὸς διειπεῖν R. 394. ὅν γε Λοξίας διεῖπε χρῆναι παιδὸς ἐξ ἐμοῦ θανεῖν R. 854. τρόπον μὲν ἂν πόνων οὐκ ἂν διείποιμι T. 22.

Διεκπεραίνειν. πρὶν αὐτῷ βίος διεκπερανθῇ Tynd. I. 3.

Διεμπολᾶν. τί με κατὰ σκότον διεμπολᾷ λόγοισι πρός σε; P. 579. ὠθούμεθ' ἔξω, καὶ διεμπολούμεθα Tereus VII. 7.

Διεξέρχεσθαι. διεξελθὼν πόνους P. 1419.

Διέξοδος. λάθουσι κἀνέμων διέξοδοι θήλειαν ὄρνιν Oenom. V. 1.

Διεργάζεσθαι. καὶ μή σέ τ' αὐτὸν καὶ πόλιν διεργάσῃ C. 1417.

Διέρπειν. ἦμεν δ' ἕτοιμοι καὶ μύδρους αἴρειν χεροῖν καὶ πῦρ διέρπειν A. 266.

Διέρχεσθαι. ὁ λόγος διέρχεται C. 574. ταύτης ὁ δεινὸς ἵμερός ποθ' Ἡρακλῆ διῆλθε T. 476. σφαγῶν διελθὼν ἰὸς αἵματος μέλας T. 719. διῆλθ' Ἀχαιοὺς βάξις, ὡς οἴχει θανὼν Aj. 999. μηδ' Ἑλλάδος γῆς μηδαμοῦ διῆλθέ που κληδὼν P. 256. ἄτται, διέρχεται, διέρχεται P. 743. γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται I. T. XVIII. 3.

Διέχειν. οὐ διέσχον ἡμέραι τρεῖς R. 717.

Διήκειν. τὸ σὸν ὄνομα διήκει πάντας C. 306.

Διηλιφής. διηλιφὲς γένειον Achæor. Conv. III. 1.

Διήνεμος. πάτραν διήνεμον λέλοιπεν T. 327.

Διιέναι. ξυμφορὰς τοῦ σοῦ διῆκας στόματος C. 963.

Διιστάναι. τὸ νερτέρων εὔνουν διαστὰν γῆς ἀλάμπετον βάθρον C. 1662.

Δικάζειν. δικάζει τὸν ἄγαμον γάμον R. 1214.

Δίκαιος. δίκαι' ἔλεξας R. 280. οὐ γὰρ δίκαιον τοὺς χρηστοὺς μάτην κακοὺς νομίζειν R. 609. χρόνος δίκαιον ἄνδρα δείκνυσιν μόνος R. 614. λόγος δίκαιος C. 762. οὔτε γὰρ τὰ νῦν δίκαια πράσσεις C. 825. οὐ δίκαια δρᾷς C. 831. τοῖς τοι δικαίοις χὠ βραχὺς νικᾷ μέγαν C. 880. δίκαι' ἀσκοῦσαν πόλιν C. 913. φαίνει δίκαιος C. 938. κεἰ δίκαι' ὅμως λέγω C. 957. σὲ, τὸν δίκαιον C. 992. δόλῳ τῷ μὴ δικαίῳ C. 1027. λιπαρεῖν γὰρ οὐ καλὸν δίκαια προσχρῄζουσιν C. 1202. δικαίαν χάριν C. 1497. πάλιν σὲ δαίμων δίκαιος αὔξοι C. 1567. δίκῃ χρησθεὶς δικαίᾳ καὶ νόμῳ A. 24. δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι κακῶν A. 400. δίκαιον κἀγαθὸν παραστάτην A. 667. τοῦδε χρὴ κλύειν καὶ σμικρὰ καὶ δίκαια καὶ τἀναντία A. 671. μηδὲν διδάσκου μὴ δίκαιον A. 728. οὐ γὰρ δίκαιά σ' ἐξαμαρτάνονθ' ὁρῶ A. 743. σὺ καὶ δικαίων ἀδίκους φρένας παρασπᾷς ἐπὶ λώβᾳ A. 791. δίκαιον τοὺς ἐλευθέρους φρενοῦν γνώμαισι δούλαις T. 52. οὐ δίκαιος ἄγγελος παρῆν T.

348. λέγεις δέσποιναν εἶναι τήνδε σήν. Δίκαια γὰρ T. 409. ἣν εὑρεθῇς ἐς τήνδε μὴ δίκαιος ὤν. Πῶς μὴ δίκαιος; T. 411. κενὸν γὰρ οὐ δίκαιά σε χωρεῖν T. 496. ὧν δίκαια τυγχάνειν T. 1118. ξὺν τῷ δικαίῳ γὰρ μέγ' ἔξεστιν φρονεῖν Aj. 1125. δίκαια γὰρ τόνδ' εὐτυχεῖν, κτείναντά με; Aj. 1126. ἄνδρα δ' οὐ δίκαιον, εἰ θάνοι, βλάπτειν τὸν ἐσθλὸν Aj. 1344. τόλμα· δίκαιοι δ' αὖθις ἐκφανούμεθα P. 82. μηδὲν δίκαιον ἐς τέλος μέλλει ποιεῖν P. 409. τὰ δίκαια καὶ τὰ χρηστὰ P. 450. δικαίων κἀγάθων ἀνδρῶν P. 1050. ἀνδρός τοι τὸ μὲν εὖ δίκαιον εἰπεῖν P. 1140. εἰ δίκαια, τῶν σοφῶν κρείσσω τάδε P. 1246. καὶ πῶς δίκαιον ἅ γ' ἔλαβες βουλαῖς ἐμαῖς πάλιν μεθεῖναι; P. 1247. ξὺν τῷ δικαίῳ τὸν σὸν οὐ ταρβῶ φόβον P. 1251. συγγνώμην ἔχειν δίκαιόν ἐστι P. 1320. τὸ μὲν δίκαιον οὐχ ᾗ 'γὼ λέγω E. 337. τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον δυοῖν ἐρίζειν E. 467. γνώμην δικαίαν σχοῦσα E. 550. τῷ σῷ δικαίῳ δῆτ' ἐπισπέσθαι με δεῖ E. 1037. δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου Aethiopes I. 3. τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον Aloadæ I. δικαία γλῶσσ' ἔχει κράτος μέγα Aloadæ III. σπουδὴ δικαία Thyest II. 2. οὐ γὰρ δίκαιον ἄνδρα γενναῖον φρένας τέρπειν ὅπου μὴ καὶ δίκαια τέρψεται Phædr. II. πόλις, ἐν ᾗ τὰ μὲν δίκαια καὶ τασώφρονα λάγδην πατεῖται Phædr. III. 2.

Δικαιοῦν. μαθεῖν δικαιῶ ταῦτα R. 575. δεινά μ' Οἰδίπους δρᾶσαι δικαιοῖ R. 640. οὐ γὰρ δικαιοῖς τοῦ φυτεύσαντος κλύειν T. 1246. θεὸς δικαιοῖ χὠ στόλος πορσύνεται P. 781. μηδ' ἃ μὴ θέμις λεύσσειν δικαιοῦν C. 1642. δικαιῶν ἀκούειν R. 6. δικαιῶν ὥστ' ἐμοῦ κλύειν λόγους C. 1350.

Δικαίως. αἱ δὲ τοιαῦται φύσεις αὑταῖς δικαίως εἰσὶν ἄλγισται φέρειν R. 675. τόν γε Λαΐου φόνον φανεῖ δικαίως ὀρθὸν R. 853. τὸ κέρδος κερδανεῖ δικαίως R. 889. ὁ πρὶν παλαιὸς ὄλβος ἦν πάροιθε μὲν ὄλβος δικαίως R. 1283. πᾶς σε Καδμείων λεὼς καλεῖ δικαίως C. 742. δικαίως ταῦτ' ὀνειδίζεις C. 971. τὰ λοιπά μου μέλον δικαίως C. 1138. ὑπὰ ζυγῷ λόφον δικαίως εἶχον A. 292. δικαίως ἔστ' ἐμὸς τὰ πατρόθεν Aj. 547. ἐς ταφὰς ἐγὼ θήσω δικαίως Aj. 1110. εἴτ' οὖν δικαίως, εἴτε μὴ E. 560.

Δικαστής. ἐν τοῖς δικασταῖς, κοὐκ ἐμοί, τάδ' ἐσφάλη Aj. 1136.

Δικέλλη. δικέλλης ἐκβολὴ A. 249.

Δίκη. ὑμῖν ἥ τε σύμμαχος Δίκη καὶ πάντες εὖ ξυνεῖεν εἰσαεὶ θεοὶ R. 274. ὑφέξειν τὴν δίκην R. 552. δίκας ἀφόβητος R. 885. πρὸς δίκης οὐδὲν τρέμων R. 1014. πρὸς δίκας τι C. 546. ἡ δ' οἴκοι πλέον δίκῃ σέβοιτ' ἂν C. 760. Δίκη ξύνεδρος Ζηνὸς νόμοις C. 1382. σὺν δίκῃ χρησθεὶς δικαίᾳ A. 23. ἐχθρὰ δὲ τῷ θανόντι προσκείσει δίκῃ A. 94. δώσεις δίκην A. 228. δοῦναι δίκην A. 302. θεῶν τ' ἔνορκον δίκαν A. 369. ἡ ξύνοικος τῶν κάτω θεῶν Δίκη A. 451. ἐν θεοῖσι τὴν δίκην δώσειν A. 459. οὐκ ἐάσει τοῦτό σ' ἡ δίκη A. 538. διὰ δίκης ἰὼν πατρὶ A. 742. ὑψηλὸν ἐς Δίκας βάθρον προσέπεσες A. 854. ποίαν παρεξελθοῦσα δαιμόνων δίκην; A. 921. ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν A. 1270. Ζεύς τἂν ξυνέγνω ξὺν δίκῃ χειρουμένῳ T. 279. φωνεῖ δίκης ἐς ὀρθὸν T. 347. ποίαν ἀξιοῖς δοῦναι δίκην; T. 410. ὧν σε ποίνιμος Δίκη τίσαντο T. 810. ὁρῶν λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον T. 1071. κεῖνος δὲ τίσει τήνδε, κοὐκ ἄλλην δίκην Aj. 113. οὐκ ἄν ποτε δίκην κατ' ἄλλου φωτὸς ὧδ' ἐψήφισαν Aj. 449. τοὺς δίκῃ νικῶντας Aj. 1248. τὴν δίκην πατεῖν Aj. 1335. μνήμων τ' Ἐριννὺς καὶ τελεσφόρος Δίκη κακοὺς κακῶς φθείρειαν Aj. 1390. θεοῖσιν εἰ δίκης μέλει P. 1036. αἰσχρῶς κοὐ δίκῃ λαβὼν P. 1234. ὅτῳ τρόπῳ πατρὸς δίκας ἀροίμην τῶν φονευόντων πάρα E. 34. ὦ πατρῷον δῶμα, σοῦ γὰρ ἔρχομαι δίκῃ καθαρτὴς E. 69. δώσουσιν ἀντιφόνους δίκας E. 246. ἴσθι τοι τίσουσά γ' ἀξίαν δίκην E. 298. εἶσιν ἁ πρόμαντις Δίκα E. 475. πέρα δίκης ἄρχω καθυβρίζουσα E. 521. ἡ Δίκη νιν εἷλεν, οὐκ ἐγὼ μόνη E. 528. ἔμελλε τῶνδ' ἐμοὶ δώσειν δίκην E. 538. οὐ δίκῃ γ' ἔκτεινας E. 561. πρώτη θάνοις ἄν, εἰ δίκης γε τυγχάνοις E. 583. σὺν δίκῃ ξύνεστι E. 610. ἡ δίκη βλάβην φέρει E. 1042. πρὸς δίκης γὰρ οὐ

στένεις E. 1211. πῶς τὸν θανόντ' ἀδελφὸν οὐ στένω δίκῃ E. 1212. ἐννέπειν τάδε δίκᾳ E. 1255. λαθραῖον δίκης ἀγῶνα E. 1441. χρὴ δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην E. 1505. δίκης ὅσιον φάος Ajax Locr. I. 2. δίκην κακῶν τιμωρὸν ἐμφανῆ τίνειν Alet. VII. 9. εἰ δίκην λόγων ὄφλοι Polyx. III. 5. πένθος λαγχάνω πώλου δίκην Tyro XV. 1. Δίκης δέδορκεν ὄμμα τὸν δ' ἄδικον ἀμείβεται I. T. II. μόνην δ' ἔστεργε τὴν ἁπλῶς δίκην I. T. LII. 3.

Δικρατής. δικρατεῖς λόγχας A. 146. δικρατεῖς 'Ατρεῖδαι Aj. 252.

Δίκτυον. ἐν τοῖσιν αὐτοῖς δικτύοις ἁλίσκεται I. T. XVI. 3. μολιβδὶς ὥστε δίκτυον κατέσπασεν I. T. CV.

Δικτυόπλωστος. σπείραισι δικτυοπλώστοις A. 347.

Δίλοφος. διλόφου πέτρας A. 1126.

Διόβολος. κτύπος ἄφατος διόβολος C. 1463.

Διογενής. ὦ χαῖρ' 'Αθάνα, χαῖρε Διογενὲς τέκνον Aj. 91.

Διοίγειν. βοᾷ διοίγειν κλῇθρα R. 1287. ἰδοὺ διοίγω Aj. 346. κλῇθρα γὰρ πυλῶν τάδε διοιγέται R. 1295.

Διοίχεσθαι. ἐμοὶ λιπὼν ἀνίας καὶ γόους διοίχεται Aj. 973.

Διολλύναι. ταῦτα γὰρ καλῶς εἰδὼς διώλεσα R. 318. ἀλλά σ' ἡ τύχη διώλεσεν R. 442. ὑπ' ἐλπίδων ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν A. 222. τὸ κάλλος αὐτῆς τὸν βίον διώλεσεν T. 465. ἴσως ἂν ἢ 'κέρδαναν, ἢ διώλεσαν Scyr. IV. 6. διολοῦσ' ἡμᾶς νόσος T. 1030. πολλῷ γε μᾶλλον, ἢν φράσω, διόλλυμαι R. 1159. ἀμφίβληστρον ᾧ διόλλυμαι T. 1054. πρὸς τῶν 'Ατρειδῶν ὡς διόλλυμαι τάλας Aj. 838. ἀεὶ στενάχουσα διόλλυσαι E. 141. εἰπὲ τῷ τρόπῳ διόλλυται E. 679. σκαιοῖσι πολλοῖς εἷς σοφὸς διόλλυται I. T. VIII. ἐκ τίνος διώλετο; R. 225. ἐπεὶ διώλετ' Οἰδίπους A. 168. κακῶν κλέος ᾔσθου ποτ' οὐδὲν, οἷς ἐγὼ διωλόμην P. 252.

Διομνύναι. ὅρκον αὐτῷ προσβαλὼν διώμοσεν T. 256. ὥσπερ οὐπάγων διώμνυτο T. 378. οὔτε ναυάρχους μολεῖν ἡμᾶς 'Αχαιῶν, οὔτε σοῦ, διωμόσω Aj. 1233.

Διόνυσος. ἵν' ὁ βακχιώτας ἀεὶ Διόνυσος ἐμβατεύει C. 679. ἐκ Διονύσου πετρώδει κατάφρακτος ἐν δεσμῷ A. 957.

Διοπτεύειν. πλῆρες ἄτης ὡς διοπτεύει στέγος Aj. 307.

Διορίζειν. τοιαῦτα φῆμαι μαντικαὶ διώρισαν R. 723. οἱ δὲ συγγενεῖς μῆνές με μικρὸν καὶ μέγαν διώρισαν R. 1083.

Δῖος. δίας 'Αθάνας μῆνις Aj. 757. δῖός τ' 'Οδυσσεὺς P. 344.

Δίπαλτος. στρατὸς δίπαλτος Aj. 267.

Διπλοῦς. Παλλάδος διπλοῖς ναοῖς R. 20. πομποὺς διπλοῦς R. 289. μή μ' ἁπλῇ κτάνῃς ψήφῳ, διπλῇ δε, τῇ τ' ἐμῇ καὶ σῇ R. 607. κάρα διπλοῖς κέντροισί μοι καθίκετο R. 809. ποίαν δύναμιν ὧδ' ἔχει διπλῆν; R. 938. διπλοῖσι ποιμνίοις R. 1135. διπλῆν ἄρουραν οὔ τε καὶ τέκνων R. 1257. πύλαις διπλαῖς ἐνήλατο R. 1261. διπλᾶ φορεῖν κακὰ R. 1320. διπλᾶς ἀρωγὰς μολεῖν C. 1094. μιᾷ θανόντων ἡμέρᾳ διπλῇ χερὶ A. 14. διπλᾶς ὄψεις ἀράξας A. 51. μήτηρ τε καὶ γυνὴ, διπλοῦν ἔπος A. 53. εὖ γὰρ εἴρηται διπλᾶ A. 725. ξίφους διπλοῦς κνώδοντας A. 1232. ἐξ ἁπλῆς διπλῆ φανῇ χάρις T. 619. μάστιγι διπλῇ Aj. 242. διπλοῖ βασιλῆς Aj. 959. διπλῆ πάρεστιν ἐνθάκησις P. 17. ὦ διπλοῖ στρατηλάται P. 793. διπλῆν μὲν ἐξ ἐμοῦ κτήσει χάριν διπλῆν δὲ πατρὸς P. 1370. διπλῆ φύλοπις E. 1072. παῖσον εἰ σθένεις διπλῆν E. 1415.

Δίπτυχος. δίπτυχαι ὀδύναι Achill. Amat. III. 2.

Δίπυλος. ὦ σχῆμα πέτρας δίπυλον P. 952.

Διρκαῖος. Διρκαίων ὑπὲρ ῥεέθρων A. 105. ἰὼ Διρκαῖαι κρῆναι A. 844.

Δίς. οὔ τι χαίρων δίς γε πημονὰς ἐρεῖς R. 363. δὶς γὰρ οὐχὶ βούλομαι πονοῦσά τ' ἀλγεῖν καὶ λέγουσ' αὖθις πάλιν C. 363. ἅπαξ τὰ τοιαῦτ', οὐχὶ δὶς, χρῄζω κλύειν C. 1208. δὶς τόσ' ἐξ ἁπλῶν κακὰ Aj. 277. πάρεστι καὶ δὶς αἰάζειν ἐμοὶ καὶ τρὶς Aj. 432. οὐδέν σ' ἀπιστῶ καὶ δὶς οἰμῶξαι Aj. 940. δὶς ταυτὰ καὶ τρὶς ἀναπολεῖν ἔπη P. 1238. θανεῖν γὰρ οὐκ ἔξεστι τοῖς αὐτοῖσι δὶς Acris. VIII. 2. εἰς ἀριθμὸν ἐξήκοντα δὶς Acris. XI. 4.

Δίσκημα. ἐλαφρὸς ἐν δισκήματι Acris. XII. 2.
Δισσάρχης. δισσάρχας ὀλέσσας βασιλεῖς Aj. 390.
Δισσός. ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ ἥδιστα προσφαινήματα C. 324. δισσοῖσι Φινείδαις A. 972. δισσαῖσιν ἀπείροις κλιθεὶς T. 101. δισσῶν ἐκ Πελειάδων T. 172. ἐπὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις Aj. 49. δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν Aj. 57. ἀναλγήτων δισσῶν Ἀτρειδᾶν Aj. 947. οἱ δισσοὶ στρατηγοὶ P. 264. τῶν Ἀτρέως δισσῶν στρατηγῶν P. 1023. δισσὰ γὰρ φυλάσσεται Oenom. I. 2.
Δίστολος. τὰς διστόλους ἀδμῆτας ἀδελφὰς C. 1055.
Δίστομος. ἔνθα δίστομοι μάλιστα συμβάλλουσιν ἐμπόρων ὁδοὶ C. 900. δίστομος πέτρα P. 16.
Διφρευτής. τὸν διφρευτὴν Ἥλιον Aj. 857.
Διφρηλατεῖν. ὦ τὸν αἰπὺν οὐρανὸν διφρηλατῶν, Ἥλιε Aj. 845.
Διφρηλάτης. διφρηλάται κατασχέθοντες ἱππικὸν δρόμον E. 753.
Δίφρος. παγχρύσων δίφρων δυστάναις αἰκίαις E. 510. κατέστησαν δίφρους E. 710. ὀρθοὶ πάντες ἔστασαν δίφροι E. 723. ὠρθοῦθ᾽ ὁ τλήμων ὀρθὸς ἐξ ὀρθῶν δίφρων E. 742. ἐκπεπτωκότα δίφρων E. 750.
Διφυής. διφυῆ τ᾽ ἄμικτον ἱπποβάμονα στρατὸν θηρῶν T. 1097.
Δίχα. οὐδέ σ᾽ ἐξανιστάναι πόλεως δίχ᾽ ἔστι θάρσος C. 48. οἰκεῖν δίχα C. 602. ἄταφος ἔπιτνε δίχα τε παντὸς C. 1732. ἐκ πάντων δίχα ἔστειλ᾽ ἱκέσθαι; A. 164. τὰ δὲ πλευροκοπῶν δίχ᾽ ἀνερρήγνυ A. 236. οἷος Ἀτρειδῶν δίχα Aj. 750. δίχα κείνων Aj. 768. κένην οἴκησιν ἀνθρώπων δίχα P. 31. ἃ πονεῖ δίχα κηδεμόνων P. 195. δίχα τοῦδε πλέοντες P. 840. σῆς δίχα γνώμης λέγω E. 547. σῆς κασιγνήτης δίχα E. 1137.
Διχοστατεῖν. διχοστατῶν λόγος I. T. LXXIV. 3.
Διχόστομος. διχόστομον πλῆκτρον Achill. Amat. III. 1.
Διψᾶν. τὸ πρὸς βίαν πιεῖν ἴσον κακὸν πέφυκε τῷ διψᾶν βίᾳ I. T. XLIII. 2. διψῶντι προσφέρων σοφὰ I. T. XLIV. 1.

Δίψιος. διψίαν κόνιν A. 245.
Διώδυνος. διώδυνος σπαραγμὸς Aj. 779.
Διώκειν. διώκων κἀξιχνοσκοπούμενος Aj. 997. φροῦδοι διώκοντές σε ναυτικῷ στόλῳ P. 561. ὁ δ᾽ ὡς ὁρᾷ διώκει E. 738. ὑφ᾽ ἡδόνης τοι, φιλτάτη, διώκομαι E. 871.
Διώμοτος. διώμοτοι πλέουσιν ἢ μὴν ἢ λόγῳ πείσαντες ἄξειν, ἢ πρὸς ἰσχύος κράτος P. 593.
Δμωή. ὑπτία δὲ κλίνομαι δείσασα πρὸς δμωαῖσι A. 1189. δμωαῖς προθήσειν πένθος οἰκεῖον στένειν A. 1249.
Δμώς. ἀλλά νιν κομίζετ᾽ εἴσω, δμῶες A. 578.
Δνοφερός. δνοφερὰ νὺξ E. 91.
Δοκεῖν. τὰ δεύτερ᾽ ἐκ τῶνδ᾽ ἂν λέγοιμ᾽ ἅ μοι δοκεῖ R. 282. καί ποῦ τοῦτο φεύξεσθαι δοκεῖς; R. 355. ταῦτ᾽ ἀεὶ λέξειν δοκεῖς; R. 368. κλαίων δοκεῖς μοι καὶ σὺ χὠ ξυνθεὶς τάδε ἀγηλατήσειν R. 401. ἔπη δοκεῖ ὀργῇ λελέχθαι R. 405. ὡς μέν σοι δοκεῖ R. 435. εἴ τιν᾽ ἂν δοκεῖς ἄρχειν ἑλέσθαι R. 584. εἰ μὴ δοκῶ τι μειόνως ἔχειν C. 104. ἦ καὶ δοκεῖτε τοῦ τυφλοῦ τιν᾽ ἐντροπὴν ἕξειν; C. 299. εἰ τάδε δοκεῖς τ λεῖν C. 878. τοῦ καθυβρίζειν δοκεῖς; C. 960. δοκῶ μὲν εἴπερ ζῆν φιλεῖς τὸν αἴτιον τίνοι᾽ ἂν C. 998. εἰδὲ μὴ δοκῶ φρονῶν λέγειν οὐκ ἂν παρείμην οἷσι μὴ δοκῶ φρονεῖν C. 1666. ἴσθ᾽ ὁποῖά σοι δοκεῖ A. 71. κάκιστος εἶναι νῦν τε καὶ πάλαι δοκεῖ A. 181. ἦ δεινὸν, ᾧ δοκεῖ γε, καὶ ψευδῆ δοκεῖν A. 323. εἰ δοκῶ νῦν μῶρα δρῶσα A. 469. αὐτὸς φρονεῖν μόνος δοκεῖ A. 707. οὕτω γὰρ ἤδη καὶ δοκῶ, τὸ σὸν μέρος A. 1062. καὶ δοκεῖς παρεικάθειν A. 1102. ἡ τ᾽ ἄγαν σιγὴ βαρὺ δοκεῖ προσεῖναι A. 1252. εἴ τί σοι πρὸς καιρὸν ἐννέπειν δοκῶ T. 59. οὐδὲ τὸν πάρος μῦθον μάτην ἤκουσας, οὐδὲ νῦν δοκῶ T. 341. πρὸς τίν᾽ ἐννέπειν δοκεῖς; T. 402. εἴ τι μὴ δοκῶ πράσσειν μάταιον T. 586. δοκεῖς παρ᾽ ἡμῖν οὐ βεβουλεῦσθαι κακῶς T. 589. κάρτ᾽ ἂν εὐτυχεῖν δοκῶ Aj. 263. τοσοῦτόν γ᾽ ἐξεπίστασθαι δοκῶ Aj. 441. μῶρά μοι δοκεῖς φρονεῖν Aj. 594. αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν Aj. 975. κἄστιν, ὡς ἐμοὶ δοκεῖ, οὐδείς ποτ᾽ ἄλλος ἢ σύ Aj. 1157. τῷ νιν αὐτίκ᾽ αἱρήσειν

δοκῶ P. 14. δοκῶ γὰρ, οἷον εἶπας, ἄντρον εἰσορᾶν P. 27. ποίαν μ' ἀνάστασιν δοκεῖς στῆναι; P. 276. εἰ δοκεῖ πλέωμεν P. 526. ἀλλ' ἄρτι κουφίζειν δοκῶ P. 735. τοῦ κακοῦ δοκεῖ λήθη τις εἶναι P. 877. μείνατ', εἰ τούτῳ δοκεῖ P. 1075. οἷα χρὴ παθεῖν με πρὸς τούτων ἔτι δοκῶ προσλεύσσειν P. 1360. εἰ δοκεῖ στείχωμεν P. 1402. δοκῶ γὰρ οὐδὲν ῥῆμα σὺν κέρδει κακὸν E. 60. εἰ δοκῶ πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν E. 254. ποίας ἡμέρας δοκεῖς μ' ἄγειν; E. 266. ἐν κακοῖς μοι πλεῖν ὑφειμένῃ δοκεῖ E. 335. εἴ σοι προσφιλῶς αὐτῇ δοκεῖ E. 442. ἆρα μὴ δοκεῖς λυτήρι' αὐτῇ ταῦτα τοῦ φόνου φέρειν; E. 446. δοκῶ με πεῖραν τήνδε τολμήσειν πικρὰν E. 471. δοκῶ μὲν, εἰ καὶ σῆς δίχα γνώμης λέγω E. 547. ἆρ' ὅῦ σοι δοκεῖ χωρεῖν ἂν εἰς πᾶν ἔργον αἰσχύνης ἄτερ; E. 614. ἐπικωκῦσαι δοκεῖ τὸν υἱὸν E. 805. πατέρα γὰρ εἰσορᾶν δοκῶ E. 1361. ἀρκεῖν δοκεῖ μοι E. 1364. ἐμοὶ δ' οὐδεὶς δοκεῖ εἶναι, πένης ὤν, ἄνοσος Creusa VI. 7. συνοπάζεταί τε πλῆθος οὐκ ὅσον δοκεῖς Laoc. III. 5. μὴ δόκει μ' ἂν, εἴπερ ἦν πέλας, θυραῖον οἰχνεῖν E. 312. χερσὶ δ' ἂν θιγὼν δοκοῖμ' ἔχειν σφᾶς R. 1470. δοκοῖμ' ἂν τῆς νόσου πεφευγέναι P. 1044. καὶ μὴ δοκῶμεν, δρῶντες ἂν ἡδώμεθα, οὐκ ἀντιτίσειν Aj. 1085. ἐάν μοι τοῦ χρόνου δοκῆτέ τι κατασχολάζειν P. 126. ὡς ἂν μήτ' ἀπαιδεύτων βροτῶν δοκῶμεν εἶναι I. T. C. 12. τοσοῦτον ὅσον δοκεῖν, καὶ δοξαντ' ἀποκλῖναι R. 1191. τὸ κακὸν δοκεῖν ποτ' ἐσθλὸν A. 622. εἰ πατρὸς νέμοι τιν' ὥραν τοῦ καλῶς πράσσειν δοκεῖν T. 57. τὸ μὲν δοκεῖν ἔνεστι T. 590. σοὶ μὲν δοκεῖν ταῦτ' ἔστιν Aj. 912. ἄνδρα χρὴ δοκεῖν πεσεῖν ἂν Aj. 1078. μὴ δοκεῖν μὲν δρᾶν τι E. 336. ἐκ δείματός του νυκτέρου, δοκεῖν ἐμοὶ E. 410. χρεὼν ἐπαινεῖν καὶ δοκεῖν καλῶς ἔχειν Tereus VII. 12. δοκοῦντα ταῦτ' ἦν R. 126. ἴσθι γὰρ δοκῶν ἐμοὶ καὶ ξυμφυτεῦσαι τοὔργον R. 346. δοκῶν θρόνοις παραστατήσειν R. 399. ὡς ἄλλην χθόνα δοκῶν ἀποίσειν R. 1179. οὔτε δοκοῦντ' οὔτ' ἀποφάσκοντα R. 485. δοκοῦσα προσβαλεῖν σέθεν στέργημα T. 1140. δοκῶν ἐν ὑμῖν χεῖρα χραίνεσθαι φόνῳ Aj. 43. δοκοῦντ' ἐμοί, δοκοῦντά τ', ὃς κραίνει στρατοῦ Aj. 1050. οἱ δοκοῦντες εὐγενεῖς πεφυκέναι Aj. 1095. εἰ σεαυτῇ τυγχάνεις δοκοῦσά τι φρονεῖν E. 1055. εἰ δὲ μὴ 'δόκεις γέρων εἶναι R. 402. τοῖς δ' ἐγὼ 'δόκουν φρονεῖν A. 557. κἀδόκει μὲν ἔσθ' ὅτε διασσοὺς 'Ατρείδας αὐτόχειρ κτείνειν Aj. 56. κακοῖς ἐπωφελῶν, δόξεις ὅμοιος τοῖς κακοῖς πεφυκέναι P. 1372. ἔδοξ' ἀκοῦσαι σοῦ τόδε R. 729. οὐκ ἄν ποτ' ἐς τοσοῦτον αἰκίας πεσεῖν ἔδοξα C. 749. πόλιν κένανδρον ἢ δούλην τινὰ ἔδοξας εἶναι C. 918. Κρέοντι ταῦτ' ἔδοξ' ἁμαρτάνειν A. 914. ἔδοξεν οὖν μοι πρός σε δηλῶσαι τὸ πᾶν T. 369. θεοῖς γὰρ ὧδ' ἔδοξέ που Aj. 489. οὕτω σοί τ' ἔδοξ' ἐμοί τε δρᾶν P. 888. ἔδοξα προσπόλων τινὸς ὑποστενούσης ἔνδον αἰσθέσθαι E. 78. ἐδοξάτην μοι τὰ δύ' ἠπείρω μόλειν I. T. LXXXIII. τοῦτο μὴ δόξῃς ποτὲ A. 762. τὰ μὲν δόξαντα δηλώσω E. 29. δέδοκται, κεῖνος εἰ σφαλήσεται ταύτῃ ξὺν ὁρμῇ κἀμὲ συνθανεῖν ἅμα T. 721. Ζεύς, ᾧ δέδοκται ταῦτα P. 990. οὕτω δέδοκται; Καὶ πέρα γ' ἴσθ' ἢ λέγω P. 1277. δέδοκταί σοι μένοντι καρτερεῖν P. 1274. πάλαι δέδοκται ταῦτα E. 1049. οὕτως ἄρ', ὦ παῖ, ταῦτά σοι δεδογμένα C. 1431. δεδογμέν', ὡς ἔοικε, τήνδε κατθανεῖν A. 576.

Δόκησις. δόκησις ἀγνὼς λόγων ἦλθε R. 681. ταὐτὸ δ' οὐχὶ γίγνεται, δόκησιν εἰπεῖν, κἀξακριβῶσαι λόγον. Ποίαν δόκησιν; T. 428.

Δολερός. κρυπτά τ' ἔπη δολερᾶς φρενὸς P. 1112. δολερᾶς ἀθεωτάτας ματρὸς E. 124.

Δολιόπους. δολιόπους ἀρωγὸς E. 1392.

Δόλιος. μάγον τοιόνδε μηχαναρράφον δόλιον R. 388. δολίαν ἄταν T. 852. ἐφ' ὑμᾶς δόλιος ὁρμᾶται Aj. 48. 'Ερμῆς δόλιος P. 133. δόλιος 'Οδυσσεὺς P. 608.

Δολόμυθος. δολόμυθα κέντρα T. 841.

Δολόποιος. δολόποιος ἀνάγκα T. 834.

Δόλος. δόλῳ προσέρπον ἔργον R. 539. τὰ γὰρ δόλῳ τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σώζεται C. 1026. αὐτὸν μοῦνον ἀνθρώπων δόλῳ ἔκτεινε T. 277. δειλίᾳ προδόντα σ' ἢ δόλῳ Aj. 1015. ξὺν δόλῳ κεντήσεθ' οἱ λελειμμένοι Aj.

1245. λέγω σ' ἐγὼ δόλῳ Φιλοκτήτην λαβεῖν P. 101. μὴ δόλῳ λαβόντα P. 106. εἷλεν δόλῳ με P. 948. οὔ σέ γε δόλος ἔσχ' ὑπὸ χειρὸς ἐμᾶς P. 1119. ἀπάταισιν αἰσχρῶς ἄνδρα καὶ δόλοις ἑλὼν P. 1228. δόλος ἦν ὁ φράσας E. 197. ἐκ δόλου κατέκτανε E. 279. δόλον σκότῳ κρύψας E. 1396. θανὼν δόλοισιν, ἢ νόσου ξυναλλαγῇ; R. 960. δόλοισι τὸν βίον λαβὼν ἀπεστέρηκας P. 1282. δόλοισι κλέψας χειρὸς ἐνδίκους σφαγὰς E. 37. πλούτου τοῦ παρόντος εἴ τινες δόλοισι βουλεύουσιν ἐκβαλεῖν E. 649.

Δολοῦν. ναυκλήρου τρόπον μόρφην δολώσας P. 129. δεύτερον δολούμεθα P. 1288.

Δολῶπις. δολῶπις Οἰνέως κόρη T. 1052.

Δομος. φθορὰν, οἷα κατέσχε τὸν σὸν ἄθλιον δόμον C. 370. νεκρῶν πλάκα, καὶ Στύγιον δόμον C. 1564. ὥστε τέρπεσθαι δόμῳ P. 460. οἷς γὰρ ἂν σεισθῇ θεόθεν δόμος A. 584. ὑμέναιον ὃν δόμοις ἄνορμον εἰσέπλευσας R. 422. ἐκ δόμων R. 632. τί μέλλεις κομίζειν δόμων τόνδ' ἔσω; R. 679. ἐν δόμοισι τυγχάνει τὰ νῦν R. 757. δόμοις δέχεσθαι R. 818. ἴωμεν ἐς δόμους R. 861. ἀγαθὰ δόμοισι καὶ πόσει τῷ σῷ R. 934. σοῦ πρὸς δόμους ἐλθόντος R. 1006. μένων δόμοις ἀραῖος R. 1291. δόμους στείχειν ἐμοὺς C. 643. δόμους μολεῖν τοὺς σοὺς πατρῴους C. 757. οὐχ ἵν' εἰς δόμους ἄγῃς C. 784. ἐν δόμοις τύραννος C. 1338. ἐν δόμοισι τοῖσι σοῖς στήσω σ' ἄγων C. 1342. εἴ τις ὑμὶν ἐς δόμους νόστος γένηται C. 1408. ὅπως μολούμεθ' εἰς δόμους οὐκ ἔχω C. 1742. τόδ' ἄνδρας ἐξανίστησιν δόμων A. 297. ἐκ δόμων ἄψορρος A. 386. ἐτέτατο φάος ἐν Οἰδίπου δόμοις A. 599. ἐν δόμοις ἔχειν γονὰς A. 642. γυνὴ κακὴ ξύνευνος ἐν δόμοις A. 651. σοῖς δόμοις κωκύματα A. 1079. Κάδμου πάροικοι καὶ δόμων 'Αμφίονος A. 1155. ἐν Ἅιδου δόμοις A. 1241. δόμους παραστείχοντες A. 1255. ἐν δόμοισιν Οἰνέως ναίουσα T. 6. τοιοῦτος αἰὼν εἰς δόμους τε κἀκ δόμων ἀεὶ τὸν ἄνδρ' ἔπεμπε λατρεύοντά τῳ T. 34. ἐγγὺς δ' ὅδ' αὐτὸς ἀρτίως θρώσκει δόμους T. 58. 'Αΐδα σφε δόμων ἐρύκει T. 121. ἐμοὶ μὲν ἀρκεῖ τοῦτον ἐς δόμους μένειν Aj. 80. ὡς τὰ σὰ κράτη θανόντος καὶ δόμους νέμοιμι σοὺς Aj. 1016. πέμψαντά μ' ἐκσῶσαι δόμοις P. 496. ἀρχέπλουτον καὶ καταστάτην δόμων E. 72. δόμους 'Ατρειδῶν σκῆπτρά τ' ἀμφέπειν E. 651. τὰ μὲν ἐκ δόμων νοσεῖ E. 1070. δόμων δέ σ', ὦ παῖ, λαμπρὸν ἐξέπεμψα E. 1130. πατρῴαν κτῆσιν Αἴγισθος δόμων ἀντλεῖ E. 1290. νῷν ἐπελθόντων δόμους E. 1297. οἵ' ἂν οὔτε τις δόμων ἀπώσαιτο E. 1325. μόνος σωτὴρ δόμων 'Αγαμέμνονος E. 1354. πῶς κυρεῖ; Τά γ' ἐν δόμοισι μὲν καλῶς E. 1424. τί δ' ἐς δόμους ἄγεις μέ; E. 1493. ἅπασι νῦν ἐπεισκύπτει δόμοις Inach. III.

Δόξα. δόξα μοι παρεστάθη ναοὺς ἱκέσθαι δαιμόνων R. 911. τί δῆτα δόξης ἢ τί κληδόνος καλῆς μάτην ῥεούσης ὠφέλημα γίγνεται; C. 257. κόμψευε νῦν τὴν δόξαν A. 324. ἐπειδὴ δόξα τῇδ' ἐπεστράφην A. 1111. δόξης οὔποτε τῆσδ' ἐπιβάντες P. 1463.

Δοξάζειν. ἀντέκυρσα, δοξάζων μὲν οὔ P. 546.

Δύπτειν. δόπτει δὲ καὶ τὸ μὴ 'νδικον R. 682.

Δορίληπτος. λεία δορίληπτος Aj. 146. τὴν δουρίληπτον δύσμορον νύμφην ὁρῶ Τέκμησσαν Aj. 894.

Δόρπος. τᾶς 'Εκαταίας μαγίδος δόρπον Judic. Dearum II.

Δόρυ. ἀπαναιροῦνται δόρυ C. 424. δεξιώματα ἐν δορὶ διασκεδῶσι C. 620. τετίμηνται δορὶ C. 1304. πρῶτα μὲν δορὶ κρατύνων C. 1314. γῆς ἐμφυλίου δορὶ κρατῆσαι C. 1386. δορὸς ἐπακτοῦ γειτόνων C. 1525. πάντ' ἀριστεύσας δορὶ A. 195. σὺν μάχῃ δορὸς τροπὰς καταῤῥήγνυσι A. 674. ἀνάστατον δορὶ χώραν T. 240. κέλαινα λόγχα προμάχου δορὸς T. 858. μομφὰν ἔχων ξυνοῦ δορὸς Aj. 181. σὺ γάρ μοι πατρίδ' ἤστωσας δορὶ Aj. 515. τέκνον, δορὶ βούλου κρατεῖν A. 764. ἐν χρείᾳ δορὸς Aj. 963. ἐκ δορὸς γεγῶτα πολεμίου Aj. 1013. ὡς ἕλοι δορὶ Aj. 1056. προτείνων προὔκαμες ψυχὴν δορὶ Aj. 1270. μηδὲν ὄντας ἐν τροπῇ δορὸς Aj. 1275. ποντοπόρῳ δόρατι P. 723. δορὸς διχόστομον πλῆκτρον Achill. Amat. III. 1. 'Αχιλλήϊου δό-

ρατος ὀδύναι νιν ἤρικον Achill. Amat. III. 4. ἄνευ δορὸς I. T. XXIII. 15.

Δορύξενος. δορύξενος κοινὴ παρ' ἡμῶν αἰὲν ἐστιν ἑστία C. 632. μέγιστος αὐτοῖς τυγχάνει δορυξένων E. 46.

Δορύσσειν. δορυσσόντων μόχθων ἄτα Aj. 1188.

Δορύσσους. δορύσσους 'Αμφιάρεως C. 1313.

Δόσις. τοῦ θεοῦ μ' αἰτεῖς δόσιν R. 1517. δαίμονος κακοῦ δόσις Tynd. I. 5.

Δουλεία. πρὸς οἷα δουλείας ζυγὰ χωροῦμεν Aj. 944. τοὺς δὲ δουλείας ζυγὸν ἔσχεν Tereus VIII. 7.

Δούλευμα. γυναικὸς ὢν δούλευμα, μὴ κώτιλλέ με A. 756.

Δουλεύειν. ἦ δὴ δεῖ με δουλεύειν πάλιν φονεῦσι πατρὸς E. 814. τοῖσδε δουλεύω βίᾳ E. 1192. τούτοις γὰρ ὄντες δεσπόται δουλεύομεν Pastores V. 1.

Δούλιος. δουλίαν τροφὴν ἔχειν Aj. 449.

Δοῦλος. οὐ γάρ τι σοὶ ζῶ δοῦλος, ἀλλὰ Λοξίᾳ R. 410. ἄξιος γὰρ, οἷ' ἀνὴρ δοῦλος, φέρειν ἦν τῆσδε καὶ μείζω χάριν R. 764. ἦν δοῦλος οὐκ ὠνητὸς, ἀλλ' οἴκοι τραφεὶς R. 1123. ἦ δοῦλος, ἢ κείνου τις ἐγγενὴς γεγὼς R. 1167. πόλιν δούλην C. 917. δοῦλός ἐστι τῶν πέλας A. 479. οὐ γάρ τι δοῦλος ἀλλ' ἀδελφὸς ὤλετο A. 517. γνῶμαι δοῦλαι T. 53. γυνὴ δούλη μὲν, εἴρηκεν δ' ἐλεύθερον λόγον T. 63. δοῦλος ἀνδρὸς ὡς ἐλευθέρου ῥαίοιτο T. 267. δοῦλον ἴσχουσιν βίον T. 302. ὥστε δούλην πέμπων T. 367. νῦν δ' εἰμὶ δούλη Aj. 489. δοῦλος λόγοισιν ἀντ' ἐλευθέρου φανεὶς Aj. 1020. ὁ δοῦλος, οὐκ τῆς βαρβάρου μητρὸς γεγὼς Aj. 1289. ταῦτ' οὐκ ἀκούειν μέγαλα πρὸς δούλων κακά; Aj. 1235. ἡμᾶς δούλους πατὴρ ἄρ' ἐξέφυσεν οὐδ' ἐλευθέρους P. 996. δοῦλος ἐν δεσμοῖσι δραπέτης Acris. III. 2. δοῦλον ὄντα τῶν πέλας κλύειν Aloadæ VIII. 3. σῶμα δοῦλον I. T. 22. κείνου 'στι δοῦλος, κἂν ἐλεύθερος μόλῃ I. T. LIV. 2.

Δουλοῦν. τοὺς δὲ δουλώσας ἄγειν A. 202. ξὺν παισὶ καὶ γυναικὶ δουλώσειν T. 257. γῆν πατρῴαν οὐχ ἑκοῦσα δύσμορος ἔπερσε κἀδούλωσε T. 467.

Δοῦπος. χερόπληκτοι δ' ἐν στέρνοισι πεσοῦνται δοῦποι Aj. 632. δοῦπον αὖ κλύω τινὰ Aj. 871.

Δουριάλωτος. σὲ λέχος δουριάλωτον στέρξας ἀνέχει θούριος Αἴας Aj. 211.

Δράκων. ἀντιπάλῳ δυσχείρωμα δράκοντι A. 126. ἀγρίου τ' ἐπὶ σπορᾷ δράκοντος A. 1125. αἰόλος δράκων ἑλικτὸς T. 12. ἔτεκε δ' αἰόλος δράκων T. 836. χρυσέων δράκοντα μήλων φύλακα T. 1102. λέων, δράκων τε, πῦρ, ὕδωρ Achill. Amat. II. 1. στεφανωσαμένη πλεκτοῖς σπείρησι δρακόντων Rhiz. III. 7.

Δράμημα. παλίσσυτον δράμημα νωτίσαι T. 193.

Δρᾶν. ἃ γὰρ δρῶσ' οἱ κρατοῦντες R. 530. εἶ δῆλος οὐκ εἰδὼς τί δρᾷς R. 1008. πρίν γ' ἂν ἐνδείξω τί δρῶ C. 48. τί δρᾷς, ξένε C. 829. ὦ ξέν', οὐ δίκαια δρᾷς C. 831. ὃς ἂν τούτων τι δρᾷ A. 35. μὴ πλείω κακὰ πάθοιεν, ἢ καὶ δρῶσιν ἐκδίκως ἐμὲ A. 928. ἥτις μηδὲν ὡς τεκοῦσα δρᾷ T. 820. τί δρᾷς, 'Αθάνα; Aj. 74. τί χρῆμα δρᾷς, Αἴαν; Aj. 289. ὅταν τι δρᾷς εἰς κέρδος, οὐκ ὀκνεῖν πρέπει P. 111. ἦ ταῦτα δὴ οὕτω καθ' ὁρμὴν δρῶσιν 'Ατρειδῶν χάριν P. 566. τὴν αὑτοῦ φύσιν ὅταν λιπών τις δρᾷ τὰ μὴ προσεικότα P. 903. οὐδὲν ἔξω τοῦ φυτεύσαντος σύ γε δρᾷς P. 905. τί δρῶμεν; P. 963. μὴ δρᾶ τάδε R. 1064. δράτω, φρονείτω μεῖζον ἢ κατ' ἄνδρα A. 768. δρᾶ νῦν τάδ' ἐλθὼν, μηδ' ἐπ' ἄλλοισιν τρέπε A. 1107. ὑμεῖς δ' ἃ φράζω δρᾶτε Aj. 691. μὴ δρᾶ τοὺς τεθνηκότας κακῶς Aj. 1154. ἐμοῦ γ' ἂν ἡδέως δρῴης μέτα A. 70. τί δρῷμ' ἂν ἐκ τούτων P. 895. τί δρῷμεν ἄνδρες. Ὦ κάκιστ' ἀνδρῶν, τί δρᾷς; P. 974. τίς γὰρ εὐγενὴς γυνὴ πατρῷ' ὁρῶσα πήματ', οὐ δρῴη τάδ' ἂν E. 258. τύραννον εἶναι μᾶλλον ἢ τύραννα δρᾶν R. 588. ὧν ἐπαιτιᾷ με δρᾶν R. 645. οὐ γὰρ αὐδᾶν ἔσθ' ἃ μηδὲ δρᾶν καλὸν R. 1409. τὸ δρᾶν οὐκ ἠθέλησαν C. 442. χὤ τι δεῖ πρόστασσε δρᾶν C. 494. μὴ δίδασχ' ἃ χρή με δρᾶν C. 654. ἥκω γὰρ οὐχ ὡς δρᾶν τι βουληθεὶς C. 732. οὐκ ἀκούειν ἐστὶ, καὶ μὴ δρᾶν C. 1175. τὸ δὲ βίᾳ πολιτῶν δρᾶν ἔφυν ἀμήχανος A. 79. ἔξεστιν αὐτῇ δρᾶν λέγειν θ' ἃ βούλεται A.

507. τί δῆτα χρὴ δρᾶν A. 1099. μόλις μὲν καρδίας δ' ἐξίσταμαι τὸ δρᾶν A. 1106. μὴ 'πιθυμεῖν, πομπὸς ὢν περισσὰ δρᾶν T. 617. ἐπειδὴ τέρψις ἥδε σοι τὸ δρᾶν Aj. 114. σοὶ δὲ δρᾶν ἔξεσθ' ἃ χρὴ Aj. 1373. οὐκ ἂν ἀρνοίμην τὸ δρᾶν P. 118. εὖ δρᾶν εὖ παθὼν ἐπίσταται P. 672. ταῦτ' ἐπηξίωσα δρᾶν P. 803. οὕτως σοί τ' ἔδοξ' ἐμοί τε δρᾶν P. 888. ἔστιν τις, ἔστιν, ὅς σε κωλύσει τὸ δρᾶν P. 1241. σῇ χειρί πείθομαι τὸ δρᾶν P. 1252. μέλλων γὰρ αἰεὶ δρᾶν τι E. 305. ἡ βία γὰρ ταῦτ' ἀναγκάζει με δρᾶν E 256. μὴ δοκεῖν μὲν δρᾶν τι, πημαίνειν δὲ μὴ E. 336. τὰ σὰ ἔργ' ἐξαναγκάζει με ταῦτα δρᾶν βίᾳ E. 620. παῖς δ' ὢν κακὸν μὲν δρᾶν τι προῖκ' ἐπίσταται I. T. C. 6. τί δρῶν ἢ τί φωνῶν R. 72. κακὸς μὴ δρῶν ἂν εἴην πάντα R. 77. ταῦτα τοῖς μὴ δρῶσιν εὔχομαι θεοὺς μήτ' ἄροτον αὐτοῖς γῆν ἀνιέναι R. 270. ἄνδρα συγγενῆ κακῶς δρῶν R. 552. δρῶντά νιν κακῶς εἴληφα R. 642. τί χρῆμα δρῶντα; R. 1129. δρῶν δ' ἐφευρίσκει κακὰ C. 938. δρῶντά σε τὰ τῶν κάκιστα δυσσεβεστάτων C. 1189. πάντος εἶχε δρῶντος ἡδονὴν C. 1604. οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν A. 239. ὅπως δρῶντες καλῶς πράξαιμεν A. 271. ὁ δρῶν σ' ἀνιᾷ τὰς φρένας A. 319. εἰ δὲ ταῦτα μὴ φανεῖτέ μοι τοὺς δρῶντας A. 325. δοκῶ νῦν μῶρα δρῶσα τυγχάνειν A. 469. σοὶ μὲν ἡμεῖς πανταχῇ δρῶντες φίλοι A. 634. σὺ μέντοι κάρτα τοῦτο δρῶν κυρεῖς T. 413. δρῶν τι χρηστὸν Aj. 408. δρῶν θ' ἃ βούλεται Aj. 1081. δρῶντες ἂν ἡδώμεθα Aj. 1085. οὐχ' ὅδ' ἦν ὁ δρῶν τάδε; Aj. 1280. δρῶν γὰρ ἦν τοιαῦτ' ἐμὲ Aj. 1384. καλῶς δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς P. 95. πόλλ' ἐγὼ κείνων ὕπο δρῶν ἀντιπάσχω χρηστὰ P. 584. κἀμέ τοι ταὐτὸν τόδ' ὄψει δρῶντα P. 1256. τήν τε δρῶσαν ἐκτρέπεις E. 349. πελᾶν τέρας τοῖς δρῶσι E. 497. οὔτε δρῶσ' ἐλάνθαν' ἂν E. 914. τλῆναί σε δρῶσαν ἃ 'ν ἐγὼ παραινέσω E. 943. οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη Camic. IV. δρῶν γὰρ εὖ κακῶς λέγεις I. T. LXVIII. πολλὰ κἂν ἄκων ἔδρων R. 591. αἵδε γὰρ τάδ' οὐκ ἔδρων C 1379. πάνθ' ὅσ' ἀρτίως ἔδρων T. 666. κεῖνον θέλων ἐπωφελῆσαι ταῦτ' ἔδρα E. 578. εἴπερ ἔσθενον, ἔδρων ἂν E. 605. ἃ 'κ τῶνδε δράσω R. 235. ἰὼ ξένοι, τί δράσετε; C. 822. οἴ μοι, τί δράσω; C. 1254. δράσω καὶ τάδε καὶ πάντα C. 1773. δράσω γὰρ T. 1192. τί δῆτα δράσω; P. 757. ὦ Ζεῦ τί δράσω; P. 908. τί χρῆμα δράσεις; P. 1231. εἰ σωφρονήσεις, ὦ φίλη δράσεις τάδε. Δράσω E. 465. κατήνεσεν τάδ' ὅρκιος δράσειν ξένῳ C. 1637. οὗτος γὰρ πλέον τὸ θάρσος εἶχε θατέρου, δράσειν τάδε P. 597. ὡς πᾶν ἐμοῦ δράσοντος R. 145. ὅπως δε ταῦτ' ἔδρασεν C. 1638. ἆρ' ὑμὶν οὗτος ταῦτ' ἔδρασεν ἔνδικα; Aj. 1282. τί γάρ σ' ἔδρασεν; Aj. 1324. ἐγὼ μὲν οὐκ ἔδρασα, τοῦτ' ἐπίσταμαι E. 910. εἰ δείν' ἔδρασας δεινὰ καὶ παθεῖν σε δεῖ Ajax Locr. I. 1. ὅπως τί δράσῃ; C. 398. πρὶν ἂν τί δράσῃς; Aj. 107. δεινά μ' Οἰδίπους δρᾶσαι δικαιοῖ R. 640. ὦ Ζεῦ, τί μου δρᾶσαι βεβούλευσαι πέρι; R. 738. μήτε δρᾶσαι μήτε τῳ ζυνειδέναι τὸ πρᾶγμα βουλεύσαντι A. 267. ὦ δεινὰ δράσας R. 1327. ταῦτά σοι δράσαντι θαρσῶν ἂν παρασταίην C. 492. δράσαντι δ', ὦ παῖ, πλεῖστον εὐκλείας γέρας P. 478. οἷ' ἔργα δράσας οἷα λαγχάνει κακὰ E. 751. δέδρακε ποῖον ἔργον; R. 559. δέδρακας οὔτ' ἐμοῦ καταξίως οὐδ' ὧν πέφυκας αὐτὸς C. 911. ὕβρις δ', ἐπεὶ δέδρακεν, ἥδε δευτέρα τούτοις ἐπαυχεῖν, καὶ δεδρακυῖαν γελᾶν A. 482. δέδρακα τοὔργον A. 536. τοιαῦτ' Ἀτρεῖδαί μ', ἥ τ' Ὀδυσσέως βία, ὦ παῖ, δεδράκασιν P. 315. ἡ καταρνῇ μὴ δεδρακέναι τάδε A. 442. ἐπεὶ τά γ' ἔργα μου πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα C. 267. κατεύχομαι δὲ τὸν δεδρακότα R. 246. βίον ποιεῖσθαι λαμπρὸν ἐν τοῖς δρωμένοις C. 1144. Θησεὺς παρέστω μανθάνων τὰ δρώμενα C. 1644. εἴ τις ἐστὶ πίστις ἐν τοῖς δρωμένοις T. 589. ἔργα δρώμενα P. 556. ὡς ταῦτ' ἐπίστω δρώμενα P. 567. ἴσθι πᾶν τὸ δρώμενον E. 40. τοῦτο γὰρ φέρει νίκην τ' ἐφ' ἡμῖν καὶ κράτος τῶν δρωμένων E. 85. ἣν ἂν ὑμὶν ἐν δόμοις τὰ δρώμεν' ὑμῶν πρόσθεν ἢ τὰ σώματα E. 1333.

Δραπέτης. δραπέτην κλῆρον Aj. 1285. δοῦλος δεσμοῖσι δραπέτης Acris III. 1.

Δρασείειν. δῆλός ἐστιν ὥς τι δρασείων κακὸν Aj. 326. οὔτε δρασείεις σοφὰ P. 1245.
Δράσσεσθαι. τῆς ἐλπίδος γὰρ ἔρχομαι δεδραγμένος A. 235.
Δραστέος. ἐκμαθεῖν τί δραστέον R. 1443. ὁποῖα δραστέ' ἐστὶ T. 1206. αὐτόχειρί μοι μόνῃ τε δραστέον E. 1019.
Δρέπανον. χαλκέοις ἥμα δρεπάνοις Rhiz. II. 4.
Δρίλων. Δρίλωνος ἐπὶ προχοῇσι Iphicl. 1.
Δρομαῖος. ἐγὼ δρομαία βᾶσ' ὅσονπερ ἔσθενον T. 929.
Δρομάς. κατ' ἄμπυκα δρομάδα δέσμιον P. 679.
Δρόμος. οὐρίῳ πελάσαι δρόμῳ Aj. 889. δρόμον προκηρύξαντες E. 684. δρόμων διαύλων πεντάεθλα E. 691. ἐν δὲ πᾶς ἐμεστώθη δρόμος κτύπου E. 713. τελοῦντες ἕκτον ἕβδομόν τ' ἤδη δρόμον E. 726. τοὺς μὲν ἄλλους πάντας ἀσφαλεῖς δρόμους ὠρθοῦθ' ὁ τλήμων E. 741. πῶλοι διεσπάρησαν ἐς μέσον δρόμον E. 748. μόλις κατασχέθοντες ἱππικὸν δρόμον E. 754. δρόμου τέλος I. T. LXVIII.
Δρόσος. ἀεὶ πυκιναῖς δρόσοις τεγγόμενος κόμας Aj. 1209.
Δρύας. παῖς ὁ Δρύαντος A. 955.
Δρυμός. ὦ τρεῖς κέλευθοι, καὶ κεκρυμμένη νάπη δρυμός τε R. 1399.
Δρῦς. ἀπὸ πιείρας δρυὸς T. 768. πρὸς τῆς πολυγλώσσου δρυὸς T. 1170. ὕλην δρυὸς T. 1197. ὡς δρῦν ὑλοτόμοι σχίζουσιν E. 98. στεφανωσαμένη δρυσὶ Rhiz. III. 6.
Δύη. δειλαίᾳ συγκέκραμαι δύᾳ A. 1310. χωρεῖ δύα πρὸς ἧπαρ Aj. 939.
Δύνασθαι. οὐδ' ἐσιδεῖν δύναμαί σε R. 1304. λεύσσων περὶ πᾶν οὔπω δύναμαι τέμενος γνῶναι, ποῦ μοί ποτε ναίει C. 136. ἴσχειν δ' οὐκ ἔτι πηγὰς δύναμαι δακρύων A. 803. ἀρήξατ' εἰσελθόντες, εἰ δύνασθέ τι Aj. 329. ὡς δύνασαι, Τεῦκρε, ταχύνας σπεῦσον Aj. 1164. ἀναγκάσαι θεοὺς οὐδ' ἂν εἷς δύναιτ' ἀνὴρ R. 281. ὠφελεῖν ἀφ' ὧν ἔχοι τε καὶ δύναιτο R. 315. τὰ νῦν τ' εὔπομπος, εἰ δύναιο, γίγνου R. 697. εἰκῇ κράτιστον ζῆν, ὅπως δύναιτό τις R. 979. οὐκ ἔστιν ὅστις ἄν, εἰ θεὸς ἄγοι, ἐκφυγεῖν δύναιτο C. 253. οὐκ ἂν δυναίμην, μήτ' ἐπισταίμην λέγειν A. 686. ξυνοικεῖν τῇδ' ὁμοῦ τις ἂν γυνὴ δύναιτο; T. 546. τὸ γὰρ φανθὲν τίς ἂν δύναιτ' ἂν ἀγέννητον ποιεῖν; T. 745. ὅτι δύναιο μάκιστον P. 849. δύναιτ' ἂν οὐδ' ἂν ἰσχύων φυγεῖν E. 697. εἴ τινα δυναίμεθ' εὑρεῖν Camic. I. 2. οὐ γάρ τις ἂν δύναιτο πρωράτης στρατοῦ τοῖς πᾶσι δεῖξαι καὶ προσαρκέσαι χάριν Polyx. III. 2. οὐ δύνῃ μολεῖν ποτὲ P. 798. λείπομαι γὰρ ἐν τῷ μὴ δύνασθαι C. 496. ὥστ' ἄγραπτα κἀσφαλῆ θεῶν νόμιμα δύνασθαι θνητὸν ὄνθ' ὑπερδραμεῖν A. 455. οἱ δ' ἐπωφελεῖν οἱ τοῦ πατρὸς τῷ πατρὶ δυνάμενοι C. 442. εἰ καὶ δυνήσει γ', ἀλλ' ἀμηχάνων ἐρᾷς A. 90. οὐ δυνήσομαι κάκον κρύψαι P. 742. εἴ σέ γ' ἐν λόγοις πείσειν δυνησόμεσθα μηδὲν P. 1393. πῶς ποθ' αἱ πατρῷαί σ' ἄλοκες φέρειν σῖγ' ἐδυνάθησαν; R. 1212. βλέποντος μὴ 'δυνήθημεν κρατεῖν Aj. 1067.
Δύναμις. ποίαν δύναμιν ὧδ' ἔχει διπλῆν R. 938.
Δυναστεία. πῶς δῆτ' ἐμοὶ τύραννις ἡδίων ἔχειν ἀρχῆς ἀλύπου καὶ δυναστείας ἔφυ; R. 593.
Δυνάστης. δυνάστας κατέχεις Ὀλύμπου μαρμαρόεσσαν αἴγλαν A. 608.
Δυνατός. οὐ δυνατὸν τοὺς ἀνοήτους τούτων γνώμας προδιδάσκειν Aj. 162. ποῖ γὰρ μολεῖν μοι δυνατόν; Aj. 1006. τοῖς δυνατοῖς οὐκ ἐριστὰ πλάθειν E. 219.
Δύνειν. δύντες πρὸς αὐτὸ στόμιον A. 1217. ὄφελε πρότερον αἰθέρα δῦναι μέγαν Aj. 1192. ἔς τ' ἂν οὗτος ἥλιος ταύτῃ μὲν αἴρῃ τῇδε δ' αὖ δύνῃ πάλιν P. 1331. στενὴν δ' ἔδυμεν ψαλίδα Lacæn. I.
Δύνησις. τὰν σάν, Ζεῦ, δύνασιν τίς ἀνδρῶν ὑπερβασίᾳ κατάσχοι A. 605. ἁ μοιριδία τις δύνασις δεινὰ A. 951.
Δύο. ἰσοῦμαι σφῷν ἐγὼ δυοῖν τρίτος R. 581. δυοῖν ἀποκρίνας κακοῖν R. 640. τάδ' ἐκ δυοῖν ἔρρωγεν, οὐ μόνου, κακὰ R. 1280. οἷν δυοῖν ἔργα R. 1373. ὀλώλαμεν δύ' ὄντε R. 1505. θιγγάνω δυοῖν ὁμοῦ C. 330. δυοῖν κακοῖν C. 496. αὗται δὲ δύ' ἐξ ἐμοῦ C. 530. παίδοιν δυοῖν C. 818. δυοῖν ἀδελφοῖν ἐστερήθημεν δύο A. 13. ἀδελφὼ δύο μίαν καθ' ἡμέραν αὐτοκτενοῦντε A.

53. τρέφων δύ' ἄτα A. 553. δύ' οὖσαι μίμνομεν μιᾶς ὑπὸ χλαίνης T. 539. τὴν τύχην δυοῖν βροτοῖν Aj. 1028. ἄριστος ἐξ ἀριστέοιν δυοῖν βλαστὼν Aj. 1304. δύο φέρει δωρήματα P. 117. δύ' αὔτως δείν' ἔλεξας P. 426. ἄνδρε δύο P. 539. ξὺν δυοῖν ἄλλοιν P. 543. τὸ γὰρ δίκαιον οὐκ ἔχει λόγον δυοῖν ἐρίζειν E. 467. δύο Λίβυες E. 701. οὐκ ἂν δυοῖν ἥμαρτον E. 1320. δύο φέρειν ἐν ἑνὶ λόγῳ E. 1087. σελήνης ὄψις εὐφρόνας δύο στῆναι δύναιτ' ἂν οὔ ποτ' ἐν μορφῇ μιᾷ I. T. LVI. 3.

Δυοκαιδεκάμηνος. δυοκαιδεκάμηνον ἀμμένουσαι χρόνον T. 650.

Δυσάθλιος. ὦ δυσάθλιαι τροφαὶ C. 328.

Δυσαίων. ἦσθα φυτάλμιος, δυσαίων C. 151.

Δυσάλγητος. δυσάλγητος γὰρ ἂν εἴην R. 12. οὐν κακοῖσιν ἱμείρων βίου ἢ δειλός ἐστιν, ἢ δυσάλγητος φρένας I. T. XXXI. 3.

Δυσάλωτος. κακῶν γὰρ δυσάλωτος οὐδεὶς C. 1723.

Δυσαμερία. μοῖρα δυσαμερίας Tereus VIII. 4.

Δυσαπάλλακτος. δυσαπαλλάκτοις ὀδύναις T. 961.

Δυσβουλία. τὴν ἐξ ἐμοῦ δυσβουλίαν A. 95. ἀπήλυθες, ἐμαῖς οὐδὲ σαῖσι δυσβουλίαις A. 1269.

Δυσγένεια. τὴν δυσγένειαν τὴν ἐμὴν αἰσχύνεται R. 1079.

Δυσδαίμων. δυσδαίμονι μοίρᾳ R. 1302. ἐμὲ τὸν δυσδαίμονα A. 274. τὸν δυσδαίμονα Λίχαν R. 774.

Δυσειδής. δυσειδὲς ὄμμα Aloadæ XI. 9.

Δυσέριστος. δυσέριστον αἷμα E. 1385.

Δυσήνεμος. θῖνα δυσάνεμον A. 591.

Δυσθέατος. ὦ δυσθέατον ὄμμα Aj. 1004.

Δυσθεράπευτος. καὶ μοι δυσθεράπευτος Αἴας ξύνεστιν ἔφεδρος Aj. 609.

Δυσθρήνητος. ἔπος ἵησι δυσθρήνητον A. 1211.

Δυσθυμία. τίκτουσι καὶ νόσους δυσθυμίαι Tyro XII.

Δύσθυμος. δυσθύμῳ ψυχᾷ E. 218. οὐκ εἰμὶ τοῖς πεπραγμένοις δύσθυμος E. 550

Δύσις. Κυνὸς ψυχρὰν δύσιν Naupl. V. 11.

Δυσκάθαρτος. δυσκάθαρτος Ἅιδου λιμὴν A. 1284.

Δυσκλεής. ἀπεχθὴς δυσκλεής τ' ἀπώλετο A. 50.

Δυσκλεία. θόρυβοι κατέχουσ' ἡμᾶς ἐπὶ δυσκλείᾳ Aj. 143. φιλεῖ γὰρ ἡ δύσκλεια τοῖς φθονουμένοις νικᾷν ἐπ' αἰσχροῖς Epigon. I. 1.

Δυσκόμιστος. πότμος δυσκόμιστος εἰσήλατό μοι A. 1347.

Δύσκριτος. τέλεα δύσκριτ' ἔμοιγε δυστάνῳ T. 951.

Δυσλόγιστος. καὶ πρὸς τί δυσλόγιστον ὧδ' ᾖξεν χέρα; Aj. 40.

Δυσμαχεῖν. θεοῖσι δυσμαχοῦντες T. 492.

Δυσμαχητέος. ἀνάγκῃ δ' οὐχὶ δυσμαχητέον A. 1106.

Δυσμένεια. ἡ μὲν ἐκ σοῦ δυσμένεια E. 619. ἐν δυσμενείᾳ τ' οὖσα E. 1124.

Δυσμενής. δυσμενὴ γὰρ καὶ βαρύν σ' εὕρηκ' ἐμοὶ R. 546. οὔτ' ἂν φίλον ποτ' ἄνδρα δυσμενῆ χθονὸς θείμην ἐμαυτῷ A. 187. πτύσας, ὥσεί τε δυσμενῆ μεθεὶς A. 653. ἐπ' ἀνδρὶ δυσμενεῖ Aj. 18. ἐποικτείρω δέ νιν δύστηνον ἔμπας, καίπερ ὄντα δυσμενῆ Aj. 122. δυσμενῶν θήραν ἔχων Aj. 564. μή τις ὡς κενῆς σκύμνον λεαίνης, δυσμενῶν ἀναρπάσῃ Aj. 987. ἐγὼ εἴμ' Ἀτρείδαις δυσμενὴς P. 585. πολέμιον δυσμενῆ θ' ἡγούμενος P. 1323. δυσμενεστάτας βροτῶν E. 407. δυσμενεῖς χοὰς E. 440. ἄτιμος ὥστε δυσμενὴς E. 444. Ἕκτορος δώρημα δυσμενεστάτου Aj. 692.

Δυσμή. ἀπ' ἀελίου δυσμᾶν C. 1245.

Δύσμοιρος. ὦ πάτερ δύσμοιρ' ὁρᾷν C. 327.

Δύσμορος. δυσμόρῳ γᾶ μοι φθίνουσα τρύχει ψυχὰν R. 665. δύσμορος C. 224. δυσμόρου τ' ἐμοῦ τρίτης C. 331. μεθ' ἡμῶν δύσμορος πλανωμένη C. 347. τοῖν σοῖν δυσμοροῖν παίδοιν C. 365. ἡ σὴ δύσμορος παραστάτις C. 559. δύσμορ' Οἰδίπου C. 557. ὅσον πέπτωκεν ἥδε δύσμορος C. 749. ὦ δύσμορε C. 804. ὦ σκῆπτρα φωτὸς δυσμόρου γε δύσμορα C. 1109. ἄλαστον αἷμα δυσμόροιν C. 1672. δυσμόρου ματρὸς A. 865. ἔρημος πρὸς φίλων ἡ δύσμορος A. 919. δυσμόρου πεπτῶτος Οἰδίπου γόνου A. 1018. γῆν πατρῴαν οὐκ ἑκοῦσα δύσμορος ἔπερσε T. 466. γόον ὄρνιθος ἀηδοῦς ἥσει δύσμορος Aj. 630. δύσμορον

γένος Aj. 784. δύσμορον νύμφην Aj. 894. τίνος ποτ' ἄρ' ἔπραξε χειρὶ δύσμορος; Aj. 904. δύσμορος ἐγὼ Aj. 1203. πῶς δύσμορος ἀντέχει; P. 176. νῦν δ' ἠπάτημαι δύσμορος P. 949. πῶς ὁ δύσμορος εἰς φῶς τάδ' ἔρξας εἶμι P. 1352. τῆς ἀνύμφου δυσμόρου τε σῆς τροφῆς E. 1183.

Δύσνιπτος. δύσνιπτον ἐκ δέλτου γραφὴν T. 685.

Δύσνοια. τέκνων ὅσων ἐμοὶ δύσνοια μὴ πρόσεστιν E. 654.

Δύσνους. τὸν τῇδε δύσνουν, τῇδέ τ' εὐμενῆ πόλει A. 212.

Δύσοιστος. δύσοιστον τροφὴν C. 1687. δυσοίστων πόνων P. 508.

Δύσομβρος. πάγων αἴθρια καὶ δύσομβρα φεύγειν βέλη A. 358.

Δύσοργος. μὴ δάκνῃ θυμῷ δύσοργος T. 1120. ἀνὴρ δύσοργος A. 1017. καίπερ οὐ δύσοργος ὤν, δηχθεὶς P. 377.

Δυσοσμία. βοῆς τε καὶ δυσοσμίας γέμων P. 876.

Δυσπάρευνος. δυσπάρευνον λέκτρον T. 793.

Δυσπέλαστος. δυσπέλαστον κάκον I. T. X. 3.

Δυσπετής. μαθεῖν γὰρ, ἐγγὺς ὤν, οὐ δυσπετής Aj. 1046.

Δυσπινής. δυσπινεῖς στολὰς C. 1597.

Δυσπόνητος. δυσπόνητον τροφὴν C. 1614.

Δύσπονος. ἰὼ πόνοι βροτῶν δύσπονοι A. 1277.

Δύσπνους. τάχους ὑπὸ δύσπνους A. 224. δυσπνόοις πνοαῖς A. 588.

Δύσποτμος. δυσπότμου χάριν χλιδᾶς R. 888. ὦ δύσποτμε R. 1068. ἴσθι δύσποτμος γεγὼς R. 1181. ὁδὸς δύσποτμος C. 1433. δυσπότμων γάμων A. 869. ταύτας ὁρῶσα δυσπότμους T. 299. ἔχε δύσποτμον ἀρὰν P. 1119.

Δυσπραξία. οἴ μοι κελεύθου τῆς τ' ἐμῆς δυσπραξίας C. 1399. πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις Aj. 759.

Δυσπρόσοιστος. δυσπρόσοιστον, κἀπροσήγορον στόμα C. 1277.

Δυσπρόσοπτος. δυσπρόσοπτ' ὀνείρατα E. 460.

Δυσπρόσωπος. κάρα δυσπρόσωπον C. 286.

Δυσσέβεια. παντὸς ἔργου δυσσέβειαν εἰδέναι A. 301. τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην A. 924. οὐ δυσσέβεια; T. 1248. τἀπιτίμια τῆς δυσσεβείας E. 1383.

Δυσσεβεῖν. ἐκδιδαχθῶ δῆτα δυσσεβεῖν, πάτερ T. 1247. δυσσεβοῦντα τῶν ἐναντίων κρατεῖν Aloadæ VIII. 2.

Δυσσεβής. βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς C. 280. δυσσεβῆ χάριν A. 514. τιμᾷς ἐξ ἴσου τῷ δυσσεβεῖ A. 516. δυσσεβεῖς κακῶν ἀπὸ βλαστόντας Alet. 7. 1. δυσσεβὴς τρόπος I. T. XXVI. 1. τῶν κάκιστα δυσσεβεστάτων C. 1190. Ἀτρέα δ', ὅς αὖ σ' ἔσπειρε, δυσσεβέστατον Aj. 1293.

Δυστάλας. ὦ δυστάλαινα R. 1235. δυστάλαινά τἄρ' ἐγὼ C. 1442. τὴν δυστάλαιναν δαῖτα E. 284.

Δυστέκμαρτος. δυστέκμαρτον ἴχνος R. 109.

Δύστεκνος. δύστεκνον παιδουργίαν R. 1248.

Δύστηνος. δεινὰ καὶ δύστηνα λέγων R. 790. κεῖνος ὁ δύστηνος R. 855. ἰοὺ ἰοὺ δύστηνε R. 1071. δύστηνος, ἀντὶ τοῦ; R. 1151. εὐνὰς ἔνθα δύστηνος τέκοι R. 1249. τἀμὰ δυστήνου κακὰ C. 344. τὸ δύστηνον κάρα C. 555. ὁρῶν σὲ τὸν δύστηνον C. 744. ἀφέλκομαι δύστηνος C. 844. φανεὶς δύστηνος C. 974. δυστήνου πλάνου C. 1114. ὄλωλε γὰρ δύστηνος C. 1583. δυστήνου πατρὸς A. 379. 'γὼ δύστανος A. 850. ἐμὲ τὴν δύστηνον A. 922. τὸ δύστηνον λέχος A. 1225. γυνὴ τέθνηκε δύστηνος A. 1283. δύστηνος αἰεὶ κατθανεῖν ἐπευχόμην T. 16. δύστανον αἶσαν T. 110. δακρυρροεῖ δύστηνος T. 326. ἐγὼ δύστηνος ἐξαποφθερῶ T. 715. τί τὸν δύστηνον ἐργάσει; Aj. 109. μὴ τὸν δύστηνον ὧδέ γ' αἰκίσῃ Aj. 111. δύστηνον ἔμπας Aj. 122. μὴ σοῦ δύστηνος ἀντήσας θάνοι Aj. 532. δυστήνῳ τροφῷ Aj. 849. δυστήνου νεκροῦ Aj. 1170. δύστανον ἄνειδος Aj. 1191. δύστανος, μόνας ἀεὶ P. 172. ὦ δύστανα γένη βροτῶν P. 178. ἄνδρα δύστηνον P. 227. δύστηνος, ὦ τάλας ἐγὼ P. 744. ἰὼ ἰὼ δύστηνε σὺ P. 760. δυστήνῳ ποδὶ P. 1377. ἰώ μοι δύστηνος E. 77. δύστηνος Ἠλέκτρα E. 80. δίφρων δυστάνοις αἰκίαις E. 510. ἀπωλό-

μην δύστηνος E. 676. δακρῦσαι δοκεῖ τὸν υἱὸν ἡ δύστηνος E. 806. ἤκουσ' ἀνήκουστα δύστηνος E. 1408. παῖ δυστηνοτάτας Ἠλέκτρα ματρὸς E. 121.
Δυστομεῖν. ταῦτα κείνην δυστομεῖν C. 986.
Δυστράπελος. δυστράπελος, δυσώνυμος Αἴας Aj. 913.
Δυστυχεῖν. εἰ κείνῳ γένος μὴ 'δυστύχησεν R. 262. τύμβος δυστυχῶν ὁ σὸς C. 402. νομίζεις δυστυχεῖν ἔμ' εἰς τὰ σὰ C. 800. ἀνάξιαι γὰρ πᾶσίν ἐστε δυστυχεῖν C. 1446. τύχη καταῤῥέπει τὸν εὐτυχοῦντα τόν τε δυστυχοῦντ' ἀεὶ A. 1159. κεἰ νῦν δυστυχῶ Aj. 692.
Δυστυχής. αἰῶνα δυστυχῆ T. 5. δυστυχῆ κωκυτὸν T. 868. δυστυχῆ τρίβει βίον E. 602. ὦ δυστυχὲς E. 934. δυστυχὴς δαίμων ὁ σὸς E. 1156. δυστυχεστάτην κέλευθον A. 1212.
Δυσφημεῖν. χερσὶ βαστάσασα, δυσφημῶ μὲν οὔ E. 905. οὔ τοί ποτ' ἄλλην ἢ 'μὲ δυσφημεῖς ξένε E. 1182.
Δυσφημία. κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις P. 10. πλείω τῶνδ' ἔχειν δυσφημίας Aeg. II. 2.
Δυσφιλής. δυσφιλὴς πίνος C. 1258.
Δυσφορεῖν. εἰ δοκῶ πολλοῖσι θρήνοις δυσφορεῖν ὑμῖν ἄγαν E. 255.
Δύσφορος. λέγω γὰρ καὶ τὰ δύσφορα R. 87. δυσφόρους γνώμας Aj. 51. δύσφορον ἄταν Aj. 643. τί μοι τῶν δυσφόρων ἐφίει; E. 144.
Δυσφόρως. τὰ δυσφόρως ἔχοντα R. 770. οἱ δὲ δυσφόρως τοὔνειδος ἦγον τῷ μεθέντι τὸν λόγον R. 783.
Δύσφρων. ᾧ μοι δύσφρονος ἄτας C. 202. φρενῶν δυσμόρων ἁμαρτήματα A. 1261.
Δυσχεραίνειν. ἢ δυσχεράναντ', ἢ κατοικτίσαντα C. 1282.
Δυσχέρεια. δυσχέρεια μὲν ἔξοιδα πολλὴ τοῦδε τοῦ φορήματος P. 473. δυσχέρεια τοῦ νοσήματος P. 900. ἅπαντα δυσχέρεια P. 902.
Δυσχερής. πᾶσι θαῦμα δυσχερὲς παρῆν A. 254. τῷ θανόντι τοῦτο δυσχερὲς Aj. 1395. ἡδὺς οὐδὲ μητρὶ δυσχερὴς E. 929.
Δυσχείρωμα. πάταγος Ἄρεος, ἀντιπάλῳ δυσχείρωμα δράκοντι A. 126.
Δυσώδης. χωλὸς, δυσώδης P. 1032.
Δυσώνυμος. δυσώνυμα μητρὸς λέκτρα C. 528. δυστράπελος, δυσώνυμος Αἴας Aj. 914. δυσειδὲς ὄμμα καὶ δυσώνυμον Aloadæ XI. 9.
Δώδεκα. δώδεκ' ἐντελεῖς ἔχων βοῦς T. 762.
Δωδέκατος. ὅποτε τελεόμηνος ἐκφέροι δωδεκάτος ἄροτος T. 827.
Δωδών. τὴν παλαιὰν φηγὸν Δωδῶνι T. 172. εἰς Δωδῶνος γύας Niptr. I. 1. Δωδῶνι ναίων Ζεὺς ὁμέστιος βροτῶν Niptr. I. 3.
Δωδωνίς. θεσπιῳδοὺς ἱερίας Δωδωνίδας Niptr. I. 3.
Δῶμα. δῶμα Καδμεῖον κενοῦται R. 29. ἐς τὰ Πυθικὰ Φοίβου δώματα R. 71. δωμάτων ἔξω περᾷ R. 531. τί μ' ἐξεπέμψω δεῦρο τῶνδε δωμάτων; R. 951. τῶν Λαβδακειῶν ἐντρέπεσθε δωμάτων R. 1226. ἐκ δὲ δωμάτων πάρα R. 1181. πρὸς δὲ δώματα χωρῶμεν ἤδη πάντες T. 332. ἄλλῃ δὲ κἄλλῃ δωμάτων στροφωμένη T. 908. στεῖχε δωμάτων πάρος Aj. 73. δῶμα πάκτου Aj. 579. πολύφθορόν τε δῶμα Πελοπιδῶν E. 10. ὦ πατρῷον δῶμα E. 69. ὦ δῶμ' Ἀΐδου καὶ Περσεφόνης E. 110. δώμασιν ἐν τοῖς ἐμαυτῆς E. 262. τυράννου δώματ' Αἰγισθου E. 661. βεβᾶσι δωμάτων ὑπόστεγοι E. 1386. αἱ δ' εἰς σαλευτὰ δώμαθ', αἱ δ' ἐπίῤῥοθα Tereus VII. 10.
Δωρεά. ἐκείνου τήνδε δωρεὰν ἔχων Aj. 1032.
Δωρεῖσθαι. πλήρη δ' ἔχοντι θυμὸν ὧν χρῄζοις, τότε δωροῖθ' ὅτ' οὐδὲν ἡ χάρις χάριν φέροι C. 779. ᾧ δὴ τοῦδ' ἐδωρήθη πάρα Aj. 1029. ἀφνεώτεραις χερσὶ στέφωμεν ἢ τανῦν δωρούμεθα E. 457. ἐπιτίμια τῆς δυσσεβείας οἷα δωροῦνται θεοὶ E. 1383.
Δώρημα. τίς νῦν σπανιστοῖς δέξεται δωρήμασιν; C. 4. μέγ' ἂν λέγοις δώρημα τῆς ξυνουσίας C. 647. τῶν σῶν Ἡρακλεῖ δωρημάτων T. 670. πέπλον φέρειν δώρημ' ἐκείνῳ τἀνδρὶ τῆς ἐμῆς χερὸς T. 603. τὸ σὸν φέρων δώρημα θανάσιμον πέπλον T. 760. παρ' Ἕκτορος δώρημ' ἐδεξάμην Aj. 662. ἔκκριτον δέ νιν δώρημα κείνῳ ἔδωκεν Ἀλκμήνης γόνος Aj. 1303. δύο φέρει δωρήματα P. 117.
Δωρητός. δωρητὸν οὐκ αἰτητὸν R. 384.
Δωρικός. Ἄργος ἐς τὸ Δωρικὸν C. 1301.

Δωρίς. μήτηρ δὲ Μερόπη Δωρὶς R. 775. ἐν τᾷ μεγάλᾳ Δωρίδι νάσῳ C. 696.

Δῶρον. δῶρόν ποτ', ἴσθι, τῶν ἐμῶν χειρῶν λαβὼν R. 1022. θέλοντι τοῦτ' ἐμοὶ τότε πόλις τὸ δῶρον εἰκότως κατήνυσεν C. 432. ἐδεξάμην δῶρον C. 540. δώσων ἱκάνω τοὐμὸν ἄθλιον δέμας σοὶ δῶρον C. 576. κράτιστον δῶρον τοῦ μεγάλου δαίμονος C. 709. δῶρον ἀρχαίου ποτὲ θηρὸς T. 555. κλυτῶν ἐνάρων ψευσθεῖσα δώροις, εἴτ' ἐλαφηβολίαις Aj. 178. ἐχθρῶν ἄδωρα δῶρα, κοὐκ ὀνήσιμα Aj. 665. δῶρον μὲν ἀνδρὸς Ἕκτορος Aj. 817. οὐδ' εἴ μοι τὰ σὰ μέλλοι τίς οἴσειν δῶρα E. 360. θεοῦ τὸ δῶρον τοῦτο I. T. LXXVI. 1.

Δωτιεύς. Δωτιεὺς ἀνὴρ Acris. XII. 1. Δωτιεὺς Λαπίθης Κορωνὸς Lemn. I.

E.

Ἒ. ἒ ἒ C. 150. ἒ ἒ αἶ αἶ E. 827. ἒ ἒ ἰὼ E. 840. αἶ αἶ, ὦ τάλας, ἒ ἔ T. 1083.

Ἔα. ἔα ἔα, ἰδοὺ C. 1477.

Ἐᾷν. οὐκ ἐᾷ τοὔμφυλον αἷμά σε C. 407. ὁ ξυνήθης πότμος οὐκ ἐᾷ πατρὸς ἡμᾶς προταρβεῖν T. 89. οὐδ' ὅπως ἐῶ λέγειν ἔχω Aj. 428. τοὺς θανόντας οὐκ ἐᾷς θάπτειν Aj. 1131. κἂν μηδεὶς ἐᾷ Aj. 1184. τὸ γὰρ κακὸν τόδ' οὐκ ἔτ' ὀρθοῦσθαί μ' ἐᾷ P. 820. ἐῶ, κελεύω θῦε E. 632. ταύτην δ' ἐᾶτε πλουσίῳ χαίρειν γένει R. 1070. ἔα με ναίειν ὄρεσιν R. 1451. ὅταν μάθῃς μου, νουθέτει, τανῦν δ' ἔα C. 593. ἔα μ' ἐν οἷσιν ἠρξάμην C. 625. ἡμᾶς δ' ἔα ζῆν ἐνθάδε C. 798. οὐδ' ἐᾷ τοιοῦσδ' ἀλήτας τῇδ' ὁμοῦ ναίειν πόλει C. 948. ἐᾶτέ με αὐτὸν τὸν ἱερὸν τύμβον ἐξευρεῖν C. 1544. ἔα με καὶ τὴν ἐξ ἐμοῦ δυσβουλίαν παθεῖν τὸ δεινὸν τοῦτο A. 95. τούτους δ' ἔα C. 344. ἐᾶτ' ἀφέρπειν C. 817. ἐᾶτέ μ', ἐᾶτέ με δύσμορον εὐνάσαι T. 1007. ἔα με πάσχειν ταῦθ' ἅπερ παθεῖν με δεῖ P. 1397. τήνδε τ' ἐκτόσθεν βοᾶν ἔα E. 803. μὴ πέρα λέγειν ἔα E. 1483. ἃ οὐκ ἂν εἶλετ' εἰσάπαξ εἰπεῖν ὅπου μηδεὶς ἐφῇ P. 444. ἀκάθαρτον ὑμᾶς εἰκὸς ἦν οὕτως ἐᾷν R. 256. ἐᾷν δ' ἄκλαυστον, ἄταφον A. 29. ἐᾷν ἄθαπτον A. 205. οὐδ' ἀγύμναστόν μ' ἐᾷν ἔοικεν ἡ τάλαινα διάβορος νόσος T. 1085. μηδ' ἀφέντ' ἐᾷν Aj. 754. ἐᾷν ὅπως ἔχει Aj. 1048. ἄνωγας οὖν με τὸν νεκρὸν θάπτειν ἐᾷν Aj. 1364. τάφου μὲν ὀκνῶ τοῦδ' ἐπιψαύειν ἐᾷν Aj. 1394. οὐκ οὖν μ' ἐάσεις, κἀκτὸς εἶ; R. 676. ἃ 'παθον παρεῖσ' ἐάσω C. 363. οὐδ' οὖν ἐάσω C. 1135. καί τοί σ' ἐάσω P. 1257. οὔκουν ἐάσεις οὐδ' ὑπ' εὐφήμου βοῆς θῦσαί με E. 630. οὔ φησ' ἐάσειν τόνδε τὸν νεκρὸν ταφῆς ἄμοιρον Aj. 1327. οὔ φημ' ἐάσειν P. 817. μήθ' ὑπ' ὠμηστῶν κυνῶν εἴασ' ὀλέσθαι A. 698. χεροῖν ψαῦσαί μ' ἔασον R. 1467. τὸν ἄνδρ' ἔασον τόνδε τῇ θ' αὑτοῦ φρενὶ χάριν παρασχεῖν C. 1182. τούτους δ' ἔασον, μὴ βαρυνθῶσιν κακῇ ὀσμῇ P. 890. μίμνειν ἔασον P. 1055. κακοὺς ἔασον ὧδ' ἀπόλλυσθαι κακῶς P. 1369. ἔασον ὧδ' ἀλύειν E. 135. ἐάσωμεν, φίλοι, ἕκηλον P. 825. ἕκηλον εὕδειν ἐᾶσαι P. 768. τὸ σὸν γένος βλαστεῖν ἐᾶσαι E. 966. Κρέοντί τε θρόνους ἐᾶσθαι C. 368.

Ἑαυτοῦ. τάλας χθονὶ ῥίπτων ἑαυτὸν T. 792. κρύψασ' ἑαυτὴν T. 905. δίδωσ' ἑκὼν κτείνειν ἑαυτὸν P. 1342.

Ἕβδομος. ἕβδομος Μάγνης ἀνὴρ E. 705. τελοῦντες ἕκτον θ', ἕβδομόν τ' ἤδη δρόμον E. 726.

Ἐγγελᾷν. κοινῇ καθ' ἡμῶν ἐγγελῶν ἁβρύνεται C. 1339. ἐγγελῶσα τοῖς ποιουμένοις E. 277. ἀλλ' ἐγγελῶσα φροῦδος E. 807.

Ἐγγενής. ἐγγενὴς φανήσεται Θηβαῖος R. 452. ἦ δοῦλος, ἢ κείνου τις ἐγγενὴς γεγώς; R. 1167. τοῖς ἐν γένει γὰρ τἀγγενῆ μάλισθ' ὁρᾷν μόνοις τ' ἀκούειν εὐσεβῶς ἔχει κακὰ R. 1430. μή σφε περιίδῃς πτωχούς, ἀνάνδρους, ἐγγενεῖς ἀλωμένας R. 1506. χθονὸς τῆσδ' ἐγγε-

νεῖς οἰκήτορες C. 728. ὅρα, κατ' Ἄργος εἴ τις ὑμὶν ἐγγενὴς C. 1167. θεοὺς τοὺς ἐγγενεῖς A. 199. ἐγγενῆ φύσει A. 659. θεῶν τῶν ἐγγενῶν E. 428. νοῦς ἔνεστιν οὔ τις ὑμὶν ἐγγενὴς E. 1228.

Ἐγγενῶς. εἴπερ ἐγγενῶς ἔτι τῶν Λαβδακείων ἐντρέπεσθε δωμάτων R. 1225.

Ἐγγράφειν. δέλτον ἐγγεγραμμένην ξυνθήματα T. 157.

Ἐγγύθεν. οἱ παρῆμεν ἐγγύθεν R. 1259. κομίζει προσπόλων ὅδ' ἐγγύθεν Aj. 544. ἐγγύθεν θέαν λαβεῖν P. 656.

Ἐγγὺς. ἆρ' ἐγγὺς ἀνήρ; C. 1486. ἐγγὺς ὅδ' αὐτὸς ἀρτίπους θρώσκει T. 58. μαθεῖν γὰρ, ἐγγὺς ὢν, οὐ δυσπετὴς Aj. 1046. προσέρχεται τόδ' ἐγγὺς P. 788. μή τις ἡμῖν ἐγγὺς ἐγχρίμπτῃ βροτῶν E. 898. ἐγγὺς Ἕκτωρ· οὐ μένειν καλὸν Achæor. Conv. VIII. 2. θανάτου τοῦτ' ἐγγυτάτω τοὔπος ἀφῖκται A. 932.

Ἐγείρειν. θρῆνον ἐγείρετε C. 1778.

Ἐγερτί. ἐγερτὶ κινῶν ἄνδρ' ἀνὴρ ἐπιῤῥόθοις κακοῖσιν A. 413.

Ἐγκαλεῖν. εἰ σαφῶς τὸ νεῖκος ἐγκαλῶν ἐρεῖς R. 702. χολὰν κατ' αὐτῶν ἐγκαλῶν P. 327. ἐγκαλῶν ἐμοὶ φόνους πατρῴους E. 778.

Ἔγκαρπος. καλύξιν ἐγκάρποις χθονὸς R. 25. τέλη τ' ἔγκαρπα Κηναίῳ Διῒ T. 238.

Ἐγκαταζευγνύναι. νέας βουλὰς νέοισιν ἐγκαταζεύξας τρόποις Aj. 736.

Ἐγκατασκήπτειν. ἐγκατασκῆψον βέλος T. 1089.

Ἐγκλείειν. γλῶσσαν ἐγκλείσας ἔχει A. 180. εἰ μὴ γλῶσσαν ἐγκλείσοι φόβος A. 505. δόμοις γὰρ ἐγκεκλεισμένον καλῶς ἦν T. 579. ἑρκέων ἐγκεκλεισμένους Aj. 1274.

Ἔγκλημα. ἔγκλημα μικρὸν αἰτίαν θ' ἑτοίμασας T. 361. ἦ γάρ τι καὶ σὺ τοῖς πανωλέθροις ἔχεις ἔγκλημ' Ἀτρείδαις; P. 323.

Ἔγκληρος. οὔθ' ὑμεναίων ἔγκληρον A. 814. τοῖσιν ἰσοθέοις ἔγκληρα λαχεῖν A. 837.

Ἐγκλίνειν. ὑπείκει καὶ θέλων ἐγκλίνεται Phædr. IV. 5.

Ἐγκονεῖν. ἄγ' ἐγκονεῖτ', αἴρεσθε T. 1257. χωρῶμεν, ἐγκονῶμεν Aj. 811. ἴθ', ἐγκόνει, ξύγκαμνε Aj. 988.

Ἐγκρατής. οὐχ ὁ πρέσβυς Πόλυβος ἐγκρατὴς ἔτι; R. 941. ἐγκρατεῖς φεύγουσιν C. 1022. ναὸς ἐγκρατῆ πόδα τείνας A. 715. ἐγκρατὴς τόξων P. 75. ἐγκρατέστατον σίδηρον ὀπτὸν ἐκ πυρὸς A. 474.

Ἐγκύρειν. τμητοῖς ὁλκοῖς ἐγκύρσαι E. 863.

Ἐγρεμάχης. τὸν ἐγρεμάχαν Θησέα C. 1054.

Ἐγχεῖν. ἐγχέω τὸ πᾶν σόφισμα P. 13. κτῆσιν Αἴγισθος δόμων ἀντλεῖ, τὰ δ' ἐγχεῖ E. 1291. ἐγχείτω βαθὺν κρητῆρα Achæor. Conv. IV. 1. γλῶσσαν ἐγχέας μάτην I. T. XIV. 3.

Ἐγχειρεῖν. εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράσσειν κακῶς E. 1026.

Ἐγχείρημα. ἆρ' οὐχὶ μῶρόν ἐστι τοὐγχείρημά σου; R. 540.

Ἔγχος. φροντίδος ἔγχος R. 170. ἄψαυστος ἔγχους R. 969. ἡμᾶς ἔγχος ἐξαιτῶν πορεῖν R. 1255. ἤρεισε πλευραῖς μέσσον ἔγχος A. 1236. οὐκ ἔγχος τις ὀνήσιμον οὐκ ἀπότρεψει T. 1016. ἀνεπίφθονον εἴρυσον ἔγχος T. 1035. ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στράτῳ; Aj. 95. ἀμφηκες λαβὼν ἔγχος A. 288. ἔγχος τοὐμὸν, ἔχθιστον βελῶν A. 658. ἐν γὰρ οἱ χθονὶ πηκτὸν τόδ' ἔγχος Aj. 907. τῆς εἰνοδίας Ἑκάτης ἔγχος Rhiz. III. 3. ἐγχέων φόβημα δαΐων C. 699.

Ἐγχρίμπτειν. μή τις ἐγγὺς ἐγχρίμπτῃ βροτῶν E. 598.

Ἐγχωρεῖν. χειμῶνες ἐγχωροῦσιν εὐκάρπῳ θέρει Aj. 671.

Ἐγχώριος. ὁρᾶτε ταῦτα, τῆσδε γῆς ἐγχώριοι C. 871. θεοῖσι τοῖς ἐγχωρίοις T. 182. πατρῴα γῆ θεοί τ' ἐγχώριοι E. 67.

Ἔγχωρος. πλανάτας τις ὁ πρέσβυς οὐκ ἔγχωρος C. 125. οὐκ ἔχων τιν' ἔγχωρον P. 691. νόμοις ἕπεσθαι τοῖσιν ἐγχώροις καλὸν I. T. XIX. 3.

Ἐδεστός. πρὸς κυνῶν ἐδεστὸν A. 206. ἐδεστὸν ἐξ αὐτοῦ φθίνει T. 679.

Ἕδος. δαιμόνων ἕδη σέβων R. 886. πατρῷα προσκυσάνθ' ἕδη E. 1374.

Ἕδρα. τίνας ποθ' ἕδρας τάσδε μοι θοάζετε; R. 2. τοιάνδε μὴ οὐ κατοικτείρας ἕδραν R. 13. ἐκ τῆσδ' ἕδρας ἔξελθε C. 36. ὥστ' οὐκ ἕδρας γῆς τῆσδ' ἂν ἐξέλθοιμ' ἔτι C. 45. ὅπου θεῶν σεμνῶν ἕδραν λάβοιμι C. 90. σῆς ἕδρας ἐπίσκοποι C. 112. οὐ γὰρ

ἥδ' ἕδρα σμικροῦ λόγου C. 1163. τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακῶν ἕδραν; C. 1166. Τίρυνθι συμβέβηκεν ὥστ' ἔχειν ἕδραν T. 1154. ἐξ ἕδρας πέμπει με σοὶ φέροντα τάσδ' ἐπιστολὰς Aj. 780. οὐχ ἕδρας ἀκμὴ Aj. 811. τίς τόπος ἢ τίς ἕδρα; P. 157. τυραννίδος ἡδίσταν ἕδραν Aloadæ XI. 3. ἔχει γὰρ ἕδραν Ζεὺς ἐν ἐσχάτῳ θεῶν I. T. LXXXII. 9. ἕδρας πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἐγὼ C. 84. οὐρανίας ἕδρας προλιπὼν P. 1414.

Ἕδρανον. οὔ τοι μήποτέ σ' ἐκ τῶνδ' ἑδράνων, ὦ γέρον, ἄκοντά τις ἄξει C. 176. τῶνδ' ἑδράνων πάλιν ἔκτοπος C. 233. ἀνὰ ἐξ ἑδράνων Aj. 194.

Ἑδώλιον. νεῶν ἄκροισι ναυτικοῖς ἑδωλίοις Aj. 1277. ἀρχαιόπλουτα πατρὸς ἑδώλια E. 1393. τὰ Τροίας εἰσορῶν ἑδώλια δέδοικας Achæor. Conv. VII. 1.

Ἕζεσθαι. ἑζόμεσθ' ἐφέστιοι R. 32. θοὸν εἰρεσίας ζυγὸν ἑζόμενον ποντοπόρῳ ναῒ μεθεῖναι Aj. 249. Μοῖραι Διὸς αἵ τε παρὰ θρόνον ἑζόμενοι I. T. III. ἐπὶ σεμνὸν ἑζόμην βάθρον τόδε C. 100. ἐν δ' ἐρειπίοις νεκρῶν ἐρειφθεὶς ἕζετο Aj. 309. ἧστο πλεῖστον ἄφθογγος χρόνον Aj. 311.

Ἔθειν. ἀνακλαίομαι παροῦσι τοῖς εἰωθόσιν P. 939. πολλὰ χαίρειν μ' εἶπας, οὐκ εἰωθότα E. 1456.

Ἐθέλω. τί δ' ἐθέλεις μαθεῖν C. 543. τόπον προσιδεῖν ἐθέλεις ὅντινα ναίει P. 145. οὐδ' ἐθέλω προλιπεῖν τάδε E. 132. ἐσθίειν ἐθέλω τὸν δέλφακα Hybr. II. ἐθέλων πόλλ' ἀνερέσθαι R. 1304. οὐδ' ὅτ' αὐτὸς ἤθελον παρίεσαν C. 591. οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν C. 767. ἔπραξεν οἷον ἤθελε C. 1704. ἤθελον δ' ἂν ἐκτὸς ὢν τυχεῖν Aj. 88. θάνατον ὅνπερ ἤθελε Aj. 967. ἤθελον τὸν ἄνδρα λώβαις ἐκβαλεῖν ἀναξίως Aj. 1391. ἀλλ' ἤθελον μὲν Aj. 1400. ἀλλ' ἤθελον μὲν ἄν σε πεισθῆναι λόγοις P. 1278. ὥς σ' ἠθέλησα μηδ' ἀναγνῶναί ποτ' ἂν R. 1348. ἠθέλησε μὲν πυρὶ πρῆσαι κατάκρας, ἠθέλησε δ' αἵματος κοινοῦ πάσασθαι A. 201. οὔτ' ἠθέλησας, οὔτ' ἐγὼ 'κοινωσάμην A. 539. οὐ γὰρ ἔσθ' ὅπου λόγων ἀκοῦσαι ζῶν ποτ' ἠθέλησ' ἐμῶν Aj. 1070. ἠθελησάτην λωβητὸν αὐτὸν ἐκβαλεῖν ταφῆς ἄτερ Aj. 1387. οἷν ἐγὼ ἥκιστ' ἂν ἠθέλησ' ὀλωλότοιν κλύειν P. 427.

Ἔθνος. θηρίων ἀγρίων ἔθνη A. 345. χαροπῶν ἔθνη θηρῶν P. 1147. Σύρων ἔθνος Tymp. II.

Ἔθος. τό τοι ξύνηθες ὀρθώσει μ' ἔθος P. 894.

Εἴβεσθαι. φιλάδελφα κάτω δάκρυ' εἰβομένη A. 527.

Εἴδειν. γέγωνέ μοι πᾶν τοὐνθ' ὅπως εἰδῶ τίς εἶ P. 238. Ζεὺς ταῦτ' ἂν εἰδείη C. 882. πῶς ἂν εἰδείην σαφῶς E. 660. τὸ γὰρ πρᾶγμ' οὔτ' ἔδρασ' οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν A. 239. εἴδομεν ἃ θροεῖς E. 853. εὐθὺς τάλαιν' ὡς εἶδον ἐμπαίει τί μοι ψυχῇ ξύνηθες ὄμμα E. 902. οὐ γάρ τί σ' ᾔδη μῶρα φωνήσοντα R. 433. ὃς τὰ κλείν' αἰνίγματ' ᾔδη R. 1525. ᾔδη δ' ὅθ' οὕνεκ' ἄνδρα καὶ πατρόκτονον κἄναγνον οὐ δεξαίατο C. 944. ᾔδη καλῶς A. 18. ὃς οὐδὲν ᾔδη πλὴν τὸ προσταχθὲν ποιεῖν P. 1010. ᾔδη σ' ἀποῤῥίψουσαν ἃ 'πηγγελλόμην E. 1018. οὐκ ἄρ' ᾔδη τῶν ἐμῶν οὐδὲν κακῶν E. 1185. οὔτε τοὐπιεικές, οὔτε τὴν χάριν ᾔδη I. T. LII. 3. λείπει μὲν οὐδ' ἃ πρόσθεν ᾔδειμεν R. 1232. ᾔδεις τὰ κηρυχθέντα, μὴ πράσσειν τάδε; A. 447. ἔοικ' ἐμαυτὸν εἰς ἀρὰς δεινὰς προβάλλων ἀρτίως οὐκ εἰδέναι R. 745. ἢ οὐχὶ θεμιτὸν ἄλλον εἰδέναι; R. 993. οὐδεὶς ἐναργής, ἀλλ' ἔφευγε τὸ μὴ εἰδέναι A. 263. παντὸς ἔργου δυσσέβειαν εἰδέναι A. 301. καὶ σὺ τοῦδε τοῦ τάφου φήσεις μετασχεῖν, ἢ 'ξομεῖ τὸ μὴ εἰδέναι; A. 535. τοῦ δοκοῦντος οὐδὲν εἰδέναι κακὸν P. 960. εἰδέναι θέλω E. 318. εἰδέναι δέ σου πρώτιστα χρῄζω E. 668. οὐδὲν εἶχ' εἰδὼς φράσαι R. 119. ταῦτα γὰρ καλῶς ἐγὼ εἰδὼς διώλεσα R. 317. ὁ μηδὲν εἰδὼς Οἰδίπους R. 407. ξύνετοι καὶ τὰ βροτῶν εἰδότες R. 499. καλῶς εἶ δῆλος οὐκ εἰδώς τε δρᾷς R. 1008. λέγει γὰρ εἰδὼς οὐδὲν R. 1151. οὐδὲν εἰδὼς ἱκόμην ἵν' ἱκόμην, ὑφ' ὧν δ' ἔπασχον, εἰδότων ἀπωλλύμην C. 274. ἔτικτεν, ᾧ μοί μοι κακῶν, οὐκ εἰδότ' οὐκ εἰδυῖα C. 983. εἰδὼς δ' ἀμύνω τοῖσδε τοῖς λόγοις τάδε C. 1128. δίδασκέ με ὡς μὴ εἰδότ' αὐτὸν οὐδὲν ὧν σὺ πυνθάνει C. 1155. τὰ μὲν τοιαῦτ' οὖν εἰδότ' ἐκδιδάσκομεν C. 1539. ταῦτα

τοῖς μὴ εἰδόσι σαφῆ προκηρύξαντα A. 33. τὰ Λαΐου σέβοντας εἰδὼς εὖ θρόνων ἀεὶ κράτη A. 166. εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον A. 310. πῶς εἰδὼς ἀντιλογήσω τήνδ' οὐκ εἶναι παῖδ' Ἀντιγόνην; A. 377. εἰδότι δ' οὐδὲν ἕρπει A. 610. εἰδὼς ὅτι ψυχρὸν παραγκάλισμα τοῦτο γίγνεται A. 649. ὡς παρ' εἰδυίας μάθῃς Aj. 13. τί δ' εἰδὼς τοῦδε πράγματος πέρι; Aj. 747. ὡς μηδὲν εἰδότ' ἴσθι μ' ὧν ἀνιστορεῖς P. 258. ὅπως ἂν εἰδὼς ἡμὶν ἀγγείλῃς σαφῆ E. 40. τάχ' εἰσόμεσθα, ξύμμετρος γὰρ ὡς κλύειν R. 84. λέξεις, καὶ τότ' εἴσομαι κλύων R. 1517. εἰ τάδ' εἴσεται Κρέων ἄλλου παρ' ἀνδρὸς A. 229. Τάχ' εἰσόμεσθα μαντέων ὑπέρτερον A. 631. ἀπ' ἀνδρὸς οἶσθά που R. 43. εὖ γὰρ οἶδ' ὅτι νοσεῖτε R. 58. ἀρ' οἶσθ' ἀφ' ὧν εἶ; R. 415. οἶδα δ' οὗ γνώμῃ τίνι R. 527. οὐκ οἶδ', ἃ γὰρ δρῶσ' οἱ κρατοῦντες, οὐκ ὁρῶ R. 530. οἶσθ' ὡς ποίησον R. 543. τὸ σὸν δέ γ' οἶσθα R. 570. εἰ γὰρ οἶδά γ', οὐκ ἀρνήσομαι R. 571. εἰ μὲν λέγει τάδ' αὐτὸς οἶσθα R. 574. οἶσθ' οὖν ἃ χρῄζεις. Οἶδα. Φράζε δὴ τί φῂς R. 655. ἆρ' οἶσθα δῆτα πρὸς δίκης οὐδὲν τρέμων; R. 1014. οὐκ οἶδ', ὁ δοὺς δὲ ταῦτ' ἐμοῦ λῷον φρονεῖ R. 1038. ὅπως μὲν ἐκ τῶνδ' οὐκ ἔτ' οἶδ' ἀπόλλυται R. 1251. ἐγὼ γὰρ οὐκ οἶδ' ὄμμασιν ποίοις βλέπων πατέρα ποτ' ἂν προσεῖδον R. 1371. τοσοῦτόν γ' οἶδα R. 1455. τὰς γοῦν Ἀθήνας οἶδα, τὸν δὲ χῶρον οὔ C. 24. ὅσ' οἶδα κἀγὼ, πάντ' ἐπιστήσει κλύων C. 53. οἶσθ', ὦ ξέν', ὡς νῦν μὴ σφαλῇς C. 75. ταῦτ' ἐγᾦδα τῆσδέ τε μαντεῖ' ἀκούων C. 452. ὡς οἶδά γ' αὐτὸς ὡς ἐπαιδεύθην ξένος C. 562. οἶδ' ἐγὼ σε μή τινα ἐνθένδ' ἀπάξοντ' ἄνδρα C. 656. οἶδ' ὅτι τοὐμὸν φυλάξει σ' ὄνομα μὴ πάσχειν κακῶς C. 666. οἶδα γάρ σε ταῦτα μὴ πείθων C. 797. ἄνδρα δ' οὐδέν' οἶδ' ἐγὼ δίκαιον, ὅστις ἐξ ἅπαντος εὖ λέγει C. 806. χρόνῳ γὰρ, οἶδ' ἐγὼ, γνώσει τάδε C. 852. κἂν κεῖνα λεύσσῃς, οἶδ' ἐγὼ, γνώσει κακοῦ θυμοῦ τελευτὴν C. 1197. πῶς οἶσθα; τῷ δε τοῦτο συμβάλων ἔχεις; C. 1474. ἆρ' οἶσθ' ὅ τι Ζεὺς τῶν ἀπ' Οἰδίπου κακῶν ὁποῖον οὐχὶ νῷν ἔτι ζώσαιν τελεῖ; A. 2. οὐδὲν οἶδ' ὑπέρτεραν A. 16. οὐκ οἶδα A. 248. πάρειμι δ' ἄκων οὐκ ἑκοῦσιν, οἶδ' ὅτι A. 276. οὐκ οἶσθα καὶ νῦν ὡς ἀνιαρῶς λέγεις A. 316. οὐδεὶς οἶδεν ἐξ ὅτου 'φάνη A. 457. σμικρῷ χαλινῷ δ' οἶδα τοὺς θυμουμένους ἵππους καταρτυθέντας A. 477. τίς οἶδεν εἰ κάτω 'στὶν εὐαγῆ τάδε; A. 521. ἆρ' οἶδεν ἀνθρώπων τις, ἆρα φράζεται; A. 1048. ἆρ' οἶσθα ταγοὺς ὄντας ἃ ἂν λέγῃς λέγων; Οἶδα A. 1057. οὐκ ἂν διείποιμ', οὐ γὰρ οἶδα T. 21. οἶδα, μύθοις εἴ τι πιστεύειν χρεὼν T. 67. ὅσῳ περ καὶ φρονεῖν οἶδεν μόνη T. 313. τί δ' οἶδ' ἐγὼ T. 314. οὐκ οἶδα, καὶ γὰρ οὐδ' ἀνιστόρουν μακρὰν T. 317. οὔτοι σ' Ἀχαιῶν, οἶδα, μή τις ὑβρίσῃ λώβαις Aj. 560. οὐκ οἶδα τὴν σὴν πρᾶξιν Aj. 792. χωρεῖ πρὸς ἧπαρ, οἶδα, γενναία δύη Aj. 939. οὐκ οἶσθα, σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ Aj. 1291. οἶσθα δὴ τὸ πᾶν P. 241. οὐ γὰρ οἶσθά μ' ὅντιν' εἰσορᾷς P. 249. λόγους, ὡς εἴσ' ἀληθεῖς οἶδα P. 320. οἶσθ', ὦ τέκνον; Τί ἐστιν; Οἶσθ', ὦ παῖ; Τί σοι; Οὐκ οἶδα. Πῶς οὐκ οἶσθα; P. 754. οὐκ οἶδ' ἐναίρων νεκρὸν P. 946. οἶδα ταῦτα τῇδ' ἔχοντα P. 1336. Ἀτρείδας ἐκβαλόντας οἶδά με P. 1389. ὃ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον E. 55. οἶδά τε, καὶ ξυνίημι τάδε E. 131. τοσοῦτόν γ' οἶδα κἀμαυτὴν, ὅτι ἀλγῶ 'πὶ τοῖς παροῦσιν E. 332. ζῶ κακῶς μὲν, οἶδα E. 354. οὐκ οἶδα τοιοῦδ' ἀνδρὸς ἔργα καὶ κράτη E. 689. οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων χρυσοδέτοις ἕρκεσι κρυφθέντα γυναικῶν E. 836. οὐκ οἶσθ', ὅποι γῆς οὐδ' ὅποι γνώμης φέρει E. 922. οὐκ οἶδα τὴν σὴν κληδόνα E. 1110. οἶσθα μὲν τἀνθένδε E. 1307. οὐκ οἶσθ' ὅτῳ μ' ἔδωκας ἐς χεῖρας ποτὲ E. 1348. τίς οἶδεν ὑμῶν ποῦ ποθ' οἱ Φωκῆς ξένοι; E. 1442. ἐγᾦδ' ὃ φεύγεις Achæor. Conv. VIII. 1. Ἀΐδαν οὐδὲ γῆρας οἶδε φιλεῖν Iobat. I. πάντ' οἶσθα Ulyss. II. 1. εἴ τις ἄλλον οἶδεν ἐξ ἄλλης χθονὸς R. 230.

Εἴδειν. ὧν εἶδε, πλὴν ἕν, οὐδὲν εἶχ' εἰδὼς φράσαι R. 119. κράτη σέ τ' εἴδ' ἔχοντα, Λάϊόν τ' ὀλωλότα R. 759. ἔσω γὰρ εἶδον ἀρτίως λυσσῶσαν αὐτὴν A. 491. εἶδεν ἀρατὸν ἕλκος A. 972.

εἶδες ὡς χρόνῳ ἔμελλέ σ' Ἕκτωρ καὶ θανὼν ἀποφθίσειν Aj. 1026. πῶς γὰρ κάτοιδ' ὅν γ' εἶδον οὐδεπώποτε; P. 250. ὡς μ' εἶδον ἐκ πολλοῦ σάλου εὕδοντα P. 271. οὐκ εἶδον αὐτὸν P. 445. καί μ' ἐπεὶ τῆσδε χθονὸς ἐξῆλθον, οὐκ ἔτ' εἶδεν E. 778. πῶς δ' οὐκ ἐγὼ κάτοιδ' ἅ γ' εἶδον ἐμφανῶς E. 923. τότ' εἶδες, ὅτε θεοί μ' ἐπώτρυνον μολεῖν E. 1264. εἴδεθ' οὓς ἐχρῄζετε E. 1235. τοὺς ἐμὸς ἴδε πατὴρ θανάτους ἀεικεῖς E. 205. ἴδε, μάλα μέγας ἐρείπεται κτύπος E. 1462. πρὶν ἴδοιμ' ὀρθὸν ἔπος R. 505. μὴ δῆτ' ἴδοιμι ταύτην ἡμέραν R. 831. τὰ τέρποντα δ' οὐκ ἂν ἴδοις C. 1217. ἐκ τῶν γὰρ αἰσχρῶν λημμάτων τοὺς πλείονας ἀτωμένους ἴδοις ἄν, ἢ σεσωσμένους A. 313. κύματα βάντ' ἐπιόντα τ' ἴδοι T. 115. ὅπως ἴδοιμ' ἄθαπτον, οὐ γὰρ εἰδόμην P. 353. εἰ δ' ἴδοιμ' ὀλωλότας τούτους P. 1043. πατρῴαν τὴν ἐμὴν ὅταν χθόνα ἴδῃς Aj. 847. ἐκκάλυψον, ὡς ἴδω τὸ πᾶν κακὸν Aj. 1003. ὅταν θρόνοις Αἴγισθον ἐνθακοῦντ' ἴδω τοῖσιν πατρῴοις E. 267. μήπω μέγαν εἴπῃς πρὶν τελευτήσαντ' ἴδῃς Tereus X. καί μοι φυγόντι μή 'στι τοὺς ἐμοὺς ἰδεῖν R. 824. ἦ κἄστ' ἔτι ζῶν οὗτος, ὥστ' ἰδεῖν ἐμέ; R. 1045. τοὐμὸν δ' ἐγώ, κεἰ σμικρόν ἐστι, σπέρμ' ἰδεῖν βουλήσομαι R. 1077. ὦ δεινὸν ἰδεῖν πάθος ἀνθρώποις R. 1297. ὅτῳ γ' ὁρῶντι μηδὲν ἦν ἰδεῖν γλυκύ R. 1335. ἐκείνην τὴν τελευταίαν ἰδεῖν ἡμέραν ἐπισκοποῦντα R. 1528. τίς ἂν θεῶν σοι τόνδ' ἄριστον ἄνδρ' ἰδεῖν δοίη; C. 1100. ἵμερος ἔχει με τὰν χθόνιον ἑστίαν ἰδεῖν C. 1725. αἰκισθέντ' ἰδεῖν A. 206. ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν A. 1270. σπεῦσον κοίλην κάπετόν τιν' ἰδεῖν τῷδε Aj. 1164. λέγειν ἕν' ἄνδρ' ἰδεῖν ἄριστον Ἀργείων Aj. 1340. πρὶν ἰδεῖν δ' οὐδεὶς μάντις τῶν μελλόντων Aj. 1419. ὡς χθόν' Οἰταίαν ἰδεῖν P. 664. οὐκ ἄχθομαί σ' ἰδεῖν τε, καὶ λαβεῖν φίλον P. 671. οἷς ἴασιν οὐκ ἔνεστ' ἰδεῖν E. 876. ἢ πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά; E. 1496. εὔμορφόν τ' ἰδεῖν Aloadæ XI. 10. τὸν δ' ἰδόντ' οὐδεὶς ὁρᾷ R. 293. δειλίαν ἢ μωρίαν ἰδών τιν' ἐν ἐμοὶ ταῦτ' ἐβουλεύσω ποιεῖν; R. 537. τὸν βοτῆρ' ἰδὼν πάρος R. 1116. ἐπείπερ εἶ γενναῖος, ὡς ἰδόντι C. 76. οὐ γὰρ ἴδοις ἂν ἀθρῶν βροτὸν C. 252. ἄλαστον ἄνδρ' ἰδὼν C. 1483. ἀλόγιστα παροίσομεν ἰδόντε καὶ παθούσα C. 1676. ταύτην γ' ἰδὼν θάπτουσαν ὃν σὺ τὸν νεκρὸν ἀπεῖπας A. 404. χἠμεῖς ἰδόντες ἱέμεσθα A. 432. ἴδων ἔσπευσα τὸν στρατηλάτην Aj. 1223. πολλὰ βροτοῖς ἐστὶν ἰδοῦσι γνῶναι Aj. 1418. ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοὶ κύκλοι P. 1354. ὥστε μηδένα γνῶναι φίλων ἰδόντ' ἂν ἄθλιον δέμας E. 756. τοῖς δ' ἰδοῦσιν οἵπερ εἴδομεν μέγιστα πάντων ὧν ὄπωπ' ἐγὼ κακῶν E. 762. σαφῆ σημεῖ' ἰδοῦσα E. 886. τίν', ὦ τάλαιν' ἰδοῦσα πίστιν; E. 887. ἰδοῦσα δ' ἔσχον θαῦμα E. 897. τίς γάρ ποτ' ἀστῶν ἢ ξένων ἡμᾶς ἰδὼν τοιοῖσδ' ἐπαίνοις οὐχὶ δεξιώσεται; E. 975. πολύστονον ὧδ' ἰδὼν E. 1275. κἂν ἄλλοισι θυμοίμην ἰδὼν E. 1278. εἴθε σ', εἴθε μή ποτ' ἰδόμαν R. 1218. ἴδεσθέ μ' οἷον ἄρτι κῦμα φοινίας ὑπὸ ζάλης ἀμφίδρομον κυκλεῖται Aj. 351. ἰδού μ' ἀναταράσσει εὐοῖ μ' ὁ κισσὸς T. 218. ἰδού, ἰδού, δοῦπον αὖ κλύω τινὰ Aj. 870. ἰδού, δέχου, παῖ P. 776. ἴδεσθε τώδε τὼ κασιγνήτω, φίλαι E. 977. ἴδεσθ' ὅπῃ προνέμεται τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης E. 1384. ἰδού, μάλ' αὖ θροεῖ τις E. 1410. ἰδοὺ μάλ' αὖθις ἀμφίσταται διαπρύσιος ὄτοβος C. 1477. ἰδοίμαν δέ νιν τὸν τάδε μησάμενον P. 1133.

Εἶδος. ὁρῶν λωβητὸν εἶδος ἐν δίκῃ κακούμενον T. 1072. ἦ σὸν τὸ κλεινὸν εἶδος Ἠλέκτρας τόδε; E. 1177.

Εἴδωλον. Οἰδίπου τόδ' ἄθλιον εἴδωλον C. 110. ὁρῶ γὰρ ἡμᾶς οὐδὲν ὄντας ἄλλο πλὴν εἴδωλα Aj. 126. καπνοῦ σκιὰν εἴδωλον ἄλλως P. 947. ἰδεῖν σκιᾶς εἴδωλον Tyro XV. 6.

Εἰκάζειν. ἡμῖν δοκεῖ μὲν εἰκάζουσιν R. 404. αὐτὸς ᾔκασας καλῶς E. 662. εἰκάσαι μὲν ἡδύς R. 82. οὐκ ἔστιν μὲν εἰκάσαι, φίλοι C. 1676. τί τοῦτ' ἂν εἰκάσειας A. 1244. πάντα δ' εἰκάσαι πάρα C. 1504.

Εἰκάθειν. τί σοι θέλεις δῆτ' εἰκάθω; R. 651. μή μ' ἀνάγκῃ προσβάλῃς τάδ' εἰκάθειν C. 1178. μῆνιν βαρεῖαν εἰκάθειν C. 1328. τό τ' εἰκάθειν γὰρ

δεινὸν A. 1096. αὐτὸν εἰκάθοντα συμπράσσειν T. 1179. ἀλλ' εἰκάθω δῆτ'; P. 1352. τοῖς κρατοῦσιν εἰκάθειν E. 396.

Εἰκαῖος. εἰκαία σχολὴ Iphig. I.

Εἰκαστός. μορφῇ μάλιστ' εἰκαστὸν T. 701.

Εἴκειν. εἰκότος πέρα R. 74. οὓς μὲν εἰκὸς ἦν πονεῖν τάδε C. 342. ὡς εἰκὸς, οἶμαι, τοὐμὸν ἐν σμικρῷ μέρει ποιούμενοι P. 498. ἄλλοισι δοὺς ὡς εἰκὸς P. 973. λέγεις μὲν εἰκότα P. 1373. οὐ τῆσδε μᾶλλον εἰκὸς ἦν θνήσκειν; E. 540. τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ' ὁρᾶν E. 659. εἰκὸς γὰρ ἐγχειροῦντα καὶ πράσσειν κακῶς E. 1026. ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν E. 1488. τὰς τελευτὰς εἰκός ἐσθ' οὕτως ἔχειν I. T. LVIII. 2. σέ τ' εἰκὸς, εἴ τι καίριον λέγει, μαθεῖν A. 724. ὅνπερ εἰκὸς, Ὕλλον T. 56. οὐδ' εἰκὸς, εἴπερ ἐντεθέρμανται πόθῳ T. 368. ὦ Ζεῦ, καὶ γὰρ εἰκὸς, ἄρκεσον Aj. 824. τῷ γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῷ πονεῖν; Aj. 1367. οὐ γὰρ εἰκὸς οὔτ' ἐμὲ ὑμῶν ἁμαρτεῖν τοῦτό γ', οὔθ' ὑμᾶς ἐμοῦ P. 230. ἔοικ' ἐμαυτὸν εἰς ἀρὰς δεινὰς προβάλλων ἀρτίως οὐκ εἰδέναι R. 743. νόσοις ὁ τλήμων, ὡς ἔοικεν, ἔφθιτο R. 962. ἀνὴρ ὅδ', ὡς ἔοικεν, ἐς τριβὰς ἐλᾷ R. 1160. ὡς ἔοικεν, ὁ ξένος ἀνδρῶν γε μοῦνος C. 1249. ἀδελφὰ δ', ὡς ἔοικε, νηδύος θρεπτήρια C. 1262. ἡ γὰρ ἐκτὸς ἐλπίδος χαρὰ ἔοικεν ἄλλῃ μῆκος οὐδὲν ἡδόνῃ A. 393. δεδογμέν', ὡς ἔοικε, τήνδε κατθανεῖν A. 576. ὅδ', ὡς ἔοικε, τῇ γυναικὶ συμμαχεῖ A. 740. ὡς ἔοικας ὀψὲ τὴν δίκην ἰδεῖν A. 1270. τὰ δ' ἐν δόμοις ἔοικας ἥκειν καὶ τάχ' ὄψεσθαι κακὰ A. 1280. οὐδ' ἀγύμναστόν μ' ἐᾷν ἔοικεν ἡ νόσος T. 1086. ἔοικεν οὐ νέμειν ἐμοὶ φθίνοντι μοῖραν T. 1240. τάχ', ὡς ἔοικε, μᾶλλον Aj. 333. ἀνὴρ νοσεῖν ἔοικε Aj. 335. ἀνὴρ φρονεῖν ἔοικεν Aj. 344. ὡς ἔοικας ὀρθὰ μαρτυρεῖν Aj. 354. ὁ τοξότης ἔοικεν οὐ σμικρὸν φρονεῖν Aj. 1120. ἔοικα κἀγὼ τοῖς ἀφιγμένοις ἴσα ξένοις ἐποικτείρειν σὲ P. 317. ἔχοντες, ὡς ἔοικε, σύμβολον σαφὲς P. 403. τὸν ἄνδρ' ἔοικεν ὕπνος ἕξειν P. 821. ἔοικέ μ' ἐκλίπων τὸν πλοῦν στελεῖν P. 911. πρὸς κακῶν ἀνδρῶν μαθὼν ἔοικας ἥκειν αἰσχρὰ P. 972. ἀνειμένη μὲν, ὡς ἔοικας, αὖ στρέφει E. 516. μάτην ἄρ', ὡς ἔοικεν, ἥκομεν E. 772. ἤγγειλας, ὡς ἔοικεν, ἐκτεθνηκότας E. 1341. πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι E. 1176. φρονεῖν ἔοικας οὐδὲν ὧν λέγω E. 1047. πικροὺς ἔοιγμεν τῶν Ἀχιλλείων ὅπλων ἀγῶνας Ἀργείοισι κηρύξαι Aj. 1239.

Εἴκειν. στυγνὸς μὲν εἴκων δῆλος εἶ R. 673. εἴκοντας ἃ δεῖ, κοὐκ ἄκοντας C. 172. ἀλλ' ἡμὶν εἶκε C. 1201. εἴκειν δ' οὐκ ἐπίσταται κακοῖς A. 472. εἶκε, θυμῷ καὶ μετάστασιν δίδου A. 718. εἶκε τῷ θανόντι A. 1029. εἰσόμεσθα μὲν θεοῖς εἴκειν Aj. 667. οὐκ ἀρκέσει ποθ' ὑμὶν, οὐδ' ἡσσημένοις εἴκειν Aj. 1243. ὁπηνίκ' ἂν θεὸς πλοῦν ἡμὶν εἴκῃ P. 465.

Εἰκῆ. εἰκῆ κράτιστον ζῆν, ὅπως δύναιτό τις R. 979.

Εἰκότως. ἐμοὶ τότε πόλις τὸ δῶρον εἰκότως κατήνυσεν C. 432. πῶς γ' ἂν τό γ' ἄκον πρᾶγμ' ἂν εἰκότως ψέγοις C. 977.

Εἰλύεσθαι. εἰλυόμην δύστηνος P. 291. εἰλυόμενος παῖς ἄτερ ὡς φίλας τιθήνας P. 702.

Εἷμα. εἱμάτων χρυσηλάτους περόνας R. 1268. ὑφ' εἵματος κρυφεὶς Aj. 1145.

Εἱμένος. τὸν αἰεὶ κατὰ γᾶς σκότον εἱμένος C. 1701.

Εἶναι. οὐδέν ἐστιν οὔτε πύργος οὔτε ναῦς ἔρημος ἀνδρῶν R. 56. ἐμοὶ οὐκ ἔστιν ὑμῶν ὅστις ἐξ ἴσου νοσεῖ R. 62. ἔστιν δὲ ποῖον τοὔπος; R. 89. προδείσας εἰμὶ R. 90. ὅσοις τάδ' ἔστ' ἀρέσκοντα R. 274. ᾧ μή 'στι δρῶντι τάρβος R. 296. ἀλλ' οὑξελέγξων αὐτόν ἐστιν R. 297. ἐν σοὶ γάρ ἐσμεν R. 314. τί δ' ἔστιν R. 319. οὐδ' ὁρᾷν ἵν' εἶ κακοῦ R. 367. ἀλλ' ἔστι πλήν σοι, σοὶ δὲ τοῦτ' οὐκ ἔστι R. 370. μάντις εἶ σαφὴς R. 390. ἆρ' οἶσθ' ἀφ' ὧν εἶ; R. 415. σοῦ γὰρ οὐκ ἔστιν βροτῶν κάκιον ὅστις ἐκτριβήσεταί ποτε R. 428. οὐ γάρ ἐσθ' ὅπου μ' ὀλεῖς R. 448. αὐτός ἐστιν ἐνθάδε R. 451. κρίσις οὐκ ἔστιν ἀληθὴς R. 503. μή μοι φράζ' ὅπως οὐκ εἶ κακὸς R. 548. ἔθ' αὐτός εἰμι τῷ βουλεύματι R. 557. οἷόν ἐστι τὸ φθονεῖν R. 624. στυγνὸς μὲν εἴκων δῆλος εἶ R. 673.

οὐκ ἔστιν αὐτῷ τοῦτό γ' ἐκβαλεῖν πάλιν R. 849. ἔστι τοῦ λέγοντος ἢν φόβους λέγῃ R. 917. ἄξιος γὰρ εἶ R. 931. ὦ θεῶν μαντεύματα, ἵν' ἐστέ; R. 947. ἦ κἄστ' ἔτι ζῶν οὗτος; R. 1045. ἔστιν τις ὑμῶν ὅστις οἶδε; R. 1047. εἴπερ ἐγὼ μάντις εἰμὶ R. 1086. ὅδ' ἐστὶ κεῖνος ὃς τότ' ἦν νέος R. 1145. κακῶν ὅσ' ἐστὶ πάντων ὀνόματ' οὐδέν ἐστ' ἀπὸν R. 1285. τί γὰρ ἔτ' ἔστ' ἀκούειν ἡδονᾷ R. 1339. τάδ' ἔστ' ἄριστ' εἰργασμένα E. 1369. ἔργ' ἐστὶ κρείσσον' ἀγχόνης εἰργασμένα R. 1374. οὐ γὰρ αὐδᾷν ἔσθ' ἃ μηδὲ δρᾷν καλὸν R. 1409. ἄνδρες εἰσὶν, ὥστε μὴ σπάνιν ποτὲ σχεῖν R. 1460. ὦ τέκνα, ποῦ ποτ' ἐστέ; R. 1480. ἐγὼ γάρ εἰμ' ὁ πορσύνας τάδε R. 1476. ὡς πυθώμεθα ὅπου ποτ' ἐσμὲν C. 12. οὐκ ἔσθ' ὅπως οὐ C. 97. μή μ' ἀνέρῃ τίς εἰμι C. 209. σὺ γὰρ ὅδ' εἶ; C. 222. κἀμοίγε ποῦ ταῦτ' ἐστὶν C. 263. τά γ' ἔργα μου πεπονθότ' ἐστὶ μᾶλλον ἢ δεδρακότα C. 267. ὑμῶν ὅστις ἐστὶν ἡγεμὼν C. 289. τί φῶ, ἆρ' ἐστίν; C. 315. εἴσ' οὗπέρ εἰσι C. 336. ἃ δ' ἀμφὶ τοῖν σοῖν δυσμόροιν παίδοιν κακὰ νῦν ἐστι C. 366. ὅτ' οὐκ ἔτ' εἰμὶ τηνικαῦτ' ἄρ' εἴμ' ἀνὴρ C. 393. κρατῆρές εἰσιν C. 472. σκευή τε γάρ σε, καὶ τὸ δύστηνον κάρα δηλοῦτον ἡμῖν ὄνθ' ὃς εἶ C. 556. ὅς εἰμι, κἀφ' ὅτου πατρὸς γεγὼς C. 571. παρ' ἡμῖν αἰέν ἐστιν ἑστία C. 633. ἔστιν δ' οἷον ἐγὼ γᾶς 'Ασίας οὐκ ἐπακούω φύτευμα C. 694. γέρων μέν εἰμι C. 732. οὐ γάρ ἐστι τἀμφανῆ κρύπτειν C. 755. ἀλλά σοι τάδ' ἐστὶ C. 787. ἔστιν δὲ παισὶ τοῖς ἐμοῖσι τῆς ἐμῆς χθονὸς λαχεῖν τοσοῦτον ἐνθανεῖν μόνον C. 789. μάντις εἴμ' ἐσθλῶν ἀγώνων C. 1080. οὐκ ἀκούειν ἐστὶ, καὶ μὴ δρᾷν; C. 1175. ταῦτ' ἐστί μοι κομπεῖν C. 1344. οὐ γάρ ἐσθ' ὅπως πόλιν κείνην ἐρεῖ τις C. 1372. τί δ' ἐστὶ τἀξίωμ' ἐφ' ᾧ καλεῖς C. 1459. τί δ' ἐστὶν, ὦ παῖ Λαΐου, νέορτον αὖ; C. 1507. εἰ θέμις ἐστί μοι C. 1556. τοῦτ' ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον C. 1586. οὐκ ἔστ' ἔθ' ὑμῖν τῇδ' ἐν ἡμέρᾳ πατὴρ C. 1612. τὸ γὰρ φιλεῖν οὐκ ἔστιν ἐξ ὅτου πλέον ἢ τοῦδε τἀνδρὸς ἔσχετε C. 1617. ἔστιν, ἔστιν νῷν δὴ οὐ τὸ μὲν ἄλλο δὲ μὴ, πατρὸς αἷμα στενάζειν C. 1670. τί δ' ἔστιν; Οὐκ ἔστιν μὲν εἰκάσαι, φίλοι C. 1677. θέμις δὲ πῶς τάδ' ἐστί; C. 1729. φροῦδός ἐστιν 'Αργείων στρατὸς A. 15. ποῖ γνώμης ποτ' εἶ; A. 42. ἥδ' ἐστὶν ἡ σώζουσα A. 189. οὐκ ἔστιν οὕτως μῶρος, ὃς θανεῖν ἐρᾷ A. 220. τί δ' ἔστιν, ἀνθ' οὗ τήνδ' ἔχεις ἀθυμιάν; A. 237. οὐκ ἔστιν A. 289. βροτοῖσιν οὐδέν ἐστ' ἀπώμοτον A. 388. ἐγὼ δ' ἐλεύθερος δίκαιός εἰμι τῶνδ' ἀπηλλάχθαι κακῶν A. 400. δοῦλός ἐστι τῶν πέλας A. 479. εἰ κάτω 'στὶν εὐαγῆ τάδε A. 521. ἥδε μέντοι μὴ λέγ', οὐ γάρ ἐστ' ἔτι A. 567. ἀμύντε' ἐστὶ τοῖς κοσμουμένοις A. 677. ἔργον γάρ ἐστι τοὺς ἀκοσμοῦντας σέβειν A. 730. πόλις γὰρ οὐκ ἔσθ', ἥτις ἀνδρός ἐσθ' ἑνὸς A. 737. ταύτην ποτ' οὐκ ἔσθ' ὡς ἔτι ζῶσαν γαμεῖς A. 750. τίς δ' ἔστ' ἀπείλη πρὸς κενὰς γνώμας λέγειν A. 754. κεῖνος οὐκ ἔτ' ἔστ' ἀνὴρ ἄβουλος A. 1025. οὐκ ἔσθ' ὁποῖον στάντ' ἂν ἀνθρώπου βίον οὔτ' αἰνέσαιμ' ἂν A. 1156. ἆρ' εἰμὶ μάντις A. 1212. τί δ' ἔστιν αὖ κάκιον A. 1281. λόγος μέν ἐστ' ἀρχαῖος ἀνθρώπων φανεὶς T. 1. αὗται δὲ πρὸς θεῶν τοῦ ποτ' εἰσὶ, καὶ τίνες; T. 242. τίς ἡ γυνὴ δῆτ' ἐστί; T. 400. εἴ τις ἐστὶ πίστις ἐν τοῖς δρωμένοις T. 588. οὐκ ἔστιν ἐν τοῖς μὴ καλοῖς βουλεύμασιν οὐδ' ἐλπὶς T. 727. τοιαῦτα τἀνθάδ' ἐστὶ T. 945. εἴ τις δύο ἢ καὶ πλείους τις ἡμέρας λογίζεται, μάταιός ἐστιν T. 947. φέγγος οὐκ ἔτ' ἐστί μοι T. 1146. ὁποῖα δραστέ' ἐστὶν T. 1206. ἔστιν ἀνδρὸς τοῦδε τἄργα ταῦτά σοι Aj. 39. ἆρ' ἐστὶ ταῦτα δὶς τόσ' ἐξ ἁπλῶν κακά; A. 277. οὐκ ἔστι ταῦτα Aj. 470. ἐμοὶ γὰρ οὐκ ἔτ' ἐστὶν εἰς ὅ τι βλέπω Aj. 514. ἔστ' ἀληθὴς ἡ βροτῶν παροιμία Aj. 664. ὀνείδεσιν ἤρασσον ἔνθεν κἄνθεν, οὔ τις ἔσθ' ὃς οὒ Aj. 725. εἴπερ ἐστὶ τῇδε θἠμέρᾳ Aj. 778. οὐκ ἔστιν ἀνὴρ, εἰ Κάλχας σοφὸς Aj. 783. σοὶ μὲν δοκεῖν ταῦτ' ἐστὶ Aj. 942. Αἴας γὰρ αὐτοῖς οὐκ ἔτ' ἐστὶν Aj. 972. τοῦ δὲ σοῦ ψόφου οὐκ ἂν στραφείην, ὡς ἂν ᾖς οἷός περ εἶ Aj. 1117. τόνδ' ἐστὶ θαπτέον Aj. 1140. κἄστιν, ὡς ἐμοὶ δοκεῖ, οὐδείς ποτ' ἄλλος ἢ σὺ Aj. 1157. οὐκ ἆρ' 'Αχαιοῖς ἄνδρες εἰσὶ, πλὴν ὅδε; Aj. 1238. ἐκ πατρὸς μέν εἰμι

Τελαμῶνος γεγὼς Aj. 1299. κλύοντές ἐσμεν αἰσχίστους λόγους Aj. 1320. πολλὰ βροτοῖς ἐστὶν ἰδοῦσι γνῶναι Aj. 1418. οὐδέν ἐσθ᾽ ὑπόστεγον P. 34. ἔστ᾽ ἐμοὶ μὲν οὐχὶ, σοὶ δ᾽ ὁμιλία πρὸς τόνδε P. 70. οὐκ ἄρ᾽ ὁ πέρσων, ὡς ἐφάσκετ᾽, εἴμ᾽ ἐγώ; P. 114. ταύτην γὰρ ἔχειν βιοτῆς αὐτὸν λόγος ἐστὶ φύσιν P. 165. οὐκ ἔσθ᾽ ὡς οὐ P. 196. Ἕλληνές ἐσμεν P. 233. γένος μέν εἰμι τῆς περιῤῥύτου Σκύρου P. 239. ὅδ᾽ εἴμ᾽ ἐγώ σοι κεῖνος P. 261. οὐ γάρ τις ὅρμος ἐστὶν P. 302. λόγους, ὡς εἴσ᾽ ἀληθεῖς οἶδα P. 320. πόλις γάρ ἐστι πᾶσα τῶν ἡγουμένων P. 386. μέγα θάλλοντές εἰσι P. 420. ἔστ᾽ ἐκείνῳ πάντα λεκτὰ P. 633. ἀεὶ καλὸς πλοῦς ἔσθ᾽, ὅταν φεύγῃς κακὰ P. 641. οὐκ ἔστι λησταῖς πνεῦμ᾽ ἐναντιούμενον P. 643. ἀλλ᾽ ἔστιν ὧν δεῖ P. 647. ἆρ᾽ ἔστιν ὥστε κἀγγύθεν θέαν λαβεῖν P. 656. ἔστι δ᾽, ὦ τέκνον, θέμις P. 662. οὐκ ἔστι λῆξαι πρότερον P. 768. οὐδέν εἰμ᾽ ὁ δύσμορος P. 951. δῆλός τε καὶ νῦν ἐστιν ἀλγεινῶς φέρων P. 1011. οὐδέν εἰμι, καὶ τέθνηχ᾽ ὑμῖν πάλαι P. 1030. πῶς νῦν οὐκ εἰμί σοι δυσώδης P. 1031. οὐ γάρ ἐστ᾽ ἐν φάει γ᾽ ἔτι P. 1212. ἔστιν τις, ἔστιν, ὅς σε κωλύσει τὸ δρᾶν P. 1241. οὔτ᾽ ἐμοὶ καλὸν τόδ᾽ ἐστὶν, οὔτε σοι P. 1304. οὐκ ἔσθ᾽ ὅτου ὀργὴν ἔχοις ἂν P. 1308. τὰς μὲν ἐκ θεῶν τύχας δοθείσας ἔστ᾽ ἀναγκαῖον φέρειν P. 1318. οὔτε συγγνώμην ἔχειν δίκαιόν ἐστιν P. 1320. ἐνταῦθ᾽ ἐσμὲν ἵν᾽ οὐκ ἔτ᾽ ὀκνεῖν καιρὸς E. 20. ξένος μὲν εἶ Φωκεὺς E. 44. καιρὸς ἄνδρασιν μέγιστος ἔργου παντός ἐστ᾽ ἐπιστάτης E. 76. ἐν οἷς ἀνάλυσίς ἐστιν οὐδεμία κακῶν E. 142. οἷς ὁμόθεν εἶ καὶ γονᾷ ξύναιμος E. 154. ἔστι μέγας ἐν οὐρανῷ Ζεὺς E. 174. τῶν κρατούντων ἐστὶ πάντ᾽ ἀκουστέα E. 340. εἴ τις ἔστ᾽ ἐκεῖ χάρις E. 356. ἤθάς εἰμι πως τῶν τῆσδε μύθων E. 372. ποῦ ποτ᾽ εἶ φρενῶν; E. 390. οὐκ ἔστιν E. 448. μαντεῖαι βροτῶν οὐκ εἰσὶν ἐν δεινοῖς ὀνείροις E. 498. ἐγὼ μὲν οὖν οὐκ εἰμὶ τοῖς πεπραγμένοις δύσθυμος E. 549. τοὺς ἐκ Διὸς γὰρ εἰκός ἐστι πάνθ᾽ ὁρᾶν E. 659. τάδ᾽ ἐστὶ δώματα E. 662. ἀπωλόμην δύστηνος, οὐδέν εἰμ᾽ ἔτι E. 676. δεινὸν τὸ τίκτειν ἐστὶν E. 770. ἔστ᾽ Ὀρέστου ταῦτα τἀπιτίμια E. 915. οὐκ ἔσθ᾽ ὅ γ᾽ εἶπον E. 941. οὔ τις ἡμῖν ἐστιν E. 949. οὐ γὰρ ὧδ᾽ ἄβουλός ἐστ᾽ ἀνὴρ Αἴγισθος E. 964. ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία E. 991. ἔστιν ἔνθα χ᾽ ἡ δίκη βλάβην φέρει E. 1042. βουλῆς γάρ ἐστιν οὐδὲν ἔχθιον κακῆς E. 1047. δόθ᾽ ἥτις ἐστὶ, προσφέροντες E. 1123. φροῦδος αὐτὸς εἶ θανὼν E. 1152. εἰμὶ τοῖς φονεῦσι σύντροφος E. 1190. ἔστιν εὔνουν E. 1204. οὕτως ἄτιμός εἰμι τοῦ τεθνηκότος; E. 1214. ποῦ δ᾽ ἔστ᾽ ἐκείνου τοῦ ταλαιπώρου τάφος; Οὐκ ἔστι, τοῦ γὰρ ζῶντος οὐκ ἔστιν τάφος E. 1219. μή 'στι καιρὸς E. 1259. τίς οὗτός ἐστι; E. 1346. ἦ σὺ κεῖνος εἶ; E. 1355. οὐ γὰρ ἔσθ᾽ ὅπως ὅδ᾽ οὐκ Ὀρέστης ἐστὶν E. 1479. πρόθες ταφεῦσιν ὧν τόνδ᾽ εἰκός ἐστι τυγχάνειν E. 1488. οὐ πρόχειρος εἶ κτανεῖν E. 1494. μάντις εἰμὶ τῶνδ᾽ ἄκρος E. 1499. ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ Ajax Locr. III. εἴπερ εἶ γενναῖος, ὡς αὐτὸς λέγεις, σήμαιν᾽ ὅτου τ᾽ εἶ καὶ πόθεν Alet. IV. 2. οἷός ἐστι νῦν ὅδε Ajax Locr. IV. 2. νόμος γάρ ἐστι τοῖσι βαρβάροις Androm. V. 2. κάκιον οὐδέν ἐστιν, οὐδ᾽ ἔσται ποτὲ, γυναικὸς Epigon. II. 2. ἀρετῆς βέβαιαι δ᾽ εἰσὶν αἱ κτήσεις Eriph. I. οὐκ ἔστι τοῖς μὴ δρῶσι σύμμαχος τύχη Camic. III. ὀρθὴ μὲν ἡ γλῶσσ᾽ ἐστὶν Creusa I. 2. καλὸν μὲν οὖν οὐκ ἐστὶ τὰ ψευδῆ λέγειν Creusa II. 1. ξυγγνωστὸν εἰπεῖν ἐστι καὶ τὸ μὴ καλὸν Creusa II. 3. ἔστι πρὸς τὰ χρήματα θνητοῖσι τἄλλα δεύτερα Creusa IV. 5. εἰσὶ δ᾽ οἵ τινες αἰνοῦσιν ἄνοσον ἄνδρα Creusa IV. 5. τῷ κακῶς πράσσοντι μυρία μία νύξ ἐστι Naupl. III. 1. τάδ᾽ ἐστὶ κνισμὸς, καὶ φιλημάτων ψόφος Salmoneus I. 1. οὐκ ἔστι πλὴν Διὸς οὐδεὶς μελλόντων ταμίας Tereus V. 2. νῦν δ᾽ οὐδέν εἰμι Tereus VII. 1. σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων Tyro XIII. 2. οὐκ ἔστιν ὅντιν᾽ εὑρήσεις Phædr. VII. 2. ὡς δυσπέλαστόν ἐστιν ἀμαθία κακὸν I. T. X. 3. ταὔτ᾽ ἐστὶν ἄλγιστα I. T. X. 7. οὐκ ἔστ᾽ ἀπ᾽ ἔργων μὴ καλῶν ἔπη καλὰ I. T. XI. ἥσσων μὲν ὀργῆς ἐστι, τοῦ δὲ νοῦ κενὸς I. T. XIV. 2. ἔστι πολλῶν ὀνομάτων ἐπώνυμος, ἔστιν μὲν

Καταμελεῖν. *κἂν ἐξέπραξεν, εἰ κατημέλησ' ἐγὼ* Aj. 45. *ὁ πάντ' ἄϊδρις κατημέλησα* Aj. 912.

Κατάμεμπτος. *τότε κατάμεμπτον ἐπιλέλογχε πύματον ἀκρατὲς, ἀπροσόμιλον, γῆρας ἄφιλον* C. 1234. *οὔ τοι κατάμεμπτ' ἔβητον* C. 1696.

Κατανθρακοῦσθαι. *δέμας φλογιστὸν ἤδη, καὶ κατηνθρακωμένον* E. 57.

Κατανικᾶν. *οἵ γ' ἀγαθοὶ κατανικῶνται* Aloadæ VII. 3.

Κατανύτειν. *ἐμοί ποτε πόλις τὸ δῶρον εἰκότως κατήνυσε* C. 432. *φίλης γὰρ προξένου κατήνυσαν* E. 1451.

Καταξαίνειν. *ὡς οὐκ ἀρκέσοι τὸ μὴ οὐ πέτροισι πᾶς καταξανθεὶς θανεῖν* Aj. 728.

Κατάξιος. *ἀνάξιον μὲν σοῦ, κατάξιον δ' ἐμοῦ* P. 1009.

Καταξιοῦν. *σύ τοι κατηξίωσας, ὦ βαρύποτμε* P. 1095.

Καταξίως. *δέδρακας οὔτ' ἐμοῦ καταξίως οὔθ' ὧν πέφυκας αὐτὸς* C. 911. *ἐπείπερ οὔτ' ἐμοῦ καταξίως πράξειας, οὔτε τοῦ πορεύσαντος ξένου* E. 800.

Καταπειλᾶν. *πολλαὶ δ' ἀπειλαὶ πολλὰ δὴ μάτην ἔπη θυμῷ κατηπείλησαν* C. 659. *ἀκραιφνεῖς τῶν κατηπειλημένων* C. 1146.

Καταπέφνειν. *ᾧ μοι, κατέπεφνες, ἄναξ τόνδε συνναύταν* Aj. 901. *κατέπεφνεν αἰσχίσταις ἐν αἰκίαις* E. 487.

Καταπίπτειν. *ἐς ἀλίβαντα καταπεσεῖν* I. T. LXXVIII.

Κατάρατος. *τὸν ὄλεθρον μέγαν, τὸν καταρατότατον* R. 1345.

Καταργυροῦσθαι. *καὶ ταῦτ' ἄθρησον εἰ κατηργυρωμένος λέγω* A. 1077.

Καταρκεῖν. *καταρκεῖ τοῦδε κεκλῆσθαι πατρὸς* Aloadæ IX. 1.

Καταρνεῖσθαι. *φὴς, ἢ καταρνῇ μὴ δεδρακέναι τάδε;* A. 442.

Καταῤῥακοῦσθαι. *ἄναρθρος, καὶ κατεῤῥακωμένος τυφλῆς ὑπ' ἄτης ἐκπεπόρθημαι τάλας* T. 1105.

Καταῤῥάκτης. *καταῤῥάκτην ὀδὸν* C. 1590.

Καταῤῥέπειν. *Τύχη γὰρ ὀρθοῖ καὶ τύχη καταῤῥέπει τὸν εὐτυχοῦντα τόν τε δυστυχοῦντ' ἀεὶ* A. 1158.

Καταῤῥηγνύναι. *σὺν μάχῃ δορὸς τροπὰς καταῤῥήγνυσιν* A. 675.

Καταῤῥυής. *καταῤῥυεῖς μηροὶ καλυπτῆς ἐξέκειντο πιμελῆς* A. 1010.

Καταῤῥώξ. *ὦ καταῤῥῶγες πέτραι* P. 937.

Καταρτύειν. *καταρτύσων μολεῖν* C. 71. *σμικρῷ χαλινῷ δ' οἶδα τοὺς θυμουμένους ἵππους καταρτυθέντας* A. 478.

Κατάρχειν. *ὁδοῦ κατάρχειν τῆς ἐκεῖ* C. 1019. *δεινοῦ λόγου κατῆρξας* T. 1137.

Κατασβεννύναι. *οἱ θεοί σφε μήτε τὴν πεπρωμένην ἔριν κατασβέσειαν* C. 422. *τάχ' ἂν χειμὼν κατασβέσειε τὴν πολλὴν βοὴν* Aj. 1149.

Κατασκάπτειν. *τί σοι πάτραν κατασκάψαντι κέρδος ἔρχεται;* C. 1421. *Τροίαν σ' ἑλεῖν δεῖ, καὶ κατασκάψαι βίᾳ* P. 998.

Κατασκαφή. *εὔχεται κατασκαφῇ Καπανεὺς τὸ Θήβης ἄστυ δῃώσειν πυρὶ* C. 1318. *ζῶσ' εἰς θανόντων ἔρχομαι κατασκαφὰς* A. 920.

Κατασκαφής. *ὦ κατασκαφὴς οἴκησις* A. 891.

Κατασκήπτειν. *ἱκνοῦμαι, καὶ κατασκήπτω λιταῖς* C. 1011.

Κατασκιάζειν. *ἦ καὶ κατασκιῶσι Θηβαίᾳ κόνει;* C. 406.

Κατάσκιος. *θαλλὸν, ᾧ κατάσκιον πᾶσαν γενέσθαι τὴν Μυκηναίων χθόνα* E. 422.

Κατασκοπή. *τὸν οὖν παρόντα πέμψον εἰς κατασκοπὴν* P. 45.

Κατασπᾶν. *μολιβδὶς ὥστε δίκτυον κατέσπασεν* I. T. CIV. 1.

Κατασπείρειν. *ὅσας ἀνίας μοι κατασπείρας φθίνεις* Aj. 1005.

Καταστάζειν. *νόσῳ καταστάζοντα διαβόρῳ πόδα* P. 7. *ἱδρὼς δέ τοί νιν πᾶν καταστάζει δέμας* P. 823. *ἐπ' ὤμων πατέρ' ἔχων κεραυνίου νώτου καταστάζοντα βύσσινον φάρος* Laoc. III. 3.

Κατάστασις. ἐκ τῶνδε μέντοι τῶν τρόπων οὐκ ἄν ποτε κατάστασις γένοιτ' ἂν οὐδενὸς νόμου Aj. 1247.

Καταστάτης. ἀρχέπλουτον καὶ καταστάτην δόμων E. 72.

Καταστείβειν. ἐφ' ἃς τὸ πρῶτον ἱκοῦ καὶ κατέστειψας πέδον C. 467.

Καταστένειν. τίς ἂν σ' οὐ καταστένοι; C. 1440. φέρω γὰρ ἡδονάς τε κἀνάπαυλαν ὧν πάροιθεν εἶχες καὶ κατέστενες κακῶν E. 847.

Καταστεφής. καταστεφῆ στείχονθ' ὁρῶ τιν' ἄνδρα T. 178.

Κατάστικτος. καταστίκτου κυνὸς σπολὰς Λίβυσσα Ajax Locr. VI. 2.

Καταστράπτειν. πρὸς τοῦ κατ' ἄκρον Οἰταῖον νάπος Διὸς καταστράπτοντος T. 437.

Καταστρέφειν. ἄρδην ἀνεῖλε καὶ κατέστρεψεν βίον I. T. XXVI. 2.

Καταστροφή. δότε πέρασιν ἤδη, καὶ καταστροφήν τινα C. 103.

Κατασφάζειν. ὡς ὁ Λάϊος κατασφαγείη πρὸς τριπλαῖς ἁμαξιτοῖς R. 730.

Κατασχέθειν. ὀργὰς εὐμενεῖς κατασχέθειν A. 1200. μόλις κατασχέθοντες ἱππικὸν δρόμον, ἔλυσαν E. 754.

Κατάσχετος. μή τι καὶ κατάσχετον κρυφῇ καλύπτει καρδίᾳ θυμουμένῃ A. 1253.

Κατασχολάζειν. ἐάν μοι τοῦ χρόνου δοκῆτέ τι κατασχολάζειν P. 127.

Κατατήκεσθαι. κατὰ δὲ τακόμενοι μέλεοι μελέαν πάθαν κλαῖον A. 977. ἅτις ἄνευ τοκέων κατατάκομαι E. 177.

Κατατιθέναι. ἃ δ' ὑπέσχεο, ποῖ καταθήσεις C. 227. πολλὰ μὲν αἱ μακραὶ ἁμέραι κατέθεντο λύπας ἐγγυτέρω C. 1216.

Καταυδᾶν. οἵ μοι, καταύδα A. 86.

Καταυλίζεσθαι. καθ' ὕπνον καταυλισθεὶς P. 30.

Κατάφημι. μεμφομένων ἂν καταφαίην R. 507.

Καταφθείρειν. ἐννοεῖς ἡμᾶς προδοῦναι καὶ καταφθεῖραι πόλιν; R. 331.

Καταφθίνειν. ἀγρίᾳ νόσῳ καταφθίνοντα P. 266. θάλλοντα μᾶλλον ἢ καταφθίνοντα E. 260. κατὰ μὲν φθίσας τὰν γαμψώνυχα παρθένον R. 1198. εἴ τι μὴ τῷ 'μῷ πόθῳ κατέφθιτο R. 970. ἐπεὶ κατέφθιτο πατὴρ ἐμὸς P. 346. ἄνδρα θνητὸν, εἰ κατέφθιτο, στένεις; I. T. LXI. 1.

Κατάφρακτος. πετρώδει κατάφρακτος ἐν δεσμῷ A. 958.

Καταψᾶσθαι. ῥεῖ πᾶν ἄδηλον, καὶ κατέψηκται χθονὶ T. 700.

Κατείδειν. οὐδὲ συμπράκτωρ ὁδοῦ κατεῖδε R. 117. τὴν σὴν δ' ὁμοῦ ναίουσαν ὀργὴν οὐ κατεῖδες R. 338. σ' ἐγὼ κατεῖδον ἤδη T. 50. κρεμαστὴν αὐχένος κατείδομεν A. 1221. λέγω σοι πᾶν, ὅσον κατειδόμην E. 892. ὅθεν κατειδόμην Νῦσαν I. T. XCIV. 1.

Κατειδεῖν. εἰ δὲ θεσφάτων ἐγὼ βάξιν κατῄδη τῶνδε T. 87. μάλιστα σοὶ μελεῖν οἶμαι μάλιστα δ' ἂν κατειδυῖαν φράσαι E. 1447. τοῦτο κατειδότος Tereus V. 2. ὅστις Λάϊον τὸν Λαβδάκου κάτοιδεν R. 225. ἢ κάτοισθα δηλῶσαι λόγῳ R. 1041. ὅστις κάτοιδε τὸν βοτῆρα R. 1048. εὖ γὰρ οἶδ' ὅτι κάτοιδεν R. 1134. καλῶς κάτοιδα C. 1475. οὐ κάτοιδα C. 1688. οὐ κάτοιδε τἀνθρώπων T. 438. οὐ κάτοισθ', ἐγὼ θεοὺς ὡς οὐδὲν ἀρκεῖν εἴμ' ὀφειλέτης ἔτι Aj. 588. φύλλον εἴ τι νώδυνον κάτοιδέ που P. 44. πῶς γὰρ κάτοιδ' ὅν γ' εἶδον οὐδεπώποτε; P. 250. οὐδὲν σύ που κάτοισθα τῶν σαυτοῦ πέρι P. 553. ταῦτ' οὖν, ἐπεὶ κάτοισθα, συγχώρει θέλων P. 1343. ὅσον κάτοιδ' ἐγὼ E. 378. ἀλλ' οὐ κάτοιδα E. 414. πλείω γε τούτων οὐ κάτοιδα E. 426. πῶς οὐκ ἐγὼ κάτοιδ' ἅ γ' εἶδον ἐμφανῶς E. 923.

Κατεικάζεσθαι. τοῖς ἐν Αἰγύπτῳ νόμοις φύσιν κατεικασθέντε C. 338.

Κάτειμι. ὧν λοισθία 'γὼ καὶ κάκιστα δὴ μακρῷ κάτειμι A. 896.

Κατεναίρειν. θανὼν ἔτ' οὖσαν κατήναρές με A. 871.

Κατεναρίζειν. ἐφθαρμένας εὑρίσκομεν λείας ἁπάσας, καὶ κατηναρισμένας Aj. 26.

Κατεργάζεσθαι. μόρον κοινὸν κατειργάσαντ' ἐπ' ἀλλήλοιν χεροῖν A. 57. ἄπλατον θρέμμα, κἀπροσήγορον, βίᾳ κατειργάσασθε T. 1096. πᾶν γὰρ ἂν κατειργάσω E. 1022.

Κατερητύειν. κατερητύσων θ' ὁδὸν ἣν στέλλει P. 1416.

Κατέρχεσθαι. ἔστιν δέ μοι πάλιν κατελθεῖν μήποτε C. 601. φυγὰς κατελθὼν A. 200.

Κατευνάζειν. ᾇ με δαίμων ὁμοιοτάταν κατευνάζει A. 833. ὃν αἰόλα νὺξ ἐν-

αριζομένα τίκτει, κατευνάζεί τε T. 95. οὐδέ γ' ὃς τὰν θερμοτάταν αἱμάδα κηκιομέναν ἑλκέων ἐνθήρου ποδὸς ἠπίοισι φύλλοις κατευνάσειεν P. 699.

Κατεύχεσθαι. κατεύχομαι δὲ τὸν δεδρακότα R. 246. κατεύχομαι δ' ἐν καθαρῷ βῆναι C. 1575. ὅταν κατεύχῃ ταῦθ' ὁμοῦ κἀμοὶ θανεῖν εὔχου Aj. 392. ἵλεῳ φρενὶ κόσμῳ τε χαίρων καὶ στολῇ κατηύχετο T. 766.

Κατέχειν. κατέχεις Ὀλύμπου μαρμαρόεσσαν αἴγλαν A. 609. μεγάλοι θόρυβοι κατέχουσ' ἡμᾶς ἐπὶ δυσκλείᾳ Aj. 142. ὅνπερ καὶ πάλαι κατείχομεν γνώμῃ C. 1252. δαρόν με κατείχετ' ἀμφὶ Τροίαν χρόνον Aj. 415. κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις P. 10. μηνίσασα Λητῴα κόρη κατεῖχ' Ἀχαιοὺς E. 571. οὔτοι καθέξω θυμὸν C. 874. ἔνθα βροτοῖς τὸν ἀείμνηστον τάφον εὐρώεντα καθέξει Aj. 1167. ὡς αὐτίκ' Ἄργος δὴ τὸ Καδμείων πέδον τιμῇ καθέξον C. 381. τὴν μὲν οὖσαν ἡμέραν μόλις κατέσχον R. 782. πόθεν κλέος γ' ἂν εὐκλεέστερον κατέσχον; A. 503. τίνες ποτ' ἐς γῆν τήνδε ναυτίλῳ πλάτῃ κατέσχετε; P. 221. κατέσχον δεῦρο ναυβάτῃ στόλῳ P. 270. πῶς ἄρα πανδάκρυτον οὕτω βιοτὰν κατέσχεν; P. 690. κάτασχες ὀργὴν E. 1011. τεὰν, Ζεῦ, δύνασιν τίς ἀνδρῶν ὑπερβασίᾳ κατάσχοι; A. 604. φάσμα νυκτὸς εὖ κατασχήσει E. 502.

Κατηγορεῖν. δείν' ἔπη πεπυσμένος κατηγορεῖν μου τὸν τύραννον R. 514. κατηγορεῖτο τοὐπίκλημα τοῦτό μου R. 529. ἐν γὰρ οἱ χθονὶ πηκτὸν τόδ' ἔγκος περιπετὲς κατηγορεῖ Aj. 906.

Κατήγορος. ξυνηγορεῖς σιγῶσα τῷ κατηγόρῳ T. 816.

Κατήκοος. γονὰς κατηκόους A. 642.

Κατηρεφής. ἐν κατηρεφεῖ τύμβῳ A. 885. ἐν κατηρεφεῖ πέτρᾳ P. 272. ἐν κατηρεφεῖ στέγῃ E. 381.

Κατίστασθαι. εἰ κάτισθ' ὅπου R. 926. εὖ γέ τοι κάτισθι A. 1064.

Κατισχύειν. ἐξ οὗ τροφῆς ἔληξε καὶ κατίσχυσεν δέμας C. 346.

Κατοικεῖν. ζητοῦσα τὴν σὴν, ποῦ κατοικοίης, τροφὴν C. 362. Ἀθῆνας, ὡς κατῴκηνται καλῶς C. 1004. ἀνὴρ κατοικεῖ τούσδε τοὺς τόπους P. 40.

Κατοικίζειν. χάρᾳ δ' ἔμπαλιν κατοικιῶ C. 637. ψυχήν τ' ἀτίμως ἐν τάφῳ κατῴκισας A. 1069.

Κατοικτείρειν. κατοικτείρων ἕδραν R. 13.

Κατοικτίζειν. τοὺς δὲ σοὺς θεοὶ πόνους κατοικτιοῦσι C. 384. ἐπάξιος μὲν Οἰδίπους κατοικτίσαι C. 461. πῶς δῆτ' ἀφῆκας τῷ γέροντι τῷδε σύ; Κατοικτίσας, ὦ δέσποτα R. 1178. ἔπη κατοικτίσαντα C. 1282.

Κατοκνεῖν. μὴ κατοκνήσῃς κτανεῖν E. 956.

Κατοπτεύεσθαι. μὴ πρὸς ἐχθρῶν του κατοπτευθεὶς πάρος ῥιφθῶ κυσὶν Aj. 829. μὴ κατοπτευθῶ παρὼν Aj. 124.

Κατορθοῦν. ἆρ' ἔτ' ἐμψύχου, τέκνα, κιχήσεταί μου, καὶ κατορθοῦντος φρένα; C. 1487. σμικροὶ λογοὶ ἔσφηλαν ἤδη καὶ κατώρθωσαν βροτοὺς E. 416.

Κατουρίζειν. καὶ τάδ' ὀρθῶς ἔμπεδα κατουρίζει T. 829.

Κάτοχος. οὐ μὴ 'ξεγερεῖς τὸν ὕπνῳ κάτοχον T. 980.

Κάτω. ὁ δὲ θανὼν κεύθει κάτω γῆς R. 968. τὰν παγκευθῆ κάτω νεκρῶν πλάκα C. 1563. δεῖ μ' ἀρέσκειν τοῖς κάτω A. 75. ἃ τοῖς ἀρίστοις ἔρχεται κάτω νεκροῖς A. 197. ξύνοικος τῶν κάτω θεῶν Δίκη A. 451. εἰ κάτω 'στὶν εὐαγῆ τάδε A. 521. κάτω νῦν ἐλθοῦσ', εἰ φιλητέον, φίλει κείνους A. 524. Ἅιδης χοἰ κάτω ξυνίστορες A. 542. κάτω στρέψας ναυτίλλεται A. 716. ἀνθ' ὧν ἔχεις μὲν τῶν ἄνω βαλὼν κάτω A. 1068. εὐνῆς ἀποιμώζοντα τῆς κάτω φθορὰν A. 1224. μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ Aj. 571. αὐτὸ νὺξ Ἅιδης τε σωζόντων κάτω Aj. 660. τά δ' ἀλλ' ἐν Ἅιδου τοῖς κάτω μυθήσομαι Aj. 865. μηδέ σ' ἐκ γόων ποτὲ τῶν νῦν ἀπαλλάξειαν οἱ κάτω θεοὶ E. 292. οἷα τοῖς κάτω νομίζεται E. 327. ὡς ξὺν σοὶ κάτω ναίω τὸ λοιπὸν E. 1166.

Κάτωθεν. ἔχεις δὲ τῶν κάτωθεν ἐνθάδ' αὖ θεῶν ἄμοιρον νέκυν A. 1070. ἄνωθεν, ἢ κάτωθεν; P. 28.

Κατῶρυξ. κρύψω πετρώδει ζῶσαν ἐν κατώρυχι A. 774. κόρην μὲν ἐκ κατώρυχος στέγης ἄνες A. 1100.

Καῦμα. καὶ καῦμ' ἔθαλπε A. 417. πολλοῖσι δ' ὄμβροις, ἡλίου τε καύμασιν, μοχθοῦσα C. 350.

Κέαρ. ὥστ' ἐκπλαγῆναι τοὐμὸν ἡδονῇ κέαρ T. 629. τοὐμὸν παριεὶς καὶ κα-

ταμβλύνων κέαρ R. 688. τοὐμὸν εἰ τέρψεις κέαρ T. 1248. εὔχου τελεῖσθαι τοὐμὸν ὧν ἐρᾷ κέαρ Aj. 687. τοὐμὸν οὐκ ὀκνεῖ κέαρ C. 655.

Κεδνός. οὔπω τι κεδνὸν ἔσχον Ἀργείων πάρα Aj. 663.

Κειμήλιον. κειμήλι' αὐτῇ ταῦτα σωζέσθων κάτω E. 438.

Κείρειν. πολλὴν μὲν ὕλην τῆς βαθυρρίζου δρυὸς κείραντα T. 1197. εἰσπεσὼν ἔκειρε πολύκερων φόνον Aj. 55.

Κεῖσε. ἐν ᾧ τὸ κεῖσε δεῦρό τ' ἐξορμώμεθα T. 930. εἶμι κἀγὼ κεῖσε Aj. 810.

Κεῖσθαι. νηλέα δὲ γένεθλα κεῖται ἀνοίκτως R. 182. κεῖται παρ' Ἅιδῃ Πόλυβος R. 972. ἐν ὑμῖν ὡς θεῷ κείμεθα τλάμονες C. 248. ἐν τῷ δὲ κεῖσαι τοῦ μόρου τεκμηρίῳ; C. 1509. οὗ τὰ Θησέως Περίθου τε κεῖται πίστ' ἀεὶ ξυνθήματα C. 1594. ἐν οἷς κεῖται τόποις C. 1523. κεῖται δὲ νεκρὸς περὶ νεκρῷ A. 1240. τοιόνδε κεῖται προπετὲς T. 703. Αἴας θολερῷ κεῖται χειμῶνι νοσήσας Aj. 207. Αἴας ὅδ' ἡμῖν ἀρτίως νεοσφαγὴς κεῖται Aj. 899. κεῖται ὁ δυστράπελος δυσώνυμος Αἴας Aj. 914. κεῖμαι δ' ἀμέριμνος οὕτως Aj. 1207. τόπον προσιδεῖν ἐθέλεις ὅντινα κεῖται P. 145. πάντων ἄμορος ἐν βίῳ κεῖται μοῦνος ἀπ' ἄλλων P. 183. σοὶ δὲ πλουσία τράπεζα κείσθω E. 363. ἡ δ' ὠφέλησις τίς θύραισι κειμένου; C. 401. τὸ πάλαι κείμενον ἤδη κακὸν ἐπεγείρειν C. 510. τίς φονεύει; τίς δ' ὁ κείμενος; A. 1174. ἐν οὖν ῥοπῇ τοιᾷδε κειμένῳ, τέκνον, οὐκ εἶ ξυνέρξων; T. 82. ἐν τοιᾷδε κείμενος κακῇ τυχῇ Aj. 323. φιλοῦσι πάντες κειμένοις ἐπεγγελᾶν Aj. 989. οὓς νῦν σὺ τοιοῖσδ' ἐν πόνοισι κειμένους ὠθεῖς ἀθάπτους Aj. 1306. ἐν Ἅιδου κείμενος E. 463. γᾶς ὑπαὶ κείμενοι E. 1418. τί γὰρ ἢ Λαβδακίδαις, ἢ τῷ Πολύβου νεῖκος ἔκειτο; R. 490. ἔνθ' ἔκειτο νηλεὲς κυνοσπάρακτον σῶμα Πολυνείκους A. 1197. ἔκειτο πόλλ' ἀναστένων T. 941. ὅπλων ἔκειτ' ἀγὼν πέρι Aj. 937. οὐδ' ἔσθ' ὅπου σοὶ τόνδε κοσμῆσαι πλέον ἀρχῆς ἔκειτο θεσμὸς, ἢ καὶ τῷδε σὲ Aj. 1104. κεῖνος μὲν οὖν ἔκειτο P. 359. ὅπως θανὼν ἔκεισο τῇ τόθ' ἡμέρᾳ E. 1134. ἅ σοι γήρως ἄλυπα τῇδε κείσεται πόλει C. 1519. φίλη μετ' αὐτοῦ κείσομαι A. 73. ἐκεῖ γὰρ αἰεὶ κείσομαι A. 76. εἰ ταῦτ' ἀνατεὶ τῇδε κείσεται κράτη A. 485. ὁ μὲν θανὼν γᾶ τε καὶ οὐδὲν ὢν κείσεται τάλας E. 245.

Κέκλεσθαι. πρῶτά σε κεκλόμενος R. 159.

Κέλαδος. δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς πώλοις E. 737.

Κελαινός. κελαινὰν θῖνα A. 590. κελαιναὶ νᾶες A. 954. κελαινὰ βλέφαρα A. 1302. κελαινὰ λόγχα T. 858. κελαινοῖς ξίφεσι Aj. 231.

Κελαινώπης. κελαινώπαν θυμὸν Aj. 954.

Κελεύειν. κελεύω πάντα σημαίνειν R. 226. ἐπεὶ κελεύεις κἀξαναγκάζεις T. 1260. σιγᾶν κελεύω P. 865. βᾶθι νυν, ὦ τάλαν, ὥς σε κελεύομεν P. 1196. ἐῶ, κελεύω, θῦε E. 632. τί γὰρ κελεύεις, ὧν ἐγὼ φερέγγυος E. 942. ἐκέλευσ' ἐμοί σε, ποῦ κυρῶν εἴης, φράσαι P. 544. οὔτ' ἂν κελεύσαιμι A. 69. οὐδ' ἂν κελεύσαιμ' εὐσεβεῖν ἐς τοὺς κακοὺς A. 731. ἀνδρῶν ὕπο πάντων κελευσθεὶς C. 738.

Κέλευθος. ὅτ' ἦν κελεύθου τῆσδ' ὁδοιπορῶν πέλας R. 801. πολλὰ κέλευθος ἐρατύει C. 164. μακρὰ κέλευθος C. 303. οἴ μοι κελεύθου C. 1399. τοῖς τυφλοῖσι γὰρ αὕτη κέλευθος ἐκ προηγητοῦ πέλει A. 990. δυστυχεστάτην κέλευθον ἕρπω τῶν παρελθουσῶν ὁδῶν A. 1213. κέλευθον ἀνὴρ οὐδαμοῦ δηλοῖ A. 878. τίνα κέλευθον ἕρπεις ὧδε σὺν σπουδῇ ταχύς; P. 1223. ὅρια κελεύθου τῆσδε γῆς προαστίας Phrixus I. ὦ τρεῖς κέλευθοι R. 1398. κελεύθων ἐν πολυσχίστων μιᾷ ἔστη C. 1592. ἄρκτου στροφάδες κέλευθοι T. 131. ὦ δεινοτάτας πεμφθεὶς κελεύθους E. 1163.

Κέλευσμα. τάδ' ἐξ ἀθύμου δεσπότου κελεύσμασιν ἠθροῦμεν A. 1219.

Κέλλειν. πρὸς γῆν τήνδ' ἐκέλσαμεν μόλις βρυχώμενον γόοισιν T. 806.

Κένανδρος. πόλιν κένανδρον C. 917.

Κενός. ξὺν ἀνδράσιν κάλλιον ἢ κενῆς κρατεῖν R. 55. τοῦ νοῦ κενὸν C. 931. κενῆς εὐνῆς λέχος ὀρφανὸν A. 424. οὗτοι διαπτυχθέντες ὤφθησαν κενοὶ A. 709. τίς δ' ἔστ' ἀπειλὴ, πρὸς κενὰς γνώμας λέγειν; A. 753. κλαίων φρενώσεις, αὐτὸς ὢν φρενῶν κενὸς A. 754. κενὸν γὰρ οὐ δίκαιά σε χωρεῖν T. 495.

ἐξόδους ἕρπειν κενὰς Aj. 287. κενὴν οἴκησιν ἀνθρώπων δίχα P. 31. κεναῖς δ' ἐφίσταμαι τραπέζαις E. 192. θυμῷ ματαίῳ μὴ χαρίζεσθαι κενὰ E. 331. μή πω νοῦ τοσόνδ' εἴην κενὴ E. 403. δραστέον τοὔργον τόδ', οὐ γὰρ μὴ κενόν γ' ἀφήσομεν E. 1020. πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κενὰ E. 1054. ἐλπίσιν κεναῖς E. 1460. φροντίδες κεναὶ Scyr. V. 2. κενὴ τέρψις Teucr. III. 2. οἰνωθεὶς ἀνὴρ νοῦ κενὸς I. T. XIV. 2.

Κενοῦσθαι. ὑφ' οὗ κενοῦται δῶμα Καδμεῖον R. 29.

Κένταυρος. ὁ θὴρ Κένταυρος T. 682. 1164. Κενταύρου δολοποιὸς ἀνάγκα T. 833. Νέσσος πάλαι Κένταυρος ἐξέπεισέ νιν T. 1143.

Κεντεῖν. ξὺν δόλῳ κεντήσετε Aj. 1243.

Κέντρον. εἰ μή τι κέντρον θεῖον ἦγ' ὑμᾶς P. 1039. κάρα διπλοῖς κέντροισί μου καθίκετο R. 809. κέντρων τῶνδ' οἴστρημα R. 1318. αἰκίζει νιν ὑποφόνια δολόμυθα κέντρα T. 841. 'φείδοντο κέντρων οὐδὲν E. 716. κωτίλος δ' ἀνὴρ λαβὼν πανοῦργα κέντρα Phædra III. 4.

Κέντρων. μαστιγίαι, κέντρωνες ἀλλοτριοφάγοι Cedalio III.

Κέρας. πάταγος ταυρείων κεράτων T. 519. ῥηγνὺς χρυσόδετον κέρας Thamyr. III. 1. ἐκπιὼν τι χρύσεον κέρας I. Pandora 1.

Κεράστης. κεράστην ἔλαφον E. 568.

Κερασφόρος. κερασφόρους στόρθυγγας Aloadæ XII. 3.

Κεραύνιος. ματρὶ σὺν κεραυνίᾳ A. 1139. πατέρ' ἔχων κεραυνίου νώτου καταστάζοντα βύσσινον φάρος Laoc. III. 2.

Κεραυνός. ὑπὸ σῷ φθίσον κεραυνῷ R. 202. Διὸς κεραυνὸς C. 1502. πυρφόρος θεοῦ κεραυνὸς C. 1659. ἐγκατάσκηψον βέλος, πάτερ, κεραυνοῦ T. 1090. ποῦ ποτε κεραυνοὶ Διός; E. 823.

Κερδαίνειν. οὐκ ἐξ ἅπαντος δεῖ τὸ κερδαίνειν φιλεῖν A. 312. ἄνδρα γὰρ καλῶς πράσσοντ' ἀνάγκη χρηστὰ κερδαίνειν ἔπη T. 231. δίκαι' ἐπαίνει, τοῦ δὲ κερδαίνειν ἔχου Aethiopes I. 3. τοῦ γε κερδαίνειν ὅμως ἀπρὶξ ἔχονται Creusa IV. 3. εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως R. 889. ἢ 'κέρδαναν ἢ διώλεσαν Scyr. IV. 6. ἀπῇξ, ὅπως πρὸς σοῦ τι κερδάναιμι T. 191. ὡς ἂν προσαρκῶν σμικρὰ κερδάνῃ μέγα C. 72. πρὶν ἄν τί δράσῃς, ἢ τί κερδάνῃς πλέον; Aj. 107. κερδαίνετ', ἐμπολᾶτε A. 1037.

Κέρδιστος. πρὸς τὸ κέρδιστον τραπεὶς γνώμης Aj. 743.

Κέρδος. τὸ γὰρ κέρδος τελῶ 'γὼ R. 232. εἰ μὴ τὸ κέρδος κερδανεῖ δικαίως R. 889. ποῖον δὲ κέρδος ἀξιοῖς ἥκειν φέρων; C. 579. τί σοὶ πάτραν κατασκάψαντι κέρδος ἔρχεται; C. 1420. ὑπ' ἐλπίδων ἄνδρας τὸ κέρδος πολλάκις διώλεσεν A. 222. εἰδότες τὸ κέρδος ἔνθεν οἰστέον A. 310. εἰ δὲ τοῦ χρόνου πρόσθεν θανοῦμαι, κέρδος αὔτ' ἐγὼ λέγω A. 462. πῶς ὅδ' οὐχὶ κατθανὼν κέρδος φέρει; A. 464. τὸ μανθάνειν ἥδιστον εὖ λέγοντος, εἰ κέρδος φέροι A. 1032. ὅταν λόγους αἰσχροὺς καλῶς λέγωσι τοῦ κέρδους χάριν A. 1047. εἴ τι κέρδος ἐν κακοῖς A. 1326. καὶ γὰρ ὑστέρῳ τό γ' εὖ πράσσειν, ἐπεὶ πύθοιτο κέρδος ἐμπολᾷ T. 93. ὅσον ἦν κέρδος σιγῇ κεύθειν T. 990. ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει P. 111. κέρδος δέ μοι τί τοῦτον ἐς Τροίαν μολεῖν; P. 112. οὐδ' ὅποι πλέων ἐξεμπολήσει κέρδος P. 303. τὸ κείνων κακὸν τῷδε κέρδος μετατιθέμενος P. 513. δοκῶ γὰρ οὐδὲν ῥῆμα σὺν κέρδει κακὸν E. 61. τί μοι κέρδος γένοιτ' ἂν τῶνδε ληξάσῃ γόων; E. 353. λόγοις ἔνεστιν ἀμφοῖν κέρδος E. 370. προνοίας οὐδὲν ἀνθρώποις ἔφυ κέρδος λαβεῖν ἄμεινον E. 1016. μέγ' εὑρεῖν κέρδος E. 1305. τοῦ χρόνου κέρδος E. 1486. ἔχειν τι κέρδος ἐμφανὲς θεῶν πάρα Alet. VII. 7. τοῦ κέρδους ὧδ' ἀντέχεσθαι Creusa IV. 1. προμηθία γὰρ κέρδος ἀνθρώποις μέγα I. T. XXX. 3. τὸ κέρδος ἡδὺ I. T. LVIII. 4. ἐν τοῖς κέρδεσιν μόνον δέδορκε R. 388. κέρδη μὲν οἰκίσαντα τοῖς δεδεγμένοις C. 92. τὰ δὲ κέρδη παρ' αὐτοῦ κρείσσον' ἢ μορφὴ καλὴ C. 578. τὰ δειλὰ κέρδη πημονὰς ἐργάζεται A. 326. μὴ 'πὶ κέρδεσιν λέγων A. 1061. μὴ χαίρ', 'Ατρείδη, κέρδεσιν τοῖς μὴ καλοῖς Aj. 1349. δεινὰ μὲν, κέρδη δὲ E. 766.

Κερκίς. κερκίδων ἀκμαῖσι A. 976. ἀδαμαντίναις ὑφαίνεται κερκίσιν Αἶσα Phædra I. 4.

Κερόεις. κεροῦσσ' ἔλαφος Aloadæ XII. 1.

Κερουλκός. φίλιπποι καὶ κερουλκοὶ I. T. LXX. 4.

Κερτομεῖν. πότερα δὲ κερτομῶν λέγεις τάδε; P. 1235.

Κερτόμησις. εἰ κερτόμησίς ἐστι τἀληθῆ λέγειν P. 1236.

Κερτόμιος. κερτομίοις ὀργαῖς A. 956. κερτομίοις γλώσσαις A. 962.

Κέστρα. κέστρᾳ σιδηρᾷ πλευρὰ καὶ κατὰ ῥάχιν ἤλαυνε παίων Aegeus III. 1.

Κεύθειν. ὁ δὲ θανὼν κεύθει κάτω γῆς R. 968. ὅσα στέγη κεύθει κακὰ R. 1229. κρυφῇ δὲ κεῦθε A. 85. ὅσον ἦν κέρδος σιγῇ κεύθειν T. 991. κακὸν τό κεύθειν κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς Aloadæ II. κρείσσων γὰρ Ἅιδᾳ κεύθων, ἢ μάτην νοσῶν Aj. 634. φράζε μηδενὶ, μήθ' οὗ κέκευθε, μήτ' ἐν οἷς κεῖται τόποις C. 1523. ξένος ἄτερ ἐμῶν χερῶν κέκευθε E. 868. εἴπερ τόδε κέκευθεν αὐτὸν τεῦχος E. 1120. μητρός τ' ἐν Ἅιδου, καὶ πατρὸς κεκευθότοιν, οὐκ ἔστ' ἀδελφὸς ὅστις ἂν βλάστοι ποτὲ A. 911.

Κεῦθος. εἰς τόδ' ἀπέρχει κεῦθος νεκύων A. 818.

Κεφαλή. κεφαλὴν καὶ γλῶσσαν ἄκραν ῥιπτεῖ θερίσας Aj. 238.

Κεφαλλήν. Κεφαλλήνων ἄναξ P. 264. ὦ ξένε Κεφαλλὴν P. 791.

Κηδεμών. τοῦδε γὰρ σὺ κηδεμὼν A. 549. δίχα κηδεμόνων ἃ πονεῖ P. 195.

Κήδεσθαι. εἴπερ τι τοῦ σαυτοῦ βίου κήδει R. 1061. εἴ τινος κήδει πέρι P. 621. παρ' οὐδὲν τοῦ βίου κήδεσθε E. 1327. οἱ κηδόμενοι τοῦ Τελαμῶνος τηλόθεν οἴκου Aj. 203. μή του κηδομένου βροτῶν P. 170. οἰωνοὺς τροφᾶς κηδομένους E. 1060.

Κηδεύειν. ἔτι γὰρ ὑπομένεις ἐμὲ τὸν τυφλὸν κηδεύων R. 1234. ἀεί σε κηδεύουσα C. 750. τοῦτο κήδευσον λέχος T. 1229. ἐν ξένῃσι χερσὶ κηδευθεὶς E. 1141.

Κήδευμα. ἄναξ, ἐμὸν κήδευμα, παῖ Μενοικέως R. 85.

Κῆδος. προσλαμβάνει κῆδός τε καινὸν καὶ φίλους C. 379.

Κηκίειν. φοίνιον τόδ' ἐκ βυθοῦ κηκῖον αἷμα P. 784. κηκιομέναν αἱμάδ' ἑλκέων P. 697.

Κηκίς. ἐπὶ σποδῷ μυδῶσα κηκὶς μηρίων ἐτήκετο A. 1008.

Κηλητήριον. ἔσται φρενός σοι τοῦτο κηλητήριον τῆς Ἡρακλείας T. 575.

Κηλίς. ἰδεῖν κηλῖδ' ἐμαυτῷ ξυμφορᾶς ἀφιγμένην R. 833. τοιάνδε κηλῖδα μηνύσας R. 1384. ᾧ τις οὐκ ἔνι κηλὶς κακῶν ξύνοικος C. 1137. κηλῖδας ἐξέμαξεν E. 445.

Κηναῖος. Κηναίῳ Διῒ T. 238. ὦ Κηναία κρηπὶς βωμῶν T. 995.

Κῆπος. ἀντίπλευρον κῆπον Εὐβοίας νέμειν Aeg. I. 3. Φοίβου τε παλαιὸν κῆπον I. T. XCIII. 3. ἐν Διὸς κήποις ἀροῦσθαι μόνον εὐδαίμονας ὄλβους Ion I. 1.

Κήρ. δειναὶ δ' ἅμ' ἕπονται κῆρες R. 472. μένει γὰρ οὔτ' αἰόλα νὺξ βροτοῖσιν, οὐδὲ Κῆρες T. 133. ἐλευθέρῳ ψευδεῖ καλεῖσθαι κὴρ πρόσεστιν οὐ καλὴ T. 454. νοσῶν κῶλον παλαιᾷ κηρὶ P. 42. εὖ γνῶθ', ὅτι σοι κῆρα τάνδ' ἀποφεύγειν P. 1166.

Κηρόπλαστος. κηρόπλαστον ὄργανον Polyid. IV. 5.

Κήρυγμα. τῷ κηρύγματι ᾧπερ προεῖπας ἐμμένειν R. 350. πόλει κήρυγμα θεῖναι A. 9. κοινῷ κηρύγματι πέμψας A. 161. οὐδὲ σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ κηρύγματα A. 454. ᾔσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων E. 683.

Κῆρυξ. ἐν δ' αὐτοῖσιν ἦν κῆρυξ R. 753. κῆρυξ τέ μοι ξυνηντίαζε R. 802. θροεῖ Λίχας ὁ κῆρυξ ταῦτα T. 189. χαίρειν δὲ τὸν κήρυκα προὐννέπω T. 227. ὄρνιθα καὶ κήρυκα καὶ διάκονον Anten. II. αὐτοὶ θεοὶ κήρυκες ἀγγέλλουσί μοι C. 1511. πλείους δεῦρο κήρυκας λαβὼν, καὶ τὸν στρατηγὸν, ἧκε Aj. 115.

Κηρύσσειν. κακὴν κήρυσσέ μ' εἰς ἅπαντας E. 606. τὸν ἄγχιστόν γε κηρύσσειν χρεὼν E. 1105. ἐὰν μὴ πᾶσι κηρύξῃς τάδε A. 87. Ἅλιον αἰτῶ τοῦτο καρύξαι T. 97. τῶν Ἀχιλλείων ὅπλων ἀγῶνας Ἀργείοισι κηρύξαι Aj. 1240. τοιαῦτά φασι κηρύξαντ' ἔχειν A. 32. ἀδελφὰ τῶνδε κηρύξας ἔχω ἀστοῖσι A. 192. οὐ γάρ τί μοι Ζεὺς ἦν ὁ κηρύξας τάδε A. 450. εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω I. T. LXXXV. 2. πολὺν ἀγῶνα πανξένοις κηρύσσεται λέβητας ἐκτιθεὶς φέρειν Acris.

XI. 1. ᾔδεις τὰ κηρυχθέντα; A. 447. ἐκηρύχθην φυγὰς C. 430.

Κηφισός. κρῆναι Κηφισοῦ νομάδες ῥεέθρων C. 687.

Κίναδος. ἢ τοὐπίτριπτον κίναδος ἐξῄρου μ' ὅπου; Aj. 103.

Κινδύνευμα. ποῖον τὸ κινδύνευμα; A. 42. ἐπὶ ξένης ἤθλησα κινδυνεύματ' ἐν τῷ 'μῷ καρᾷ C. 564.

Κινεῖν. κινεῖ γὰρ ἀνὴρ ὄμμα, κἀνάγει κάρα P. 866. ἡλίου σέλας ἑῷα κινεῖ φθέγματ' ὀρνίθων E. 18. οὐ γὰρ αὐδᾷν ἡδὺ τἀκίνητ' ἔπη. Κίνει. μόνον δὲ μὴ 'πὶ κέρδεσιν λέγε A. 1061. ἴδια κινοῦντες κακὰ R. 636. ἐγερτὶ κινῶν ἄνδρ' ἀνὴρ ἐπιῤῥόθοις κακοῖσιν A. 413. μηδέ σε κινησάτω τις; Aj. 1181. μὴ κινήσῃς ἀγρίαν ὀδύναν T. 975. πειράσατ' ἀλλ' ὑμεῖς γε κινῆσαι πατρὸς στόμα C. 1276. πρόδρομον ὀξυτέρῳ κινήσασα χαλινῷ A. 109. οἵδε κινοῦνται λόχοι πρὸς ἄστυ Θήβης C. 1371. αἰγείρου κάρα κινεῖτ' ἐν αὔραις Aeg. VI. 3. ποντία θύελλα κινηθεῖσα C. 1660.

Κισσήρης. κισσήρεις ὄχθαι Νυσαίων ὀρέων A. 1132.

Κισσός. τὸν οἰνῶπ' ἀνέχουσα κισσὸν C. 674. τὰν, κισσὸς ὡς ἀτενὴς, πετραία βλάστα δάμασεν A. 826. ὁ κισσὸς ἄρτι βακχίαν ὑποστρέφων ἅμιλλαν T. 219.

Κίστη. κίσται ῥιζῶν κρύπτουσι τομὰς Rhiz. II. 2.

Κιχάνειν. εἴ τι μοῖρα μὴ κιχάνοι C. 1450. μητρῴαν δ' ὅπου κίχοι διπλῆν ἄρουραν οὗ τε καὶ τέκνων R. 1257. μέχρις οὗ μυχοὺς κίχωσι τοῦ κάτω θεοῦ Aj. 571. χῶρον ἔνθ' ἂν ἀστιβῆ κίχω Aj. 657. ἆρ' ἔτ' ἐμψύχου κιχήσεταί μου καὶ κατορθοῦντος φρένα; C. 1487.

Κίων. δεθεὶς πρὸς κίον' ἑρκείου στέγης Aj. 108. τὸν δ' ὀρθὸν ἄνω κίονι δήσας Aj. 240.

Κλάδος. ἱκτηρίοις κλάδοισιν ἐξεστεμμένοι R. 3. ἱκτῆρας κλάδους ἄραντες R. 143.

Κλάζειν. τί σκοποῖτό τις κλάζοντας ὄρνις R. 966. ὀξέα κλάζων, αἰετὸς ἐς γᾶν ὣς, ὑπερέπτα A. 112. ὄρνιθας κακῷ κλάζοντας οἴστρῳ A. 1002.

Κλαίειν. κατὰ στέγας κλαίω E. 283. εἴπερ τι κλαίεις τῶν 'Ορεστείων κακῶν E. 1117. ὁ χρυσὸς ἧσσον κτῆμα τοῦ κλαίειν ἂν ἦν Scyr. VI. 3. κλαίων δοκεῖς μοι καὶ σὺ χὠ ξυνθεὶς τάδε ἁγηλατήσειν R. 401. πρὸς χάριν μὲν οὐκ ἐρεῖς, κλαίων δ' ἐρεῖς R. 1152. κλαίων φρενώσεις A. 754. ὥστε παρθένος βέβρυχα κλαίων T. 1074. εἰ μὲν ἦν κλαίουσιν ἰᾶσθαι κακά Scyr. VI. 1. κλαίουσα τὴν πάρος φόβην Tyro XV. 10. ἐς δὲ γούνατα πατρὸς πεσοῦσαι ἔκλαιον C. 1608. λύγδην ἔκλαιον πάντες C. 1621. κατὰ δὲ τακόμενοι μέλεοι μελέαν πάθαν ἔκλαιον A. 979. ἔκλαιε δ' ὀργάνων ὅτου ψαύσειεν T. 907. ἔκλαιεν ἡ δύστηνος εἰσορωμένη T. 911. γένος τὸ πᾶν ὁμοῦ ξὺν τῇδε κλαύσω κἀποδύρωμαι σποδῷ E. 1122. οὐδὲ γὰρ κλαῦσαι πάρα τοσόνδε E. 285. κεκλαυμέναι πρὸς οἶκον ἵξεσθε R. 1490. πάθη μὲν πόλλ' ἐκλαυσάμην T. 153.

Κλαῦμα. τοῖσιν ἄγουσι κλαύμαθ' ὑπάρξει βραδυτῆτος ὕπερ A. 932. ἴσως ἂν ἐκτὸς κλαυμάτων ἔχοις πόδα P. 1260.

Κλαυστός. οὐ κλαυστὰ δ' ἐστὶν ἀλλ' ἐμοὶ μὲν οἰστέα τάδε C. 1360.

Κλείειν. βλέφαρον κέκλεισται Phineus II.

Κλεῖθρον. κλεῖθρον γὰρ οὐδὲν I. T. XVIII. 2.

Κλεινὸς. κλεινὸς Οἰδίπους R. 8. κλεινὸν Οἰδίπου κάρα R. 1207. τὰ κλείν' αἰνίγματα R. 1525. σοφίᾳ γὰρ ἔκ του κλεινὸν ἔπος πέφανται A. 621. κλεινὴ καὶ ἔπαινον ἔχουσα A. 817. κλεινοῖς Λαβδακίδαισι A. 862. κλεινὸν λέχος A. 1303. ὁ κλεινὸς ἦλθε Ζηνὸς 'Αλκμήνης τε παῖς T. 19. ὁ κλεινὸς Αἴας Aj. 216. ὦ κλεινὰ Σαλαμὶς Aj. 596. κλειναί τ' 'Αθῆναι Aj. 861. ὅδ' ἔσθ' ὁ κλεινός σοι Φιλοκτήτης, ξένε P. 575. ἦ ταῦτα γὰρ τὰ κλεινὰ τόξα; P. 654. Ἥρας ὁ κλεινὸς ναὸς E. 8. κλεινὰ γᾶ Μυκηναίων E. 160. τὸ κλεινὸν 'Ελλάδος πρόσχημ' ἀγῶνος E. 681. κλεινὸν 'Ελλάδος στράτευμα E. 694. κλεινὸν εἶδος 'Ηλέκτρας E. 1177. κλεινοῖς ἐν 'Αθηναίων πάγοις Camic. II. 2. βροτοῖς κλεινὴν Νῦσαν I. T. XCIV. 2.

Κλέος. πόθεν κλέος γ' ἂν εὐκλεέστερον κατέσχον; A. 502. δίχα κείνων πέποιθα τοὔτ' ἐπισπάσειν κλέος Aj. 769.

οὐδὲ τῶν ἐμῶν κακῶν κλέος ᾔσθου ποτ' οὐδὲν P. 251. κλέος ὑπέρτατον λαβεῖν P. 1347. σωθῶ τε κἀξενέγκωμαι κλέος E. 59. ὥστε μὴ 'κλιπεῖν κλέος E. 985. μικροῦ δ' ἀγῶνος οὐ μέγ' ἔρχεται κλέος I. T. XX. 2.

Κλέπτειν. εἰ μὴ ξυμφοραὶ κλέπτουσί με T. 243. ὑποβαλλόμενοι κλέπτουσι μύθους οἱ μεγάλοι βασιλῆς Aj. 188. λόγῳ κλέπτοντες E. 55. ἐμφανῶς ἐφευρέθη κλέπτων I. T. XV. 1. ὅτε μου τὰ τόξ' ἔκλεπτες P. 1272. πόλλ' ἂν κακῶς λάθρα σὺ κλέψειας κακὰ Aj. 1137. ὅταν παρῇ κλέψαι τε, χἀρπάσαι βίᾳ P. 644. δόλοισι κλέψαι χειρὸς ἐνδίκους σφαγὰς E. 37. ἀφ' ἧς σὺ κλέψας ἱκέτην ἐμὲ αὐτὸν τ' ἐχειροῦ, τὰς κόρας τ' οἴχει λαβὼν C. 1008. ἐκ χερῶν κλέψασ' Ὀρέστην τῶν ἐμῶν ὑπεξέθου E. 297. χεροῖν κλέψασα ταῖνδε E. 1133. ἢ θεοῖσι κλέπτομαι A. 1218. εἰ μὴ τῷ χρόνῳ κεκλέμμεθα A. 681.

Κλεπτέος. τόδ' οὐχὶ κλεπτέον P. 57.

Κλέπτης. κλέπτης γὰρ αὐτοῦ ψηφόποιος εὑρέθης Aj. 1135.

Κληδών. τί κληδόνος καλῆς μάτην ῥεούσης ὠφέλημα γίγνεται; C. 258. κληδὼν ὧδ' ἔχοντος P. 255. οὐκ οἶδα τὴν σὴν κληδόνα E. 1110.

Κλῄζειν. ὡς σὲ νῦν μὲν ἥδε γῆ σωτῆρα κλῄζει R. 48. Φωκὶς μὲν ἡ γῆ κλῄζεται R. 733. κλῄζεται οὑμὸς Κιθαιρὼν οὗτος R. 1451. ἔνθα κλῄζεται θυτὴρ T. 661. οἱ φύσαντες καὶ κληζόμενοι πατέρες T. 1269. Ἀσία μὲν ἡ ξύμπασ' ἐκλῄζετο Mys. III. 1. κείνου γε παῖς ἐκλῄζετο R. 1171.

Κλῇθρον. ἐκ δὲ πυθμένων ἔκλινε κοῖλα κλῇθρα R. 1262. βοᾷ διοίγειν κλῇθρα R. 1287. κλῇθρα γὰρ πυλῶν τάδε διοίγεται R. 1294. τυγχάνω γὰρ κλῇθρ' ἀνασπαστοῦ πύλης χαλῶσα R. 1106.

Κληματοῦσθαι. πρῶτα μὲν λαμπρᾶς ἕως κεκλημάτωται χῶρος Thyest. VI. 4.

Κλῆρος. κλῆρος ἐνθάδ' οὐκ ἐπάλλετο A. 396. οὐ δραπέτην τὸν κλῆρον ἐς μέσον καθεὶς Aj. 1285. κλήρους ἔπηλαν οἱ τεταγμένοι βραβῆς E. 710.

Κληροῦχος. μητέρα πολλῶν ἐτῶν κληροῦχον Aj. 508.

Κλῄς. ὧν χρυσέα κλῂς ἐπὶ γλώσσᾳ βέβακε προσπόλων Εὐμολπιδᾶν C. 1052. παῖσον ἐμᾶς ὑπὸ κλῇδος T. 1037.

Κλίμαξ. ἦν δ' ἀμφίπλεκτοι κλίμακες T. 520.

Κλίνειν. ἡμέρα κλίνει τε κἀνάγει πάλιν ἅπαντα τἀνθρώπεια Aj. 131. πᾶ μου ψαύεις; ποῖ κλίνεις; T. 1008. μηκέτι τοῦδ' ἀντιπέτρου βήματος ἔξω πόδα κλίνῃς C. 193. ἐκ δὲ πυθμένων ἔκλινε κοῖλα κλῇθρα R. 1262. ὑπτία δὲ κλίνομαι δείσασα πρὸς δμωαῖσι A. 1188. κλίνεταί γε κἀποπερκοῦται βότρυς Thyest. VI. 6. τοῖς ἐμοῖς πλευροῖς ὁμοῦ κλιθεῖσα T. 1228.

Κλισία. ἐφάλοις κλισίαις ὀμμ' ἔχων Aj. 192. ἐκ κλισίας ἀνδρῶν ἴλη κόσμον φερέτω Aj. 1406.

Κλιτύς. μολεῖν Παρνησίαν ὑπὲρ κλιτὺν A. 1144. ἵκετ' αὖθις Ἴφιτος Τιρυνθίαν πρὸς κλιτὺν T. 271.

Κλονεῖν. τόνδε κατάκρας ἆται κλονεοῦσιν ἀεὶ ξυνοῦσαι C. 1244. οὐδὲ πνευμάτων οὐδὲν κλονεῖ T. 146. ὥς τις ἀκτὰ κυματοπλὴξ χειμερία κλονεῖται C. 1241.

Κλοπή. ποδοῖν κλοπὰν ἀρέσθαι Aj. 247. κλοπῇ τε, κἀνάγκῃ ζυγεὶς P. 1024.

Κλοπεύς. φιλεῖ δ' ὁ θυμὸς πρόσθεν ᾑρῆσθαι κλοπεὺς τῶν μηδὲν ὀρθῶς ἐν σκότῳ τεχνωμένων A. 493. κλοπεὺς ὅπως γενήσει τῶν ἀνικήτων ὅπλων P. 77.

Κλύειν. οὐ δὴ κλύω ποῦ, πρὸς θεῶν, τοῖν μοι φίλοιν δακρυῤῥοούντοιν; R. 1472. κλύεις, ὦ πολυμόχθ' ἀλᾶτα; C. 165. τὰ σκληρὰ πατρὸς κλύετε τοῦδ' ἀρωμένου C. 1406. φωνῆς κλύει τις A. 1207. καὶ ποῦ κλύεις νιν, τέκνον, ἱδρύσθαι χθονός; T. 68. ἢ κλύω τινὸς οἴκτου δι' οἴκων ἀρτίως ὁρμωμένου; T. 865. δοῦπον αὖ κλύω τινά Aj. 871. ὃν κλύεις ἴσως τῶν Ἡρακλείων ὄντα δεσπότην ὅπλων P. 261. τῶδ', ὥπερ κλύεις P. 591. ἀλλ' ὅδε μὲν κλύει οὐδὲν P. 839. ἐπ' ἐξόδῳ κλύω τῶν ἔνδοθεν χωροῦντος E. 1322. ὦ παῖδε, κλυέτον τῶνδε προσχώρων ξένων; C. 493. κλύετε Μοῦσαι I. T. III. 1. ὡς μόνη κλύοις A. 19. πᾶν τοίνυν, εἰ καὶ τοῦτ' ἔτλη, κλύοι τις ἂν T. 71. εἴ ποτ' αὐτόν ἐς δόμους ἴδοιμι σωθέντ', ἢ κλύοιμι T.

612. θᾶσσον ἂν τῆς πλεῖστον ἐχθίστης ἐμοὶ κλύοιμ' ἐχίδνης, ἥ μ' ἔθηκεν ὧδ' ἄπουν P. 632. κλύοις ἂν ἤδη, Φοῖβε E. 637. τήνδ' ὅταν κλύῃ φάτιν Aj. 830. ὡς τἀπίλοιπα τῶν λόγων κλύῃς P. 24. ἤν τι καινὸν, ὧν πρὶν οὐκ ἀκήκοας, κλύῃς P. 53. ὅταν κλύῃ τινὸς ἥξοντ' Ὀρέστην E. 293. μή τις ἔνδοθεν κλύῃ E. 1138. ξύμμετρος γὰρ, ὡς κλύειν R. 84. χρῄζεις κλύειν R. 94. ταῦτα χρὴ κλύειν ἐμοῦ R. 235. ἦ ταῦτα δῆτ' ἀνεκτὰ πρὸς τούτου κλύειν; R. 429. δεινὸς μὲν ὁρᾶν, δεινὸς δὲ κλύειν C. 141. τοῦδε χρὴ κλύειν C. 1117. τί σοι τοῦτ' ἐστὶ λυπηρὸν κλύειν; C. 1176. ἅπαξ τὰ τοιαῦτ', οὐχὶ δὶς, χρῄζω κλύειν C. 1208. δικαιῶν ὥστ' ἐμοῦ κλύειν λόγους C. 1350. μηδ', ἃ μὴ θέμις, λεύσσειν δικαιοῦν, μηδὲ φωνούντων κλύειν C. 1642. ὃν πόλις στήσειε, τοῦδε χρὴ κλύειν A. 670. βούλει λέγειν τι, καὶ λέγων μηδὲν κλύειν; A. 757. οὐκ ἂν μεθεῖτο, πρὶν καθ' ἡδονὴν κλύειν T. 197. κλύειν γ' ἔφασκον T. 425. τοῦτο γὰρ λόγου πολλοῦ καλῶς λεχθέντος ἥδιστον κλύειν T. 290. οὐ γὰρ δικαιοῖς τοῦ φυτεύσαντος κλύειν T. 1246. αὐδὴν γὰρ δοκῶ Τεύκρου κλύειν Aj. 975. κἀμοὶ γὰρ αἴσχιστον κλύειν ἀνδρὸς ματαίου Aj. 1161. κλύειν τὸν ἐσθλὸν ἄνδρα χρὴ τῶν ἐν τέλει Aj. 1353. βούλομαι δέ σου κλύειν P. 1073. ἀρχὴν κλύειν ἂν οὐδ' ἅπαξ ἐβουλόμην P. 1239. φάσκειν δ' αὐδὴν τὴν Ἡρακλέους ἀκοῇ τε κλύειν P. 1412. οὐκ ἂν ἦσθα λυπηρὰ κλύειν E. 557. οὐδ' ἐπίσταται κλύειν E. 629. τῶνδ' ἀνάγκη καὶ σιωπώντων κλύειν Pastores III. 2. τἄμ' ἐὰν θέλῃς ἔπη κλύων δέχεσθαι R. 217. τοιαῦτ' ἂν ὀργίζοιτ' ἔπη κλύων R. 339. ἄκουε τἀνδρὸς τοῦδε, καὶ σκόπει κλύων R. 952. ἵν' ἦν τυφλός τε καὶ κλύων μηδὲν R. 1389. τίνων τὸ σεμνὸν ὄνομ' ἂν εὐξαίμην κλύων; C. 41. πάντ' ἐπιστήσει κλύων C. 53. κλύων σου δεῦρ' ἀφίξεται ταχὺς C. 307. ἃ δ' ἐννέπεις, κλύουσα τοῦ λέγεις; C. 412. ἀλγῶ κλύουσα ταῦτ' ἐγὼ C. 420. κλύων ἐμοῦ ἵκου πρὸς οἴκους C. 740. ὅσῳπερ καὶ σαφέστερον κλύω Φοίβου C. 792. οὗ λόγων ἐγὼ ἄλγιστ' ἂν ἀνδρῶν ἐξανασχοίμην κλύων C. 1174. ἀπὸ μαντέων ταύτῃ κλύων C. 1300. τίς δὲ τολμήσει κλύων τὰ τοῦδ' ἕπεσθαι τἀνδρός; C. 1428. τελείαν ψῆφον κλύων τῆς μελλονύμφου A. 632. γνώσει τέχνης σημεῖα τῆς ἐμῆς κλύων A. 998. ἢ κλύουσα παιδὸς, ἢ τύχῃ, πάρα A. 1182. ἐλπίσιν δὲ βόσκομαι ἄχη τέκνου κλύουσαν, ἐς πόλιν γόους οὐκ ἀξιώσειν A. 1247. τοῦδ' ἐγὼ κλύων ἀπῇξα T. 189. ἀνδρὸς εὐτυχῆ κλύουσα πρᾶξιν T. 294. μῶρος δ' ἦν πάλαι κλύων σέθεν T. 414. ζῆν γὰρ κακῶς κλύουσαν οὐκ ἀνασχετὸν T. 723. δεδορκὼς, κοὐ κατὰ γλῶσσαν κλύων T. 750. καὶ πᾶς ὁ κλύων τοῦ λέξαντος χαίρει μᾶλλον Aj. 151. οὔτε του κλύων σάλπιγγος Aj. 290. ξύν τε διπλοῖ βασιλῆς κλύοντες Aj. 959. ἃ 'γὼ κλύων δύστηνος, ἐκποδὼν μὲν ὢν, ὑπεστέναζον Aj. 1000. κλύοντές ἐσμεν αἰσχίστους λόγους Aj. 1320. ἀνδρὶ συγγνώμην ἔχω κλύοντι φλαῦρα συμβαλεῖν ἔπη κακὰ Aj. 1323. οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων, τούσδε καὶ πράσσειν στυγῶ P. 86. πῶς ποτ' ἀμφιπλήκτων ῥοθίων μόνος κλύων βιοτὰν κατέσχε; P. 688. καὶ σὺ μὴ θυμοῦ κλύων P. 922. ἀδυπνόων κλύουσαν ἀρτίως ὀνειράτων E. 480. κακῶς δέ σε λέγω κακῶς κλύουσα πρὸς σέθεν E. 524. ἵλεως κλύων δὸς E. 656. ἴσθι τοῦτ' ἐμοῦ κλύουσ' ἐναργῶς E. 877. ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία καὶ τῷ λέγοντι, καὶ κλύοντι σύμμαχος E. 991. ἀνέξομαι κλύουσα, χὤταν εὖ λέγῃς E. 1028. ξὺν βοᾷ κλύουσα E. 1204. εἰ καὶ μὴ 'κλυες τῶνδ' ἀγγέλων R. 305. ταῦτ' οὖν ἔκλυεν δαίμων ἡμῶν C. 1766. ἔκλυον ἐξηγουμένου E. 425. ἔκλυον ἂν ἐγὼ οὐδ' ἂν ἤλπισ' αὐδὰν E. 1283.

Κλύζειν. πικρῷ πικρὰν κλύζουσι φαρμάκῳ χολὴν I. T. LXVII.

Κλυταιμνήστρα. νῦν Κλυταιμνήστρα μόνη E. 1368. εἴ που κατ' οἶκόν μοι Κλυταιμνήστρα, λέγε E. 1473.

Κλυτός. ἔκγονα κλυτᾶς χθονὸς R. 172. κλυτὰν ὃς ἀμφέπεις Ἰταλίαν A. 1118. κλυτῶν ἐνάρων ψευσθεῖσα Aj. 177. ἐμπεσὼν κλυτοῖς αἰπολίοις Aj. 374.

Κλών. τρὶς ἐννέ' αὐτῇ κλῶνας ἐξ ἀμφοῖν χεροῖν τιθεὶς ἐλαίας C. 483.

ὅσα δένδρων ὑπείκει, κλῶνας ὡς ἐκσώζεται A. 713.

Κνίζειν. ὅμως δ' ἔκνιζέ μ' αἰεὶ τοῦτο R. 786.

Κνισμός. τάδ' ἐστὶ κνισμὸς καὶ φιλημάτων ψόφος Salmoneus I. 1.

Κνυζεῖσθαι. ὃν ἐν πύλαισι φασὶν εὐνᾶσθαι κνυζεῖσθαί τ' ἐξ ἄντρων C. 1571.

Κνώδαλον. ἀνημέρωσα κνωδάλων ὁδὸν Theseus I. 2.

Κνώδων. ξίφους ἕλκει διπλοῦς κνώδοντας A. 1233. πῶς σ' ἀποσπάσω πικροῦ τοῦδ' αἰόλου κνώδοντος; Aj. 1025.

Κνώσιος. Νύσια Κνώσι' ὀρχήματα Aj. 699.

Κοῖλος. κοῖλα κλῆθρα R. 1262. τὸ κοῖλον Ἄργος C. 378. 1387. κοίλου πέλας κρατῆρος C. 1593. κοίλης ἀχέρδου C. 1596. νυμφεῖον Ἅιδου κοῖλον A. 1205. κοίλῳ ζυγάστρῳ T. 694. κοῖλα δέμνια T. 903. κοίλην κάπετον Aj. 1164. ὦ κοίλας πέτρας γύαλον P. 1081. κοῖλα χρυσόκολλα καὶ πανάργυρα ἐκπώματα Acris. XI. 3.

Κοιμᾶν. φύλλον ᾧ μάλιστ' ἀεὶ κοιμῶ τόδ' ἕλκος P. 650. ποντισθεὶς Μυρτίλος ἐκοιμάθη E. 507.

Κοίμημα. κοιμήματ' αὐτογέννητα A. 864.

Κοιμίζειν. δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε στένοντα πόντον Aj. 674. καλῶ θ' ἅμα πομπαῖον Ἑρμῆν χθόνιον, εὖ με κοιμίσαι Aj. 832.

Κοινολεχής. κοινολεχὴς Αἴγισθος E. 97.

Κοινόπλους. ναὸς κοινόπλουν ὁμιλίαν Aj. 872.

Κοινόπους. ἡμῶν ποθεινὴν κοινόπουν παρουσίαν E. 1104.

Κοινός. μήτε θύμασιν κοινὸν ποιεῖσθαι R. 240. κοινῶν τε παίδων κοινὰ R. 261. κοινῇ τι βουλεύσαντα R. 606. φέρουσι τοὔνομα τὸ τοῦδε κοινὸν πάντες ὠνομασμένοι C. 61. κοιναί γε πατρὸς ἀδελφεαὶ C. 535. ᾧ δορύξενος κοινὴ παρ' ἡμῖν αἰέν ἐστιν ἑστία C. 633. κοινῇ καθ' ἡμῶν ἐγγελῶν C. 1339. τίς αὖ παρ' ὑμῶν κοινὸς ἠχεῖται κτύπος C. 1500. ὦ κοινὸν αὐτάδελφον Ἰσμήνης κάρα A. 1. μόρον κοινὸν A. 517. κοίνου θανάτου μέρος A. 147. κοινῷ κηρύγματι πέμψας A. 161. αἵματος κοινοῦ πάσασθαι A. 201. μή μοι θάνῃς σὺ κοινὰ A. 546. ἥκομεν κοινὴν ὁδὸν A. 998. ἀνθρώποισι γὰρ τοῖς πᾶσι κοινόν ἐστιν ἐξαμαρτάνειν A. 1024. ἐν δὲ κοινὸς ἀρσένων ἴτω κλαγγὰ T. 207. κοινὸς ἐν κοινοῖσι λυπεῖσθαι Aj. 266. ὑμῖν τε κοινὴν τήνδ' ἐπισκήπτω χάριν Aj. 565. τεύχη κοίν' ἐμοὶ τεθάψεται Aj. 577. Ἕλλασι κοινὸν Ἄρη Aj. 1196. κοινὰ δ' ἐξ ἀμφοῖν ἴῃ P. 25. κοινὰν ἤνυσεν ἐς φίλους ἀρωγὰν P. 1145. κοινῷ πατρὶ E. 463. πάγκλαυστον αἰῶνα κοινὸν E. 1085. τύμβου πατρῴου κοινὸν εἰληχὼς μέρος E. 1135.

Κοινότοκος. ἐλπίδων ἔτι κοινοτόκων εὐπατριδᾶν τ' ἀρωγοὶ E. 838.

Κοινοῦσθαι. οὔτ' ἠθέλησας, οὔτ' ἐγὼ 'κοινωσάμην A. 539.

Κοινωνεῖν. κοινωνοῦσα τῶν αὐτῶν γάμων T. 546.

Κοινωνός. ὁ τοῦ κακοῦ κοινωνὸς T. 732. ἅπαν μαθήσει τοὔργον, ὡς κοινωνὸς ὢν Aj. 284.

Κοιρανίδης. Θήβης οἱ κοιρανίδαι A. 940.

Κοίρανος. ὁ τῆσδε τῆς γῆς κοίρανος C. 1287. πῶς εἶπας, ἄναξ, κοίραν' Ἀθηνῶν; C. 1759.

Κοίτη. κοίταν δ' ἔχει νέρθεν, εὐσκίαστον αἰὲν C. 1706. πρὶν τῆσδε κοίτης ἐμπελασθῆναί ποτε T. 17. ἔμ' οὔποτε δέξεσθ' ἔτ' ἐν κοίταισι ταῖσδε T. 924. οἶκον ἀμφίθυρον πετρίνης κοίτης P. 160. οἰκτρὰ δ' ἐν κοίταις πατρῴαις E. 194. τὸν αὐτοέντην ἡμὶν ἐν κοίτῃ πατρὸς E. 272.

Κολάζειν. μὴ κόλαζε, πρέσβυ R. 1147. τὰ σέμν' ἔπη κόλαζ' ἐκείνους Aj. 1108. λόγοις αἰσχρὸν κολάζειν, ᾧ βιάζεσθαι πάρα Aj. 1160.

Κολαστής. τὰ σὰ δεῖται κολαστοῦ μᾶλλον ἢ τὰ τοῦδ' ἔπη R. 1148. ἐμάνθανον τὸν θυμὸν ἐκδραμόντα μοι μείζω κολαστὴν τῶν πρὶν ἡμαρτημένων C. 439. ἐμοῦ κολαστοῦ προστυχὼν E. 1463.

Κολεόν. ὥστε καὶ χεροῖν κολεῶν ἐρυστὰ διεπεραιώθη ξίφη Aj. 730.

Κόλπος. Δηοῦς ἐν κόλποις A. 1121. Οἰνωτρία τε, καὶ Τυρσηνικὸς κόλπος Triptol. I. 3.

Κόλχος. Κόλχος τε Χαλδαῖός τε Tymp.

Κολώνη. ὁρῶ κολώνης ἐξ ἄκρας νεοῤῥύτους πηγὰς γάλακτος E. 894.

Κολωνός. τόνδ' ἱππότην Κολωνὸν εὔχονται σφίσιν ἀρχηγὸν εἶναι C. 59. ἵκου τὸν ἀργῆτα Κολωνὸν C. 670. θεῷ τοῦδ' ἐπιστάτῃ Κολωνοῦ C. 889.

Κόμη. κόμην σπῶσ' ἀμφιδεξίοις ἀκμαῖς R. 1243. κόμη δι' αὔρας ἀκτένιστος ᾄσσεται C. 1261. κόμης δὲ λευκὸν μυελὸν ἐκραίνει T. 783. κόμην ἀπρὶξ ὄνυξι συλλαβὼν χερὶ Aj. 310. ἔχων κόμας ἐμὰς, καὶ τῆσδε, καὶ σαυτοῦ τρίτον Aj. 1174. δρόσοις τεγγόμενος κόμας Aj. 1209. κόμης δὲ πένθος λαγχάνω πώλου δίκην Tyro XV. 1.

Κομήτης. ἧκεν κομήτην ἰὸν T. 566.

Κομίζειν. ἔπαινος ὃν κομίζετον τοῦδ' ἀνδρὸς C. 1411. καὶ δὴ κομίζει προσπόλων ὅδ' ἐγγύθεν Aj. 544. ἔνθ' ἡ μεγάλη μοῖρα κομίζει P. 1466. λείψαν' ἐν βραχεῖ τεύχει θανόντος, ὡς ὁρᾷς κομίζομεν E. 1114. καὶ σὺ, παῖ, κόμιζ' ἐμὲ R. 444. κομιζέτω δῆτα R. 445. ἀλλά νιν κομίζετ' εἴσω, δμῶες A. 577. κόμιζε νύν μοι παῖδα τὸν ἐμὸν Aj. 531. σὺ μὲν κομίζοις ἂν σεαυτὸν ᾗ θέλεις A. 444. εἴ τινα στρατοῦ θέλεις κομίζειν Aj. 1396. τοῦτον θεὸς εἶπε κομίζειν P. 841. τί μέλλεις κομίζειν δόμων τόνδ' ἔσω; R. 678. κεῖνοι κομίζειν κεῖσ' ἀναγκάζουσί με C. 589. ἅ''ν ᾖ θέλουσα, πάντ' ἐμοῦ κομίζεται R. 580. ἐς δόμους κομίζεται Aj. 63. ἐξ 'Ωλένου, γᾶς φορβάδος, κομίζομαι Hippon. II.

Κομπάζειν. μέγ' ἄν τι κομπάσειας, ἀσπίδ' εἰ λάβοις Aj. 1122. οὐ πατρῴαν τὴν τέχνην ἐκόμπασας E. 1500.

Κομπεῖν. τί δεῖ μάτην κομπεῖν; C. 1149. κομπεῖν δ' οὐχὶ βούλομαι C. 1209. ταῦτα, σοῦ μὲν ξυνθέλοντος, ἔστι μοι κομπεῖν C. 1345. τοσόνδ' ἐκόμπει μῦθον Aj. 770. ὑψήλ' ἐκόμπεις Aj. 1230.

Κόμπος. Ζεὺς γὰρ μεγάλης γλώσσης κόμπους ὑπερεχθαίρει A. 127. ἔβαψας ἔγχος εὖ πρὸς 'Αργείων στρατῷ; Κόμπος πάρεστι Aj. 96.

Κόμψευειν. ἦ δεινὸν, ᾧ δοκεῖ γε, καὶ ψευδῆ δοκεῖν. Κόμψευε νῦν τὴν δόξαν A. 324.

Κόνις. ἦ καὶ κατασκιῶσι Θηβαίᾳ κόνει; C. 406. ἐπὶ χρωτὶ διψίαν κόνιν παλύνας A. 246. λεπτὴ δ', ἄγος φεύγοντος ὥς, ἐπῆν κόνις A. 256. πᾶσαν κόνιν σήραντες A. 409. βαθυσκαφεῖ κόνει κρύψον E. 435. κόνις δ' ἄνω 'φορεῖτο E. 714. ἐδέξατο ῥαγεῖσα Θηβαία κόνις αὐτοῖς ὅπλοισιν Amphiar. IV. 1.

Κοπίς. κἆτ' αὖ νιν φοινία θεῶν τῶν νερτέρων ἀμᾷ κοπίς A. 602. ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς I. T. LXXXIV. 1.

Κόπος. ἡνίκ' ἂν κόπος μ' ἀπαλλάξῃ P. 880. μετὰ κόπον καθημένοις Naupl. VI. 3.

Κορεῖν. νῦν καλὸν ἀντίφονον κορέσαι στόμα P. 1156.

Κόρη. ἐπ' αὐτῷ πτερόεσσ' ἦλθε κόρα R. 508. προβίβαζε, κούρα, πρόσω C. 180. κόρην ἄγων τήνδε A. 395. ἡμεῖς γὰρ ἁγνοὶ τοὐπὶ τήνδε τὴν κόρην A. 889. κόρην μὲν ἐκ κατώρυχος στέγης ἄνες A. 1100. λιθόστρωτον κόρης νυμφεῖον A. 1204. τῆς κόρης ταύτης ἕκατι T. 353. Οἰνέως κόρην δάμαρτά θ' 'Ηρακλέους T. 406. κόρην γὰρ, οἶμαι δ' οὐκ ἔτ' ἀλλ' ἐζευγμένην, παρεισδέδεγμαι T. 536. χρυσαλακάτου τ' ἀκτὰν κόρας T. 637. ἡ δολῶπις Οἰνέως κόρη T. 1052. ἄλσος 'Ινάχου κόρης E. 5. πρὸς εὐσεβεῖαν ἡ κόρη λέγει E. 464. μηνίσασα Λητῴα κόρη E. 570. ὡς πατὴρ ἀντίσταθμον τοῦ θηρὸς ἐκθύσειε τὴν αὑτου κόρην E. 572. καὶ κόρη τε, κ' 'Αργεία γένος Acris. IV. 1. 'Ωκεανοῦ κόρη Scyth. I. 3. κόρην Πλευρωνίαν ὑπημβρύωσε I. T. L. 3. Γῆς τε, καὶ Σκότου κόραι C. 40. ἄλσος ἐς τᾶνδ' ἀμαιμακετᾶν κορᾶν C. 127. ὡς μὴ παρέλθωσ' αἱ κόραι C. 902. τὰς κόρας τ' οἴχει λαβὼν C. 1009. τὰς κόρας γὰρ εἰσορῶ C. 1097. τὰ δ' οὖν κόρα τάδ' οὐκ ἀπαλλάξει μόρου A. 769. λελάμπρυνται κόρας Phineus 1. αὐγασθεῖσ' ὑπὸ κουραῖς Tyro XV. 7.

Κορίνθιος. πατὴρ μὲν Πόλυβος ἦν Κορίνθιος R. 774. τὴν Κορινθίαν χθόνα R. 794. τὸν Κορίνθιον ξένον R. 1119.

Κόρινθος. ἐκ τῆς Κορίνθου R. 936. 954. ἡ Κόρινθος ἐξ ἐμοῦ πάλαι μακρὰν ἀπῳκεῖτο R. 997. ὦ Πόλυβε, καὶ Κόρινθε R. 1394.

Κόρος. ὁ Διὸς 'Αλκμήνας τε κόρος T. 646. οἵ τε Θησέως κόροι P. 562.

Κόρυς. ξὺν θ' ἱπποκόμοις κορύθεσσι A. 116.

686. πρός νύν σε κρηνῶν, πρὸς θεῶν ὁμογνίων αἰτῶ πιθέσθαι C. 1333. ἰὼ Διρκαῖαι κρῆναι A. 844. κρῆναί τε, ποταμοί θ' οἵδε Aj. 862. ὦ κρῆναι P. 1461. παῖ κρηνῶν πατρὸς Ὠκεανοῦ Inach. II. 1.

Κρηπίς. ὦ Κηναία κρηπὶς βωμῶν T. 995.

Κρήσιος. πέλαγος Κρήσιον T. 119.

Κρῆσσα. μητρὸς ἐξέφυς Κρήσσης Aj. 1295.

Κρητήρ. κάθυδρος οὗ κρατὴρ μειλιχίων ποτῶν ῥεύματι συντρέχει C. 159. κοιλοῦ πέλας κρατῆρος C. 1593. μασσέτω τις βαθὺν κρητῆρα Ach. Conv. IV. 1. σπονδὴ τρίτου κρατῆρος Naupl. I. 2. κρατῆρές εἰσιν, ἀνδρὸς εὔχειρος τέχνη C. 472.

Κρίνειν. κύκλῳ γὰρ αὐτὸν Μηλιεὺς ἅπας λεὼς κρίνει T. 195. τὸ μὲν δίκαιον οὐχ ᾗ 'γὼ λέγω, ἀλλ' ᾗ συ κρίνεις E. 339. σέ τοι, σὲ κρίνω E. 1445. κᾆτα κρῖν' αὐτὸς μαθὼν R. 544. καὶ κρῖνε, κἀξέλεγχε A. 399. μὴ κρῖνε, μὴ 'ξέταζε Aj. 585. τί δ' ἂν με κρίνοις; T. 314. τὴν δ' ἐλπίδ' οὐ χρὴ τῆς τυχῆς κρίνειν πάρος T. 726. κρίνειν ἔμελλε κράτος ἀριστείας Aj. 443. σὲ πρῶτον ἀνδρῶν κρίνοντες R. 34. ἆρ' οὐκ ἀπ' ὠμοῦ ταῦτα δαίμονός τις ἂν κρίνων ἐπ' ἀνδρὶ τῷδ' ἂν ὀρθοίη λόγον; R. 829. οἵδε γὰρ κρινοῦσί γε C. 79. τοῦτο γὰρ τύχη κρινεῖ A. 328. τί χρη, θανόντα νιν, ἢ καθ' ὕπνον ὄντα κρῖναι; T. 972. μακρὸς τὸ κρῖναι ταῦτα χὠ λοιπὸς χρόνος E. 1029. τούτων δίδωμί σοι κρίναντι χρῆσθαι C. 641. Ἑλλήνων ἕνα κριθέντ' ἄριστον P. 1345.

Κριός. δύο δ' ἀργίποδας κριοὺς ἀνελὼν Aj. 237.

Κρίσα. ὁ τὰν Κρίσαν βούνομον ἔχων ἀκτὰν E. 180.

Κρισαῖος. Κρισαῖον πέδον E. 730.

Κρίσις. κρίσις οὐκ ἔστιν ἀληθὴς R. 502. τῶν ὧν τέκνων λείποιτο πρὸς τόξον κρίσιν T. 266. δικαίων κἀγαθῶν ἀνδρῶν κρίσις P. 1050. δρόμον, οὗ πρώτη κρίσις E. 684.

Κριτής. ἃ τοῖς πολλοῖσιν ἤρεσκεν κριταῖς Aj. 1243.

Κριτός. λέχος Ἡρακλεῖ κριτὸν ξυστάσα T. 27. αὐτῷ κτῆμα καὶ θεοῖς κριτὸν T. 245.

Κρόκη. θαλλοῖσιν, ἢ κρόκαισιν; (ἐρέψω κρατῆρας) C. 474.

Κρόκος. θάλλει τε χρυσαυγὴς κρόκος C. 685.

Κρονίδης. ὁ πάντα κραίνων βασιλεὺς Κρονίδας T. 127. ὅπως Κρονίδαν ἀπάτησεν οὐ λέγω T. 499.

Κρόνος. ὦ παῖ Κρόνου C. 712. ὁ παγκρατὴς Κρόνου παῖς P. 680. Κρόνῳ θυηπολεῖν γένος βροτεῖον Androm. V. 2.

Κροτητός. κροτητῶν ἁρμάτων E. 714. κροτητὰ πηκτίδων μέλη Thamyr I.

Κρουνὸς. κρουνοὶ διεῤῥαίνοντο κρηναίου ποτοῦ T. 14.

Κρύπτειν. εἰ ταῦτ' ἐφορῶντες κρύπτουσιν ἔκηλοι E. 825. κίσται ῥιζῶν κρύπτουσι τομὰς Rhiz. II. 2. πρὸς ταῦτα κρύπτε μηδὲν Hippon. I. οὐ γάρ ἐστι τἀμφανῆ κρύπτειν C. 755. οὐδὲν γάρ σε δεῖ κρύπτειν μ' ἔτι E. 957. κρύπτων ἃ μὴ δεῖ P. 909. οὐ γὰρ ἂν τὰ θεῖα, κρυπτόντων θεῶν, μάθοις ἂν I. T. VI. 1. πότερον ὑπερτιμῶντες ὡς εὐεργέτην ἔκρυπτον αὐτόν; A. 285. κρύψω πετρώδει ζῶσαν ἐν κατώρυχι A. 774. τάφῳ δ' ἐκεῖνον οὐχὶ κρύψετε A. 1039. κρύψω τόδ' ἔγχος τοὐμὸν, ἔχθιστον βελῶν Aj. 658. οὗτος τί κρύψει; ποῖον οὐκ ἐρεῖ κακόν; Aj. 1011. οὐδέν σε κρύψω P. 915. Ἐτεοκλέα μὲν κατὰ χθονὸς ἔκρυψε A. 25. καὶ σύ μ' ἐξ ὁδοῦ πόδα κρύψον κατ' ἄλσος C. 114. πρὸς θεῶν πατρῴων, Οἰδίπους, πεισθεὶς ἐμοὶ κρύψον C. 757. ἢ πνοαῖσιν, ἢ βαθυσκαφεῖ κόνει κρύψον νιν E. 436. ἀλλ' ὅπως κρύψῃς τάφῳ φράζου τὸν ἄνδρα Aj. 1040. τάφῳ τε κρύψαι, καὶ τὰ πάντ' ἐφαγνίσαι A. 196. δεῖ λόγον κρύψαι πρὸς ἡμᾶς μηδέν', ὧν ἀκήκοας P. 588. οὐ δυνήσομαι κακὸν κρύψαι παρ' ὑμῶν P. 743. κρύψασ' ἑαυτὴν ἔνθα μή τις εἰσίδοι T. 905. δόλον σκότῳ κρύψας E. 1397. κρυπτομένα δ' ἐν τυμβήρει θαλάμῳ κατεζεύχθη T. 947. ἁ δεινοῖς κρυπτομένα λόχοις χαλκόπους Ἐριννύς E. 490. ὦ τρεῖς κέλευθοι καὶ κεκρυμμένη νάπη R. 1398. οὑμὸς εὕδων καὶ κεκρυμμένος νέκυς ψυχρός ποτ' αὐτῶν θερμὸν αἷμα πίεται C. 621. δῶρον λέβητι χαλκέῳ κεκρυμμένον T. 556. ὁ καὶ σὺ θάμνοις οἶσθά που κεκρυμμένον E. 55. κλύοις

ἂν ἤδη, Φοῖβε προστατήριε, κεκρυμμένην μου βάξιν E. 638. ὅπου φανέντες, ἢ κεκρυμμένοι γελῶντας ἐχθροὺς παύσομεν E. 1294. οἶδα γὰρ ἄνακτ' Ἀμφιάρεων χρυσοδέτοις ἕρκεσι κρυφθέντα γυναικῶν E. 838. τάφῳ κρυφθεὶς Scyr. VI. 5. ὑφ' ἧς τὸ κρυφθὲν ἐκφανεῖς ἀνάκτορον I. T. XXXVIII. 4. ἵνα μοῖρ' ἀνδρὶ τῷδε τῇδε κρυφθῆναι χθονὶ C. 1546. ὑφ' εἵματος κρυφεὶς πατεῖν παρέσχε τῷ θέλοντι ναυτίλων Aj. 1145. ἅπανθ' ὁ μακρὸς κἀναρίθμητος χρόνος φύει τ' ἄδηλα, καὶ φανέντα κρύπτεται Aj. 647. ὥρα τιν' ἤδη κάρα καλύμμασι κρυψάμενον ποδοῖν κλοπὰν ἀρέσθαι Aj. 246.

Κρυπτέος. ἔργον οὐ κρυπτέον A. 273.

Κρυπτός. ἄσκοπα κρυπτά τ' ἔπη P. 1112. κρυπτᾷ ἀχέων ἐν ἥβᾳ E. 159.

Κρύσταλλος. κρύσταλλον ἁρπάζουσι παῖδες ἀσταγῆ Achill. Amat. I. 4.

Κρυφαῖος. κρυφαίῳ φασγάνῳ περιπτυχὴς Aj. 899. ἔπος κρυφαῖον I. T. XVIII. 1. γλώσσης κρυφαῖον οὐδὲν οὐ διέρχεται I. T. XVIII. 3.

Κρυφῇ. κρυφῇ δὲ κεῦθε A. 84. κρυφῇ κάρα σείοντες A. 291. μή τι καὶ κατασχετὸν κρυφῇ καλύπτει καρδίᾳ θυμουμένῃ A. 1254. ἔχρισα κρυφῇ κατ' οἶκον T. 691.

Κρύφιος. κρύφιον ὡς ἔχοι λέχος T. 360. κρύφιος οἰκουρῶν ὄφις P. 1328.

Κρωσσός. ἢ τοῖσδε κρωσσοῖς, οἷς λέγεις, χέω τάδε; C. 478.

Κτᾶσθαι. τοιούσδ' ἐπαινεῖς δῆτα σὺ κτᾶσθαι φίλους; Aj. 1360. ὅπως πρὸς σοῦ τι κερδάναιμι, καὶ κτῴμην χάριν T. 191. τὰ χρηστὰ δ', οὐδ' ἂν τὸν διδάσκαλον λάβῃ, ἐμνημόνευσεν, ἀλλὰ κέκτηται μόλις I. T. C. 9. κάκ' ἔχων τε καὶ κεκτημένος A. 1278. τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ P. 778. σαίνοντες οὐραίοισι τὴν κεκτημένην I. T. XLII. 2. ἀπ' ἐμοῦ κτήσει χάριν T. 471. εὔνουν τὴν ἐμὴν κτήσει φρένα P. 1281. διπλῆν μὲν ἐξ ἐμοῦ κτήσει χάριν P. 1370. ἐκ τῶν ἴσων ἐκτήσαθ' ὑμᾶς, ὥνπερ αὐτὸς ἐξέφυ R. 1499. τὴν δυσσέβειαν εὐσεβοῦσ' ἐκτησάμην A. 924. τοιοῖσδε τοῖς λόγοισιν ἀστεργῆ θεᾶς ἐκτήσατ' ὀργὴν Aj. 777. ὧν γὰρ ἠράσθη τυχεῖν, ἐκτήσαθ' αὑτῷ Aj. 967. οὐ γὰρ βάναυσον τὴν τέχνην ἐκτησάμην Aj. 1121. εὐεργετῶν γὰρ αὐτὸς αὔτ' ἐκτησάμην P. 670. τὰς ἡδονὰς πρὸς σοῦ λαβοῦσα, κοὐκ ἐμὰς ἐκτησάμην E. 1303. εὔκλειαν ἂν κτήσαιτο Alet. V. 3. γυναικὸς οὐδὲν ἂν μεῖζον κακὸν κακῆς ἀνὴρ κτήσαιτ' ἂν Phædr. V. 2. μὴ μείζω κακὰ κτησώμεθα E. 1004.

Κτείνειν. κτείνω δὲ τοὺς ξύμπαντας R. 813. κτείνει τ' ἄνακτα πατέρα τῆσδε T. 363. εἴ τις σὲ, τὸν δίκαιον, αὐτίκ' ἐνθάδε κτείνοι παραστὰς C. 992. ἐγὼ κτείνειν ἔμελλον πατέρα τὸν ἐμὸν R. 967. ἐδόκει μὲν ἔσθ' ὅτε δισσοὺς Ἀτρείδας αὐτόχειρ κτείνειν ἔχων Aj. 57. δίδωσ' ἑκὼν κτείνειν ἑαυτὸν P. 1342. χρῆν δ' εὐθὺς εἶναι τήνδε τοῖς πᾶσιν δίκην, ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλει, κτείνειν E. 1507. λείαν κτείνοντ' αἴθωνι σιδήρῳ Aj. 147. κτενεῖς νυμφεῖα τοῦ σαυτοῦ τέκνου; A. 568. ψευδῆ γ' ἐμαυτὸν οὐ καταστήσω πόλει, ἀλλὰ κτενῶ A. 658. εἰ γὰρ κτενοῦμεν ἄλλον ἀντ' ἄλλου E. 582. κτενεῖν νιν τοὺς τεκόντας ἦν λόγος R. 1176. μόρῳ δὲ ποίῳ καί σφε βουλεύεις κτανεῖν; A. 772. τί μ' οὐ λαβὼν ἔκτεινας εὐθύς; R. 1392. αὐτὸν μοῦνον ἀνθρώπων δόλῳ ἔκτεινεν T. 277. ζῶντά μ' ἔκτεινεν θανὼν Κένταυρος T. 1165. ἀξιοῖ ἢ γῆς μ' ἀπῶσαι πατρίδος, ἢ κτεῖναι λαβὼν R. 641. πάντων ἄριστον ἄνδρα τῶν ἐν χθονὶ κτείνασα T. 814. χρήστ', ὦ κάκιστε, πατέρα σὸν κτείνασα, δρᾷ; T. 1139. δίκαια γὰρ τόνδ' εὐτυχεῖν κτείναντά με; Κτείναντα; δεινόν γ' εἶπας εἰ καὶ ζῇς θανὼν Aj. 1127. μὴ κἄμ' ὄντα σαυτοῦ πρόστροπον κτείνας γένῃ P. 773. δόλος ἦν ὁ φράσας, ἔρος ὁ κτείνας E. 197. εἰ μὲν οὖν ἔτι λέξει τὸν αὐτὸν ἀριθμὸν, οὐκ ἐγὼ 'κτανον R. 844. σέ τ' οὐχ ἑκὼν ἔκτανον A. 1340. ὃν ἔκταν' αὐτὴ E. 408. τοῦτον Οἰδίπους πάλαι τρέμων τὸν ἄνδρ' ἔφευγε μὴ κτάνοι R. 948. μή μ' ἁπλῇ κτάνῃς ψήφῳ, διπλῇ δὲ R. 608. οὐ μιᾷ ῥώμῃ κτανεῖν νιν R. 122. κτανεῖν θ', ὑφ' οὗπερ ἐξελήλασαι C. 1388. ἐχθρόν μ' ἀφείλου μὴ κτανεῖν P. 1303. οὐ μετῆν αὐτοῖσι τήν γ' ἐμὴν κτανεῖν E. 536. ξὺν τῇδ' ἀδελφῇ μὴ κατοκνήσῃς κτανεῖν E. 956. οὐ πρόχειρος εἶ κτανεῖν E. 1494. ὅστις ἦν ἐκεῖνον ὁ

κτανὼν R. 139. οὔτ' ἔκτανον γάρ, οὔτε τὸν κτανόντ' ἔχω δεῖξαι R. 277. εἰ τοὺς κτανόντας Λάϊον, μαθόντες εὖ, κτείναιμεν R. 308. οὕς τέ μ' οὐκ ἔδει κτανὼν R. 1185. εὐγενὴς μὲν ὁ κτανών τε χὠ θανὼν P. 336. ἀντ' ἀδελφοῦ δῆτα Μενέλεω κτανὼν τἀμὰ E. 537. πολύῤῥυτον γὰρ αἷμ' ὑπεξαιροῦσι τῶν κτανόντων οἱ πάλαι θανόντες E. 1420. ὡς τάχιστα κτεῖνε, καὶ κτανὼν προθὲς ταφεῦσιν, ὧν τόνδ' εἰκός ἐστι τυγχάνειν E. 1487. αἷμα συγγενοῦς κτανὼν Ach. Conv. VIII. 4.

Κτερίζειν. τάφῳ μήτε κτερίζειν, μήτε κωκῦσαί τινα A. 204.

Κτέρισμα. ἐν τάφοισι θέσθε, κἂν κτερίσμασι C. 1410. ἐχθρᾶς ἀπὸ γυναικὸς ἱστάναι κτερίσματα E. 432. πολλὰ πατρὸς πρὸς τάφον κτερίσματα E. 930.

Κτῆμα. νομίζεις κτῆμα τὴν αὐθαδίαν εἶναι R. 549. σοῦ πράσσοντος εὐτυχῶς, πατέρ, οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτελρον A. 702. ἐξείλεθ' αὑτῷ κτῆμα καὶ θεοῖς κριτὸν T. 245. κτῆμα τῆς νίκης λαβεῖν P. 81. κτήματος κρείσσων φίλος P. 673. οὐδ' ἐν χεροῖν τὸ κτῆμα σύμφορον μένει Achill. Amat. I. 7. ὁ χρυσὸς ἧσσον κτῆμα τοῦ κλαίειν ἂν ἦν Scyr. VI. 3. Ἔρως, ὃς ἐν κτήμασι πίπτεις A. 782. κράτιστον κτημάτων εὐβουλία A. 1050. δόλῳ τῷ μὴ δικαίῳ κτήματ' οὐχὶ σώζεται C. 1027.

Κτήσιος. κτησίου βοτοῦ λάχνην T. 692.

Κτῆσις. λέχους ὅτι χρείη μ' ἑλέσθαι κτῆσιν T. 162. εὖ δὲ προσφωνούμεθα, γύναι, κατ' ἔργου κτῆσιν T. 230. πλούτου πατρῴου κτῆσιν ἐστερημένη E. 960. πατρῴαν κτῆσιν Αἴγισθος δόμων ἀντλεῖ E. 1290. ἀρετῆς βέβαιαι δ' εἰσὶν αἱ κτήσεις μόναι Eriph. I.

Κτίζειν. κτίσον δὲ τῷ προκειμένῳ τάφον A. 1101. καὶ ταῦτ' ἔτλη τις χεὶρ γυναικεία κτίσαι; T. 900. ἵπποισι τὸν ἀκεστῆρα χαλινὸν κτίσας C. 715.

Κτυπεῖν. ἔκτυπεν αἰθὴρ, ὦ Ζεῦ C. 1456. 'κτύπησε μὲν Ζεὺς χθόνιος C. 1606.

Κτύπος. μάλα μέγας ἐρείπεται κτύπος C. 1463. τίς αὖ παρ' ὑμῶν κοινὸς ἠχεῖται κτύπος; C. 1500. προὐφάνη κτύπος P. 202. κτύπος ἄρσην πόντου P. 1455. ἐν δ' ἐμεστώθη δρόμος κτύπου κροτητῶν ἁρμάτων E. 714.

Κυάνεος. Κυανέων πελαγέων A. 966.

Κυβερνᾶσθαι. σῇ κυβερνῶμαι χερὶ Aj. 35.

Κυβερνήτης. ἐκπεπληγμένον κεῖνον βλέποντες ὡς κυβερνήτην νεὼς R. 923.

Κυβευτής. στέργειν δὲ τἀμπεσόντα, κ' εὖ θέσθαι πρέπει σοφὸν κυβευτὴν I. T. XXVIII. 2.

Κύβος. πεσσοὺς κύβους τε, τερπνὸν ἀργίας ἄκος Naupl. VI. 4. κύβων βολὰς Naupl. VII. ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι I. T. LXXXIV. 3.

Κυδάζεσθαι. κυδάζεται τοῖς πᾶσιν Ἀργείοις ὁμοῦ Aj. 722.

Κυκᾶν. κλύδων' ἔφιππον ἐν μέσῳ κυκώμενον E. 733.

Κυκλόεις. κυκλόεντ' ἀγορᾶς θρόνον R. 161.

Κύκλον. κύκλα χαλκέων ὅπλων I. T. LXVI. 9.

Κυκλεῖν. κυκλοῦσι νύκτες ἡμέραι τ' ἴσαι E. 1365. κυκλεῖ δὲ πᾶσαν οἰκετῶν παμπληθίαν Laoc. III. 4. ὁδοῖς κυκλῶν ἐμαυτὸν εἰς ἀναστροφὴν A. 226. ἐπ' ἀνδρὶ δυσμενεῖ βάσιν κυκλοῦντα Aj. 19. οὑμὸς πότμος ἐν πυκνῷ θεοῦ τροχῷ κυκλεῖται I. T. LVI. 2. κῦμα κυκλεῖται Aj. 353.

Κύκνειος. κύκνειος πτίλος I. T. L. 3.

Κύκλος. ὁ γὰρ αἰὲν ὁρῶν κύκλος λεύσσει νιν Μορίου Διὸς C. 705. ἀμφιχανὼν κύκλῳ λόγχαις A. 118. εὖ γε στοχάζει κἀποφράγνυσαι κύκλῳ τὸ πρᾶγμα A. 240. ἐν αἰθέρι μέσῳ κατέστη λαμπρὸς ἡλίου κύκλος A. 416. κύκλῳ γὰρ αὐτὸν Μηλιεὺς ἅπας λεὼς κρίνει παραστὰς T. 192. κύκλῳ ῥαχίζων Aj. 56. ἐξίσταται δὲ νυκτὸς αἰανὴς κύκλος Aj. 672. ἀμφέστησαν αὐτὸν ἐν κύκλῳ Aj. 723. ἐκ ξυνέδρου καὶ τυραννικοῦ κύκλου Κάλχας μεταστὰς Aj. 749. ἐν κύκλῳ στρατὸς ἐκβάντα πᾶς μ' ἠσπάζετο P. 356. τί τὸν ἄνω λεύσσεις κύκλον; P. 815. ὦ τὰ πάντ' ἰδόντες ἀμφ' ἐμοὶ κύκλοι P. 1354. περιστεφῆ κύκλῳ πάντων ὅσ' ἐστὶν ἀνθέων θήκην πατρὸς E. 895. κύκλος Ἀρκάδος κυνῆς Inach. VIII. στρέφοντα κύκλον ἡλίου πᾶς προσκυνεῖ I. T. XC. 2. ἔπαισεν ἄρθρα τῶν αὑτοῦ κύκλων R. 1270. ὀμμάτων κύκλοι A. 974.

Κυλίειν. ἐκ τροχηλάτων δίφρων κυλισθεὶς E. 50. κυλισθεὶς ὥς τις ὄνος ἰσόσπριος Surdi I.

Κυλλήνη. ὁ Κυλλάνας ἀνάσσων R. 1104.

Κυλλήνιος. Κυλλανίας ἀπὸ δειράδος φάνηθι Aj. 695.

Κῦμα. κύματ' ἐν εὐρεῖ πόντῳ βάντ' ἐπιόντα τ' ἰδὼν T. 113. ἴδεσθέ μ' οἷον ἄρτι κῦμα φοινίας ἀπὸ ζάλης ἀμφίδρομον κυκλεῖται Aj. 353. διὰ κῦμα τεμὼν Inach. XI. 6.

Κυματοαγής. κυματοαγεῖς ἆται C. 1243.

Κυματοπλήξ. ἀκτὰ κυματοπλὴξ C. 1241.

Κύμβη. ἵπποισιν, ἢ κύμβαισι ναυστολεῖς χθόνα; Androm. II.

Κυνῆ. κυνῇ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει C. 314. ὃς εὐλόφου κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν Aj. 1287. κύκλος Ἀρκάδος κυνῆς Inach. VIII.

Κυνηγετεῖν. σ' ὁρῶ πάλαι κυνηγετοῦντα Aj. 5.

Κυνηγός. ἐροῦ δὲ τὴν κυναγὸν Ἄρτεμιν E. 563.

Κυνοσπάρακτος. κυνοσπάρακτον σῶμα A. 1198.

Πολύς. πολλὰ δακρύσαντα R. 67. πολλὰς ὁδοὺς R. 68. ἓν γὰρ πόλλ' ἂν ἐξεύροι μαθεῖν R. 120. πολλὰ κἂν ἄκων ἕδρων R. 591. μορφῆς δὴ τῆς σῆς οὐκ ἀπεστάτει πολὺ R. 742. πολλοὺς ἔχων ἄνδρας λοχίτας R. 750. μὴ πόλλ' ἄγαν εἰρημέν' ᾖ μοι R. 767. ὑφεῖρπε γὰρ πολὺ R. 786. οὐ γὰρ γένοιτ' ἂν εἷς γε τοῖς πολλοῖς ἴσος R. 845. εἰ πολλῶν ὑπερπλησθῇ μάταν R. 874. πολλοὶ γὰρ ἤδη κἀν ὀνείρασιν βροτῶν μητρὶ ξυνευνάσθησαν R. 981. πολλῷ γε μᾶλλον, ἣν φράσω, διόλλυμαι R. 1159. ἐθέλων πόλλ' ἀνερέσθαι R. 1304. πόλλ' ἂν παρῄνουν R. 1512. τὰ πολλ' ἐκεῖν' ὅτ' ἐξέχρη κακὰ C. 87. πολλὰ κέλευθος ἐρατύει C. 164. πολλή 'στ' ἀνάγκη C. 293. πολλὰ δ' ἐμπόρων ἔπη φιλεῖ πλανᾶσθαι C. 303. πολλοῖσιν ὄμβροις C. 350. πολλῶν ἀκούων C. 551. πολλαὶ δ' ἀπειλαὶ πολλὰ δὴ μάτην ἔπη C. 658. χωρὶς τό τ' εἰπεῖν πολλὰ, καὶ τὸ καίρια C. 808. ὧδ' ἐπαινῶν πολλὰ C. 1005. πολλὰ μὲν αἱ μακραὶ ἁμέραι κατέθεντο λύπας ἐγγυτέρω δὴ C. 1215. πολλὰ ῥήματα C. 1281. αἱ πολλὰ βρονταὶ διατελεῖς, τὰ πολλά τε στράψαντα χειρὸς τῆς ἀνικήτου βέλη C. 1514. καλεῖ γὰρ αὐτὸν πολλὰ πολλαχῇ θεὸς C. 1626. πολλῷ ῥεύματι A. 129. πόλιν πολλῷ σάλῳ σείσαντες A. 163. τὰ δεινὰ προστίθησ' ὄκνον πολὺν A. 242. ὀφείλω τοῖς θεοῖς πολλὴν χάριν A. 331. πολλὰ τὰ δεινὰ A. 332. ἐλπὶς πολλοῖς μὲν ὄνασις ἀνδρῶν, πολλοῖς δ' ἀπάτα κουφονόων ἐρώτων A. 616. πολὺν γέλων ἐχθροῖσι A. 647. τὸ μανθάνειν πόλλ' αἰσχρὸν οὐδὲν A. 711. φήμ' ἔγωγε πρεσβεύειν πόλυ A. 720. προσέπεσες, ὦ τέκνον, πόλυ A. 855. ἡ μάτην πολλὴ βοὴ A. 1252. πολλῷ τὸ φρονεῖν εὐδαιμονίας πρῶτον ὑπάρχει A. 1348. πολλοὺς ἀγῶνας ἐξιὼν T. 159. εὐμαρείᾳ χρώμενος πολλῇ T. 193. πολλὰ μὲν λόγοις ἐπεῤῥόθησε T. 264. τοῦτο γὰρ, λόγου πολλοῦ καλῶς λεχθέντος, ἥδιστον κλύειν T. 290. πολλὰς ἀνὴρ εἷς Ἡρακλῆς ἔγημε T. 460. νοσοῦντι κείνῳ πολλὰ τῇδε τῇ νόσῳ T. 544. πολλὰ μὲν τάλας χθονὶ ῥίπτων ἑαυτὸν, πολλὰ δ' οἰμώγῃ βοῶν T. 791. ἔκειτο πόλλ' ἀναστένων T. 941. πολλῶν ἐτῶν κληροῦχον Aj. 508. ἔπη μωρίας πολλῆς πλέα Aj. 745. γελᾷ πολὺν γέλωτα Aj. 957. πολλοὶ μὲν ἐχθροὶ, παῦρα δ' ὠφελήματα Aj. 1022. οἱ πόνου πολλοῦ πλέῳ Aj. 1112. ἃ τοῖς πολλοῖσιν ἤρεσκεν κριταῖς Aj. 1243. ὦ πολλὰ λέξας ἄρτι κἀνόνητ' ἔπη Aj. 1272. νικᾷ γὰρ ἡ 'ρετή με τῆς ἔχθρας πολὺ Aj. 1357. καί μ' ἔψευσας ἐλπίδος πολὺ Aj. 1382. ἤδη γὰρ πολὺς ἐκτέταται χρόνος Aj. 1402. ἐκ πολλοῦ σάλου P. 271. πολλὰ γὰρ τάδε ἐν τῷ μακρῷ γένοιτ' ἂν ἀνθρώπων χρόνῳ P. 305. οὐ πολὺν χρόνον μ' ἐπέσχον P. 348. δυσχέρεια πολλὴ P. 474. πολλὰ γὰρ τοῖς ἱκμένοις ἔστελλον αὐτὸν P. 494. οὐ πολλῳ στόλῳ P. 547. πολὺ πέλαγος P. 635. πλήθει πολλῶν

μηνῶν P. 723. πολλὴ κρατεῖ τούτων ἀνάγκη P. 921. πολλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη P. 1047. εἷς ἀπὸ πολλῶν ταχθεὶς P. 1143. πολλὰς θρήνων ᾠδὰς E. 88. πολλὰς ἀντηρεῖς στέρνων πλαγὰς E. 89. ἐμὲ μὲν ὁ πολὺς ἀπολέλοιπεν ἤδη βίοτος E. 184. πολὺ γάρ τι κακῶν ὑπερεκτήσω E. 217. πολλοῖσι θρήνοις δυσφορεῖν E. 255. πολλή γ' ἀνάγκη E. 309. πολλὰ πρὸς πολλούς με δὴ ἐξεῖπας E. 520. τὰ πολλὰ πνεύματα E. 564. βιασθεὶς πολλὰ E. 575. κακοῖς πολλοῖς ξυνοῦσα E. 600. ὃν πολλὰ δή μέ σοι τρέφειν μιάστορα ἐπητιάσω E. 603. ἐν πολλοῖσι παῦρά σοι λέγω E. 688. πολλῶν ἄξιος τυχεῖν E. 797. πολλῶν δεινῶν ἀχέων E. 851. ἡ δὲ νῦν πολλῶν ὑπάρξει κῦρος ἡμέρα καλῶν E. 919. πολλῆς ἀνοίας καὶ τὸ θηρᾶσθαι κακὰ E. 1054. ἐκ πολλῶν μόνον πιστὸν προσεῦρον E. 1351. ἥ σε πολλὰ δή, ἀφ' ὧν ἔχοιμι, λιπαρεῖ προὔστην χερὶ E. 1377. πολλὰ χαίρειν μ' εἶπας E. 1457. πόλλ' ἀντιφωνεῖς E. 1501. τὸ γὰρ πανοῦργον οὐκ ἂν ἦν πολὺ E. 1507. πολλὰ παθὸν σπέρμα E. 1508. τὰ πολλὰ φροῦδα Ajax Locr. IV. 6. τὰ πολλὰ τῶν δεινῶν Acris. VI. 1. πολὺν ἀγῶνα Acris. XI. πολὺς δὲ Φρὺξ τρίγωνος Mys. IV. 1. τῷ δι' Ὀλύμπου πολλὴ φέρεται Rhiz. III. 4. πολλά σε ζηλῶ βίου Tereus VI. 1. πολλ' ἐν κακοῖσι θυμὸς εὐνηθεὶς ὁρᾷ Tyro IX. πολλῶν ἐν πολυπληθίᾳ Tyro XI. 1. μὴ σπεῖρε πολλοῖς τὸν παρόντα δαίμονα Tyro XIII. πολλὰ καὶ μαθεῖν σε δεῖ I. T. CI. 1. οὐχὶ παρὰ πολλοῖς ἡ χάρις τίκτει χάριν I. T. CI. 4.

Πολυστάφυλος. πολυστάφυλος ἀκτὰ A. 1133.

Πολυστεφής. δάφνης κάρα πολυστεφὴς R. 83.

Πολύστονος. πολύστονον Τροίαν P. 1346. πολύστονόν μ' ἰδὼν E. 1275.

Πολύσχιστος. κελεύθων πολυσχίστων C. 1592.

Πολύτλας. πολύτλας ἀνὴρ Aj. 956.

Πολύφθορος. ἡ πολύφθορος Οἰχαλία T. 488. πολύφθορόν τε δῶμα Πελοπιδῶν E. 10. ναῦται πολύφθοροι Scyr. IV. 5.

Πολύχειρ. πολύχειρ Ἐριννὺς E. 489.

Πολύχρυσος. πολυχρύσου Πυθῶνος R. 151. Μυκήνας τὰς πολυχρύσους E. 9.

Πολυώνυμος. πολυώνυμε, Καδμείας Νύμφας ἄγαλμα A. 1115.

Πόμα. μηδ' οἰνοχύτου πόματος ἥσθη P. 714.

Πομπαῖος. πομπαῖον Ἑρμῆν Aj. 832.

Πομπεύειν. Ἑρμοῦ τήνδε πομπεύω τέχνην T. 620.

Πόμπιμος. πομπίμοις κώπαις T. 560. τὸ δῶρον, Ἡρακλεῖ τὸ πόμπιμον T. 874.

Πομπός. ἔπεμψα γὰρ πομποὺς διπλοὺς R. 288. τανῦν τε πομπὸς γίγνου R. 697. ἆρ' ἄν τις αὐτῷ πομπὸς ἐξ ὑμῶν μόλοι; C. 70. οὐκ ἄνευ πομπῶν C. 723. πομπὸν δέ με χωρεῖν C. 1019. Ἑρμῆς ὁ πομπὸς C. 1548. ἐκ θεῶν πομπὸς C. 1661. πομποῖσιν ἐκ πάντων δίχα ἔστειλ' ἱκέσθαι A. 164. μὴ 'πιθυμεῖν πομπὸς ὢν περισσὰ δρᾷν T. 617. εἰς σὲ γὰρ πομπόν τε καὐτὸν ἄγγελον ἥκω P. 500.

Πονεῖν. ἄλλως πονεῖ R. 1151. τοῖς τεκοῦσι γὰρ οὐδ' εἰ πονεῖ τις, δεῖ πόνου μνήμην γ' ἔχειν C. 509. οἷς πονεῖτον C. 1412. ἢ καὶ πρὸς καιρὸν πονῶ; Aj. 38. ἦ πάνθ' ὁμοῖα πᾶς ἀνὴρ αὑτῷ πονεῖ. Τῷ γάρ με μᾶλλον εἰκὸς ἢ 'μαυτῷ πονεῖν; Aj. 1366. ἃ πονεῖ δίχα κηδεμόνων P. 195. οἱ δ' αὐθόμαιμοι ποῖ νεανίαι πονεῖν; C. 335. οὐδὲν δεῖ πονεῖν C. 1022. Λυδῇ γυναικὶ φασί νιν λάτριν πονεῖν T. 70. πρὸς τὸ καίριον ξένῳ πονεῖν P. 525. πονοῦσά τ' ἀλγεῖν, καὶ λέγουσ' αὖθις πάλιν C. 364. πονῶν πλευρὰν πικρᾷ γλωχῖνι T. 682. τῷδ' ἀνδρὶ πονῶν Aj. 1415. ἐσθλοῦ γὰρ ἀνδρὸς τοὺς πονοῦντας ὠφελεῖν I. T. IX. πονήσας καὶ διεξελθὼν πόνους P. 1419. πεπονημένος ἀλλήκτοις ὀδύναις T. 987.

Πονηρία. μωρία μάλιστ' ἀδελφὴ τῆς πονηρίας ἔφυ I. T. X. 4.

Πονηρός. πόλεμος οὐδέν' ἄνδρ' ἑκὼν αἱρεῖ πονηρὸν P. 437.

Πόνος. ἄνδρα δ' ὠφελεῖν πόνων κάλλιστος R. 315. λυγρῶν πόνων ἰκτῆρες αὐτὰν ἐπιστοναχοῦσι R. 186. γᾶν ἐν πόνοις ἀλύουσαν R. 695. ἐν πόνοις, ἐν ἄταις ἀγρίαις ξύνοικος ἀλλαγᾷ βίου R. 1205. τοὺς δὲ σοὺς θεοὶ πόνους κατοικτιοῦσι C. 384. τοῖς ἐμοῖς ἐχθροῖς πόνους C. 460. πόνων μνή-

μην ἔχειν C. 509. *ἐν πόνῳ ταὐτῷ βεβηκὼς τυγχάνεις κακῶν ἐμοὶ* C. 1858. *πόνον ἔμπεδον εἴχομεν* C. 1674. *εἴ τις τοῦδ᾽ ἀφειδήσοι πόνου* A. 414. *τί τόνδ᾽ ἂν εἴποις ἄλλο πλὴν αὐτῷ πόνους τίκτειν;* A. 646. *πόνος περισσός ἐστι τὰν Ἅιδου σέβειν* A. 780. *τόνδ᾽ ἂν ἠρόμην πόνον* A. 907. *ὦ πόνοι βροτῶν δύσπονοι* A. 1277. *τρόπον μὲν ἂν πόνων οὐκ ἂν διείποιμι* T. 21. *νὺξ ἀπωθεῖ διαδεδεγμένη πόνον* T. 30. *τῶν Ἡρακλείων ἐκτελευτᾶσθαι πόνων* T. 170. *ἐπ᾽ Ὀμφάλῃ πόνων λατρεύματα* T. 356. *θελοντὴς τῷδ᾽ ὑπεζύγην πόνῳ* Aj. 24. *πόνος πόνῳ πόνον φέρει* Aj. 866. *πόνου γε πλῆθος* Aj. 876. *μακρῶν ἀλάταν πόνων* Aj. 888. *μοῖραν ἀπειρεσίων πόνων* Aj. 927. *τοῖς σοῖς ἀρήξαντ᾽ ἐν πόνοισι* Aj. 1007. *οἱ πόνου πολλοῦ πλέῳ* Aj. 1112. *ἰὼ πόνοι πρόγονοι πόνων* Aj. 1197. *ἐν πόνοισι κειμένους* Aj. 1306. *ἦ γὰρ μετέσχες καὶ σὺ τοῦδε τοῦ πόνου;* P. 248. *δυσοίστων πόνων ἆθλα* P. 508. *πόνου λήξαντος* P. 637. *δύστηνε διὰ πόνων πάντων* P. 761. *πόνος δ᾽ ὁ μὴ φοβῶν κράτιστος* P. 864. *τοῦ πόνου γὰρ οὐκ ὄκνος* P. 886. *οὐπὶ νηῒ γὰρ ἅλις πόνος τουτοίσι συνναίειν ἐμοὶ* P. 892. *διεξελθὼν πόνους* P. 1419. *ἐκ τῶν πόνων τῶνδ᾽ εὐκλεᾶ θέσθαι βίον* P. 1422. *πόνου τοι χωρὶς οὐδὲν εὐτυχεῖ* E. 945. *τροφὴν πόνῳ γλυκεῖ παρέσχον* E. 1145. *ἔσωσας ἐκ πολλῶν πόνων* E. 1350. *πόνῳ πόνον ἐκ νυκτὸς ἀλλάσσουσα* Niobe VI. 2. *οὔτοι γ᾽ ἀφίξει τῶν ἄκρων ἄνευ πόνου* Polyid. I. 3. *πόνου μεταλλαχθέντος οἱ πόνοι γλυκεῖς* I. T. XVII. 1.

Ποντίζειν. *ποντισθεὶς Μυρτίλος ἐκοιμάθη* E. 506.

Πόντιος. *τὸν πόντιον γαιάοχον* C. 1072. *ποντία θύελλα* C. 1659. *πόντιον κλύδωνα* C. 1686. *ποντίαις πνοαῖς* A. 587. *ποντίους αὐλῶνας* T. 100. *ἐκ τῆς ποντίας Χρύσης* P. 269.

Ποντοναύτης. *οἱ ποντοναῦται τῶν ταλαιπώρων βροτῶν* Scyr. IV. 1.

Ποντόπορος. *ποντοπόρῳ ναΐ* Aj. 250. *ποντοπόρῳ δούρατι* P. 722.

Πόντος. *ὅτῳ μήτ᾽ Ἄρης, μήτε πόντος ἀντέκυρσεν* C. 1678. *πολιοῦ πέραν πόντου* A. 335. *πόντου τ᾽ ἐναλίαν φύσιν* A. 346. *κύματ᾽ ἐν εὐρέϊ πόντῳ βάντα* T. 114. *ῥιπτεῖ πρὸς ἀμφίκλυστον ἐκ πόντου πέτραν* T. 782. *πολλὰ μὲν ἐν πόντῳ, κατὰ δὲ δρία πάντα καθαίρων* T. 1014. *δεινῶν τ᾽ ἄημα πνευμάτων ἐκοίμισε στένοντα πόντον* Aj. 675. *ἵν᾽ ὑλᾶεν ἔπεστι πόντου πρόβλημα* Aj. 1217. *πολιᾶς πόντου θινὸς* P. 1124. *κτύπος ἄρσην πόντου* P. 1455. *θεῶν ἔρως ψυχὰς ταράσσει, κἀπὶ πόντον ἔρχεται* Phædr. IV. 3. *ὑπὲρ πόντον* I. T. XCIII. 1.

Πόποι. *ὦ πόποι* R. 167. T. 155.

Πορεῖν. *πόροις γᾶς τᾶσδε δαμούχοις ἐπινικίῳ σθένει τὸν εὔαγρον τελειῶσαι λόχον* C. 1088. *σοὶ θεοὶ πόροιεν ὡς ἐγὼ θέλω* C. 1124. *πῶς τις δεῦρο Θησέα πόροι;* C. 1458. *ποίνιμα πάθεα παθεῖν πόροι* E. 210. *ἡμᾶς ἔγχος ἐξαιτῶν πορεῖν* R. 1255. *ὁ τάδε πορῶν ὄλοιτο* E. 127. *ὅπως λύσιν τιν᾽ ἡμῖν εὐαγῆ πόρῃς* R. 921.

Πορεύειν. *τοῦ πορεύσαντος ξένου* E. 801. *Εὔηνον βροτοὺς μισθοῦ ᾽πόρευε χερσὶν* T. 560. *τάσδ᾽ ἐπιστολὰς πατρὶ ταχεῖ ᾽πόρευσαν σὺν χρόνῳ* C. 1602. *πορεύομαι Πυθῶδε* R. 787. *εἴ τις ὑπέροπτα χερσὶν ἢ λόγῳ πορεύεται* R. 884. *πορεύονται γὰρ οἵδε δή τινες χρόνῳ παλαιοὶ* C. 111. *πρὸς βίαν πορεύομαι* C. 845. *οἷ πορεύομαι πρὸς τοὺς ἐμαυτῆς* A. 892. *ἐκ δόμων πορεύεται* T. 392. *ὀρθὸς εἰς ὁδὸν πορεύεται* Aj. 1254. *πορευέσθω στέγας* T. 329. *πορεύσομαι* R. 676. *εἰ θέλουσα μὴ πορεύσεται* C. 827. *ἄνακτα χώρας τῆσδέ τις πορευσάτω* C. 1476. *τάφον χώσουσ᾽ ἀδελφῷ φιλτάτῳ πορεύσομαι* A. 81. *ἐπ᾽ εὐστόλου ταχείας νεὼς πορεύσαιμ᾽ ἂν ἐς δόμους* P. 516.

Πορευτέος. *ἐγὼ γὰρ εἶμ᾽ ἐκεῖσ᾽ ὅποι πορευτέον* Aj. 690. *ἡ δ᾽ ὁδὸς πορευτέα* P. 993.

Πορθεῖν. *τοῦτο καὶ πόλεις πορθεῖ* A. 297. *γῆν τήνδε πορθῶν* A. 518. *ἐὰν πορθῶσι χώραν τὴν ἐμὴν* P. 1405. *ὅταν πορθῆτε γαῖαν* P. 1441. *τὰ Τροίας πεδία πορθῆσαι* P. 920.

Πορθμεύειν. *ἀλλά μ᾽ ἔκ γε τῆσδε γῆς πόρθμευσον ὡς τάχιστα* T. 804.

Πορθμός. *ὑπὲρ στονόεντα πορθμὸν* A. 1145. *τοσόνδ᾽ ὀνήσει τῶν ἐμῶν πορθμῶν* T. 571.

Πόρος. ἐν μέσῳ πόρῳ T. 564. ἰὼ πόροι ἁλίῤῥοθοι Aj. 412. εὐμαρείᾳ πόρων P. 705.
Πόρπαξ. διὰ πολυῤῥάφου στρέφων πόρπακος Aj. 575.
Πόῤῥω. πόῤῥω λεύσσων, ἔγγυθεν τυφλὸς I. T. LXX. 3. μὴ πόρσω φωνεῖν E. 213.
Πόῤῥωθεν. θαῦμ' ἂν πόῤῥωθεν ἰδοίμαν T. 1006.
Πορσύνειν. τάξω βίου τροφεῖα πορσύνουσ' ἀεὶ C. 341. πρᾶγμα πορσύνων μέγα E. 670. τὸ κατ' ἦμαρ ὅπως ἥδιστα πορσύνων I. T. XXVII. 8. ἐγὼ δὲ τἄλλα πορσυνῶ Aj. 1398. ἐγὼ γάρ εἴμ' ὁ πορσύνας τάδε R. 1476. ὁ στόλος πορσύνεται P. 781.
Πόρτις. ὥσπερ πόρτις ἐρήμα T. 530.
Ποσειδῶν. ἔχει δέ νιν σεμνὸς Ποσειδῶν C. 55. ἄναξ Ποσειδὰν C. 713. βωμῷ καθῆσθαι τῷ Ποσειδῶνος C. 1158. Ποσειδῶνα τινάκτορα γαίας T. 502.
Ποσειδώνιος. Ποσειδαωνίῳ θεῷ C. 1494.
Πόσις. ὁ σὸς πόσις R. 640. ἀγαθὰ δόμοις τε καὶ πόσει τῷ σῷ R. 934. εἰ πόσις μοι κατθανὼν ἐτήκετο A. 906. πόσις μὲν ἄν μοι, κατθανόντος, ἄλλος ἦν A. 909. σῷ ποδαγὸς ἑσπόμην πόσει A. 1196. πόσιν ἥξειν T. 185. μὴ πόσις μεν Ἡρακλῆς ἐμὸς καλεῖται, τῆς νεωτέρας δ' ἀνὴρ T. 550.
Ποταίνιος. τάφου ποταινίου T. 849. ἡδονὰς ποταινίους Achill. Amat. I. 5.
Ποτάμιος. ποταμίων ποτῶν Tyro XV. 5.
Ποταμός. μνηστὴρ γὰρ ἦν μοι ποταμὸς T. 9. ποταμοῦ σθένος T. 506. ποταμὸν Εὔηνον T. 559. κρῆναί τε, ποταμοί θ' οἵδε Aj. 862. Βοσπορίων ποταμῶν ἴδρις Aj. 884.
Πότερος. πότερα δόλοισιν, ἢ νόσου ξυναλλαγῇ; R. 960. πότερα πόθοισι; C. 333. πότερα νομίζεις δυστυχεῖν ἔμ' εἰς τὰ σά, ἢ σ' εἰς τὰ σαυτοῦ; C. 800. πότερον ἐγὼ μάταιος, ἢ κλύω; T. 865. πότερ' ἄρα πρότερ' ἐπιστένω; T. 949. πότερα τέλεα περαιτέρω T. 950. πότερον τὸ σὸν πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω; P. 337. πότερον ὄντος Αἰγίσθου πέλας λέγεις τάδ' ἡμῖν; E. 310. πότερα χέρσιν ἢ λύμῃ βίου; E. 1195.

Ποτιψαύειν. ὅσον γ' ἂν αὐτὸς μὴ ποτιψαύων χεροῖν T. 1216.
Πότμος. τῷ πότμῳ τῷ νῦν φθερεῖσθαι R. 271. τοῦ κακοῦ πότμου φυτευθεὶς C. 1324. τίς ἄρα με πότμος ἐπιμένει; C. 1715. τὸν σὸν ἐξόρθου πότμον A. 83. ἔψαυσας ἀμετέρου πότμου A. 861. τὸν δ' ἐμὸν πότμον ἀδάκρυτον οὐδεὶς φίλων στενάζει A. 881. τίς με πότμος ἔτι περιμένει; A. 1296. ἐπὶ κρατί μοι πότμος δυσκόμιστος εἰσήλατο A. 1348. ὁ ξυνηθὴς πότμος οὐκ ἐᾷ πατρὸς ἡμᾶς προταρβεῖν T. 70. πότμος δαιμόνων P. 1116. οὑμὸς αἰεὶ πότμος ἐν πυκνῷ θεοῦ τροχῷ κυκλεῖται I. T. LVI. 1.
Πότνιος. ὦ πότνιαι δεινῶπες C. 84. Πότνιαι σεμνὰ τιθηνοῦνται τέλη θνητοῖσιν C. 1048. μᾶτερ πότνια P. 394. ὦ χθόνι' Ἑρμᾶ, καὶ πότνι' Ἀρὴ E. 110.
Ποτόν. κρατὴρ μειλιχίων ποτῶν C. 159. κρουνοὶ διεῤῥαίνοντο κρηναίου ποτοῦ T. 14. πίονος ποτοῦ χυθέντος ἐς γῆν Βακχίας ἀπ' ἀμπέλου T. 705. τάχ' ἂν ἴδοις ποτὸν κρηναῖον P. 21. εἰ δ' ἔδει τι καὶ ποτὸν λαβεῖν P. 292. ὦ κρῆναι, Λύκιόν τε ποτὸν P. 1461. ἀνακιρνᾶται ποτὸν Thyest. VI. 8. ἐν λειμῶνι ποταμίων ποτῶν Tyro XV. 5.
Ποῦ. ποῦ ποτ' εἰμὶ πράγματος; T. 375. ποῦ σοι τύχης ἕστηκεν; Aj. 102. ποῦ γνώμης ποτ' εἶ A. 42.
Πουλύπους. σῶμα πουλύπου Iphig. II. 1.
Πούς. τὰ πρὸς ποσὶ σκοπεῖν R. 130. φυγᾷ πόδα νωμᾶν R. 468. μελέῳ ποδὶ χορεύων R. 479. ἄρθρα κεῖνος ἐνζεύξας ποδοῖν R. 718. οὐ ποδὶ χρησίμῳ χρῆται R. 877. ποδῶν ἄρθρα R. 1032. ποδοῖν ἀκμὰς R. 1034. καὶ σύ μ' ἐξ ὁδοῦ πόδα κρύψον κατ' ἄλσος C. 114. μηκέτι τοῦδ' ἀντιπέτρου βήματος ἔξω πόδα κλίνῃς C. 193. θᾶσσον ἢ καθ' ἡδονὴν ποδὸς C. 890. κοῦφον ἐξάρας πόδα A. 224. πρὶν πυρὶ θερμῷ πόδα τις ψαύσῃ A. 619. ναὸς ἐγκρατῆ πόδα A. 715. τῶν δ' ὑπεκτρέπει πόδα T. 549. μάρψας ποδός νιν T. 781. ἐξ ἀκινήτου ποδὸς T. 877. οὐκ ἄψοῤῥον ἐκνεμεῖ πόδα Aj. 369. τάχος γὰρ ἔργου καὶ ποδῶν ἅμ' ἕψεται Aj. 814. ὃν οὐδαμοῦ φῂς οὐδὲ συμβῆναι ποδὶ

Aj. 1281. νόσῳ καταστάζοντα διαβόρῳ πόδα P. 7. οὐ γὰρ ἐξ ἑνὸς ποδὸς ἡμᾶς τοσούσδε πρὸς βίαν χειρώσεται P. 92. ἑλκέων ἐνθήρου ποδὸς P. 698. πάταξον εἰς ἄκρον πόδα P. 748. ὦ πούς, οἷά μ' εἴργασαι κακὰ P. 786. παρέῤῥωγεν ποδὸς αἱμοῤῥαγὴς φλὲψ P. 824. καιρός τοι πάντων γνώμαν ἴσχων πολὺ παρὰ πόδα κράτος ἄρνυται P. 838. οὐ χερὸς, οὐ ποδὸς, οὔ τινος ἄρχων P. 860. ὦ πούς, πούς, τί σ' ἔτ' ἐν βίῳ τεύξω; P. 1180. ἐμοῦ ποδὸς ἄρθρον P. 1201. ἐκτὸς κλαυμάτων ἔχοις πόδα P. 1260. τῷδε δυστήνῳ ποδὶ P. 1377. ἐχθροῖσιν αὐτοῦ ζῶντ' ἐπεμβῆναι ποδὶ E. 456. ἐξεκίνησεν ποδοῖν στικτὸν κεράστην ἔλαφον E. 567. ἥδιστον δ' ἔχων ποδῶν ὑπηρέτημα E. 1357. ζῶντι ποδὶ χρώμενον I. T. LXXVIII.

Πρᾶγμα. εἰ γὰρ ἦν τὸ πρᾶγμα μὴ θεήλατον R. 255. ὅτου μῆνιν τοσήνδε πράγματος στήσας ἔχεις R. 699. πῶς γ' ἂν τό γ' ἆκον πρᾶγμ' ἂν εἰκότως ψέγοις; C. 977. μή μου δεηθῇς. Πράγματος ποίου; C. 1170. τὸ πρᾶγμ' ἄγειν οὐκ ὡς παρ' οὐδὲν A. 34. τὸ γὰρ πρᾶγμ' οὔτ' ἔδρασ', οὔτ' εἶδον ὅστις ἦν ὁ δρῶν A. 239. τὸ πρᾶγμα βουλεύσαντι A. 268. τοιοῦτον ἦν τὸ πρᾶγμα A. 407. ποῦ ποτ' εἰμὶ πράγματος; T. 375. ἐν τῷ πράγματος κυροῖ ποτέ; Aj. 314. τί δ' εἰδὼς τοῦδε πράγματος πέρι; Aj. 747. ἀρκτέον τὸ πρᾶγμα συν τάχει Aj. 853. τὸ σὸν φράσον αὖθις πάλιν μοι πρᾶγμα P. 341. πράγματος χάριν τίνος; P. 599. ἔχετε τὸ πρᾶγμα P. 789. φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα E. 320. πρᾶγμα πορσύνων μέγα E. 670. πῶς δῆτα τλήσει πρᾶγμ' ἐπεξελθεῖν τόδε; I. T. XXXVIII. 2. παραλλάσσει φρένας χρηστὰς πρὸς αἰσχρὰ πράγμαθ' ἵστασθαι βροτῶν A. 299.

Πρᾶγος. πρᾶγος δ' ἀτίζειν οὐδὲν ἄνθρωπον χρεὼν C. 1153. πρᾶγος ἄσκοπον ἔχει περάνας Aj. 21. προσβλέπειν γ' ἔξεστί σοι τὰ τοῦδε πράγη Aj. 347.

Πρακτέος. ἐκμαθεῖν τί πρακτέον R. 1439.

Πράκτωρ. Ζεὺς ὅτου πράκτωρ φανῇ T. 251. Κύπρις ἄναυδος φανερὰ τῶνδ' ἐφάνη πράκτωρ T. 864. εἶχον ἐλπίδας φόνου ποτ' αὐτὸν πράκτορ' ἵξεσθαι πατρὸς E. 953.

Πρᾶξις. δεινὴν γάρ τιν' ἂν πρᾶξιν τύχοις λέξας C. 560. τὴν αὐτοῦ σκοπῶν πρᾶξιν T. 152. ἀνδρὸς εὐτυχῆ κλύουσα πρᾶξιν T. 294. σχετλιώτατα πρός γε πρᾶξιν T. 881. ἥκει φέρων Αἴαντος ἡμῖν πρᾶξιν Aj. 790. οὐκ οἶδα τὴν σὴν πρᾶξιν Aj. 792. εἰ γὰρ αἱ τοιαίδε πράξεις τίμιαι R. 895. πρὸς τὰς πράξεις ἀντιδρᾶν C. 958. τάς τε πρόσθεν, τάς τε νῦν ἠλέγχομεν πράξεις A. 434. σοὶ κακὰς πράξεις ἐφυμνήσασα A. 1305.

Πράσσειν. ἦμαρ ἤδη ξυμμετρούμενον χρόνῳ λυπεῖ, τί πράσσει R. 74. ὅσα λέγει τις, ἢ πράσσει τις A. 689. αὐτὰ δή σοι ταῦτα καὶ πράσσω T. 600. κεῖνός γε πράσσει νῦν κακῶς P. 424. ἔξωρα πράσσω, κοὐκ ἐμοὶ προσεικότα E. 618. τί νῦν πράσσουσι; E. 1400. ἐν τάχει τι πράσσετον C. 500. σὺ μὲν τὰ σαυτῆς πρᾶσσε E. 677. κἂν αἰσχρὰ πράσσῃς, οὔποτ' αἰσχύνῃ πεσεῖ T. 597. πάρεσθ' ὅδε Κρέων τὸ πράσσειν καὶ τὸ βουλεύειν R. 1417. δίκαια πράσσειν C. 825. πάνθ' ὁπόσ' ἂν μέλλω πράσσειν πρόσφορά θ' ὑμῖν C. 1774. τὰ κηρυχθέντα μὴ πράσσειν τάδε A. 447. εἵλου ξὺν κακοῖς πράσσειν κακὰ A. 565. τῶν προκειμένων τί χρὴ πράσσειν; A. 1335. νέμειν τιν' ὥραν τοῦ καλῶς πράσσειν T. 57. καὶ γὰρ ὑστέρῳ τό γ' εὖ πράσσειν, ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ T. 93. εἴ τι μὴ δοκῶ πράσσειν μάταιον T. 5857. εἰ δὲ μὴ 'στί σοι φίλον πράσσειν τάδ' ἡμᾶς Aj. 1401. ταῦτα καὶ πράσσειν στυγῶ, ἔφυν γὰρ οὐδὲν ἐκ τέχνης πράσσειν κακῆς P. 88. πρὸς τί μενοῦμεν πράσσειν; P. 836. φίλα μοι, φίλα ταῦτα πράσσειν παρήγγειλας P. 1179. μὴ νῦν χρόνιοι μέλλετε πράσσειν P. 1449. οὐδ' ὁ μητρὸς νοῦς φιλεῖ τοιαῦτα πράσσειν E. 914. ὅστις πέρα πράσσειν γε τῶν νόμων θέλει E. 1506. δεινόν γε τούσδε μὲν πράσσειν καλῶς Alet. VII. 2. οὐ χρὴν τάδ' οὕτω δαίμονας θνητῶν πέρι πράσσειν Alet. VII. 6. οὐδὲν εἰς χάριν πράσσων R. 1353. ταῦτά μ' ἔφη πράσσοντα καλῶς χώραν ἕξειν αἰὲν ἄλυπον C. 1764. τὸ γὰρ περισσά πράσσειν οὐκ

ἔχει νοῦν οὐδένα A. 68. εἰ θέλεις ἔτι πράσσειν A. 70. οὐδ' ὃς ἂν βλαστῇ, μένει νοῦς τοῖς κακῶς πράσσουσιν A. 564. ἐμοὶ δὲ, σοῦ πράσσοντος εὐτυχῶς, πάτερ, οὐκ ἔστιν οὐδὲν κτῆμα τιμιώτερον A. 701. ταρβεῖν τὸν εὖ πράσσοντα μὴ σφαλῇ ποτε T. 297. ὅδ' ἦν ὁ πράσσων ταῦτα Aj. 1289. στρατὸν δ' Ἀχαιῶν οὐ φοβεῖ πράσσων τάδε; P. 1250. εἴτ' οὖν θεὸς, εἴτε βροτῶν ἦν ὁ ταῦτα πράσσων E. 200. φιλεῖ γὰρ ὀκνεῖν πρᾶγμ' ἀνὴρ πράσσων μέγα E. 320. κακῶς πράσσοντε μὴ μείζω κακὰ κτησώμεθα E. 1003. κακῶς πράσσοντι ξυμπαραινέσαι Ajax Locr. IV. 3. εὖ πράσσοντος ὀλβίσαι τύχας Tynd. I 1. ἐν ᾧ τι πράξεις; C. 645. πρὸς ταῦτα πράξεις οἷον ἂν θέλῃς C. 956. κεῖνό μοι λάθρα ἐξιδοῦ, ὅ τι πράξεις P. 851. ἣν δ' εὖ σκοπῶν εὕρισκον ἴασιν μόνην, ταύτην ἔπραξα R. 69. ἔπραξεν; Ἔπραξεν οἷον ἤθελε C. 1704. τίνος ποτ' ἆρ' ἔπραξε χειρὶ δύσμορος; Aj. 905. ἔπραξας ἔργον ποῖον, ὧν οὔ σοι πρέπον; P. 1227. ἐκ λόγων καλῶν κακῶς ἔπραξα P. 1269. σφῷν δ' ἡτέρα μολοῦσα πραξάτω τάδε C. 497. ταῦτά μοι πρᾶξον, τέκνον P. 1399. οὐδὲν γὰρ ἂν πράξαιμ' ἂν, ὧν οὐ σοὶ φίλον R. 862. ὅπως σοῦ πρὸς δόμους ἐλθόντος εὖ πράξαιμί τι R. 1006. οὐθ' ὅπως δρῶντες καλῶς πράξαιμεν A. 272. τίς ἂν τοιοῦδ' ὑπ' ἀνδρὸς εὖ πράξειεν ἂν C. 391. οὔτ' ἐμοῦ καταξίως πράξειας ἂν E. 801. ἴθι χαίρων, καὶ πράξειας κατὰ νοῦν τὸν ἐμὸν Iolaus II. 2. ὁποῖ' ἔπρασσον R. 1403. ταῦτ' ἂν οὐκ ἔπρασσον C. 951. πέπρακται πᾶν τὸ τοῦ θεοῦ I. T. C. 1. τὰ τοῦδε μὲν πεπραγμέν' ἔσται, τἀμὰ δ' ἡμαρτημένα R. 621. λέγω τι τούτων, ἢ οὐ λέγω πεπραγμένον; R. 1140. μὴ περαιτέρω πεπραγμέν' ᾖ μοι πάντα T. 666. οὐκ εἰμὶ τοῖς πεπραγμένοις δύσθυμος E. 549. ὡς τοῦτο νῦν πεπράξεται C. 861. ὡς εἰδῇς ἅπαν ᾖ ταῦτ' ἐπράχθη T. 681. ξένος γε τοῦ πραχθέντος R. 220. τῶν δὲ πραχθέντων τὰ μὲν ἄλγιστ' ἄπεστι R. 1236. τὰ πραχθέντ' εἶπαθ' ὡς βράχιστα C. 1115. ἃ δ' ἦν τὰ πραχθέντ', οὐδ' ὁ μῦθος ἐν βραχεῖ φράσαι πάρεστιν C. 1580. ἐν ἀργοῖς οὐδὲ τοῦτ' ἐπραξάμην R. 287.

Πρατός. πρατόν νιν ἐξεπέμψε T. 276.

Πραΰνειν. φύλλον, ᾧ μάλιστ' ἀεὶ κοιμῶ τόδ' ἕλκος, ὥστε πραΰνειν πάνυ P. 650.

Πρέπειν. θηρᾶν οὐ πρέπει τἀμήχανα A. 92. ὀργὴ πέπειρα, τῆς σε τυγχάνειν πρέπει T. 730. ὅταν τι δρᾷς ἐς κέρδος, οὐκ ὀκνεῖν πρέπει P. 111. οὐδὲ πᾶν ἀναπτύξαι πρέπει E. 639. πρέπει γὰρ ὡς τύραννος εἰσορᾷν E. 664. ῥῆσις βραχεῖα τοῖς φρονοῦσι σώφρονα πρὸς τοὺς τεκόντας καὶ φυτεύσαντας πρέπει Acris. V. 2. οὐ γάρ τι θεσμὰ τοῖσιν ἀστίταις πρέπει Alex. I. τἀμπεσόντα γ' εὖ θέσθαι πρέπει σοφὸν κυβευτὴν I. T. XXVIII. 1. ὁ πᾶς ἂν παρὼν ἐννέπειν πρέποι τάδε δίκα χρόνος E. 1254. ἔχει γὰρ οὕτως ὥστε μὴ σιγᾷν πρέπειν T. 1128. ἐπεὶ πρέπων ἔφυς πρὸ τῶνδε φωνεῖν R. 9. τοῦτ' ἐστὶν ἤδη κἀποθαυμάσαι πρέπον C. 1586. πρέπον γε κἂν ἦν δαίμονος τοῦ 'μοῦ τόδε Aj. 534. ἔπραξας ἔργον ποῖον ὧν οὔ σοι πρέπον; P. 1227. σιγώμενος γὰρ ἐστι θρηνεῖσθαι πρέπων Tyro XIII. 2.

Πρεσβεύειν. φήμ' ἔγωγε πρεσβεύειν πολὺ A. 720. πρεσβεύοντά με οὕτω γελᾶσθαι τοῦ κασιγνήτου πάρα C. 1422. Ὀλύμπου τοῦδ' ὁ πρεσβεύων πατὴρ Aj. 1389. μέγα πρεσβεύων Ἄργους τε γύαις Inach. II. 2. μὴ τὸ μητρὸς ὄνομα πρεσβεύσῃς πλέον T. 1067.

Πρεσβεῖον. πρεσβεῖα νείμας τῆσδε γῆς Aeg. I. 2.

Πρέσβυς. ὁ θ' ἡγεμὼν αὐτὸς θ' ὁ πρέσβυς R. 805. πρέσβυς ὡς μ' ὁρᾷ ὄχου παραστείχοντα R. 807. ὁ πρέσβυς Πόλυβος R. 941. ὦ πρέσβυ R. 1013. 1111. 1147. C. 1146. 1209. A. 1033. πλανάτας τις ὁ πρέσβυς C. 124. τίς ποθ' ὁ πρέσβυς; C. 143. Φοίνιξ ὁ πρέσβυς P. 562. πατέρα πρέσβυν P. 665.

Πρήθειν. πευκίνης λαβόντα λαμπάδος σέλας, πρῆσαι T. 1201.

Πρίαμος. Πριάμου μὲν υἱὸς P. 605.

Πρίασθαι. καπνοῦ σκιᾶς οὐκ ἂν πριαίμην A. 1171. οὐκ ἂν πριαίμην οὐδενὸς λόγου Aj. 477.

Πρίειν. δάφνην φαγὼν ὀδόντι πρῖε τὸ στόμα I. T. XCVIII.

Πρίνειν. ζωστῆρι πρισθεὶς ἱππικῶν ἐξ ἀντύγων Aj. 1030.

Πρίων. πρίονος ἐκβρώματ' ἐν τομῇ ξύλου T. 701.

Πρό. πρὸ τῶνδε φωνεῖν R. 10. πρὸ τοῦ θανόντος τήνδ' ἔθεσθ' ἐπιστροφὴν R. 134. ἐρῶ γὰρ καὶ πρὸ τῶνδε C. 810. πρὸ πολλῶν ἀσπίδων C. 1524. πρὸ πυλῶν A. 526. γόους πρὸ τοῦ θανεῖν A. 883. πρὸ χειρῶν τάδε φέρων A. 1279. πρὸ γάμων T. 504. χωρεῖν πρὸ δόμων T. 961. πρὸ τοῦ δέοντος P. 891. πατρῴων πρὸ θυρῶν E. 108. πρὸ Θηβῶν Ach. Conv. IV. 5. πρὸ χειρῶν Πολυΐδου Polyid. I. οὐ γὰρ πρὸ μοίρας ἡ τύχη βιάζεται I. T. IV.

Προάστιος. ἐκ προαστίου χωρεῖ E. 1434. ὅρια κελεύθου τῆσδε γῆς προαστίας Phrix I.

Προβαίνειν. ὁ μὲν χρόνος δὴ διὰ χρόνου προὔβαινέ μοι P. 285. ποίᾳ ξύμμετρος προὔβην τύχῃ; A. 387. προβᾶθ' ὧδε, βᾶτε, βᾶτ', ἔντοποι C. 841. ἔτ' οὖν, ἔτι προβῶ; C. 178. προβᾶσ' ἐπ' ἔσχατον θράσους A. 853.

Προβάλλειν. ἐμαυτὸν εἰς ἀρὰς δεινὰς προβάλλων R. 745. κάρα προβάλλων ἱππικῶν ὀχημάτων E. 740. ἐπεί μοι τὴν θέμιν σὺ προὔβαλες T. 812. ἀκτῆς ἐν ᾗ με προυβάλου ἄφιλον P. 1017.

Πρόβλημα. μηδὲν φόβου πρόβλημα μηθ' αἰδοῦς ἔχων Aj. 1076. πόντου πρόβλημα Aj. 1218. λαβὼν πρόβλημα σαυτοῦ παῖδα τόνδ' ἀγνῶτά μοι P. 1008.

Προβλής. ὦ λιμένες, ὦ προβλῆτες P. 936. πόντου προβλῆς P. 1455.

Προβλητός. ῥιφθῶ κυσὶν προβλητὸς οἰωνοῖς θ' ἕλωρ Aj. 830.

Προβοᾶν. προβοᾷ γάρ τι δεινὸν P. 218.

Προβολή. δείματος ἦν μοι προβολὰ καὶ βελέων θούριος Αἴας Aj. 1212.

Πρόγονος. ὦ Ζεῦ, προγόνων προπάτωρ Aj. 386. ἰὼ πόνοι πρόγονοι πόνων Aj. 1197.

Προδείδειν. οὔτ' οὖν προδείσας εἰμὶ τῷ γε νῦν λόγῳ R. 90.

Προδεικνύναι. σκήπτρῳ προδεικνὺς R. 456. ὅταν προδείξῃς οἷόν ἐστι τὸ φθονεῖν R. 624.

Πρόδηλος. λεύσσω γὰρ Αἴγισθον ἐκ προδήλου E. 1429.

Προδήλως. καλόν μοι τοὐδ' ὑπερπονουμένῳ θανεῖν προδήλως Aj. 1311.

Προδιδάσκειν. ὧν με προὐδιδάξατο, οὐδὲν παρῆκα T. 684. οὐ δύνατον τοὺς ἀνοήτους τούτων γνώμας προδιδάσκειν Aj. 163. εὖ προυδίδαξεν ἐν κακοῖς εἶναι σοφὸν P. 1015.

Προδιδόναι. τί δράσετ'; ἦ προδώσετε; C. 822. οὔ σε μὴ προδῶ C. 649. μή με ταρβήσας προδῷς P. 756. ἐννοεῖς ἡμᾶς προδοῦναι R. 331. μήποτε προδοῦναι τάσδ' ἑκὼν C. 1634. τὰς ἡδονὰς ὅταν προδῶσιν ἄνδρες A. 1161. οὐ γὰρ δὴ προδοῦσ' ἁλώσομαι A. 46. ἐπ' ἀργύρῳ γε τὴν ψυχὴν προδοὺς A. 322. μὴ προδοὺς ἡμᾶς γένῃ Aj. 588. δειλίᾳ σε καὶ κανανδρίᾳ προδόντα Aj. 1014. χάρις διαρρεῖ καὶ προδοῦσ' ἁλίσκεται Aj. 1267. προδούς μ' ἔοικε κἀκλιπὼν τὸν πλοῦν στελεῖν P. 911. πατέρα καὶ φίλους προδοῦσα σοὺς E. 368. ἀπόλωλα τλήμων, προδέδομαι P. 923.

Προδότης. ὀκνῶ προδότης καλεῖσθαι P. 94.

Πρόδοτος. Ἀγαμέμνονα κακᾷ χειρὶ πρόδοτον E. 126. τὸν ἐμὸν εἶλον πρόδοτον βίον E. 208. πρόδοτος δὲ μόνα σαλεύει Ἠλέκτρα E. 1074.

Πρόδρομος. φυγάδα πρόδρομον R. 108.

Προέπειν. κηρύγματι, ᾧπερ προεῖπας, ἐμμένειν R. 351.

Προέχειν. τέχνα γὰρ τέχνας ἑτέρας προὔχει P. 138. τῇ δ' ἐπιστήμῃ σύ που προὔχοις τάχ' ἂν μου R. 1116. οὔποτ' ἔκ γ' ἐμοῦ τιμὴν προέξουσ' οἱ κακοὶ τῶν ἐνδίκων A. 207. σὺ μὲν τάδ' ἂν προὔχοιο A. 80.

Προηγητής. προηγητοῦ τινὸς δεῖται R. 1292. τοῖς τυφλοῖσι γὰρ αὕτη κέλευθος ἐκ προηγητοῦ πέλει A. 990.

Προθυμεῖσθαι. ἐν οἷς χαίρειν προθυμεῖ T. 1120.

Προθυμία. σ' ἥδε γῆ σωτῆρα κλῄζει τῆς πάρος προθυμίας R. 48. τίς ποθ' ἡ προθυμία; R. 838. ὥστε μήποτ' ἂν προθυμίαν ἄδηλον ἔργου τῳ παραινέσαι λαβεῖν T. 671. δέδοικ' ἀκούων τήνδε τὴν προθυμίαν Aj. 583.

Πρόθυμος. τῇ σῇ πρόθυμος εἰς ὁδὸν κυνηγίᾳ Aj. 37. ὧν πρόθυμος ἦσθ' ἀεὶ E. 3.

Προΐεσθαι. τοὺς ἐρῶντας ἵμερος δρᾷν

καὶ τὸ μὴ δρᾶν πολλάκις προΐεται Achill. Amat. I. 9.

Προῖκα. *κακὸν μὲν δρᾶν τι προῖκ' ἐπίσταται* I. T. C. 6.

Προιστάναι. *πρόστητ' ἀναγκαίας τύχης* Aj. 803. *ἦ σοὶ γὰρ Αἴας πολέμιος προὔστη ποτέ;* Aj. 1133. *ψυχῆς ἀφειδήσαντε προυστήτην φόνου* E. 980. *σὲ λιπαρεῖ προὔστην χερὶ* E. 1378. *προστῆναι μέσην τράπεζαν* Tyro VIII.

Προκάμνειν. *τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δορὶ* Aj. 1270.

Προκεῖσθαι. *ὧν νόμοι πρόκεινται ὑψίποδες* R. 865. *ὅθεν προὔκειτο* T. 704. *χρυσήλατος προὔκειτο μαστῶν περονὶς* T. 927. *θανόντες ἂν προὐκείμεθ' αἰσχίστῳ μόρῳ* Aj. 1059. *φόνον προκεῖσθαι δημόλευστον* A. 36. *ψεύδοντες οὐδὲν σημάτων προκειμένων* C. 1512. *νόμους ὑπερβαίνουσα τοὺς προκειμένους* A. 481. *κτίσον δὲ τῷ προκειμένῳ τάφον* A. 1101. *τῶν προκειμένων τί χρὴ πράσσειν;* A. 1334.

Προκήδεσθαι. *σοῦ γὰρ οὖν προκήδομαι* A. 741. *φίλου προκηδομέναν βαρεῖαν ἄψοφον φέρει βάσιν* T. 968.

Προκηραίνειν. *κείνου προκηραίνουσα* T. 29.

Προκηρύσσειν. *τοῖσι μὴ εἰδόσι σαφῆ προκηρύξαντα* A. 34. *κεἰ μὴ σὺ προὐκήρυξας* A. 461. *ἤσθετ' ἀνδρὸς ὀρθίων κηρυγμάτων δρόμον προκηρύξαντος* E. 684.

Προκλαίειν. *προὔκλαιον, ὀξύφωνος ὡς ἀηδὼν* T. 965.

Προκλίνειν. *ἐς χέρα σῶμα σὸν προκλίνας φιλίαν ἐμὰν* C. 201.

Πρόκνη. *ἄλγεινα, Πρόκνη, δῆλον* Ter. II. 1.

Προλαμβάνειν. *εἰ πρὸ τοῦ μοῦ προὔλαβες τὰ τῶνδ' ἔπη* C. 1141.

Προλέγειν. *ἐγώ σοι ταῦτα προὔλεγον* R. 973.

Προλείπειν. *πατέρα τὸν σὸν ἐν γήρᾳ λυγρῷ προλείπων* Aj. 507. *οὐδ' ἐθέλω προλιπεῖν τόδε* E. 132.

Προλεύσσειν. *δοκῶ προλεύσσειν* P. 1360.

Προμανθάνειν. *ἀνάγκῃ προὔμαθον στέργειν κακὰ* P. 538.

Πρόμαντις. *πρόμαντις Δίκα* E. 475.

Πρόμαχος. *λόγχα προμάχου δορὸς* T. 858.

Προμήθεια. *ἀλλ' ἡ χάρις μὲν τῆς προμηθείας μενεῖ* P. 557. *ποῖ μ' ἀτιμίας ἄγεις; Ἀτιμίας μὲν οὔ, προμηθείας δέ σου* E. 1036. *ὑπεξεπέμφθην σῇ προμηθείᾳ χεροῖν* E. 1350.

Προμηθεύς. *Τιτὰν Προμηθεὺς* C. 56.

Προμηθής. *οὔτε τι τοῦ θανεῖν προμηθὴς* E. 1078.

Προμηθία. *τέκνον, τί δ' ἦλθες; Σῇ, πάτερ, προμηθίᾳ* C. 332. *ἡ πρὸς ἡμᾶς ἔνδικος προμηθία* C. 1043. *ἐν τοῖς τοιούτοις ἐστὶν ἡ προμηθία καὶ τῷ λέγοντι καὶ κλύοντι σύμμαχος* E. 990. *προμηθία γὰρ κέρδος ἀνθρώποις μέγα* I. T. XXX. 3.

Προμηνύειν. *ἀλλ' οὖν προμηνύσῃς γε τοῦτο μηδενὶ* A. 84.

Προμνᾶσθαι. *προμνᾶταί τί μοι γνώμα* C. 1075.

Πρόμος. *τὸν πάντων θεῶν θεὸν πρόμον Ἅλιον* R. 661. *ἰὼ πᾶς λεώς, ἰὼ γᾶς πρόμοι* C. 884.

Προνέμεσθαι. *προνέμεται τὸ δυσέριστον αἷμα φυσῶν Ἄρης* E. 1384.

Πρόνοια. *πρόνοια δ' ἔστιν οὐδένος σαφὴς* R. 978. *μή σοι πρόνοι' ᾖ τοῦ θεοῦ φυλακτέα* C. 1180. *δαίμονας λέγων πρόνοιαν ἴσχειν τοῦδε τοῦ νεκροῦ πέρι* A. 283. *τοὔπος τὸ θεοπρόπον τᾶς παλαιφάτου προνοίας* T. 825. *ἐπῄνεσ' ἔργον καὶ πρόνοιαν ἣν ἔθου* Aj. 536. *θάρσει προνοίας γ' οὕνεκα* P. 774. *προνοίας οὐδὲν ἀνθρώποις ἔφυ κέρδος λαβεῖν ἄμεινον* E. 1015.

Πρόνοος. *τούτου τίς ἀνδρὸς ἂν προνούστερος* Aj. 119.

Προξενεῖν. *ἐλπίς, ἥτις καὶ θράσους τι προξενεῖ* T. 728. *ὡς πᾶν τελοῦντι προξένει* C. 465. *αἳ τοῦ φυτουργοῦ πατρὸς ὑμὶν ὧδ' ὁρᾶν τὰ πρόσθε λαμπρὰ προὐξένησαν ὄμματα* R. 1483.

Πρόξενος. *φίλης γὰρ προξένου κατήνυσαν* E. 1451.

Πρόπας. *πρόπας στόλος* R. 169. *πρόπαντα κακὰ* C. 1237. *τοῦ πρόπαντος ἁμετέρου πότμον* A. 860.

Προπάσχειν. *ὧν προπάθῃ, τίνειν* C. 229.

Προπάτωρ. *ὦ Ζεῦ, προγόνων προπάτωρ* Aj. 387.

Προπέμπειν. *ἰοὺς ἀφύκτους, καὶ προπέμποντας φόνον* P. 105. *φήμας λάθρα προὔπεμπες* E. 1155. *Φοῖβος εἰ προὔπεμψέ σε* C. 665. *ὅς σ' ὧδ'*

ἐμοὶ προὔπεμψεν E. 1158. ἢ γένυν, ἢ βελέων τι προπέμψατε P. 1205. οἱ προπέμψαντες φίλων C. 1667. ὦ κακάγγελτά μοι προπέμψας ἄχη A. 1286.

Προπετής. τοιόνδε κεῖται προπετὲς T. 703. ζῇ γὰρ προπετὴς T. 978.

Προπηλακίζειν. τουμὸν στόμα προπηλάκιζε R. 428.

Προπιτνεῖν. αἰτῶ, προπιτνῶ, λίσσομαι E. 1380.

Προπόνειν. γᾶς προπονουμένας R. 685.

Πρόπυλον. ὅσοιπερ πρόπυλα ναίουσιν τάδε E. 1375.

Πρόῤῥητος. ἐμοὶ τάδ' ἦν πρόῤῥητα T. 686.

Πρόῤῥιζος. πρόῤῥιζος ἐκριφθεὶς E. 512. τὸ πᾶν δὴ δεσπόταισι τοῖς πάλαι πρόῤῥιζον ἔφθαρται γένος E. 765.

Πρός. θανεῖν πρός τινων R. 292. μὴ, πρὸς θεῶν, φρονῶν γ' ἀποστραφῇς R. 326. πρὸς τοῦ διδαχθείς; R. 357. μιᾶς τρέφει πρὸς νυκτὸς R. 374. πρὸς ἐμοῦ πεσεῖν R. 376. πρὸς τούτου κλύειν R. 429. ἔμαθον πρὸς ὅτου δὴ βασάνῳ R. 492. πρὸς τοῦ δ' ἐφάνθη; R. 525. πρὸς τῆς τύχης ὄλωλε R. 949. πρὸς δίκης οὐδὲν τρέμων R. 1014. πρὸς θεῶν, πρὸς μητρὸς, ἢ πατρὸς, φράσον R. 1037. χορεύεσθαι πρὸς ἡμῶν R. 1093. πρὸς τίνος ποτ' αἰτίας τέθνηκεν; R. 1235. πρὸς σοῦ γὰρ, οὐδ' ἐμοῦ, φράσω R. 1434. βίον οἷον βιῶναι σφὼ πρὸς ἀνθρώπων χρεὼν R. 1488. μανθάνειν ξένοι πρὸς ἀστῶν C. 13. τίς πρὸς ἀνδρὸς μὴ βλέποντος ἄρκεσις; C. 73. γῆς ἐμῆς ἀπηλάθην πρὸς τῶν ἐμαυτοῦ σπερμάτων C. 600. εὑροῦσαν πρὸς ὁμαίμων πάθη C. 1077. πρός νυν σε κρηνῶν, πρὸς θεῶν αἰτῶ πιθέσθαι C. 1333. πρὸς κυνῶν ἐδεστὸν A. 206. πρὸς σου τὰ δείν' ἐπηπειλημένοι A. 408. πρὸς ἀνδρὸς ἐκπεσεῖν A. 679. τί πρὸς παίδων πατρὶ ἄγαλμα μεῖζον; A. 704. διδαξόμεσθα δὴ φρονεῖν πρὸς τηλικοῦδε A. 727. πρὸς θεῶν πατρῴων A. 838. ἔρημος πρὸς φιλῶν A. 919. οἷα πρὸς οἵων ἀνδρῶν πάσχω A. 942. τὸν πρὸς Σάρδεων ἤλεκτρον A. 1037. ἢ πρὸς οἰκείας χερὸς; Αὐτὸς πρὸς αὑτοῦ A. 1176. αἰτίαν γε τῶνδε κἀκείνων ἔχων πρὸς τῆς θανούσης τῆσδ' ἐπεσκήπτου μόρων A. 1313. πρὸς ἀνδρὸς ἢ τέκνων φοβουμένη T. 150. πρὸς θεῶν εἱμαρμένα T. 169. πρὸς σοῦ τι κερδάναιμι T. 191. λύπην πρός γ' ἐμοῦ λαβεῖν T. 331. δεῖ γὰρ καὶ τὸ πρὸς κείνου λέγειν T. 479. διάβορον πρὸς οὐδενὸς τῶν ἔνδον T. 678. πρὸς γ' ἐμοῦ στυγούμενον T. 740. αὐτὴ πρὸς αὑτῆς χειροποιεῖται τάδε T. 893. ἄκουσα πρὸς τοῦ θηρὸς ἔρξειεν τάδε T. 936. πρὸς τῶν πνεόντων μηδενὸς θανεῖν ὕπο T. 1161. πρὸς τοῦ σοῦ τέκνου καὶ θεῶν ἱκνοῦμαι Aj. 587. ἐθηλύνθην στόμα πρὸς τῆσδε τῆς γυναικὸς Aj. 651. πίπτειν βαρείαις πρὸς θεῶν δυσπραξίαις Aj. 759. πρὸς ἐχθρῶν του κατοπτευθεὶς Aj. 829. ταῦτ' οὐκ ἀκούειν μεγάλα πρὸς δούλων κακά; Aj. 1235. τοὺς πρὸς αἵματος Aj. 1305. τητώμενος πρὸς τοῦ κακίστου P. 384. πρὸς τ' εἴ τί σοι κατ' οἶκόν ἐστι προσφιλὲς P. 469. νεῦσον, πρὸς αὐτοῦ Ζηνὸς ἱκεσίου P. 484. τίσω φόνον πρὸς τοῦ δοκοῦντος μηδὲν εἰδέναι κακὸν P. 960. γελώμενος πρὸς σοῦ P. 1022. οἷα χρὴ παθεῖν με πρὸς τούτων P. 1359. λαβὼν πρὸς σῆς σ' ὁμαίμου E. 12. πρὸς θεῶν ὡρμημένος E. 70. μηδὲν πρὸς ὀργὴν, πρὸς θεῶν E. 369. ταῦτ' ἐστὶ τἄπη πρὸς κακῶν ἐπαινέσαι E. 402. σ' ἔσπασε πειθὼ κακοῦ πρὸς ἀνδρὸς E. 562. πρὸς τέκνων διπλῆ φύλοπις οὐκ ἔτ' ἐξισοῦται E. 1071. μὴ, πρὸς γενείου, μὴ 'ξέλῃ τὰ φίλτατα E. 1208. πρὸς δίκης γὰρ οὐ στένεις E. 1211. τὰς ἡδονὰς πρὸς σοῦ λαβοῦσα E. 1303. κακὸν τὸ κεύθειν, κοὐ πρὸς ἀνδρὸς εὐγενοῦς Aloadæ II. ἀγαθοὶ πρὸς ἀγεννήτων κατανικῶνται Aloadæ VII. 2. πρὸς ἱμέρου νικωμένη I. T. XVI. 4. τὰ πρὸς ποσὶ σκοπεῖν R. 130. πρὸς πέδῳ κεῖται R. 181. πρὸς αὐτῷ γ' εἰμὶ τῷ δεινῷ λέγειν R. 1169. τίς ὁ πηδήσας δαίμων πρὸς σῇ δυσδαίμονι μοίρᾳ; R. 1302. πρὸς ἄλσεσιν θεῶν C. 10. δεινὰ πρὸς κακοῖς κακὰ C. 595. πρὸς Πυθίαις ἢ λαμπάσιν ἀκταῖς C. 1047. πρὸς σοὶ, πάτερ, παρασταθήτω C. 1267. Σιπύλῳ πρὸς ἄκρῳ A. 825. ὑπτία δὲ κλίνομαι δείσασα πρὸς δμωαῖσι A. 1189. δέκα μῆνας πρὸς ἄλλοις πέντε T. 45. πρὸς κακοῖς τοῖς

οὖσι λύπην T. 330. ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στράτῳ; Aj. 95. ἦ καὶ πρὸς Ἀτρείδαισιν ᾔχμασας χέρα; Aj. 97. θρηνεῖν ἐπῳδὰς πρὸς τομῶντι πήματι Aj. 582. πρὸς θυρῶνος ἐξόδοις ἐλθοῦσα φωνεῖς E. 328. ταῦτα πρὸς κακοῖσι δειλίαν ἔχει E. 351. τῇδε πρὸς πύλῃ παρεὶς ἐμαυτὴν E. 818. ἵλεως αὐτοῖν κλύε, ἐμοῦ δὲ πρὸς τούτοισιν E. 1377. πρὸς οἶκον οὐκ ἔθ' ἵκετο R. 115. ἀκτὰν πρὸς ἑσπέρου θεοῦ R. 178. φώνημ' ἰὸν πρὸς καιρὸν R. 325. πρὸς τάδ', εἰ θέλεις, θυμοῦ δι' ὀργῆς R. 343. πρός σ' ἀποσκοποῦσα R. 746. ἐξ ὁδοῦ με πρὸς βίαν ἠλαυνέτην R. 805. πρὸς τί τοῦτο τοὔπος ἱστορεῖς; R. 1144. πρὸς χάριν μὲν οὐκ ἐρεῖς R. 1152. πρὸς οἶκον ἴξεσθε R. 1491. πρὸς γάμων ἐλθεῖν ἀκμὰς R. 1492. πρός σ' ὅ τι σοι φίλον ἐκ σέθεν ἄντομαι C. 250. βλέπειν δὲ πρὸς τοὺς δυσσεβεῖς C. 280. πρὸς οὐρανὸν βιβῶν C. 381. στάντα πρὸς πρώτην ἕω C. 477. πρὸς τοὺς φίλους οἷ' ἀνταμείβει C. 813. τῆς πρὸς ἡμᾶς ἐνδίκου προμηθίας C. 1043. μὴ θαύμαζε πρὸς τὸ λιπαρὲς C. 1119. πρόσφορά θ' ὑμῖν, καὶ τῷ κατὰ γῆς πρὸς χάριν C. 1776. πρὸς τοὺς φίλους στείχοντα τῶν ἐχθρῶν κακὰ A. 10. πρὸς ἄνδρας οὐ μαχουμένα A. 62. πρὸς αἰσχρὰ πράγμαθ' ἵστασθαι A. 299. ὅτῳ φρένας θεὸς ἄγει πρὸς ἄταν A. 624. πρὸς ταῦτ' ἐφυμνείτω Δία ξύναιμον A. 658. πρὸς κενὰς γνώμας λέγειν A. 753. πρὸς ἕρμα τυμβόχωστον ἔρχομαι A. 848. πρὸς οὓς ἀραῖος, ἄγαμος ἔρχομαι A. 867. πορεύομαι πρὸς τοὺς ἐμαυτῆς A. 893. τίνος νόμου δὴ ταῦτα πρὸς χάριν λέγω; A. 908. σὺ δ' ἡμᾶς ἄπαγε πρὸς δόμους A. 1087. τἄλλ' ἐγὼ οὐκ ἂν πριαίμην ἀνδρὶ πρὸς τὴν ἡδονὴν A. 1171. πρὸς ἔξοδον στείχουσα A. 1184. πρὸς λιθόστρωτον κόρης νυμφεῖον Ἅιδου κοῖλον εἰσεβαίνομεν A. 1204. δύντες πρὸς αὐτὸ στόμιον A. 1217. πρὸς πότερον ἴδω; A. 1342. πρὸς καιρὸν ἐννέπειν T. 59. στείχονθ' ὁρῶ τιν' ἄνδρα πρὸς χάριν λόγου T. 179. πρὸς τόξου κρίσιν T. 266. πρὸς κλιτὺν ἵκετο T. 271. χωροῦσι πρὸς σὲ T. 285. πρὸς μὲν γὰρ φύσιν πάντων ἄπειρος τῶνδε T. 308. πρὸς σὲ δηλῶσαι τὸ πᾶν T. 369. πρὸς τίν' ἐννέπειν δοκεῖς; Πρὸς τὴν κρατοῦσαν Δηάνειραν T. 405. κακὸν πρὸς ἄλλον εἶναι, πρὸς δ' ἔμ' ἀψευδεῖν ἀεὶ T. 469. ῥιπτεῖ πρὸς ἀμφίκλυστον ἐκ πόντου πέτραν T. 782. σχετλιώτατα πρός γε πρᾶξιν T. 881. εἰ φοβεῖ πρὸς τοῦτο T. 1213. πρὸς καιρὸν πονῶ Aj. 38. πρὸς τί δυσλόγιστον ὧδ' ᾖξεν χέρα; Aj. 40. πρός τε ποίμνας ἐκτρέπω Aj. 53. δεθεὶς πρὸς κίονα Aj. 108. χωρῶ πρὸς ἔργον Aj. 116. πρὸς γὰρ τὸν ἔχονθ' ὁ φθόνος ἕρπει Aj. 157. εἶπε πρός με βαιὰ Aj. 292. πότερα πρὸς οἴκους πέλαγος Αἰγαῖον περῶ; Aj. 460. ἕως τὸ χαίρειν καὶ τὸ λυπεῖσθαι μάθῃς, ὅταν δ' ἵκῃ πρὸς τοῦτο Aj. 556. φυσῶντ' ἄνω πρὸς ῥῖνας Aj. 918. χωρεῖ δύη πρὸς ἧπαρ Aj. 938. πρὸς οἷα δουλείας ζυγὰ χωροῦμεν Aj. 944. πρὸς μῆλα καὶ ποίμνας πεσεῖν Aj. 1061. πρὸς ἡμᾶς ἀντὶ σοῦ λέξει τὰ σὰ Aj. 1261. πρὸς βίαν θαψεῖν Aj. 1327. πρὸς βίαν τὸν ἄνδρ' ἄγειν P. 90. τὸν σκοπὸν πρὸς ναῦν ἀποστελῶ P. 125. πρὸς ἐμὴν αἰεὶ χεῖρα προχωρῶν P. 148. τὰ παθήματα κεῖνα πρὸς αὐτὸν ἐπέβη P. 193. τοῦ πρὸς Ἴλιον στόλου P. 247. πλέω πρὸς οἴκους P. 383. μολῶ πρὸς Οἰταίαν χθόνα P. 479. πρὸς τὸ καίριον πονεῖν P. 525. πρὸς ταὐτὸν ὁρμισθεὶς πέδον P. 546. τί με κάτα σκότον ποτὲ διεμπολᾷ λόγοισι πρός σ' ὁ ναυβάτης; P. 579. λόγον κρύψας πρὸς ἡμᾶς P. 588. ὡς οὐκ ἔτ' ὄντος γὰρ τὰ συμβόλαιά σοι πρὸς τὰς παρούσας ξυμφορὰς ἐφαίνετο P. 884. πόλλ' ἂν λέγειν ἔχοιμι πρὸς τὰ τοῦδ' ἔπη P. 1047. εἰ δὲ μή τι πρὸς καιρὸν λέγων κυρῶ, πέπαυμαι P. 1279. κακοὺς πρὸς αἰχμήν, ἐν δὲ τοῖς λόγοις θρασεῖς P. 1307. πρὸς ὅ τι σὺ τῶν ἔνδον εἶ περισσὰ E. 155. αὐτὴ πρὸς αὑτὴν .... κλαίω E. 285. μηδὲν πρὸς ὀργήν, πρὸς θεῶν E. 369 πρὸς ταῦτα φράζου E. 383. πολλὰ τοὺς πολλούς με δὴ ἐξεῖπας E. 520. λύσις στρατῷ πρὸς οἶκον E. 574. ποίας δὲ δεῖ μοι πρός γε τήνδε φροντίδος; E. 612. πρὸς ὀργὴν ἐκφέρει E. 628. οὐδὲ πᾶν ἀναπτύξαι πρέπει πρὸς φῶς E. 640. ἐπεμπόμην πρὸς ταῦτα, καὶ τὸ πᾶν φράσω E. 680. φορούμενος πρὸς οὖδας E. 752. ἦ γε

μηδὲ πρὸς θεοὺς ἔξεστ' ἀκλαύστῳ τῆσδ' ἀποστῆναι στέγης E. 911. οὐ πρὸς ἡδονὴν λέγω; E. 921. πατρὸς πρὸς τάφον κτερίσματα E. 931. φιλεῖ γὰρ πρὸς τὰ χρηστὰ πᾶς ὁρᾶν E. 972. ἤ φίλων τις, ἢ πρὸς αἵματος φύσιν E. 1125. πρὸς τί τοῦτ' εἰπὼν κυρεῖς; E. 1176. πρὸς πιστὰς ἐρεῖς E. 1204. σὲ θεὸς ἐπῶρσεν ἡμέτερα πρὸς μέλαθρα E. 1267. Ἑρμῆς σφ' ἄγει πρὸς αὐτὸ τέρμα E. 1397. σὺ δ' ἐκτὸς ἦξας πρὸς τί; E. 1402. ὡς ὁρούσῃ πρὸς δίκας ἀγῶνα E. 1441. τῆσδε γῆς τὸ πρὸς Νότον Aeg. I. 5. πρὸς χάριν τε, κοὐ βίᾳ λέγω Aeth. I. 1. τί χρὴ πρὸς ταῦτα λέγειν; Aloadæ VII. 1. οὐδεὶς ἐχθρὸς οὐδὲ φύεται πρὸς χρήματα Aloadæ XI. 5. ἕρπειν ἔς τε τἄβατα καὶ πρὸς τὰ βατὰ Aloadæ XI. 6. πρὸς τὴν ἀνάγκαν οὐδ' Ἄρης ἀνθίσταται Thyest. I. πρὸς ταῦτα κρύπτε μηδὲν Hippon. I. ἐγὼ δὲ πεινῶσ' αὖ πρὸς ἴτρια βλέπω Iris I. τόλμῃ πρὸς τὸ δεινὸν ἔρχεται Creusa I. ἔστι πρὸς τὰ χρήματα θνητοῖσι τἄλλα δευτέρα Creusa IV. 4. τάφῳ κρυφθέντα πρὸς τὸ φῶς ἄγειν Scyr. VI. 5. διεμπολοῦμεθα ξένους πρὸς ἄνδρας Tereus VII. 9. πρὸς βίαν πιεῖν I. T. XLIII. 2. πρὸς οἷον ἥξεις δαίμονα I. T. LII. 1. πρὸς τύραννον ἐμπορεύεται I. T. LIV. 1.

Προσάγειν. ἑκατὸν προσῆγε συμμιγῆ βοσκήματα T. 764. τίς προσήγαγε χρεία; P. 236. τὰ πρὸς ποσὶ σκοπεῖν μεθέντας ἡμᾶς τἀφανῆ προσήγετο R. 131.

Προσᾴδειν. κἀμοὶ προσᾴδεθ', ὥστε γιγνώσκειν, ὅτι ταῦτ' ἐξ Ἀτρειδῶν ἔργα P. 405.

Προσάπτειν. μεῖζον προσάπτει τῆς νόσου τὸ φάρμακον Tereus IV. 4. τῷ τεθνηκότι τιμὰς προσάψειν E. 355. τάδ' εἰ κακοῖς κακὰ πόλις προσάψει R. 668. ἐμοὶ τρίτον ῥίπτοντι Δωτιεὺς ἀνὴρ ἀγχοῦ προσῆψε Acris. XII. 2. μή τι πέρα χρέος ἐμᾷ πόλει προσάψῃς C. 235. τύμβῳ προσάψῃς μηδὲν E. 432.

Προσαρκεῖν. προσαρκεῖν πᾶν θελόντα R. 12. κείνῳ προσαρκῶν R. 141. ὡς ἂν προσαρκῶν σμικρὰ κερδάνῃ μέγα C. 72. πᾶσι δεῖξαι καὶ προσαρκέσαι χάριν Polyx. III. 2.

Προσαρμόζειν. ἀντὶ δώρων δῶρα χρὴ προσαρμόσαι T. 494.

Προσαυδᾶν. Τρωϊκὰ πεδία προσαυδῶ Aj. 863. προσαυδᾶν μήτε τούσδε μήτ' ἔμ' ἐννέπω R. 352. μητέρ' εἰ χρεὼν ταύτην προσαυδᾶν E. 274. σὲ μὲν προσαυδήσω ξυνὼν Aj. 855. ἐγὼ δ' ἀδελφὴ σοὶ προσηυδώμην ἀεὶ E. 1148.

Προσβαίνειν. τίς σ', ὦ τλήμων, προσέβη μανία; R. 1300. προσέβα γὰρ οὐκ ἄν ποτ' ἀστιβὲς ἄλσος τόδε C. 125. πῶς γὰρ ἂν προσβαίη μακράν; P. 42.

Προσβάλλειν. εὔκλειαν ὅσην σαυτῇ προσβαλεῖς E. 974. μή μ' ἀνάγκῃ προσβάλῃς τάδ' εἰκάθειν C. 1178. τὰ μὲν οὔτι προσέβαλε T. 846. στέργημα προσβαλεῖν σέθεν δοκοῦσα T. 1140. ἐμοὶ πικρὰς ὠδῖνας αὐτοῦ προσβαλὼν ἀποίχεται T. 42. ὅρκον αὐτῷ προσβαλὼν διώμοσε T. 255. προσβαλοῦσ' ὅσα ζῶν κεῖνος εἶπε T. 580.

Προσβιβάζειν. προσβίβαζε, κούρα C. 180.

Προσβλέπειν. τὸν δ' ἔναντα προσβλέπω νεκρὸν A. 1298. προσβλέπειν γὰρ οὐ σθένω R. 1486. προσβλέπειν δ' ἔξεστί σοι τὰ τοῦδε πράγη Aj. 346. ὦ φῶς, τελευταῖόν σε προσβλέψαιμι νῦν R. 1183. ἐπεί σφ' ἐγὼ ᾤκτειρα δὴ μάλιστα προσβλέψασα T. 463. καί με προσβλέψας καλεῖ T. 798. προσβλέψασ' ἐμοῦ σφραγῖδα πατρὸς E. 1222.

Προσβολή. βραδεῖα μὲν γὰρ ἐν λόγοισι προσβολὴ I. T. LXX. 1.

Προσγίγνεσθαι. γνώσει κακοῦ θυμοῦ τελευτὴν, ὡς κακὴ προσγίγνεται C. 1198. τοῖς γὰρ θανοῦσι μόχθος οὐ προσγίγνεται T. 1175. κακῶς πάσχοντι μῖσος ὧν τέκῃ προσγίγνεται E. 771.

Πρόσδεγμα. τὰ τῆς ξένης ὁρῶν προσδέγματα T. 627.

Προσδεῖ. μή μοι μεταξὺ προσδεήσειεν Herc. II. 2.

Προσδέρκεσθαι. προσδέρκου, προσφθέγγου πανταχῇ C. 121.

Προσδιαφθείρειν. καὶ σὲ προσδιαφθερῶ ξυνὼν P. 76.

Προσδιδόναι. βορᾶς μέρος προσέδοσαν οἰκτείραντες P. 308.

Προσδοκᾶν. μηδὲ προσδόκα τάδε T. 367. καί τι προσδοκῶ νέον P. 784.

Πρόσεδρον. ἐκ προσέδρου λιγνύος διάστροφον ὀφθαλμὸν ἄρας T. 796.

Προσείδειν. ὄμμασιν ποίοις βλέπων πατέρα ποτ' ἂν προσεῖδον; R. 1372. σπείρων μόνον προσεῖδε T. 33. ὧν προσεῖδον ὀφθαλμοῖς ἐγὼ Aj. 993. προσεῖδον νυκτὶ τῇδε φάσματα E. 644. ἄλλον δ' ἂν ἄλλῳ προσίδοις R. 175. τὰς ἱερὰς ὅπως προσίδοιμ' ἂν Ἀθήνας Aj. 1221. μή μ', ἱκετεύω, προσίδητ' ἄνομον C. 142. τύμβον θέλομεν προσιδεῖν C. 1756. τόπον προσιδεῖν ἐθέλεις ὅντινα κεῖται P. 145.

Προσείκειν. δρᾶν τὰ μὴ προσεικότα P. 903. ἔξωρα πράσσω, κοὐκ ἐμοὶ προσεικότα E. 618.

Προσεῖναι. γνώμη γὰρ εἴ τις κἀπ' ἐμοῦ νεωτέρου πρόσεστιν A. 720. δεός γὰρ ᾧ πρόσεστιν αἰσχύνη θ' ὁμοῦ Aj. 1079. τέκνων ὅσων ἐμοὶ δύσνοια μὴ πάρεστι E. 654. ἥ τ' ἄγαν σιγὴ βαρὺ δοκεῖ προσεῖναι A. 1252. τοῦ λόγου δ' οὐ χρὴ φθόνον, γύναι, προσεῖναι T. 251. ἀνδρί τοι χρεὼν μνήμην προσεῖναι Aj. 521. ὡς ἂν ἀγνοία προσῇ P. 129. ὅτῳ δ' ἔρωτος δῆγμα παιδικοῦ προσῇ I. T. LIX. 1. γήρως προσόντος Eriph. V. λόγος καλὸς προσῆν P. 352.

Προσειπεῖν. τοῦτο γάρ σ' ἔχω μόνον προσειπεῖν R. 1072. δός μοι προσειπεῖν αὐτὸν Aj. 538.

Προσεμβαίνειν. οὐ γὰρ θανόντι καὶ προσεμβῆναί σε χρὴ Aj. 1348.

Προσεννέπειν. Ἥλιον προσεννέπω Aj. 857.

Προσέρπειν. εἰδότι δ' οὐδὲν, προσέρπει A. 618. προσέρπει, προσέρχεται τόδ' ἐγγὺς P. 787. ἔργον δόλω προσέρπον R. 539. φοβοῦμαι τὸ προσέρπον Aj. 227. σοὶ προσέρπον τοὐθ' ὁρῶ τὸ φάρμακον Aj. 1255. τύμβου προσεῖρπον ἆσσον E. 900.

Προσέρχεσθαι. προσέρχεται τόδ' ἐγγὺς P. 788. προσήλθεθ' ἱμείροντες R. 59. ἐπεὶ προσῆλθεν C. 1631. πίστ' ἔχων τεκμήρια προσῆλθες E. 775. ὦ παῖ, προσέλθε T. 799. ὦ παῖ, προσέλθε δεῦρο Aj. 1171. προσελθόνθ' ὧδε σὺν πολλῷ στόλῳ T. 496. ἅ μοι προσελθὼν σῖγα σήμαινε P. 22.

Προσευρίσκειν. μόνον πιστὸν προσεῦρον E. 1352.

Προσεύχεσθαι. μὴ νῦν προσεύχου μηδὲν A. 1337.

Προσέχειν. τίς σ', ὦ τέκνον, προσέσχε; P. 236. τίνι στόλῳ προσέσχες τήνδε γῆν; P. 2441.

Προσηγορεῖν. σὸν τὸ ταῦθ' ὁρᾶν τε, καὶ προσηγορεῖν φίλως E. 1471.

Προσήγορος. τί μοι προσήγορον ἔτ' ἔστ' ἀκούειν ἡδονᾷ; R. 1337. θνητῶν φανοῦμαι μηδενὸς προσήγορος R. 1437. ὅπως ἱκοίμην εὐγμάτων προσήγορος A. 1185. τῷ προσήγορος; P. 1353. πόλις δὲ Μυσῶν Μυσία προσήγορος Mys. III. 2.

Προσήκει. εἰ δὲ τῷ ξένῳ τούτῳ προσήκει Λαΐῳ τι συγγενὲς R. 814. τῷ γὰρ προσήκει, πλήν γ' ἐμοῦ καὶ σοῦ, τόδε; E. 909. οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν E. 1213.

Προσήκειν. ἡμὶν αἴσιος σκοπὸς προσήκεις C. 35. εἴπερ ὡς φίλοι προσήκετε P. 229. σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει E. 1142.

Προσθακεῖν. τίς δῆτ' ἂν εἴη τήνδ' ὁ προσθακῶν ἕδραν; C. 1166.

Πρόσθε. τοῦ πρόσθε Κάδμου R. 268. οὐχὶ ξυνῆκας πρόσθεν; R. 359. σχεδόν τι πρόσθεν ᾖ, κ. τ. λ. R. 736. τοῦ πρόσθεν λόγου R. 851. πρόσθεν δ' ἀπερύκου C. 169. εἶπον μὲν οὖν καὶ πρόσθεν, ἐννέπω δὲ νῦν C. 932. ἢν μὴ θάνω 'γὼ πρόσθεν C. 1040. εἰ δὲ τοῦ χρόνου πρόσθεν θανοῦμαι A. 462. ἅ μοι πρόσθεν οὐκ ἔτλη ποτὲ T. 158. εἰ τοὺς ὄπισθεν εἰς τὸ πρόσθεν ἄξομεν Aj. 1249. τῷ πρόσθ' ἐμοῦ κεκτημένῳ P. 778. οὐ γὰρ ἔχω χεροῖν τὰν πρόσθεν βελέων ἀλκὰν P. 1151. ὦ Πέλοπος ἁ πρόσθεν πολύπονος ἱππεία E. 504. πατέρα τὸν ἁμὸν πρόσθεν ἐξαπώλεσας E. 588. τοὺς δὲ πρόσθεν εὐσεβεῖς κἀξ εὐσεβῶν βλαστόντας ἐκβαλοῦσ' ἔχεις E. 589. ἣν τὰ πρόσθε στυγνὸς E. 918. ἣν ἂν ὑμὶν ἐν δόμοις τὰ δρώμεν' ὑμῶν πρόσθεν ἢ τὰ σώματα E. 1333.

Προσθήκη. προσθήκη θεοῦ λέγει νομίζει θ' ἡμὶν ὀρθῶσαι βίον R. 38.

Προσθιγγάνειν. πρόσθιγέ νύν μου C. 173. οὔτε θυμάτων παρῆν ἐκήλοις προσθιγεῖν P. 9. ἀπό μ' ὀλεῖς, ἢν προσθίγῃς P. 817.

Προσιέναι. ἔνθα μήποτ' εἰς εὐνὴν πατρὸς τούτων πρόσεισι μηδὲν E. 437. προσόδια μεγάλα σεμνὰ προσιέναι θεοῖσι Peleus II. 4.

Προσκαλεῖν. δεύτερόν σε προσκαλῶ Aj. 89.

Προσκεῖσθαι. μέγιστον ἀνδρὶ πρόσκειται κακὸν A. 1243. μωραῖς δ' ἄγραις προσκείμεθα Aj. 407. εἰ τῷ πρόσκειμαι χρηστῷ E. 240. ᾧ σὺ πρόσκεισαι κακῷ E. 1040. βραχεῖ λογῷ καὶ πολλὰ πρόσκειται σοφὰ Alet. II. ἀμφὶ μέσσῃ περιπετῆ προσκείμενον A. 1223. εἷργε τὸν προσκείμενον E. 722. ἡ χάρις προσκείσεται R. 232. ἐχθρὰ δὲ τῷ θανόντι προσκείσει δίκῃ A. 94.

Προσκοπεῖν. σοὶ δ' οὖν πέφυκα πάντα προσκοπεῖν A. 688.

Προσκύειν. τὸν φθόνον δὲ πρόσκυσον P. 776. προσκύσαι θ' ὥσπερ θεὸν P. 657. προσκύσαντες τὴν ἔσω ἄοικον εἰσοίκησιν P. 533. στεῖχε προσκύσας χθόνα P. 1408. πατρῷα προσκύσανθ' ἕδη E. 1374.

Προσκυνεῖν. σὲ προσκυνοῦμεν ὧδ' ἱκτήριοι R. 327. στρέφοντα κύκλον ἡλίου πᾶς προσκυνεῖ, I. T. XC. 2. γῆν τε προσκυνοῦνθ' ἅμα C. 1654.

Προσκύρειν. ὦ δεινότατον πάντων ὅσ' ἐγὼ προσέκυρσ' ἤδη R. 1299.

Προσλαμβάνειν. προσλαμβάνει κῆδός τε καινὸν καὶ ξυνασπίστας C. 378. προσλαμβάνειν τι δεῖ καθ' ἡμέραν ἀεὶ I. T. C. 4. τᾶδέ με πρόσλαβε κουφίσας T. 1027.

Προλεύσσειν. ἄνδρα προσλεύσσεις στρατοῦ Aj. 1044. μὴ πρόσλευσσε, γενναῖός περ ὢν P. 1068. ἐφίμερος προσλεύσσειν ὄψις R. 1376. τόνδε προσλεύσσων φόνον Aj. 546.

Προσμανθάνειν. ἀεί τι βούλου χρήσιμον προσμανθάνειν I. T. CI. 3.

Προσμάσσειν. πλευραῖσι γὰρ προσμαχθὲν ἐκ μὲν ἐσχάτας βέβρωκε σάρκας T. 1055.

Προσμένειν. σῖγ' ἔχουσα πρόσμενε E. 1236. ἀλλὰ σῖγα πρόσμενε E. 1399. ἡμεῖς δὲ προσμένωμεν T. 390. τὸν ὃν προσμένουσ' ἀκοίταν T. 525. ἀκάματα προσμένουσ' ἄτεκνος E. 165. Ὀρέστην τόνδε προσμένουσ' ἀεὶ E. 303. εἰ δ' ἡσυχάζων προσμενῶ R. 620. τὸν βοτῆρα προσμεῖναι R. 837.

Προσμιγνύειν. προσέμιξεν ἄφαρ τοὔπος τὸ θεόπροπον ἡμῖν T. 823. οὐκ ἆρ' ἐκείνῳ γ' οὐδὲ πρόσμιξαι θρασύ; P. 106.

Προσμολεῖν. προσμόλοι μόνον T. 1111. προσμολεῖν καλῶ Aj. 72. προσμολὼν στρατήγιον Aj. 721

Προσνέμειν. πρόσνειμαι δέ μοι χάριν βραχεῖαν πρὸς μακροῖς ἄλλοις διδοὺς T. 1218.

Προσνίσσεσθαι. πολλῷ ῥεύματι προσνισσομένους A. 129.

Προσνωμᾶν. λεύσσων στατὸν εἰς ὕδωρ ἀεὶ προσενώμα P. 717.

Προσόδιον. προσόδια μεγάλα προσιέναι Peleus II. 3.

Προσομιλεῖν. πείρᾳ δ' οὐ προσωμίλησά πω T. 591.

Προσόπτεσθαι. τοὐμὸν προσόψει κρᾶτ' ἐν ὀφθαλμοῖς ὁρῶν A. 764. ἔνθα μήποθ' ἡλίου φέγγος προσόψει E. 381.

Προσορᾶν. μεγάλαν προσορῶσα δόμοισι βλάβαν T. 844. οὐκ ἀλαοῖς προσορωμένα ὄμμα σὸν ὄμμασιν C. 244.

Πρόσουρος. ἵν' αὐτὸς ἦν πρόσουρος P. 691.

Πρόσοψις. ἀπείρξω σὴν πρόσοψιν εἰσιδεῖν Aj. 70.

Προσπαίειν. ὑψηλὸν εἰς Δίκας βάθρον προσέπαισας A. 855.

Προσπελάζειν. Πανὸς ὀρεσσιβάτα προσπελασθεῖσά τις R. 1101.

Προσπέμπειν. τὸν ἡμᾶς δεῦρο προσπέμψαντά σοι C. 1101. ἔτυγχαν' αὐτὸν δεῦρο πρόσπεμψας ἐμοὶ C. 1349.

Προσπίπτειν. μὴ προσπέσῃς νάπει C. 157. προσπεσόντα πως βωμῷ καθῆσθαι C. 1157. βωμοῖσι προσπεσοῦσα T. 906. προσπεσὼν ἔχου Aj. 1181. μὴ καὶ λάθῃ με προσπεσὼν P. 45.

Προσπίτνειν. προσπίτνομέν σοι C. 1754. προσπιτνῶ σε γόνασι P. 485. αἰτοῦ δε προσπιτνοῦσα E. 453.

Προσπολεῖσθαι. κόρας τάσδ' ἆσσον αὖθις ὧδε προσπολουμένας C. 1098.

Πρόσπολος. ὦ πρόσπολε R. 945. πρόσπολος θροεῖ τάδε Λίχας ὁ κῆρυξ T. 188. προσπόλων τις C. 897. προσπόλων Εὐμολπιδᾶν C. 1053. πρόσπολοί τε σοὶ C. 1553. ὦ πρόσπολοι A. 1214. ἰὼ πρόσπολοι A. 1321. πέλας γε προσπόλοις φυλάσσεται Aj. 539. δεῦρο προσπόλων ἄγ' αὐτὸν, ὅστις χερσὶν εὐθύνων κυρεῖς Aj. 541. κομίζει προσπόλων ὅδ' ἐγγύθεν Aj. 544. ὦ φίλτατ' ἀνδρῶν προσπόλων

E. 23. προσπόλων τινὸς αἰσθέσθαι E. 78.

Προσπτύσσεσθαι. ἔς τ' ὑγρὸν ἀγκῶν' ἔτ' ἔμφρων παρθένῳ προσπτύσσεται A. 1237. προσπτύσσεται πλευραῖσιν ἀρτίκολλος T. 769.

Προστάσσειν. τί δῆτ' ἀμαυρῷ φωτὶ προστάσσεις ποιεῖν; C. 1018. ὅ τι δεῖ πρόστασσε δρᾶν C. 494. δορός τ' ἂν ἐν χειμῶνι προστεταγμένον μένειν A. 665. τὸ προσταχθὲν ποιεῖν P. 1010.

Προστατεῖν. ὁ προστατῶν χρόνος E. 781.

Προστατήριος Φοῖβε προστατήριε E. 637.

Προστάτης. γῆς σε προστάτην, σωτῆρά τ', ὦ 'ναξ, μοῦνον ἐξευρίσκομεν R. 304. οὐ Κρέοντος προστάτου γεγράψομαι R. 411. θεὸν οὐ λήξω ποτὲ προστάταν ἴσχων R. 882. ἔξοιδ', ὅς ἐσθ' ὁ προστάτης C. 1171. τοῦ θεοῦ γε προστάτην C. 1278. τὸν εὐφαρέτραν Ἀπόλλωνα προστάτην T. 209.

Προστείνειν. βέλεα προσταθέντ' ἀρωγὰ R. 206.

Προστείχειν. Κρέοντα προστείχοντα σημαίνουσι R. 79. δεῦρο προστείχοντα κἀξορμώμενον C. 30. φαιδρὰ γοῦν ἀπ' ὀμμάτων σαίνει με προστείχουσα C. 320.

Προστέλλειν. μακρὰν γὰρ, ὡς γέροντι, προὐστάλης ὁδὸν C. 20.

Προστήκειν. πλευρᾷ προστακέντος ἰοῦ T. 835. δεινοτάτῳ μὲν ὕδρας προστετακὼς φάσματι T. 838.

Προστιθέναι. τὰ δεινὰ προστίθησ' ὄκνον πολὺν A. 242. οὔτις ἄλλος ἦν ἢ 'γὼ 'π' ἐμαυτῷ τάσδ' ἀρὰς ὁ προστιθεὶς R. 820. οὐ μὰν ἔν γ' ἐμοὶ προσθήσεις τάσδ' ἀρὰς C. 154. ἐπὶ τοῖσδε τὴν χάριν πρόσθες ταχεῖαν T. 1255. αὐτός τις αὐτῷ τὴν βλάβην προσθῇ I. T. X. 8. τοῦ τεθνηκότος μνημεῖ' Ὀρέστου ταῦτα προσθεῖναι E. 932. ὅρκου δὲ προστεθέντος ἐπιμελεστέρα ψυχὴ κατέστη Oenom. I. 1. πρόσθου δάμαρτα τήνδε T. 1226. τί, λύουσ' ἂν, ἢ θάπτουσα, προσθείμην πλέον; A. 40. τῶν μὲν ἀρσένων μή μοι, Κρέων, προσθῇ μέριμναν R. 1460. οἷς ἂν σὺ προσθῇ C. 1332. σὲ προσθέσθαι πέλας χώρας θέλουσιν C. 404. οὐκ ἤθελες θέλοντι προσθέσθαι χάριν C. 767.

Προστρέπειν. τοσαῦτά σ', ὦ Ζεῦ, προστρέπω Aj. 831. ὧν σε προστρέπω φράσαι C. 50. Ἐργάνην στατοῖς λίκνοισι προστρέπεσθε I. T. LX. 5.

Προστρόπαιος. προστροπαίους λιτὰς C. 1309. θάκει δὲ προστρόπαιος Aj. 1173. τὸν προστρόπαιον, τὸν ἱκέτην P. 930.

Προστροπή. προστροπὴν ἔχων ἐμοῦ C. 558.

Πρόστροπος. ἱκετεύομέν σε πάντες οἵδε πρόστροποι R. 41. ἔμ' ὄντα σαυτοῦ πρόστροπον P. 773.

Προστυγχάνειν. προστυχόντι τῶν ἴσων P. 552. ἐμοῦ κολαστοῦ προστυχὼν E. 1463.

Πρόσφατος. προσφάτους ἐπιστολὰς Androm. II.

Προσφθέγγεσθαι. προσδέρκου, προσφθέγγου πανταχῇ C. 122.

Προσφθεγκτός. οὐδὲ σοῦ φωνῆς ἔτι γενήσομαι προσφθεγκτὸς P. 1067.

Πρόσφθεγμα. τις πικρὸν πρόσφθεγμα δεσποτῶν ἐρεῖ Aj. 500. λαβεῖν πρόσφθεγμα τοιοῦδ' ἀνδρὸς P. 235.

Προσφέρειν. τοιαῦτα προσφέρεις ἐμοὶ C. 781. θαλλὸν χιμαίραις προσφέρω νεοσπάδα Pastores III. 2. διψῶντι προσφέρει σοφὰ I. T. XLIV. σὺν τύχῃ δὲ πρόσφερε P. 775. μηδὲ προσφέρειν μέθυ C. 481. λουτρὰ προσφέρειν πατρὶ E. 434. δόθ', ἥτις ἐστὶ, προσφέροντες E. 1123.

Προσφιλής. προσφιλὲς πόλει R. 322. προσφιλὴς δὲ σοὶ, μῆτερ A. 898. προσφιλεστάτης ἐμοὶ στολῆς P. 225. εἴ τί σοι κατ' οἶκόν ἐστι προσφιλὲς P. 469. ὡς μ' ἔθεσθε προσφιλῆ P. 532. προσφιλὴς μενεῖ χάρις P. 558. δεῖ σ' ἔμοιγ' ἐλθόντα προσφιλῆ P. 587. προσφιλεῖς λέξεις λόγους E. 672.

Προσφιλῶς. προσφιλῶς γέρα δέξασθαι E. 442.

Προσφορά. ποίῳ γὰρ ἡ σὴ προσφορὰ δηλώσεται; C. 581. τῶν γὰρ ἡμαρτημένων ἄκη μέν ἐστι, προσφορὰ δ' οὐκ ἔστ' ἔτι C. 1270.

Πρόσφορος. πρόσφορον ὑμῖν C. 1774. τίνι πρόσφορον ἀκούσαιμ' ἔπος; E. 227.

Προσφωνεῖν. μήτε προσφωνεῖν τινα R. 238. 818. ἀλλ' οὐδὲ προσφώνει μ' ἔτι P. 934. οὔ σοι προσήκει τήνδε προσφωνεῖν φάτιν E. 1213. ὁ προσ-

φωνῶν ἐμὲ E. 1480. *εὖ μὲν ἴγμεθ', εὖ δὲ προσφωνούμεθα* T. 229.

Προσφώνημα. *ἔγνων γὰρ τὸ προσφώνημά σου* C. 891. *ὦ δισσὰ πατρὸς καὶ κασιγνήτης ἐμοὶ ἥδιστα προσφωνήματα* C. 325.

Πρόσχημα. *οὐδὲν ἄλλο σοὶ πρόσχημ' ἀεὶ* E. 525. *τὸ κλεινὸν Ἑλλάδος πρόσχημ' ἀγῶνος* E. 682.

Προσχρῄζειν. *ὅσον σὺ προσχρῄζεις* C. 520. *μηδέ σου προσχρῄζομεν* P. 1055. *ὅστις ἄν σου τοῦτο προσχρῄζοι τυχεῖν* C. 1168. *τί προσχρῄζων μαθεῖν;* R. 1155. *τί προσχρῄζοντα τῷ θακήματι;* C. 1160. *λιπαρεῖν γὰρ οὐ καλὸν δίκαια προσχρῄζουσαν* C. 1200.

Προσχωρεῖν. *τοῖς τοῦδε προσχωρεῖν λόγοις* P. 964.

Πρόσχωρος. *ἦν δὲ πρόσχωρος τόπος* R. 1127. *προσχώρων ξένων* C. 493. *δεινὸς ὁ προσχώρων Ἄρης* C. 1065.

Προσψαύειν. *πρόσψαυσον, ὦ παῖ* C. 330. *μηδὲ προσψαύσητ' ἔτι* P. 1054.

Πρόσω. *ὡς ἀπ' ὀμμάτων, πρόσω* C. 15. *ἐπίβαινε πόρσω* C. 179. *οὐδ' ἔχει βῆναι πρόσω* T. 195. *ἕρπουσαν πρόσω* T. 547. *λήγει δ' ἔρις δραμοῦσα τοῦ προσωτάτω* Aj. 731. *ὅπως ἀφ' ὑμῶν ὡς προσώτατ' ἐκφύγω* E. 391.

Πρόσωθεν. *στείχοντα πρόσωθεν* Aj. 723.

Πρόσωπον. *οὐ τὸ σὸν δείσας πρόσωπον* R. 448. *τόλμης πρόσωπον* R. 533. *πτύσας προσώπῳ* A. 1232. *μήτηρ σε μὴ 'πιγνώσεται φαιδρῷ προσώπῳ* E. 1297. *συὸς προσώπῳ πάντα τυρβάζει* scil. *Ἄρης* I. T. LVIII. 17. *δεινὸν τὸ τῆς Πειθοῦς πρόσωπον* I. T. LXXIII. *κυνῇ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει* C. 314. *τῶν σῶν προσώπων ἡδονὴν μεθέσθαι* E. 1277. *πρόσωπα καλλύνουσα* I. T. LVI. 6.

Προταρβεῖν. *μή μου προτάρβει* A. 83. *ὁ ξυνηθὴς πότμος οὐκ ἐᾷ πατρὸς ἡμᾶς προταρβεῖν* T. 90.

Προτάσσειν. *χρόνον προτάξας ὡς τρίμηνον* T. 164.

Προτείνειν. *ἰδοὺ προτείνω*, scil. *χεῖρα* T. 1186. *οὗ συ πολλάκις τὴν σὴν προτείνων προὔκαμες ψυχὴν δορὶ* Aj. 1270. *θεοὺς προτείνων, τοὺς θεοὺς ψευδεῖς τιθεὶς* P. 993. *δεξιὰν πρότεινε χεῖρα* P. 1292.

Πρότερος. *προτέρας ἄτας ὕπερ* R. 164. *κάλλιστον τῶν προτέρων φάος* A. 102. *ὄφελε πρότερον αἰθέρα δῦναι* Aj. 1192. *μὴ πρότερον—πρὶν, κ. τ. λ.* P. 197. *οὐκ ἔστι λῆξαι πρότερον* P. 768.

Προτίειν. *τὸν μὲν προτίσας, τὸν δ' ἀτιμάσας ἔχει* A. 22.

Προτιθέναι. *δμωαῖς προθήσειν πένθος οἰκεῖον στένειν* A. 1249. *οὔπω τοσοῦτον οὔτ' ἄκοιτις ἡ Διὸς προὔθηκε (μόχθον)* T. 1051. *ὃς ἦν γάρ μοι, σὺ προὔθηκας σπόδον* E. 1198. *νεωτέρῳ τῳ τοῦτο βαστάζειν πρόθες* A. 216. *κτανὼν πρόθες ταφεῦσιν* E. 1487. *φορβῆς τοσοῦτον, ὡς ἄγος, μόνον προθεὶς* A. 775. *τί γὰρ παρ' ἦμαρ ἡμέρα τέρπειν ἔχει προθεῖσα κἀναθεῖσα τοῦ γε κατθανεῖν;* Aj. 476. *ἥντιν' αἰτίαν προθεὶς* Aj. 1051. *προθεὶς ἀδελφῷ δεῖπνον οἰκείων τέκνων* Aj. 1294. *προθέντες ἐνθάδε ᾤχοντο* P. 268. *ῥάκη προθέντες βαιὰ* P. 274. *προθείς τε χεῖρα δεξιὰν* P. 942. *πάρος τοῦ 'μοῦ πόθου προὔθεντο τὴν τυραννίδα* C. 419. *τήνδε γερόντων προὔθετο λέσχην* A. 162. *εὐλάβειαν τῶνδε προὐθέμην ἐγὼ* E. 1334.

Προτιμᾶν. *ἥτις προτιμᾷ μὴ κακὴ πεφυκέναι* T. 724.

Προτρέπειν. *καί μ' ἄκοντα προὐτρέψω λέγειν* R. 358. *σοί γ' ἐπισκήπτω τε, καὶ προτρέψομαι* R. 1446. *πάντας ἐς πέδον κάρα νεῦσαι φόβῳ προὔτρεψε* A. 270. *τίς γάρ σ' ἀνάγκῃ τῇδε προτρέπει βροτῶν;* E. 1193.

Προὐννέπειν. *χαίρειν δὲ τὸν κήρυκα προὐννέπω* T. 227.

Προὐξεφίημι. *ὡς συ προὐξεφίεσο* T. 761.

Προὖπτος. *ἐς προὖπτον Ἅιδην* C. 1440.

Προφαίνειν. *ἁ δ' ἐρχομένα μοῖρα προφαίνει μεγάλαν ἄταν* T. 852. *οὐρανῷ σκέλη προφαίνων* E. 753. *ἥτις οὐδαμὰ προὔφηνεν οὔτε μείζον', οὔτ' ἐλάσσονα* T. 324. *προὐφάνης ἔχων* R. 395. *δύστηνα προὐφάνη λέγων* R. 790. *ποθοῦντι προὐφάνης* C. 1505. *προὐφάνη κτύπος* P. 202. *ἀλλοκότῳ γνώμᾳ τῶν πάρος, ὧν προὐφάνης* P. 1192. *προὐφάνης φιλτάταν ἔχων πρόσοψιν* P. 1285. *ἀλεξίμοροι προφάνητέ μοι* R. 163. *προφάνηθι Ναξίαις ἅμα περιπόλοισιν* A. 1150.

Πρόφαντος. *ἐμοὶ γὰρ ἦν πρόφαντον ἐκ πατρὸς* T. 1161.

Πρόφασις. ἐπὶ προφάσει θηρὸς T. 664. αὐτὴ γὰρ ἦν σοι πρόφασις ἐκβαλεῖν ἐμὲ P. 1034.

Προφέρτατος. τῷ προφερτάτῳ μόνῳ σήμαινε C. 1530.

Πρόφρων. γενοῦ πρόφρων ἡμῖν ἀρωγὸς E. 1380.

Προφύειν. σοῦ πατρὸς μὲν ὃς προὔφυ πατὴρ Aj. 1291.

Προφυτεύειν. δειναν δεινῶς προφυτεύσαντες μορφὰν E. 198.

Προφωνεῖν. ὑμῖν προφωνῶ R. 223. σοὶ προφωνῶ τόνδε μὴ θάπτειν Aj. 1089. ἠχὼ πᾶσι προφωνεῖν E. 109.

Πρόχειρος. πρόχειρον εἴ τί σοι πάρα ξίφος P. 749. πρόχειρον ἄχθος, ὡς ἔοικε, δέρκομαι E. 1116. οὐ πρόχειρος εἶ κτανεῖν E. 1494.

Προχρίειν. οἷος κάταγμά θ', ᾧ προὔχριον T. 698.

Προχωρεῖν. πρὸς ἐμὴν αἰεὶ χεῖρα προχωρῶν P. 148.

Πρύμνη. εἰς πρῶραν, εἰς πρύμναν P. 482.

Πρῴ. μὴ πρῴ λέγοις ἂν τὸν πόθον τὸν ἐξ ἐμοῦ, πρὶν εἰδέναι τἀκεῖθεν εἰ ποθούμεθα T. 631.

Πρών. Λοκρῶν ὄρειοι πρῶνες T. 790. Αἰγαίου μέδεις πρωνὸς Laoc. II. 2.

Πρῶρα. εἰς πρῶραν, εἰς πρύμναν P. 482. ὦ πρῶρα λοιβῆς ἑστία I. T. LXXXII. 10.

Πρωρητής. πρωρητὴς στρατοῦ Polyx. III. 1.

Πρωτόγονος. πρωτογόνων οἴκων P. 180.

Πρῶτος. ἀνδρῶν σε πρῶτον R. 33. πρῶτά σε κεκλομένῳ R. 159. τοῦτ' αὐτὸ νῦν μου πρῶτ' ἄκουσον R. 547. σκέψαι δὲ τοῦτο πρῶτον R. 584. τοῦτο πρῶτον δεῖ μ' ἀπαγγεῖλαι R. 958. πρώτων ἐφ' ὑμῶν τῆσδε γῆς ἔκαμψ' ἕδρας C. 85. οὐ πάνυ μοίρας εὐδαιμονίσαι πρώτας C. 145. πρῶτον μὲν C. 469. 632. 1285. στάντα πρὸς πρώτην ἕω C. 477. πρώταισι ταῖσδε κτίσας ἀγυιαῖς χαλινὸν C. 715. γῆς Ἀπίας πρῶτοι C. 1304. πρῶτα μὲν δορὶ κρατύνων, πρῶτα δ' οἰωνῶν ὁδοῖς C. 1313. φράσαι θέλω σοι πρῶτα τἀμαυτοῦ A. 233. ἀφ' οὗ τὰ πρῶτ' ἔφυ A. 562. τὸ φρονεῖν εὐδαιμονίας πρῶτον ὑπάρχει A. 1349. πρῶτος ἀγγείλας τάδε T. 191. πρῶθ', ἃ πρῶτα βούλομαι, δίδαξον T. 232. ξὺν Ἡρακλεῖ τὸ πρῶτον εὖνις ἑσπόμην T. 563. πρῶτος ὥς με βαστάσῃ πεπτῶτα Aj. 827. κυνῆς ἔμελλε πρῶτος ἅλμα κουφιεῖν Aj. 1287. πρῶτος στόλος P. 73. πότερον τὸ σὸν πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖναν στένω P. 338. σῶσαι κακοῦ με πρῶτα τοῦδ', ἔπειτα δε, κ. τ. λ. P. 919. τοὺς πρώτους στρατοῦ P. 1305. ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος P. 1425. αὐτὸς ἐν πρώτοις ἔπει E. 28. σύ σοι πρώτη θάνοις ἂν E. 583. οὗ πρώτη κρίσις E. 684. πρώτιστ' ἔχρῃζον ἐκμαθεῖν τί πρακτέον R. 1439. ἔμβαλλε χεῖρα δεξίαν πρώτιστά μοι T. 1183. εἰδέναι δέ σου πρώτιστα χρῄζω E. 669.

Παίειν. παίων ὑπ' ἀνάγκας P. 215.

Πτέρυξ. λευκῆς χιόνος πτέρυγι στεγανὸς A. 114. γόων ἐκτίμους ἴσχουσα πτέρυγας E. 242.

Πτερόεις. πτερόεσσ' ἦλθε κόρα R. 508.

Πτερόν. πιστὸν ἐξ ὑμῶν πτερὸν ἐξήγαγ' εἰς τόδ' ἄλσος C. 97. πτερῶν γὰρ ῥοῖβδος οὐκ ἄσημος ἦν A. 1004. αἰγείρου κάρα κινεῖτ' ἐν αὔραις, κἀνακουφίζει πτερὸν Aeg. VI. 3. νωμᾷ δ' ἐν οἰωνοῖσι τοὐκείνης πτερὸν I. T. XXIII. 11.

Πτηνός. πτηνὸς οἰωνὸς A. 1082. πτηνῆς ὡς ὄμμα πελείας Aj. 140. πτηνῶν ἀγέλαι Aj. 168. πτηνοῖς ἰοῖς P. 166. πτηνὸν ὄρνιν P. 955. πτηνῶν ἀφ' ὅπλων P. 1109. ὦ πταναὶ θῆραι P. 1146.

Πτήσσειν. ἔπτηξα θυμὸν C. 1466. σιγῇ πτήξειαν ἄφωνοι Aj. 171.

Πτίλος. ἐπημφιεσμένος πτίλον κύκνειον I. T. L. 3.

Πτύειν. πτύσας, ὡσεί τε δυσμενῆ μέθες A. 654. πτύσας προσώπῳ A. 1231.

Πτύξ. γραμμάτων πτύχας Ach. Conv. V. 1.

Πτύσσειν. πτύξας ἐπ' αὐταῖς χεῖρας C. 1610. χιτὼν ἀμφὶ μηρὸν πτύσσεται Hel. IV. 3.

Πτυχή. εὑρὼν ναπαίαις ἐν Κιθαιρῶνος πτυχαῖς R. 1026.

Πτῶμα. πίπτουσι πτώματ' αἰσχρὰ A. 1046.

Πτωχός. πτωχὸς ἀντὶ πλουσίου R. 455. μή σφε περιΐδῃς πτωχὰς R. 1506. πτωχὸς ἠλώμην C. 444. πτωχῷ διαίτῃ C. 751. πτωχοὶ μὲν ἡμεῖς καὶ ξένοι C. 1336. οὐδὲν κακίων

πτωχὸς, εἰ καλῶς φρονεῖ I. T. LVIII. 8.

Πυθιάς. Πυθιὰς βοὰ Peleus II. 5.

Πυθικός. ἐς τὰ Πυθικὰ ἔπεμψα Φοίβου δώματα R. 70. Πυθικὸν μαντεῖον R. 242. E. 32. ἄθλοισι Πυθικοῖσι E. 49. Πυθικαὶ γύαι Niptr. I. 1.

Πύθιος. πρὸς Πυθίαις ἀκταῖς C. 1047.

Πυθμήν. ἐκ δὲ πυθμένων ἔκλινε κοῖλα κλῇθρα R. 1261.

Πυθόμαντις. τὴν Πυθόμαντιν ἑστίαν R. 966.

Πυθών. τίς ποτε τὰς πολυχρύσου Πυθῶνος ἀγλάας ἔβας Θήβας; R. 152. Πυθώδ᾽ ἰὼν R. 603. πορεύομαι Πυθῶδε R. 788.

Πυκάζειν. πύκαζε θᾶσσον Aj. 581.

Πυκινός. πυκιναῖς δρόσοις τεγγόμενος κόμας Aj. 1208. ἄπορα πυκινοῖς ἐνιδεῖν πάθη P. 854.

Πυκνόπτερος. πυκνόπτεροι ἀηδόνες C. 17.

Πυκνός. ἀσπὶς γὰρ ἡμὶν, λίγδος ὡς, πυκνὸν πατεῖ Capt. II. πυκνῆς ψεκάδος Tymp. I. 3. πυκνῷ θεοῦ τροχῷ I. T. LVI. 1.

Πυκνόστικτος. πυκνοστίκτων ἐλάφων C. 1092.

Πύκτης. ἀντανίσταται, πύκτης ὅπως, ἐς χεῖρας T. 442.

Πυλάδης. Πυλάδη E. 16. 1373.

Πυλάτιδες. ἀγοραὶ Πυλάτιδες T. 640.

Πύλη. πύλας εἰσῆλθε R. 1244. πύλαις ἐνήλατο R. 1261. κλῇθρα πυλῶν R. 1294. ἐν πύλαισιν εὐνᾶσθαι C. 1569. ἐκτὸς αὐλείων πυλῶν A. 19. ἐφ᾽ ἑπτὰ πύλαις ταχθέντες A. 142. κλῇθρα πύλης A. 1186. εἴσω τῆσδε παπταίνειν πύλης Aj. 11. ἐπὶ δισσοῖς ἦν στρατηγίσιν πύλαις Aj. 49. τῇδε πρὸς πύλῃ παρεῖσ᾽ ἐμαυτὴν E. 818. ἀναδεικνύναι πύλας E. 1458. πάρεστιν ἐν πύλαισιν Laoc. III. 1. ταῖς πύλαις ἑπταστόμους Θήβας I. T. XCIX. 1.

Πύλιος. Νέστωρ ὁ Πύλιός ἐστιν; P. 422.

Πυλωρός. πυλωρὸν φύλακα Aj. 562.

Πύματος. ἄθεος, ἄφιλος, ὅ τι πύματον ὀλοίμαν R. 663. ἐπιλέλογχε πύματον γῆρας C. 1235. ἐν πυμάτῳ δ᾽ ἀλόγιστα παροίσομεν C. 1675.

Πυνθάνεσθαι. ποθουμένα φρενὶ πυνθάνομαι, κ. τ. λ. T. 103. μηδὲν εἰδόθ᾽ ὧν σὺ πυνθάνει C. 1155. πότερα πυνθάνοι᾽ ἂν εἰ πατήρ σ᾽ ὁ καίνων; C. 992. πεύσει τὰ κείνης ἀθλίας παθήματα R. 1240. πεύσει δ᾽, ὥστε μαρτυρεῖν ἐμοὶ T. 901. ὧν πεύσει τάχα E. 35. εἰ τάδ᾽ ἡ τεκοῦσα πεύσεται E. 470. δείν᾽ ἔπη πεπυσμένος R. 513. πεπυσμένη πάρει τοὐμὸν πάθημα T. 141. τῶν δὲ πεπυσμένη λέγω T. 292. Πυθώδ᾽ ἰὼν πεύθου, τὰ χρησθέντ᾽ εἰ σαφῶς ἤγγειλά σοι R. 604. οὕτως ἄρ᾽ ἀνδρὸς ἀθλίου πεύσεσθ᾽ ὕπερ; R. 1444. πεύθου μολοῦσα τἀνδρὸς T. 387. ὡς πύθοιθ᾽, ὅ τι δρῶν ἢ τί φωνῶν τήνδε ῥυσαίμην πόλιν R. 71. οὐ γὰρ ἂν πύθοιό μου R. 333. εἰ πυθοίατο συλῶντα τἀμὰ C. 921. καὶ γὰρ ὕστερον, τό γ᾽ εὖ πράσσειν ἐπεὶ πύθοιτο, κέρδος ἐμπολᾷ T. 93. τάχ᾽ ἂν μ᾽ ἴσως πύθοισθε, κεἰ νῦν δυστυχῶ, σεσωσμένον Aj. 692. εἰ πύθοιτό τις Aj. 1159. τἀμὰ μὴ ᾽ξ ἄλλων πύθῃ C. 1266. ὡς τελευταίαν ἐμοῦ φήμην πύθησθε T. 1152. μηκέτ᾽ ἄλλοθεν πύθῃ E. 1224. ἐθέλων πολλὰ πυθέσθαι R. 1405. ἔραμαι πυθέσθαι C. 512. πυθέσθαι ποῦ ᾽στὶν T. 65. οὐδὲν ἐλλείψω τὸ μὴ οὐ πᾶσαν πυθέσθαι τῶνδ᾽ ἀλήθειαν πέρι T. 89. τὸ μὴ πυθέσθαι τοῦτό μ᾽ ἀλγύνειεν ἂν T. 458. οἵαν σε μένει πυθέσθαι παιδὸς ἄταν Aj. 642. ὡς πυθώμεθα ὅπου ποτ᾽ ἐσμὲν C. 11.

Πῦρ. κρεῖσσον ἀμαιμακέτου πυρὸς ὀρμενον R. 177. ἐπενθρώσκει πυρὶ καὶ στεροπαῖς ὁ Διὸς γενέτας R. 470. παλτῷ ῥιπτεῖ πυρὶ A. 131. πυρὶ πρῆσαι A. 200. πρὶν πυρὶ θερμῷ πόδα τις ψαύσῃ A. 619. παύεσκεν ἐνθέους γυναῖκας, εὔϊόν τε πῦρ A. 963. ἰὼ πῦρ πνεόντων χοράγ᾽ ἄστρων A. 1146. οὐ πῦρ, οὐκ ἔγχος τις ὀνήσιμον οὐκ ἀποτρέψει T. 1016. πυρὸς φλέγοντος ἀμφὶ ναυσὶ Aj. 1278. πῦρ ἂν οὐ παρῆν P. 295. στέγῃ πυρὸς μέτα P. 298. θείῳ πυρὶ παμφαὴς P. 728. πυρί μ᾽ ἔμπρησον P. 800. ὦ πῦρ σὺ, καὶ πᾶν δεῖμα P. 927. θάλπει τῷδ᾽ ἀνηκέστῳ πυρὶ E. 888. οὔτε παμφλέκτου πυρὸς ἀνειλόμην E. 1139. λέων, δράκων τε, πῦρ, ὕδωρ Achill. Amat. II. 2. βωμὸς ἀτμίζων πυρὶ Laoc. I. 1. Ἥλιε δέσποτα, καὶ πῦρ ἱερὸν Rhiz. IV. 2.

Πυρά. πυρᾶς πλήρωμα T. 1215. ἐς πυράν με θῆς T. 1256. πρὸς πυρὰν ἐμὴν κόμιζε P. 1432. καί νιν πυρᾷ κήαντες E. 757. ἐσχάτης δ' ὁρᾶ πυρᾶς νεωρῆ βόστρυχον τετμημένον E. 901.

Πύργος. οὐδέν ἐστιν οὔτε πύργος οὔτε ναῦς ἔρημος ἀνδρῶν R. 56. θανάτων δ' ἐμᾷ πόλει πύργος ἀνέστας R. 1200. οὐδ' ἄστυ γ' οὐδὲ πύργος R. 1378. οὐ πύργος, οὐ νᾶες ἐκφύγοιεν A. 953. πύργου ῥῦμα Aj. 159. πύργοι πόλιν στέγουσι C. 11. στεφάνωμα πύργων A. 122.

Πυργώδης. ἀπ' ἄκρας ἧκε πυργώδους πλακὸς T. 273.

Πυρεῖον. καὶ πυρεῖ ὁμοῦ τάδε P. 36.

Πυροῦν. ναοὺς πυρώσων ἦλθε A. 286.

Πυρφόρος. ὁ πυρφόρος θεὸς R. 27. C. 55. πυρφόρων ἀστραπᾶν R. 200. πυρφόρους 'Αρτέμιδος αἴγλας R. 207. πυρφόρος θεοῦ κεραυνὸς C. 1658. ἀντίτυπα δ' ἐπὶ γᾷ πέσε ταντα λωθεὶς πυρφόρος A. 135. πυρφόρος ἀστεροπητὴς P. 1198.

Πωλικός. ἐπὶ πωλικῆς ἀνὴρ ἀπήνης R. 803.

Πωλοδαμνεῖν. ἐν νόμοις πατρὸς δεῖ πωλοδαμνεῖν Aj. 549.

Πῶλος. Αἰτναίας ἐπὶ πώλου βεβῶσαν C. 313. πώλου δίκην Tyro XV. 1. σὺ δὲ σφαδάζεις, πῶλος ὣς I. T. LXII. 2. πώλοισι φεύγοντες C. 1062. πώλων ἄμβασις C. 1069. ἔκτος ἐξ Αἰτωλίας ξανθαῖσι πώλοις E. 705. ἄστομοι πῶλοι βίᾳ φέρουσι E. 725. δι' ὤτων κέλαδον ἐνσείσας θοαῖς πώλοις E. 737.

P.

'Ραβδονομεῖν. ἐν μέσῳ Κύπρις ῥαβδονομεῖ ξυνοῦσα T. 516.

'Ράδιος. τόν τοι τύραννον εὐσεβεῖν οὐ ῥᾴδιον Aj. 1350. τοῖς γὰρ δικαίοις ἀντέχειν οὐ ῥᾴδιον Aloadæ I.

'Ραδίως. ῥᾳδίως αὐτὸς φανεῖ R. 725. ῥᾳδίως καθύβρισαν C. 1535.

'Ράθυμος. ποῖ γὰρ μενεῖς ῥάθυμος; E. 958.

'Ραίεσθαι. δοῦλος ὡς ἐλευθέρου ῥαίοιτο T. 268.

'Ράκος. θάλπεται ῥάκη P. 39. ῥάκη προθέντες βαιὰ P. 274.

'Ράξ. ἦν δὲ κἀμπέλου σπονδή τε, καὶ ῥὰξ ἐντεθησαυρισμένη Polyid. IV. 2.

'Ρᾷστος. ῥᾷστα γὰρ διοίσω R. 320. ῥᾷστα τὸν βίον φέρει R. 983. τὰ ῥᾷστ' ἐλευθερῶς λέγειν ἔξεστι Eriph. II. 1.

'Ραχίζειν. κύκλῳ ῥαχίζων Aj. 56. τοὺς δ' ἄνω τρέπων ἔσφαζε κἀῤῥάχιζε Aj. 299.

'Ράχις. κατὰ ῥάχιν ἤλαυνε παίων Aeg. III. 1.

'Ραψῳδός. ῥαψῳδὸς κύων R. 391.

'Ρέα. 'Ρέας φίλον υἱὸν C. 1073.

'Ρέζειν. ἔρεξας—Οὐκ ἔρεξα C. 539. εὖτ' ἂν ἁγνὰ θύματα ῥέξῃ πατρῴῳ Ζηνὶ T. 288. τί ῥέξοντες ἀλλοκότῳ γνώμᾳ τῶν πάρος; P. 1191. ὡς τίνα ῥέξῃς παλάμαν ποτέ; P. 1206.

'Ρέθος. νεφέλη δ' ὀφρύων ὕπερ αἱματόεν ῥέθος αἰσχύνει A. 529.

'Ρεῖθρον. Κηφισοῦ νομάδες ῥεέθρων C. 687. Διρκαίων ὑπὲρ ῥεέθρων μολοῦσα A. 105. παρὰ ῥείθροισι χειμάῤῥοις ὅσα δένδρων ὑπείκει A. 712. ναίων παρ' ὑγρῶν 'Ισμηνοῦ ῥεέθρων A. 1124.

'Ρεῖν. ῥεῖ γὰρ ἀπ' ἄκρας Πίνδου Inach. XI. 1. ταῦτα μὲν ῥείτω κατ' οὖρον T. 468. ῥεῖ πᾶν ἄδηλον T. 700. κληδόνος καλῆς μάτην ῥεούσης C. 259.

'Ρέπειν. τοῦτ' ἐστιν ἤδη τοὔργον εἰς ἐμὲ ῥέπον R. 847. φιλεῖ γὰρ τοῦτο μὴ ταύτῃ ῥέπειν A. 722.

'Ρεῦμα. οὐ κρατὴρ μειλιχίων ποτῶν ῥεύματι συντρέχει C. 160. πολλῷ ῥεύματι προσνισσομένους A. 129.

'Ρηγνύναι. ὁποῖα χρῄζει ῥηγνύτω R. 1076. ῥηγνὺς χρυσόδετον κέρας Thamyr. VI. 1. ἐῤῥηξάτην εἰς κύκλα χαλκείων ὅπλων I. T. LXVI. 1. δακρύων ῥήξασα θερμὰ νάματα T. 921. βροντὴ δ' ἐῤῥάγη δι' ἀστραπῆς Teucr. I. 2. θραυσθέντα καὶ ῥαγέντα πλεῖστ' ἂν εἰσίδοις σίδηρον A. 476. ῥαγεῖσα Θηβαία κόνις Amphiar. IV. 1. τάδ' ἐκ δυοῖν ἔῤῥωγεν, οὐ μόνου, κακὰ R. 1280. ἔῤῥωγεν παγὰ δακρύων T. 854.

Ῥῆμα. ἐξεκίνησας τόδε τὸ ῥῆμα R. 355. δοκῶ γὰρ οὐδὲν ῥῆμα σὺν κέρδει κακὸν E. 61. οἵ' ἀνταμείβει ῥήματα C. 814. ἔργοις πεπονθὼς ῥήμασίν σ' ἀμύνομαι C. 873. τὰ πολλὰ ῥήματα παρέσχε φωνὴν τοῖς ἀφωνήτοις τινὰ C. 1281. κακὰ δεννάζων ῥήματα Aj. 243. χανεῖν καθ' ἡμῶν δεινὰ ῥήματα Aj. 1226. τί ταῦτα πολλῶν ῥημάτων ἔτ' ἐστί σοι; Aloadæ V.

Ῥῆσις. ῥῆσις βραχεῖα Acris. V. I.

Ῥητός. ἢ ῥητὸν, ἢ οὐχὶ θεμιτὸν ἄλλον εἰδέναι; R. 993. ἀνόσι', οὐδὲ ῥητά μοι R. 1289. ῥητὸν, ἄῤῥητόν τ' ἔπος C. 1001. δεινὸν γὰρ, οὐδὲ ῥητὸν P. 755.

Ῥιγεῖν. αἱ δὲ παρθένοι 'ρίγησαν, ὡς ἤκουσαν C. 1607.

Ῥίζα. ἐσχάτας ὑπὲρ ῥίζας ἐτέτατο φάος A. 600. γένους ἅπαντος ῥίζα Aj. 1178. ῥιζῶν κρύπτουσι τομὰς Rhiz. II. 2.

Ῥιζοῦν. ὀδὸν χαλκοῖς βάθροισι γῆθεν ἐῤῥιζωμένον C. 1591.

Ῥιμφάρματος. ῥιμφαρμάτοις φεύγοντες ἁμιλλαῖς C. 1062.

Ῥίν. φυσῶντ' ἄνω πρὸς ῥῖνας Aj. 918.

Ῥιπή. νυχιᾶν ἀπὸ ῥιπᾶν C. 1248. ἐπέπνει ῥιπαῖς ἐχθίστων ἀνέμων A. 137. αὐτῶν ἀνέμων αὐταὶ ψυχῆς ῥιπαὶ A. 930. λεύσσω παμφεγγεῖς ἄστρων ῥιπὰς E. 106.

Ῥιπτός. ὁ ῥιπτὸς Ἰφίτου μόρος T. 357.

Ῥιπτεῖν. παλτῷ ῥιπτεῖ πυρὶ A. 131. ῥιπτεῖ πρὸς ἀμφίκλυστον ἐκ πόντου πέτραν T. 782. γλῶσσαν ἄκραν ῥιπτεῖ θερίσας Aj. 239. πολλὰ μὲν τάλας χθονὶ ῥίπτων ἑαυτὸν T. 792. ἐμοὶ τρίτον ῥίπτοντι Δωτιεὺς ἀνὴρ προσῆψεν ἀγχοῦ Acris. XII. 1. ἐκ χθονὸς ῥίψων ἑαυτὸν R. 1290. ἔῤῥιψεν ἄλλων χερσὶν εἰς ἄβατον ὄρος R. 719. ἔῤῥιψεν ἐκτὸς αὐτὸν T. 269. κάκοσμον οὐράνην ἔῤῥιψεν Ach. Conv. I. 2. ῥίψον με γῆς ἐκ τῆσδ' ὅσον τάχιστα R. 1436. ἔῤῥιψαν αἰσχρῶς ὧδ' ἔρημον P. 265. ἐς μέσην φλόγα ῥίψασά πως T. 697. οἴχεται δὴ πάντα ταῦτ' ἐῤῥιμμένα Aj. 1271. μὴ πάρος ῥιφθῶ κυσὶν προβλητὸς οἰωνοῖς θ' ἕλωρ Aj. 830.

Ῥοή. ὦ Σκαμάνδριοι γείτονες ῥοαὶ Aj. 419.

Ῥοθεῖν. λόγοι δ' ἐν ἀλλήλοισιν ἐῤῥόθουν κακοὶ A. 259. ταῦτ' ἄνδρες ἐῤῥόθουν ἐμοὶ μόλις φέροντες A. 290.

Ῥόθιον. ἀμφιπλήκτων ῥοθίων μόνος κλύων P. 688.

Ῥοῖβδος. πτερῶν δὲ ῥοῖβδος οὐκ ἄσημος ἦν A. 1004.

Ῥόπαλον. ῥόπαλον τινάσσων T. 512.

Ῥοπή. σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπὴ R. 961. ῥοπὴ βίου μοι C. 1508. ἐν ῥοπῇ τοιᾷδε κείμενος T. 82. λεπτῆς ἐπὶ ῥοπῆσιν ἐμπολὰς μακρὰς ἀεὶ παραῤῥίπτοντες Scyr. IV. 4.

Ῥοφεῖν. πνεύμονός τ' ἀρτηρίας ῥοφεῖ ξυνοικοῦν T. 1057.

Ῥύεσθαι. ῥύου με, κἀκφύλασσε C. 285. ἀπό τε φόνου ἔῤῥυτο C. 1352. ἐῤῥύσατ' ἐλθὼν μοῦνος Aj. 1275. τήνδε ῥυσαίμην πόλιν R. 72. ῥῦσαι σεαυτὸν καὶ πόλιν, ῥῦσαι δ' ἐμὲ, ῥῦσαι δὲ πᾶν μίασμα R. 312.

Ῥυθμίζειν. ῥυθμίζεις τὴν ἐμὴν λύπην; A. 318.

Ῥῦμα. σφαλερὸν πύργου ῥῦμα Aj. 159.

Ῥύσιον. μεῖζον ἄρα ῥύσιον πόλει τάχα θήσεις C. 858. φόνον φόνου δὲ ῥύσιον τίσω τάλας P. 959.

Ῥυτήρ. σπεύδειν ἀπὸ ῥυτῆρος C. 900. μέγαν ἱπποδέτην ῥυτῆρα λαβὼν Aj. 241.

Ῥυτός. ῥυτῶν ὑδάτων χοὰς C. 1598. ῥυτῶν ποταμῶν Aj. 882.

Ῥώμη. λῃστὰς ἔφασκεν οὐ μιᾷ ῥώμῃ κτανεῖν R. 122. ῥώμης γε δεῖται R. 1292. τοὔργον τόδε μεῖζον ἀνήκει ἢ κατ' ἐμὰν ῥώμαν T. 1021.

Σ.

Σαίνειν. φαιδρὰ γοῦν ἀπ' ὀμμάτων σαίνει με C. 320. παιδός με σαίνει φθόγγος A. 1214. λαθοῦσά με ἔσαιν' Ἐριννὺς ἡδοναῖς ἐψευσμένον Teucr. III. 4. σαίνοντες οὐραίοισι τὴν κεκτημένην I. T. XLII. 2.

Σαίρειν. πᾶσαν κόνιν σήραντες A. 489.

Σακεσφόρος. Αἴαντι τῷ σακεσφόρῳ Aj. 10. δία πολυῤῥάφου στρέφων σάκος πόρπακος Aj. 576. σὺν σάκει παλαισταὶ I. T. LXX. 5.

Σαλαμίς. Σαλαμῖνος ἔχων βάθρον Aj. 135. ὦ κλεινὰ Σαλαμὶς Aj. 596. πέδον Σαλαμῖνος Aj. 860.

Σαλεύειν. πρόδοτος δὲ μόνα σαλεύει Ἠλέκτρα E. 1074.

Σαλευτός. αἱ δ' εἰς σαλευτὰ δώμαθ', αἱ δ' ἐπίῤῥοθα Ter. VII. 10.

Σαλμυδησσός. ὁ Θρῃκῶν Σαλμυδησσὸς A. 969.

Σάλον. φοινίου σάλου βυθῶν R. 24. πόλιν πολλῷ σάλῳ σείσαντες A. 163. ἐκ πολλοῦ σάλου εὕδοντα P. 271.

Σάλπιγξ. οὔτε του κλύων σάλπιγγος Aj. 291. χαλκῆς ὑπαὶ σάλπιγγος ἦξαν E. 711.

Σάρδεις. τὸν πρὸς Σάρδεων ἤλεκτρον A. 1037.

Σάρξ. ἐκ μὲν ἐσχάτας βέβρωκε σάρκας T. 1056. πρὸς χάριν ἐμᾶς σαρκὸς αἰόλας P. 1157.

Σάφα. ὡς σάφ' εἰκάσαι C. 16. ὡς εἰδῶ σάφα T. 1069. σάφ' ἴσθι P. 122.

Σαφηνής. τί φωνεῖς; Σαφηνῆ T. 894.

Σαφής. μάντις εἶ σαφὴς R. 390. πρόνοια δ' ἐστὶν οὐδενὸς σαφὴς R. 978. μή μοι Φοῖβος ἐξέλθῃ σαφὴς R. 1011. τὰ πάντ' ἂν ἐξήκοι σαφῆ R. 1182. κτύπος σαφὴς μὲν αὐτῶν, ἐμφανὴς δὲ τοῦ ξένου C. 1501. σαφῆ προκηρύξαντα A. 34. ἆρ' εὔδηλα καὶ σαφῆ λέγω; A. 405. ὡς τάχ' ἂν σαφῆ λέξειεν T. 387. σύμβολον σαφὲς P. 403. φθέγματ' ὀρνίθων σαφῆ E. 18. σαφῆ σημεῖα E. 23. 885. ὅπως ἂν εἰδὼς ἡμὶν ἀγγείλῃς σαφῆ E. 40. πημονὴν αὐτῷ σαφῆ E. 966. ἔκμαθ' εἰ σαφῆ λέγω E. 1223. ταῦτά σοι σαφῆ δείξουσιν E. 1365. ὁ Διὸς Φοῖβος σαφὴς C. 623. σαφέστερον κλύω C. 792. ἐκμάθοι σαφέστατα R. 286.

Σαφῶς. ἐπιστέλλει σαφῶς R. 106. εἰ σαφῶς ἤγγειλά σοι R. 604. εἰ σαφῶς τὸ νεῖκος ἐγκαλῶν ἐρεῖς R. 702. σαφῶς τοῦτ' ἐστὶν ἤδη τοὔργον εἰς ἐμὲ ῥέπον R. 846. δεῖ μ' ἀπαγγεῖλαι σαφῶς R. 958. ἐκμαθεῖν σαφῶς R. 1065. ἐγὼ σαφῶς ἀγνῶτ' ἀναμνήσω νιν R. 1132. τοῦτ' ἐγὼ σαφῶς ἔξοιδα C. 359. κατοικεῖ τούσδε τοὺς τόπους σαφῶς P. 40. ἤκουον σαφῶς P. 595. σαφῶς φρόνει P. 810. ἡμᾶς μὲν ὡς δούλους σαφῶς πατὴρ ἄρ' ἐξέφυσε P. 995. πῶς ἂν εἰδείην σαφῶς; E. 660 σαφῶς Σιδηρὼ καὶ φοροῦσα τοὔνομα Tyro I.

Σβεννύναι. θεῶν τις τήνδε πεῖραν ἔσβεσεν Aj. 1057.

Σεαυτοῦ. μηδ', ἃ μὴ ἔθιγες, ποιοῦ σεαυτῆς A. 547. δός μοι σεαυτὸν T. 1119. δός μοι σεαυτὸν εἰς ἀναιδὲς P. 84. μὴ νῦν ἓν ἦθος μοῦνον ἐν σαυτῷ φόρει A. 705. κόμας ἐμὰς, καὶ τῆσδε, καὶ σαυτοῦ τρίτον Aj. 1174. στόνον σαυτοῦ ποιεῖς P. 752. νῦν δ' αἶρε σαυτὸν P. 886. ἐν σαυτῷ γενοῦ P. 950.

Σέβας. ὦ θεῶν ἁγνὸν σέβας A. 830. εἴπερ ἴσχει Ζεὺς ἔτ' ἐξ ἐμοῦ σέβας A. 304. τῷ Λαερτίου σέβας ὑπέρτατον P. 402. ἁγνοῦ Ζηνὸς ὕψιστον σέβας P. 1289. εἰσῆλθε λαμπρὸς, πᾶσι τοῖς ἐκεῖ σέβας E. 685.

Σέβειν. σὲ γὰρ τῶνδ' ἐς πλέον, γύναι, σέβω R. 700. ἁμαρτάνω γὰρ τὰς ἐμὰς ἀρχὰς σέβων; Οὐ γὰρ σέβεις, τιμάς γε τῶν θεῶν πατῶν A. 745. ὃν μόνον σέβει θεῶν A. 777. ἵν' ἀξιῶτον τοὺς φυτεύσαντας σέβειν C. 1377. οὐδὲν γὰρ αἰσχρὸν τοὺς ὁμοσπλάγχνους σέβειν A. 511. ἔργον γάρ ἐστι τοὺς ἀκοσμοῦντας σέβειν A. 730. πόνος περισσός ἐστι τἂν Ἅιδου σέβειν A. 780. σέβειν μὲν εὐσέβειά τις A. 872. τῶδε χρὴ πάντας σέβειν E. 981. δαιμόνων ἕδη σέβων R. 886. εἶμι γᾶς ἐπ' ὀμφαλὸν σέβων R. 898. Λαΐου σέβοντας εἰδὼς αἰὲν εὖ θρόνων κράτη A. 166. εὐνομίᾳ σέβων μεγίστᾳ Aj. 713. εἴ τι σέβει ξένον P. 1163. ἡ δ' οἴκοι πλέον δίκῃ σέβοιτ' ἂν C. 760. φίλον σέβεσθαι C. 187.

Σεβίζειν. γῆ θεοὺς ἐπίσταται τιμαῖς σεβίζειν C. 1007. εἰ θέμις ἐστί σε λιταῖς σεβίζειν C. 1557. τὴν εὐσεβίαν σεβίσασα A. 944. ἃ 'γὼ σεβισθεὶς οὔποτ' ἐκβαλῶ χάριν τὴν τοῦδε C. 636.

Σείειν. κρυφῇ κάρα σείοντες A. 290. πόλιν πολλῷ σάλῳ σείσαντες A. 163. οἷς γὰρ ἂν σεισθῇ θεόθεν δόμος A. 584. ἡνίας χεροῖν ἔσεισαν E. 713.

Σειραῖος. δεξιὰν δ' ἀνεὶς σειραῖον ἵππον E. 722.

Σεισμός. ἢ σεισμὸν, ἢ βροντήν τιν', ἢ Διὸς σέλας C. 95.

Σέλας. Διὸς σέλας C. 95. ἐφέστιον σέλας T. 607. πευκίνης λαβόντα λαμπάδος σέλας T. 1200. ὦ φαεννῆς ἡμέρας τὸ νῦν σέλας Aj. 856. παγκρατὲς σέλας Ἡφαιστότευκτον P. 986.

Σελήνη. σελήνης ὄψις I. T. LVI. 3.

Σελλοί. Σελλῶν ὀρείων καὶ χαμαικοιτῶν T. 1169.

Σέλμα. ὑπτίοις κάτω στρέψας τὸ λοιπὸν σέλμασιν ναυτίλλεται A. 716.

Σεμνόμαντις. σεμνόμαντιν ἄνδρα R. 556.

Σεμνός. τὰ σέμν' ἵν' ἥκει τοῦ θεοῦ μαντεύματα R. 953. σεμνὸν ὄνομα C. 41. σεμνὸς Ποσειδῶν C. 55. σεμνὸν βάθρον C. 100. σεμναὶ θεαὶ C. 458. σεμνὰς Ἐρινῦς Aj. 836. σεμνὰ τέλη C. 1049. σεμνά τε παῖς Παλλὰς Ἀθάνα C. 1090. σεμνῶν ὀργίων φλὸξ T. 767. τὰ σέμν' ἔπη κόλαζ' ἐκείνους Aj. 1108. σεμναί τε θεῶν παῖδες Ἐριννύες E. 112. προσόδια μεγάλα σεμνὰ Peleus I. 4.

Σεύεσθαι. συθεὶς δ' οὐκ ἂν ἀλγύναις πλέον R. 446. ἐκτόπιος συθεὶς C. 119. πάλιν, φίλα, συθῶμεν C. 1724. ὁ Διὸς Ἀλκμήνας τε κόρος σεῦται T. 647. ὁ δ' ἐσσύθη μόνος Aj. 294.

Σηκός. σηκὸν φυλάσσει κρύφιος οἰκουρῶν ὄφις P. 1328.

Σῆμα. τῶνδ' ἀποίσεις σῆμα T. 614. ψεύδοντες οὐδὲν σημάτων προκειμένων C. 1512. οὐράνια σήματα Naupl. V. 9.

Σημαίνειν. Κρεόντα προστείχοντα σημαίνουσι T. 79. Κρέοντι σημαίνει μολὼν A. 1208. κείνου τὸ θησαύρισμα σημαίνεις τόδε P. 37. σήμαινε C. 51. T. 598. τῷ προφερτάτῳ μόνῳ σήμαινε C. 1532. ἅ μοι προσελθὼν σῖγα σήμαινε P. 22. ἃ δ' ἁρμόσει μοι τῷ παρόντι νῦν χρόνῳ σήμαινε E. 1294. σήμαιν', ὅτου τ' εἶ, καὶ πόθεν Alet. IV. 2. λόγος σημαινέτω T. 345. τὸ μέν τις οὔτε νεαρὸς οὔτε γήρᾳ σημαίνων ἁλιώσει C. 703. ταῦτα σημανοῦσ' ἐλήλυθα C. 366. δηλοῖς δ' ὥς τι σημανῶν νέον A. 241. χωρεῖ πρὸς ἡμᾶς γραῖα σημανοῦσά τι T. 872. Τεύκρῳ δ', ἢν μόλῃ, σημήνατε μέλειν μὲν ἡμῶν Aj. 688. τί σημῆναι θέλων R. 933. σημήνατε R. 1050. τὰ μὲν σημαίνομαι, τὰ δ' ἐκπέπληγμαι Aj. 32.

Σημάντριον. ἔς θ' ἕω σημάντρια ἔδειξε Naupl. V. 6.

Σημάντωρ. αὐτός μοι σὺ σημάντωρ γενοῦ R. 957.

Σημεῖον. φανῶ δέ σοι σημεῖα τῶνδε R. 710. λαβὼν σημεῖα ταῦτα R. 1059. σημεῖα δ' ἥξειν τῶνδέ μοι παρηγγύα C. 94. σημεῖα δ' οὔτε θηρὸς, οὔτε τοῦ κυνῶν ἐλθόντος A. 257. τέχνης σημεῖα τῆς ἐμῆς κλύων A. 998. ὅς μοι σαφῆ σημεῖα φαίνεις E. 24. σαφῆ σημεῖ' ἰδοῦσα E. 886.

Σήραγξ. κρημνούς τε καὶ σήραγγας Scyth. III.

Σθεναρός. σθεναρώτερον φυγᾷ πόδα νωμᾶν R. 468.

Σθένειν. προσβλέπειν γὰρ οὐ σθένω R. 1486. εἴ τις ἄλλος ἐν πόλει σθένει C. 456. οὐ γὰρ ἂν σθένοι τοὐμὸν δέμας ἕρπειν ἔρημον C. 501. οὐδὲν σθένω C. 846. ἄνευ σου δ' οὐδὲ σωθῆναι σθένω C. 1346. ὅταν δὴ μὴ σθένω, πεπαύσομαι A. 91. θεοὺς μιαίνειν οὔτις ἀνθρώπων σθένει A. 1044. ἡμεῖς οὐδὲν σθένομεν πρὸς ταῦτ' ἀπαλέξασθαι Aj. 165. ὅποιπερ ἂν σθένω Aj. 810. χείρων τἀγαθοῦ μεῖζον σθένει P. 456. εἰς ὅσον γ' ἐγὼ σθένω P. 1403. οὔτε γὰρ σὺ τοῦδ' ἄτερ σθένεις ἑλεῖν τὸ Τροίας πεδίον, οὔθ' οὗτος σέθεν P. 1434. ξυνοίσω πᾶν ὅσονπερ ἂν σθένω E. 946. σθένεις τ' ἔλασσον τῶν ἐναντίων E. 898. κρατεῖν γὰρ οὐκ ἔτι γλώσσης σθένω E. 1186. παῖσον, εἰ σθένεις, διπλῆν E. 1415. ὁ δὴ νόθος τοῖς γνησίοις ἴσον σθένει Aloadæ X. 1. λόγοι σθένουσι τῶν ἔργων πλέον Eriph. VIII. 2. οὐ σθένοιμεν ἂν φωνεῖν πέρα τῶν πρὸς σὲ νῦν εἰρημένων C. 256. σθένειν τοσοῦτον ᾠόμην τὰ σὰ κηρύγματα A. 453. μακρὰν πτέσθαι σθένοντες R. 17. πρὸς πόλιν δ' ἐπίσταμαι σθένουσαν ἥκων C. 733. ἐν πλούτῳ πατρὸς σθένοντος Aj. 487. οὔτις ἔστ' ἀνὴρ σθένων τοσοῦτον Aj. 1062. σὺ γὰρ ἂν σθένοντά γε εἷλέν με P. 947. σθένουσα μηδὲν E. 1014. ὅσονπερ ἔσθενον T. 929. εἴπερ ἔσθενον, ἕδρων ἂν E. 604.

Σθένος. τῆς ἀληθείας σθένος R. 369. λόγῳ τε καὶ σθένει κρατεῖ C. 68. χώρας οὐ γεγήρακε σθένος C. 727. σθένει τελειῶσαι λόχον C. 1089. μέγα τι σθένος ἁ Κύπρις ἐκφέρεται T. 497. ὁ μὲν ἦν ποταμοῦ σθένος T. 506. τόπον Τροίας ἐπελθὼν οὐκ ἐλάσσονι σθένει Aj. 438. εἰ σθένος λάβοιμι E. 323. γνῶμαι πλέον κρατοῦσιν ἢ σθένος I. T. XXI.

Σῖγα. πῶς ποθ' αἱ πατρῷαί σ' ἄλοκες φέρειν σῖγ' ἐδυνάθησαν; R. 1212. τοιάδ' ἐρεμνὴ σῖγ' ἐπέρχεται φάτις A. 700. τί σῖγ' ἀφέρπεις; T. 815. οὐ σῖγ' ἀνέξει Aj. 75. σῖγα σήμαινε P. 22. γελῶσι σῖγ' ἔχοντες P. 258. μὴ σῖγα πλοῦν ποιεῖσθαι P. 551. σῖγ' ἔχουσα πρόσμενε E. 1236. σῖγα πρόσμενε E. 1399.

Σιγᾶν. τί σιγᾷς; C. 1271. σίγα C. 111. T. 976. σίγα νῦν ἑστὼς Aj. 87. σιγᾶν φιλῶ R. 569. σιγᾶν ἂν ἁρμόζοι σε τὸν πλείω λόγον T. 733. ἔχει γὰρ οὕτως, ὥστε μὴ σιγᾶν πρέπειν T. 1128. σιγᾶν κελεύω P. 865. σιγᾶν ἄμεινον E. 1238. σιγᾶν ἐπῄνεσα E. 1322. σιγᾶν ἀνώγα E. 1458. σιγᾶν ἀνάγκη I. T. XV. 2. πολλὸν ἐχθίων ἔσει σιγῶσα A. 87. ξυνηγορεῖς σιγῶσα τῷ κατηγόρῳ T. 816. ξύγγνωτε, κἀνάσχεσθε σιγῶσαι Phædr. VI. 1. σίγησον Aj. 975. ὦ γλῶσσα σιγήσασα τὸν πολὺν χρόνον I. T. XXXVIII. 1. σιγήσομαι C. 113. οὐ γὰρ οὖν σιγήσομαι C. 980. σιγώμενος γάρ ἐστι θρηνεῖσθαι πρέπων Tyro XIII. 2.

Σίγειον. πικρὸν Σίγειον οὐρίῳ πλάτῃ κατηγόμην P. 355.

Σιγή. κἂν ἐγὼ σιγῇ στέγω R. 341. ἥ τ' ἄγαν σιγὴ βαρὺ δοκεῖ προσεῖναι A. 1251. σιγῇ τοὐμὸν ἔργον ἤνυτον T. 319. ὅσον ἦν κέρδος σιγῇ κεύθειν T. 991. σιγῇ πτήξειαν ἄφωνοι Aj 171. γυναιξὶ κόσμον ἡ σιγὴ φέρει Aj. 293. σιγὴ παρ' ὑμῶν ἔστω E. 469. ἀξίαν σιγὰν λόγων E. 1261. αἷς κόσμος ἡ σιγή τε, καὶ τὰ παῦρ' ἔπη Acris. IV. 2. σιώπα, πόλλ' ἔχει σιγὴ καλὰ Aloadæ IV.

Σιγηλός. καὶ γὰρ οὐ σιγηλὸς εἶ T. 416. οὐκ ἐρεῖς, ἀλλ' ὧδ' ἔσει σιγηλός; P. 741.

Σιδήρεος. κέστρᾳ σιδηρᾷ Aeg. III. 2.

Σιδηροβρώς. σιδηροβρῶτι θηγάνῃ Aj. 820.

Σιδηροκμής. βοτοῖς σιδηροκμῆσιν Aj. 325.

Σίδηρος. σίδηρον ὀπτὸν ἐκ πυρὸς A. 475. στονόεντος ἐν τομᾷ σιδήρου T. 889. κτείνοντ' αἴθωνι σιδήρῳ Aj. 147. ὃς τὰ δείν' ἐκαρτέρουν τότε, βαφῇ σίδηρος ὣς Aj. 651. ἄνευ σιδήρου πάντα τοι συντέμνεται Κύπρις I. T. XXIII. 16.

Σιδηρώς. σαφῶς Σιδηρὼ καὶ φοροῦσα τοὔνομα Tyro I.

Σιδώνιος. Σιδώνιος κάπηλος I. T. LXXXII. 3.

Σινδών. βρόχῳ μιτώδει σινδόνος καθημμένην A. 1222.

Σισυρνώδης. σισυρνώδη στολὴν Mys. V.

Σισυφίδης. Σισυφιδᾶν γενεὰ Aj. 190.

Σίσυφος. οὑμπόλητος Σισύφου Λαερτίῳ P. 417. οὐχὶ Σισύφου πατρὸς P. 1311.

Σιτίον. ἀμφὶ σιτία καὶ καρχήσια Tyro VIII.

Σιτονόμος. τοῦ ποτε τεύξομαι σιτονόμου; P. 1091.

Σιωπᾶν. μὴ σιωπάτω R. 231. εἰ σιωπήσεσθε R. 233. οὐ σιωπήσας ἔσει R. 1446. αὐδῶ σιοπᾶν C. 834. τί δή ποθ' ὧδ' ἐξ οὐδενὸς λόγου σιωπᾷς; P. 731. τί φής; σιωπᾷς; P. 951. σιοπώσης ἐμοῦ E. 657. σιώπα· πόλλ' ἔχει σιγὴ καλὰ Aloadæ IV. τῶνδ' ἀνάγκη καὶ σιωπώντων κλύειν Past. III. 2.

Σιωπή. μὴ 'κ τῆς σιωπῆς τῆσδ' ἀναῤῥήξει κακὰ R. 1075. ἦν μὲν σιωπὴ C. 1623. σιωπὴ τῷ λαλοῦντι σύμμαχος I. T. XIII. 2.

Σκαιός. σκαιὸν ἐκλύσων στόμα Aj. 1225. σκαιοῖσι πολλοῖς εἷς σοφὸς διόλλυται I. T. VII. 4. σκαιοῖσι φαῦλον, κἂν βραχεῖ διδάσκαλον I. T. XLIX. 3.

Σκαιοσύνη. σκαιοσύναν φυλάσσων C. 1213.

Σκαιότης. αὐθαδία τοι σκαιότητ' ὀφλισκάνει A. 1029.

Σακλμή. σκαλμῇ γὰρ ὄρχεις βασιλὶς ἐκτέμνουσ' ἐμοὺς Troil. II.

Σκαμάνδριος. ὦ Σκαμάνδριοι γείτονες ῥοαὶ Aj. 419.

Σκάφος. ἐν μέσῳ σκάφει θέντες σφε

T. 806. ἐς δὲ ναυτικὰ σκάφη πηδῶντος ἄρδην Ἕκτορος Aj. 1278.

Σκεδάζειν. μὴ σκεδάσαι τῷδ' ἀπὸ κρατὸς βλεφάρων θ' ὕπνον T. 991.

Σκείρων. χθόνα Σκείρωνος ἀκτῆς Aeg. I. 5.

Σκέλος. οὐράνῳ σκέλη προφαίνων E. 753.

Σκέπτεσθαι. σκέψαι δὲ τοῦτο πρῶτον R. 584. σπέψαι δ' ὁποίας ταῦτα ξυμφορᾶς ἄπο πέπονθα T. 1079. σκέψασθε, πρὸς θεῶν, τὴν τύχην δυοῖν βροτοῖν Aj. 1028. σκέψαι γὰρ E. 442.

Σκευή. σκευή τε γάρ σε, καὶ τὸ δύστηνον κάρα δηλοῦτον C. 555.

Σκηνή. ἐπὶ σκηναῖς σε ναυτικαῖς ὁρῶ Αἴαντος Aj. 3. σκηνῆς ἔνδον Aj. 218. ὑπὸ σκηναῖσιν εἶρξαι Aj. 753. εἴργειν σκηνῆς ὕπαυλον Aj. 796. μόνος παρὰ σκηναῖσιν Aj. 985.

Σκήπτειν. ὁ πυρφόρος θεὸς πόλιν σκήψας ἐλαύνει R. 28.

Σκηπτός. τυφὼς ἀείρας σκηπτὸν A. 418.

Σκῆπτρον. σκήπτρῳ προδεικνὺς R. 456. σκήπτρῳ τυπεὶς R. 811. παρ' ὅτῳ τὸ θεῖον Διὸς σκῆπτρον ἀνάσσεται P. 140. πῆξαι λαβόντα σκῆπτρον E. 420. ἐκ τούτοιν γε μὴ σκήπτροιν ἔτι ὁδοιπορήσεις C. 848. σκῆπτρα καὶ θρόνους ἔχει C. 425. σκῆπτρα κραίνειν C. 449. ὦ σκῆπτρα φωτὸς C. 1109. σκῆπτρα καὶ θρόνους ἔχων C. 1354. δόμους Ἀτρειδῶν σκῆπτρα τ' ἀμφέπειν E. 651.

Σκῆψις. εἰσόρα μὴ σκῆψιν οὐκ οὖσαν τίθῃς E. 584.

Σκιά. καπνοῦ σκιᾶς οὐκ ἂν πριαίμην A. 1170. κούφην σκιὰν Aj. 126. σκιᾷ τινὶ λόγους ἀνέσπα Aj. 301. ἀνδρὸς οὐκ ἔτ' ὄντος, ἀλλ' ἤδη σκιᾶς Aj. 1257. ἀντὶ φιλτάτης μορφῆς σποδόν τε καὶ σκιὰν ἀνωφελῆ E. 1159. ἄνθρωπός ἐστι πνεῦμα καὶ σκιὰ μόνον Ajax Locr. III. ταῦτα παντ' ὄνου σκιὰ Cedal. II. ἰδεῖν σκιᾶς εἴδωλον Tyro XV 6.

Σκιάζειν. Ἀθὼς σκιάζει νῶτα Λημνίας βοὸς Lemn. III.

Σκληρός. σκληρᾶς ἀοιδοῦ δασμὸν R. 36. σκληρὰ μαλθακῶς λέγων C. 774. τὰ σκληρὰ πατρὸς κλύετε τοῦδ' ἀρωμένου C. 1406. τροφὴν σκληρὰν C. 1615. σκλήρ' ἄγαν φρονήματα A. 473. ψυχὴ σκληρὰ T. 1262. Aj. 1361. τὰ σκληρὰ γάρ τοι, κἂν ὑπέρδικ' ᾖ, δάκνει Aj. 1119. ὁ σκληρὸς οὗτος καὶ γίγαντας ἐκτρέφων Aeg. I. 6.

Σκοπεῖν. πάντα γὰρ σκοπῶ λόγον R. 291. σκοπῶ κἀγὼ πάλαι P. 589. σκόπει κλύων R. 952. εἰ τὸ θάκημ' ἐξαναγκάζει, σκόπει C. 1179. εἰ ξυμπονήσεις καὶ ξυνεργάσει, σκόπει A. 41. σκόπει ὅσῳ κάκιστ' ὀλούμεθα A. 58. αὐτὴ πέλας σοῦ, μηκέτ' ἄλλοσε σκόπει E. 1474. τὰ πρὸς ποσὶ σκοπεῖν μεθέντας ἡμᾶς τἀφανῆ προσήγετο R. 130. τόδε σκοπεῖν δεῖ R. 407. οὐ τὸν χρονὸν χρὴ μᾶλλον ἢ τἄργα σκοπεῖν A. 729. ἔργον ἤδη σὸν τὰ λοίφ' ὑπηρετεῖν, σκοπεῖν τε P. 16. τί δῆτα δεῖ σκοπεῖν; P. 428. καιρὸς πλοῦν καλεῖ σκοπεῖν P. 467. τὸν βίον σκοπεῖν P. 506. ἣν δ' εὖ σκοπῶν εὕρισκον ἴασιν μόνην R. 68. παρ' οὗ σκοπῶν τάδε R. 286. τὴν αὐτοῦ σκοπῶν πρᾶξιν T. 151. οὐδὲν τὸ τούτου μᾶλλον ἢ τοὐμὸν σκοπῶν Aj. 124. πάντα δὴ σκοπῶν εὕρισκον οὐδὲν πλὴν ἀνιᾶσθαι παρὸν P. 282. οὐδ' εἰ πάντ' ἐπεξέλθοις σκοπῶν I. T. VI. 2. τί δῆτ' ἄν, ὦ γύναι, σκοποῖτό τις τὴν Πυθόμαντιν ἑστίαν; R. 965. ἔνεστι τοῖσιν εὖ σκοπουμένοις ταρβεῖν τὸν εὖ πράσσοντα T. 296.

Σκοπός. ἡμὶν αἴσιος σκοπὸς προσήκεις C. 35. σκοπός νιν οἴχεται στελῶν C. 297. τῷ σκοπῷ μὲν οὐκ ἐρεῖς ὡς ψευδόμαντις C. 1096. τὸν σκοπὸν πρὸς νοῦν ἀποστελῶ P. 125. ὡς ἂν σκοποὶ νῦν ἦτε τῶν εἰρημένων A. 215. οἷοι νῶν ἐφεστᾶσιν σκόποι Aj. 945. ὥστε τοξόται σκοποῦ τοξεύετ' ἀνδρὸς τοῦδε A. 1033.

Σκορπίος. ἐν πάντι σκορπίος φρουρεῖ λίθῳ Capt. IV.

Σκοτεινός. γιγνώσκω σαφῶς καίπερ σκοτεινὸς R. 1327.

Σκότος. βλέποντα νῦν μὲν ὄρθ', ἔπειτα δὲ σκότον R. 419. ἐν σκότῳ R. 1273. ἰὼ σκότου νέφος ἐμὸν R. 1313. Γῆς τε καὶ Σκότου κόραι C. 40. παῖδες ἀρχαίου Σκότου C. 106. τὸν ἀεὶ κατὰ γᾶς σκότον εἱμένος C. 1701. μηδὲν ὀρθῶς ἐν σκότῳ τεχνώμενα A. 494. ἐμοὶ δ' ἀκούειν ἔσθ' ὑπὸ σκότου τάδε A. 692. σκότῳ κἂν αἰσχρὰ πράσσῃς οὔ ποτ' αἰσχύνῃ πεσεῖ T. 596. τί με

κατὰ σκότον ποτὲ δίεμπολᾷ λόγοισι πρὸς σέ; P. 578. δύλον σκότῳ κρύψας E. 1396. πῶς, τόδ' εἰ καλὸν τοὔργον, σκότου δεῖ; E. 1494. ἐν σκότῳ λαθοῦσά με Teucr. III. 3.

Σκοτοῦν. ἐγὼ σκοτώσω βλέφαρα καὶ δεδορκότα Aj. 85.

Σκύθης. ὡς ἀσπιδοῦχος, ἢ Σκύθης Naupl. II. 2. τὸ Βοσπόρειον ἐν Σκύθαις ὕδωρ Phineus IV.

Σκυθιστί. Σκυθιστὶ χειρόμακτρον ἐκκεκαρμένος Oenom. II.

Σκύλαξ. Ἅιδου τρίκρανον σκύλακα T. 1100.

Σκῦλον. σκῦλά τ' ἐς μέλαθρα σὰ πέμψεις P. 1428. σκύλα τοῦδε τοῦ στρατοῦ λαβεῖν P. 1431.

Σκύμνος. ὡς κενῆς σκύμνον λεαίνης Aj. 987.

Σκῦρος. γένος μέν εἰμι τῆς περιῤῥύτου Σκύρου P. 241. Σκῦρος ἀνδρῶν ἀλκίμων μήτηρ ἔφυ P. 326. ἐς τὴν Σκῦρον ἐκπλεύσεις ἔχων P. 381. ἡ πετραία Σκῦρος ἐξαρκοῦσά μοι P. 459. μή ποτ' ὤφελον λιπεῖν τὴν Σκῦρον P. 970. καὐτὸς ἐν Σκύρῳ μένων ἔα P. 1368.

Σμῆνος. βομβεῖ δὲ νεκρῶν σμῆνος I. T. XXXV.

Σμικρός. σμικρὰ παλαιὰ σώματ' εὐνάζει ῥοπὴ R. 961. κεἰ σμικρόν ἐστι σπέρμα τοὐμὸν R. 1077. σμικρὸν μὲν ἐξαιτοῦντα, τοῦ σμικροῦ δ' ἔτι μεῖον φέροντα C. 6. ὡς ἂν προσαρκῶν σμικρὰ κερδάνῃ μέγα C. 72. ἐπὶ σμικροῖς μέγας ὥρμουν C. 149. ἔπους σμικροῦ χάριν C. 443. ἐν σμικρῷ λόγῳ C. 569. Aj. 1268. οὐ σμικρὸς ἀγὼν C. 587. ἐκ σμικροῦ λόγου C. 620. δασμόν οὐ σμικρὸν C. 625. σμικρόν μ' ἐρημία τίθησι C. 957. ταῖς τηλικαῖσδε σμικρὸς ἐξαρκεῖ λόγος C. 1116. λόγος σμικρὸς μὲν εἰπεῖν C. 1152. οὐ γὰρ ἥδ' ἕδρα σμικροῦ λόγου C. 1163. σμικρὸς χαλινὸς A. 477. τοῦδε χρὴ κλύειν καὶ σμικρὰ A. 667. οὐ σμικρῶν κακῶν ἦρξεν T. 873. σμικροὶ μεγάλων χωρὶς Aj. 158. ἀπὸ σμικροῦ κακοῦ Aj. 1078. οὐ σμικρὸν φρονεῖν Aj. 1120. σμικροῦ νέφους Aj. 1148. μέγας δὲ πλευρὰ βοῦς ὑπὸ σμικρᾶς ὅμως μάστιγος ὀρθὸς εἰς ὁδὸν πορεύεται Aj. 1253. ἐπωφέλημα σμικρὸν P. 275. τοὐμὸν ἐν σμικρῷ μέρος ποιούμενοι P. 498. οὐ κάτοιδα πλὴν ἐπὶ σμικρὸν φράσαι E. 414. πολλὰ καὶ σμικροὶ λόγοι ἔσφηλαν ἤδη καὶ κατόρθωσαν βροτοὺς E. 415. σμικρὰ μὲν τάδε E. 450. σμικρὸς προσήκεις ὄγκος ἐν σμικρῷ κύτει E. 1142. ἐμοὶ πάρες κἂν σμικρὸν εἰπεῖν E. 1483. φυσᾷ γὰρ οὐ σμικροῖσιν αὐλίσκοις I. T. LXXX. 1.

Σμυγερός. θηροβολοῦντα πτηνοῖς ἰοῖς σμυγερὸν σμυγερῶς P. 166.

Σμυγερῶς. θηροβολοῦντα πτηνοῖς ἰοῖς σμυγερὸν σμυγερῶς P. 166.

Σμύρνη. σμυρνῆς σταλαγμὸς Laoc. I. 2.

Σός. ῥᾷστα γὰρ τὸ σόν τε σὺ κἀγὼ διοίσω τοὐμὸν R. 320. ἐχθρὸς ὢν τοῖς σοῖσιν αὐτοῦ R. 416. τὸ σὸν δέ γ' οἶσθα R. 570. ὁ σὸς πόσις R. 640. πατέρα τὸν σὸν R. 954. τὰ σὰ δεῖται κολαστοῦ μᾶλλον ἢ τὰ τοῦδ' ἔπη R. 1147. τέκνον, τί δ' ἦλθες; Σῇ, πάτερ, προμηθίᾳ C. 332. δυστυχεῖν ἔμ' εἰς τὰ σὰ C. 800. τὸ σὸν ἄχος C. 1711. ἄγαν γε λυπεῖς, καὶ σὺ, καὶ τὸ σὸν λέχος A. 573. πάτερ, σός εἰμι A. 635. τὸ γὰρ σὸν ὄμμα δεινὸν ἀνδρὶ δημότῃ A. 690. τὸ σὸν μέρος A. 1068. τὸν σὸν ἐνστάτην Aj. 104. εὖ φρονῶ τὰ σὰ Aj. 491. ὅστις ἀντὶ σοῦ λέξει τὰ σὰ Aj. 1261. ὅρα μὴ τοὐμὸν ἀλλὰ καὶ τὸ σὸν Aj. 1313. ἐπαινέσας τὸ σὸν Aj. 1401. τὸν σὸν οὐ ταρβῶ φόβον P. 1251. τὴν σὴν δ' ἥκω χάριν P. 1413. τὸ σὸν σπεύδουσ' ἅμα, καὶ τοὐμὸν αὐτῆς E. 251. ἐρῶ γὰρ καὶ τὸ σὸν E. 577. τὴν σὴν οὐ καταισχύνω φάτιν E. 609. αὐτὸς σὺ βάσταζ', οὐκ ἐμὸν τόδ', ἀλλὰ σὸν E. 1470.

Σούνιον. πλάκα Σουνίου Aj. 1220.

Σοῦσθαι. σούσθω, βάτω Aj. 1414.

Σοφία. σοφίᾳ δ' ἂν σοφίαν παραμείψειεν ἀνὴρ R. 503. σοφίᾳ γὰρ ἔκ του κλεινὸν ἔπος πέφανται A. 620.

Σοφίζειν. αὐτὸ τοῦτο δεῖ σοφισθῆναι P. 77.

Σόφισμα. ἐγχέω τὸ πᾶν σόφισμα P. 14.

Σοφιστής. κρείσσων σοφιστοῦ παντὸς Alet. I.

Σοφός. σοφὸς οἰωνοθέτας R. 484. σοφὸς ὤφθη R. 509. σοφός γ' ὁμοίως R. 563. οὗτος ὁ σοφὸς R. 568. σοφόν τι τὸ μηχανόεν τέχνας ὑπὲρ ἐλπίδ' ἔχων A. 365. κεἴ τις ᾖ σοφὸς A. 710. σοφὸς σὺ μάντις A. 1059. ἰατρὸς

E. 20. κατὰ στέγας κλαίω E. 282. ἐν κατηρεφεῖ στέγῃ E. 382. τῆσδ' ἀποστῆναι στέγης E. 912. Αἴγισθος οὐ κατὰ στέγας E. 1308. παράγεται εἴσω στέγης E. 1392. ἰὼ στέγαι φίλων ἔρημοι E. 1497. ἦ πᾶσ' ἀνάγκη τήνδε τὴν στέγην ἰδεῖν τά τ' ὄντα καὶ μέλλοντα Πελοπιδῶν κακά; E. 1497.

Στέγος. πλῆρες ἄτης ὡς διοπτεύει στέγος Aj. 307. δέξαι μ' ἐς τὸ σὸν τόδε στέγος E. 1165. χρόνῳ δ' ἀργῆσαν ἤμυσε στέγος I. T. LXXII. 3.

Στειπτός. στειπτή γε φυλλὰς P. 33.

Στείχειν. ἔνθα Κωρύκιαι Νύμφαι στείχουσι Βακχίδες A. 1129. ταῦτ' ἀκούσας στεῖχε C. 1393. εἰ δοκεῖ σοι, στεῖχε A. 98. στεῖχε δωμάτων πάρος Aj. 73. στεῖχε προσκύσας χθόνα P. 1407. ὧδ', ὡς ἔχω, στείχοιμ' ἂν A. 1108. στείχοις ἂν ἤδη T. 624. στείχωμεν ἤδη C. 1541. εἰ δοκεῖ, στείχωμεν P. 1402. ἕτοιμος εἰπεῖν εἴτε καὶ στείχειν ἔσω R. 92. εἰ δ' ἐμοῦ στείχειν μέτα, τόδ' ἡδὺ C. 639. τί δῆτα χρῄζεις, ἢ δόμους στείχειν ἐμούς; C. 643. σὲ δεῖ στείχειν ἅμ' αὐτοῖς P. 983. ἐκ δόμων στείχουσαν R. 632. στείχων δ' ἱκνοῦμαι τούσδε τοὺς χώρους R. 798. γυναῖχ' ὁρῶ στείχουσαν ἡμῶν ἆσσον C. 312. ἐμπέπτωκεν ἀρτίως λόγος στείχοντι δεῦρο C. 1151. πρὸς φίλους στείχοντα τῶν ἐχθρῶν κακὰ A. 10. ἄτην ὁρῶν στείχουσαν ἀστοῖς A. 186. τὰν νεατὰν ὁδὸν στείχουσαν A. 807. πρὸς ἔξοδον στείχουσα A. 1184. στείχονθ' ὁρῶ τὸν ἄνδρα T. 179. στείχοντα γὰρ πρόσωθεν ἀμφέστησαν Aj. 723. μή μ' ἀντιφώνει μηδὲν, ὡς στείχοντα δὴ P. 1065. νεὼς ὁμοῦ στείχων ἂν ἦν σοι τῆς ἐμῆς, εἰ μὴ πέλας Ὀδυσσέα στείχοντ' ἐλεύσσομεν P. 1219. φέρε νυν χώραν στείχων καλέσω P. 1452. παρακτίαν στείχων Thamyr. IV. 1. στείχοντα παραλίαν πέτραν Peleus III. 5. δέλτον λιπὼν ἔστειχε T. 47.

Στέλλειν. πολλὰ γὰρ τοῖς ἱκμένοις ἔστελλον αὐτὸν P. 495. βίᾳ στελοῦσί σε P. 983. στελεῖν χιτῶνι τῷδε T. 613. τὸν πλοῦν στελεῖν P. 623. ἔμ' εἰς Ἀχαιοὺς ὤμοσεν πείσας στελεῖν P. 623. τὸν ἐργάτην πέμψον τινὰ στελοῦντα R. 860. ὑμᾶς ἐγὼ πομπεῦσιν ἐκ πάντων δίχα ἔστειλ' ἱκέσθαι A. 165. ᾧ δὴ τόνδε πλοῦν ἐστείλαμεν Aj. 1045. οὐκ ἐξ ἑνὸς στείλαντος C. 737. ἐν λιταῖς στείλαντες ἐξ οἴκων μολεῖν P. 60. ὥσπερ ἦν ἐσταλμένον T. 778. τούτων γὰρ οὕνεκ' ἐστάλην Aj. 328. οἷπερ ἐστάλην ὁδοῦ E. 403. ἤδη, τέκνον, στέλλεσθε; P. 466. ὁδὸν ἣν στέλλει P. 1416. σ' ἂν οἴκους τοὺς ἐμοὺς ἐστείλαμεν R. 434.

Στέναγμα. πόλις στεναγμάτων γέμει R. 5.

Στεναγμός. στεναγμὸς, ἄτη, θάνατος, αἰσχύνη R. 1284. Ἅιδης στεναγμοῖς καὶ γόοις πλουτίζεται R. 30.

Στενάζειν. ἔστιν νῷν δὴ πατρὸς αἷμα στενάζειν C. 1672. τὸν ἐμὸν πότμον οὐδεὶς στενάζει A. 882. πάρα στενάζειν Aj. 982. κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις, βοῶν, στενάζων P. 11. μὴ στέναζε πρὶν μάθῃς P. 917. ὡς ἐπ' ἄτῃ τῇ μάτην λελεγμένῃ στέναζε E. 1298.

Στενακτός. ἀνὴρ γὰρ οὐ στενακτὸς C. 1663.

Στενάχειν. ἀεὶ στενάχουσα διόλλυσαι E. 141. πατρὸς δειλαία, στενάχουσα E. 1076.

Στένειν. ἡ δ' ἐμὴ ψυχὴ πόλιν τε, κἀμὲ, καί σ' ὁμοῦ στένει R. 64. ἀεὶ γὰρ ὄμμα σε τόδ' ἐμὸν στένει δακρύον C. 1710. πένθος οἰκεῖον στένει A. 1249. ἦ που ὀλοὰ στένει T. 848. πότερον τὸ σὸν πάθημ' ἐλέγχω πρῶτον, ἢ κεῖνον στένω P. 338. ἀμφ' ἐμοὶ στένεις τάδε E. 1180. τί δή ποτ', ὦ ξέν', ὧδ' ἐπισκοπῶν στένεις; E. 1184. πρὸς δίκης γὰρ οὐ στένεις E. 1211. πῶς τὸν θανόντ' ἀδελφὸν οὐ δίκῃ στένω; E. 1212. μὴ λίαν στένε E. 1172. τὰ τῶν πέλας στένειν P. 340. ᾗ πάρεστι μὲν στένειν πλούτου πατρῴου κτῆσιν E. 959. στένειν τύχην I. T. XXVIII. 2. στένοντες ὡμαρτοῦμεν C. 1647. δεινῶν τ' ἄημα πνευμάτων ἐκοίμισε στένοντα πόντον Aj. 675. ἀλγῶ πάλαι δὴ τἀπὶ σοὶ στένων κακὰ P. 806.

Στενωπός. στενωπὸς ἐν τριπλαῖς ὁδοῖς R. 1399. παλιρρόια βυθοῦ στενωπὸς I. T. LVIII. 3.

Στέργειν. στέργω διπλᾶς ἀρωγὰς μολεῖν C. 1094. στέργει γὰρ οὐδεὶς ἄγγελον κακῶν ἐπῶν A. 277. λόγοις φιλοῦσαι οὐ στέργω φίλην A. 542.

ὕβριν γὰρ οὐ στέργουσιν οὐδὲ δαίμονες T. 280. στέργε τὴν γυναῖκα T. 486. κεῖνος τ' ἐκεῖνα στεργέτω Aj. 1039. στέργειν γὰρ αἱ πάθαι με, χὠ μακρὸς ξυνὼν χρόνος διδάσκει C. 7. ὡς στέργειν ἐμὲ A. 292. ἀνάγκῃ προὔμαθον στέργειν κακὰ P. 538. πάντων ἄριστον μὴ βιάζεσθαι θεοὺς, στέργειν δὲ μοῖραν Thyest. III. 2. στέργειν δὲ τἀμπεσόντα, κεὖ θέσθαι πρέπει σοφὸν κυβευτὴν I. T. XXVIII. 1. μόνην δ' ἔστεργε τὴν ἁπλῶς δίκην I. T. LII. 3. μή τινα στέρξει γυναῖκα κεῖνος ἀντὶ σοῦ πλέον T. 576. τούτους ἐγὼ τοὺς ἄνδρας οὐ στέρξω ποτὲ P. 458. οὐδ' ἂν ἐξείποιμί τῳ, οὔτ' ἂν τέκνοισι τοῖς ἐμοῖς, στέργων ὅμως C. 1529. ὧδ' ἀπ' ἄλλης χειρὸς ἔστερξεν μέγα; R. 1023. στέρξον, ἱκετεύω C. 518. πῶς ἂν στέρξαιμι κακὸν τόδε λεύσσων; T. 994. τίνι τρόπῳ καθέστατε, δείσαντες, ἢ στέρξαντες; R. 11. ἐπεί σε λέχος δουριάλωτον στέρξας ἀνέχει θούριος Αἴας Aj. 212.

Στερεῖν. ἢ γὰρ στερήσεις τῆσδε τὸν σαυτοῦ γόνον; A. 574. μετοικίας δὲ τῆς ἄνω στερήσεται A. 890. τῆς σῆς εἰ στερήσομαι ταφῆς E. 1210. τῶνδέ γ' ἐστερημένος C. 857. πάντων ἀρίστου φωτὸς ἐστερημένη T. 177. πλούτου πατρῴου κτῆσιν ἐστερημένη E. 960. φίλων τοιούτων οἱ μὲν ἐστερημένοι χαίρουσιν I. T. LXXI. 2. δυοῖν ἀδελφοῖν ἐστερήθημεν δύο A. 13. οὐ μὴ στερηθῇς γε R. 771. δυστάλαιν' ἐγὼ, εἴ σου στερηθῶ C. 1443.

Στερεός. ἁμαρτήματα στερεὰ A. 1262.

Στερεόφρων. στερεόφρων ἐξανύσειν κακὰν μοῖραν Aj. 925.

Στερκτός. τί δῆτ' ἐμοὶ βλεπτὸν, ἢ στερκτόν; R. 1338.

Στέρνον. ἐξ εὐμενῶν στέρνων δέχεσθαι C. 487. στέρνων ἀραγμοὶ C. 1609. οὕτω χρὴ διὰ στέρνων ἔχειν A. 639. τὸ σὸν μὴ στέρνον ἀλγύνοιμι T. 482. ἐς δὲ πνεύμονας στέρνων διερρόιζησε T. 567. ὦ νῶτα καὶ στέρνα T. 1092 χερόπληκτοι δ' ἐν στέρνοισι πεσοῦνται δοῦποι Aj. 632. εἴθε σου διαμπερὲς στέρνων ἔχοιτ' ἄλγησις ἥδε P. 792. ᾖσθου στέρνων πληγὰς αἱμασσομένων E. 90.

Στερνοῦχος. στερνούχου χθονὸς C. 691.

Στεροπή. ὦ λαμπρᾷ στεροπᾷ φλεγέθων T. 99. λαμπρᾶς ἄτερ στεροπᾶς νότος Aj. 257. ἐπ' αὐτὸν ἐπενθρώσκει πυρὶ καὶ στεροπαῖς R. 470.

Στέροψ. σὲ στέροψ ὅπωπε λιγνὺς A. 1127.

Στέφανος. τοῦδε γὰρ ὁ στέφανος P. 841. στεφάνων τέρψις Aj. 1199.

Στεφανοῦσθαι. στεφανωσαμένη δρυσὶν Rhiz. III. 5.

Στεφάνωμα. μεγαλαῖν θεαῖν ἀρχαῖον στεφάνωμα C. 684. στεφάνωμα πύργων A. 122.

Στέφειν. χοαῖσι τὸν νέκυν στέφει A. 431. σὲ παγχρύσοις ἐγὼ στέψω λαφύροις Aj. 93. ἀφνεωτέραις χερσὶ στέψωμεν E. 458. λοιβαῖσι τύμβον καὶ καρατόμοις χλιδαῖς στέψαντες E. 52.

Στέφος. ἐν χεροῖν στέφη λαβοῦσα R. 913.

Στήλη. ὑπ' αὐτὴν ἐσχάτην στήλην ἔχων ἔχριμπτ' ἀεὶ σύριγγα E. 720. στήλην ἄκραν παίσας E. 744.

Στηρίζεσθαι. ὅπου μακραίωνι στηρίζει ποτὲ τᾷδ' ἀγωνίῳ σχολᾷ Aj. 195.

Στιβεῖν. πᾶν ἐστίβηται πλευρὸν ἕσπερον νεῶν Aj. 874.

Στίβος. ἔρημος ἔνθ' ἂν ᾖ βροτῶν στίβος A. 773. στίβου γ' οὐδεὶς τύπος P. 29. φυλάξεται στίβος P. 48. τίν' ἔχει στίβον; P. 157. στίβον ὀγμεύει P. 163. στίβου κατ' ἀνάγκαν ἕρποντος φθογγὰ P. 206. ἔρημον οὕτω χωρὶς ἀνθρώπων στίβου P. 487.

Στικτός. στικτῶν ἢ λασίων μετὰ θηρῶν P. 184. στικτὸν κεραστὴν ἔλαφον E. 568.

Στολή. κόσμῳ τε χαίρων καὶ στολῇ T. 766. σχῆμά τ' Ἑλλάδος στολῆς P. 224. βορᾶς μέρος προσέδοσαν, ἢ στολὴν P. 308. ἀεικεῖ σὺν στολᾷ E. 191. σισυρνώδη στολὴν Mys. V. στολὰς ταύτας φορεῖν C. 1357. ἔλυσε δυσπινεῖς στολὰς C. 1597.

Στόλος. νοσεῖ δ' ἐμοὶ πρόπας στόλος R. 169. τίς σ' ἐξῆρεν οἴκοθεν στόλος; C. 358. ἐς Θήβας στόλον ξὺν τοῖσδ' ἀγείρας C. 1305. τόνδε μὴ λεύσσειν στόλον T. 226. προσελθόνθ' ὧδε σὺν πολλῷ στόλῳ T. 496. τὸν πατρῷον ἡνίκα στόλον ξὺν Ἡρακλεῖ τὸ πρῶτον εὔνις ἑσπόμην T. 562. οὐδὲ τοῦ πρώτου στόλου P. 73. τίνι στόλῳ προσ-

ἔσχες τήνδε γῆν; P. 244. κατ' ἀρχὴν τοῦ πρὸς Ἴλιον στόλου P. 247. κατέσχον δεῦρο ναυβάτῃ στόλῳ P. 270. ἐκεῖθεν οὔ μοι μακρὸς εἰς Οἴτην στόλος P. 490. τὸν οἴκαδ' ἤπειγον στόλον P. 499. πλέων γὰρ ὡς ναύκληρος οὐ πολλῷ στόλῳ; P. 547. ὁ στόλος πορσύνεται P. 781. πρὸς τοὺς Ἀχαιοὺς καὶ τὸν Ἀτρειδῶν στόλον P. 916. οὔ ποτ' ἂν στόλον ἐπλεύσατ' ἂν τόνδε P. 1037.

Στόμα. τοὐμὸν στόμα προπηλάκιζε R. 427. οὐ τὸ τοῦδ' ἐποικτείρω στόμα R. 672. πᾶν ἐλευθεροῖ στόμα R. 706. εὐφήμου στόμα φροντίδος ἱέντες C. 132. τὸ θεῖον στόμα C. 603. τὸ σὸν δ' ἀφῖκται δεῦρ' ὑπόβλητον στόμα C. 794. ξυμφορὰς τοῦ σοῦ διῆκας στόματος C. 963. σοῦ γ' εἰς τόδ' ἐξελθόντος ἀνόσιον στόμα C. 981. κινῆσαι πατρὸς στόμα C. 1277. ἀμφιχανὼν κύκλῳ λόγχαις ἑπτάπυλον στόμα A. 119. σοὶ δ' ὑπίλλουσι στόμα A. 509. ὡς ἐγὼ τὸ σὸν φρίσσω στόμα A. 997. ἴσχε δακὼν στόμα σὸν T. 979. μὴ 'πιμεῖναι τοὐμὸν ὀξῦναι στόμα T. 1178. ἐθηλύνθην στόμα Aj. 651. οὐ τὸ σὸν δείσας στόμα Aj. 1110. τὸ σὸν λάβρον στόμα Aj. 1147. σκαιὸν ἐκλύσων στόμα Aj. 1225. νῦν καλὸν ἀντίφονον κορέσαι στόμα P. 1156. μόλις γὰρ ἔσχον νῦν ἐλεύθερον στόμα E. 1253. σιγᾶν ἀνάγκη κἂν καλὸν φέρει στόμα I. T. XV. 2. δάφνην φαγὼν ὀδόντι πρῖε τὸ στόμα I. T. XCVIII. δύρομαι γὰρ ὡς περιάλλ' ἰαχέων ἐκ στομάτων R. 1220. ἀμφιπίπτων στόμασι T. 940. ὑψηλαῖς σπιλάδεσσι στομάτων Laoc. II. 4.

Στόμαργος. κήρυσσέ μ' εἰς ἅπαντας, εἴτε χρὴ κακήν, εἴτε στόμαργον E. 607.

Στόμιον. δύντες πρὸς αὐτὸ στόμιον A. 1217. χάλυβος λιθοκόλλητον στόμιον παρέχουσα T. 1263. στόμια δέχεσθαι τἀμὰ E. 1462.

Στόμωσις. στόμα πολλὴν ἔχον στόμωσιν C. 795.

Στοναχεῖν. τὸν ἐμὸν στοναχεῖν πατέρ' ἄθλιον E. 133.

Στοναχή. ἔχομεν στοναχὰς A. 203.

Στονόεις. στονόεσσά τε γῆρυς ὅμαυλος R. 187. στονόεντα πορθμὸν A. 1145. στονόεντος ἐν τομᾷ σιδήρου T. 889. ἔμ' ἃ στονόεσσ' ἄραρεν φρένας ὄρνις E. 147.

Στόνος. στόνῳ βρέμουσι δ' ἀντιπλῆγες ἀκταὶ A. 592. στόνος ἀμφοῖν T. 522. στόνον ἀντίτυπον ἀποκλαύσειεν P. 693. τοσήνδ' ἰυγὴν καὶ στόνον σαυτοῦ ποιεῖς P. 752.

Στόρθυγξ. ἄρασα μυκτῆράς τε καὶ κερασφόρους στόρθυγγας εἴρπεν ἔλαφος Aloadæ XII. 3.

Στορνύναι. παῖδα κοῖλα δέμνια στορνύντα T. 904.

Στοχάζεσθαι. εὖ γε στοχάζει, κἀποφράγνυσαι κύκλῳ τὸ πρᾶγμα A. 240.

Στράβηλος. Ἁλίας τέκνον στραβήλου Camic. I.

Στράπτειν. στράψαντα χειρὸς ἐξ ἀνικήτου βέλη C. 1515.

Στρατεύεσθαι. τῆς σῆς οὕνεκ' ἐστρατεύσατο γυναικὸς Aj. 1111.

Στράτευμα. στρέψαι στράτευμ' ἐς Ἄργος C. 1416. πῶς γὰρ αὖθις αὖ πάλιν στράτευμ' ἄγοιμι ταὐτόν; C. 1419. ἐκλιπὼν τὸ ναυτικὸν στράτευμ' Ἀχαιῶν P. 59. ἀρετῇ τε πρῶτος ἐκκριθεὶς στρατεύματος P. 1425. ἀριστεῖ' ἐκλαβὼν στρατεύματος P. 1429. τὸ κλεινὸν Ἑλλάδος στράτευμα E. 964.

Στρατηγεῖν. ποῦ σὺ στρατηγεῖς τοῦδε; Aj. 1100. ὦ τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτὲ Ἀγαμέμνονος παῖ E. 1.

Στρατήγιον. προσμολὼν στρατήγιον μέσον Aj. 721.

Στρατηγίς. καὶ δὴ 'πὶ δισσαῖς ἦν στρατηγίσιν πύλαις Aj. 49.

Στρατηγός. τί φασὶ πανδήμῳ πόλει κήρυγμα θεῖναι τὸν στρατηγὸν ἀρτίως; A. 8. οὐχ ὅλων στρατηγὸς Aj. 1106. ἅτερος στρατηγὸς Aj. 1109. κήρυκας λαβὼν καὶ τὸν στρατηγὸν ἧκε Aj. 1116. οὔτε στρατηγοὺς οὔτε ναυάρχους μολεῖν ἡμᾶς Ἀχαιῶν Aj. 1232. ὁ στρατηγὸς οὑπιβρόντητος Aj. 1386. οἱ δισσοὶ στρατηγοὶ P. 263. γελώμενος πρὸς σοῦ τε καὶ τῶν Ἀτρέως δισσῶν στρατηγῶν P. 1024.

Στρατηλάτης. στρατηλάτου χρηστοῦ τὰ κρείσσω, μηδὲ τἄνδεᾶ λέγειν C. 1429. ἄλλοτ' ἄλλον ἐμπιτνῶν στρατηλατῶν κτείνειν Aj. 53. τὸν στρατηλάτην Ἀγαμέμνονα Aj. 1223. ὦ διπλοῖ στρατηλάται P. 793. ἀγαθοὶ στρατηλάται P. 873.

Στρατόπεδον. κατεῖχ' ἀεὶ πᾶν στρατόπεδον δυσφημίαις P. 10.

Στρατός. ἄγω τὸν Ἄργους ἄφοβον ἐς Θήβας στρατὸν C. 1325. φροῦδός ἐστιν Ἀργείων στρατὸς A. 15. στρατὸν λαβὼν ἐπακτὸν T. 259. εἶδέ μ' ἐν πολλῷ στρατῷ T. 797. στρατὸς Γιγάντων T. 1061. ἱπποβάμονα στρατὸν θηρῶν T. 1097. ἔβαψας ἔγχος εὖ πρὸς Ἀργείων στρατῷ; Aj. 95. πᾶς εὕδει στρατὸς Aj. 291. κακοπινεστατὸν ἄλημα στρατοῦ Aj. 381. πᾶς δὲ στρατὸς δίπαλτος ἄν με χειρὶ φονεύοι Aj. 408. οἷον οὔ τινα Τροία στρατοῦ δέρχθη Aj. 424. τὰ πρῶτα καλλιστεῖ' ἀριστεύσας στρατοῦ Aj. 435. μισεῖ δέ μ' Ἑλλήνων στρατὸς Aj. 458. ὃς μέγιστον ἴσχυσε στρατοῦ Aj. 502. ἐπιβουλευτὴς στρατοῦ Aj. 726. γεύεσθε πανδήμου στρατοῦ Aj. 844. τίν' ἄνδρα προσλεύσσεις στρατοῦ; Aj. 1044. ὃς κραίνει στρατοῦ Aj. 1050. στρατῷ ξύμπαντι βουλεύσας φόνον Aj. 1055. οὔτ' ἂν στρατός γε σωφρόνως ἄρχοιτ' ἔτι Aj. 1074. εἰ δέ τις στρατοῦ βίᾳ σ' ἀποσπάσειε Aj. 1175. στρατοῦ τὰ πρῶτ' ἀριστεύσας Aj. 1300. ἔχθιστος στρατοῦ Aj. 1336. εἴ τινα στρατοῦ θέλεις κομίζειν Aj. 1396. στρατὸς ἐκβάντα πᾶς μ' ἠσπάζετο P. 356. θάλλοντές εἰσι νῦν ἐν Ἀργείων στρατῷ P. 420. μή με διαβάλῃς στρατῷ P. 582. σοὶ πιθόμενος, τῷ τε σύμπαντι στρατῷ P. 1226. στρατὸν δ' Ἀχαιῶν οὐ φοβεῖ; P. 1250. τοὺς πρώτους στρατοῦ P. 1305. ἄσκευον αὐτὸν ἀσπίδων τε καὶ στρατοῦ E. 36. οὐ γὰρ ἦν λύσις ἄλλη στρατῷ E. 574. πρωρατὴς στρατοῦ Polyx. III. 1.

Στρέφειν. δία πολυῤῥάφου στρέφων πόρπακος ἑπτάβοιον ἄῤῥηκτον σάκος Aj. 575. στρέφοντα κύκλον Ἡλίου πᾶς προσκυνεῖ I. T. XC. 2. στρέψον στράτευμ' ἐς Ἄργος C. 1415. ὑπτίοις κάτω στρέψας τὸ λοιπὸν σέλμασιν ναυτίλλεται A. 716. κἂν σοῦ στραφείη θυμὸς T. 1136. τοῦ δὲ σοῦ ψόφου οὐκ ἂν στραφείην Aj. 1117. χρόνῳ βραχεῖ στραφέντες C. 1647. ἢ στραφεὶς οὕτως ἴω; A. 314. ἀνειμένη μέν, ὡς ἔοικας, αὖ στρέφει E. 516.

Στροφᾶν. ἄλλῃ δὲ κἄλλῃ δωμάτων στροφωμένη T. 908.

Στροφάς. Ἄρκτου στροφάδες κέλευθοι T. 131.

Στροφή. Ἄρκτου στροφάς τε, καὶ κυνὸς δύσις Naupl. V. 11.

Στρόφιος. ἐφεῖτ' Ὀρέστου Στρόφιος ἀγγεῖλαι πέρι E. 1111.

Στρωτός. στρωτὰ φάρη T. 918.

Στυγεῖν. κακὰς ἐγὼ γυναῖκας υἱάσιν στυγῶ A. 571. τὰς δὲ τολμώσας στυγῶ T. 583. στυγοῦσι τοὺς κακοὺς Aj. 133. οὓς ἂν τῶν λόγων ἀλγῶ κλύων, τούσδε καὶ πράσσειν στυγῶ P. 87. οὗτος δ' ἐμοὶ φίλος μέγιστος, οὕνεκ' Ἀτρείδας στυγεῖ P. 586. στυγεῖς, πολέμιον δυσμενῆ θ' ἡγούμενος P. 1323. ζηλῶ σε τοῦ νοῦ, τῆς δὲ δειλίας στυγῶ E. 1027. ἐχθροὶ δὲ φύντες ἀρνοῦνται στυγεῖν Aloadæ XI. 5. οἷον καὶ στυγοῦντ' ἀποικτίσαι R. 1296. ὁ δ' Ἀτρείδας στυγῶν ἐμοί θ' ὁμοίως καὶ θεοῖς εἴη φίλος P. 389. οὗτος δ', ἔνθ' ἂν ᾖ, στυγήσεται R. 672. πρός γ' ἐμοῦ στυγούμενος T. 740.

Στυγερός. τοῖν στυγεροῖν A. 145. βίος στυγερὸς T. 1019. ἀνεῖται στυγερῷ δαίμονι Aj. 1214. στυγερὰν ἔχε δύσποτμον ἀρὰν P. 1118. τὰν στυγερὰν Τρῳάδα γαιᾶν P. 1174. εὐναὶ στυγεραὶ E. 92. στυγερῶν γόων E. 104. Πιέρισι λάθα στυγερὰ Ach. Conv. I. 2.

Στύγιος. Στύγιον δόμον C. 1565.

Στυγνός. στυγνὸς μὲν εἴκων δῆλος εἶ R. 673. παῖς οὑμός, ὦναξ, στυγνὸς C. 1173. στυγνὸν πατρῷον Ἔρεβος C. 1390. στυγνὸν οἰμώξας A. 1226. ὁ στυγνὸς Εὐρυσθεὺς T. 1051. στυγναῖσι λώβαις ὑβρίσαι Aj. 561. στυγνὸν φῶτα P. 1137. ὦ στυγνὸς αἰὼν P. 1348. δεινῶν στυγνῶν τ' ἀχέων E. 852. στυγνὸς δαίμων E. 918.

Στυφελίζειν. τά δ' ἐπ' ἄλλοις ἐπενώμα στυφελίζων μέγας Ἄρης A. 139.

Στύφλος. στύφλος δὲ γῆ A. 250.

Σύ. οὗτος σὺ R. 532. ὦ πῦρ σὺ R. 927.

Σύαγρος. ὦ σύαγρε Achill. Amat. V.

Συγγενής. ἄνδρα συγγενῆ R. 551. τῷ ξένῳ τούτῳ προσήκει Λαΐῳ τι συγγενὲς R. 814. οἱ δέ συγγενεῖς μῆνές με μικρὸν καὶ μέγαν διώρισαν R. 1082. οὐδέ σοι τὸ συγγενὲς τοῦτ' οὐδαμῶς τότ' ἦν φίλον C. 771. σοὶ

μεν ἔμπολιν οὐκ ὄντα, συγγενῆ δὲ C. 1157. *συγγενεῖ χερὶ θανεῖν* C. 1387. *ὅπως τὸ συγγενές τοι κἀπ' ἐμοῦ θρήνων τύχῃ* E. 1469.

Συγγνώμη. *συγγνώμην ἔχει* T. 328. *ἀνδρὶ συγγνώμην ἔχω* Aj. 1322. *τούτοις συγγνώμην ἔχειν* P. 1319. *πατὴρ δε τούτων, οἶδα, συγγνώμην ἔχει* E. 400.

Σύγγονος. *ὦ γῆ Φεραία, χαῖρε, σύγγονόν θ' ὕδωρ* I. T. LXXXII. 7.

Συγκαθαρμόζειν. *πεπτῶτ' ἀδελφὸν τόνδε συγκαθαρμόσαι* Aj. 922.

Συγκαταίθειν. *ὁ δὴ λέλειπτο, συγκατῄθομην* A. 1202.

Συγκατακτείνειν. *συγκατακτὰς κελαινοῖς ξίφεσι βοτὰ* Aj. 230.

Συγκατεύχεσθαι. *ταῦτα συγκατευξάμην* A. 1336.

Συγκεραννύναι. *συγκέκραμαι δύᾳ* A. 1311. *τᾶς πειθοῦς παγχρίστῳ συγκραθεὶς ἐπὶ προφάσει θηρὸς* T. 664. *οἴκτῳ τῷδε συγκεκραμένην* Aj. 895. *πενία ξυγκραθεῖσα δυσσεβεῖ τρόπῳ* I. T. XXVI. 1.

Σύγκλητος. *σύγκλητον τήνδε γερόντων προὔθετο λέσχην* A. 159.

